

Θ

ΘΕΟΔΩΡΟΥ ΤΟΥ ΜΕΤΟΧΙΤΟΥ

ΥΠΟΜΝΗΜΑΤΙΣΜΟΙ

ΚΑΙ ΣΗΜΕΙΩΣΕΙΣ ΓΝΩΜΙΚΑΙ.

THEODORI METOCHITAE

MISCELLANEA

PHILOSOPHICA ET HISTORICA.

GRAECE.

TEXTUM E CODICE CIZENSI DESCRIPSIT,
LECTIONISQUE VARIETATEM EX ALIQUOT
ALIIS CODICIBUS ENOTATAM

ADIECIT

M. CHRISTIANUS GODOFREDUS MÜLLER,

RECTOR SCHOLAE ET BIBLIOTHECAE EPISCOP. CIZ. PRAEFECTUS,
AC SOCIETAT. LAT. IENENS. SODALIS HONORARIUS.

EDITIO AUCTORIS MORTE PRAEVENTA,

CUI PRAEFATUS EST

M. THEOPHILUS KIESSLING.

LIPSIAE MDCCCXXI.

SUMTIBUS F. C. G. VOGELII.


HARVARD
COLLEGE
LIBRARY

PRAEFATIO.

Christianus Godofredus Müller, vir de re scholastica et literaria per longam annorum seriem multis modis optime meritus, iam anno 1813. in libello scholastico *) consilium se cepisse significaverat Theodori Miscellanea edendi, hancque editionem iam magna ex parte paratam esse. Quam voluntatem vt susciperet, excitatus erat tum suo ipsius studio antiquas literas pro virili parte adiuvandi, tum bono codice illius operis, qui in bibliotheca Cizensi asservatur. Lubens igitur perficiebat, quod optarat iam Fabricius in Bibl. gr. Vol. X. p. 417. Harl., vt existeret, qui hunc librum ederet, et post eum censor libri Jan. Blochi, quo is anno 1790. 8. Havniae nonnulla Theodori capita cum praefatione et adnotationibus vulgavit, in Allg. Lit. Zeit. 1791. Dec. p. 503.,

*) Notitia et recensio codicum Mss. qui in bibliotheca Episcopatus Numburgo - Cizensis asservantur. Particula quinta. Lipsiae, 1813. 8.

qui Blochum, frustra quidem, ad totum opus vulgandum excitarat. Müllerus quidem, quum d. 10. Aug. an. 1819. obiit, hunc laborem profligarat ac paene ad exitum perduxerat, vt textus cum notis subiectis ita plane, vt ab ipso adornatus erat, typographo posset tradi. Indicis ratio mutanda fuit. Praefatio deerat; eius tamen aliquam materiam in Schedas coniecerat; atque hac cum programmate scholastico antea memorato ego pro amico defuncto praefandi officio fungens usus sum.

De Theodori igitur operibus adhuc edita fuerunt paraphrasis in libros quosdam Aristotelis latine; historia Romana a Iulio Caesare ad Constantinum M. graece; capita nonnulla horum Miscellaneorum per Jan. Blochum a. 1790. item per Jo. Conrad. Orellium ad calcem Supplementi editionis Lipsiensis Nicolai Damasceni, 1811. denique per ipsum Müllerum in Actis Semin. reg. et Societ. philol. Lips. Vol. II. P. 2. Capitis 116. particulam priorem iam olim verterat latine Muretus in Varr. Lectt. VII. 17.

Quam non contemnendus sit scriptor Theodorus, docent Fabricius in Bibl. gr. Vol. X. p. 415. Harl. et Blochus in praefatione libri nominati. Vere igitur a Niceph. Gregora VII. 11. *βιβλιοθήκη ἔμψυχος*, et a Villoisono in Analect. liter. Wolf. Vol. I. p. 409. *le plus savant homme de*

son siècle vocatur. Et multa sane exhibent hi Ὑπομνηματισμοὶ lectu dignissima, in his maxime tum ea, quae ſpectant ad historiam gentium et civitatum, omnia omnino e solis scriptoribus graecis, ne vno quidem latino nominato, collecta, tum ea, quae iudicia de scriptoribus graecis, vt Platone, Xenophonte, Aristotele, Plutarcho, Iosepho, Philone, aliis, continent. Vt a se dicta vel rationibus confirmet Theodorus, vel exemplis illustret, citat plus septuaginta scriptores graecos, interdum ipsa eorum verba recitans, quae partim a lectione vulgata discedentia rem criticam iuvant. Quum autem loca citata etiam de industria mutet et ad suum consilium conformet, magna hic opus est cautione. Haec loca Müllerus, quantum licuit, in scriptoribus evolvit. Tria exstant Pindarica, c. 48. 75. 86. quae in Pindari editionibus in fragmentis adhuc desiderata sunt. Minoris, quam commentationes argumenti historici, aestimandae sunt, quae in argumento morali versantur, in quibus ante dicta iterum iterumque repetuntur, et querelae de vitae fortunaeque humanae inconstantia et mobilitate, quam ipse expertus sit auctor, lectori molestiam afferunt.

Theodorus tali quidem stilo vtitur, vt eum antiquos scriptores diligenter lectitasse facile videas, at mirum quantum ab eorumdem simplicitate

recedit; affectatus est parumque naturalis, et cap. 44. ad poeticam adeo sublimitatem assurgit. Orationis copia ita saepe effunditur, ac potius diffunditur, tamque longae periodi contorquentur, vt inanium verborum strepitu sententiarum vis magis obscuretur, quam illustretur. Quanquam haec reprehensio magis pertinet ad capita philosophica, quam historica, in quibus, re ipsa invitante, maior dicendi simplicitas animadvertitur. Aucupatur item verba composita, adieotiva verbalia, paronomasias, proverbia *),

*) Proverbiorum hunc indicem Müllerus confecit.

In *prooemio: σπάρταν κοσμεῖν, ἂν ἐλάχομεν.* Erasm. Adag. p. 638. Suid. s. *κόσμει.* — *Ibid. αὖθις Ἀβυδηνὸν ἐπιφόρημα καὶ ναυτικὴν ἀφορμή.* add. *cap.* 96. cf. Suid. s. *εἰκῆ* et *Ἀβυδ.* Erasm. p. 117. 207. — *cap.* 3. *διπλᾶ κρούειν.* — *cap.* 6. *βίον ἑλοῦ τὸν ἄριστον, τὸν δὲ ἡδὺν ἡ συνήθεια ποιήσει.* — *cap.* 8. *ἔστω γε κοινὸς ἀμφοῖν ὁ Ἑρμῆς.* Erasm. p. 448. — *cap.* 9. *θεὸν νοῆσαι χαλεπὸν, τὸν δὲ φράσαι ἀδύνατον.* Erasm. p. 64. — *cap.* 10. *ἐκίνησαν ἐφ᾽ ἑαυτοὺς Ἀνάγυρον· Ἀνάγυρον κινεῖς.* Erasm. p. 489. et Suid. s. h. v. — *cap.* 11. *ἀρχὴ, φησὶν παροιμία, παντὸς ἥμισυ.* Erasm. p. 10. — *cap.* 12. *ὁ Διὸς ὄντος Κόρινθος.* conf. not. — *Ibid. πῦρ χερσὶ μὴ σκάλλειν.* conf. not. add. *cap.* 62. (Add. Opusc. Graccor. scntentios. ed. Orell. Tom. I. p. 62. et not. p. 478. *Kiessl.*) — *cap.* 25. *ἀσύγκλωστα συνδεῖν, ἐξ ἄμμων πλέκειν σχοίνια.* — *cap.* 26. *ἐν καρὸς αἴσῃ.* vid. not. et c. 58. — *cap.* 28. *χαλεπὸν ἐσθλὸν ἔμμεναι.* Erasm. p. 168. — *cap.* 29. *τυφλὸν τοῦ μέλλοντος ἄνθρωπος.* Et *cap.* 38. *τυφλὸν*

passimque nominibus novam potestatem tribuit.

περὶ τοῦ μέλλοντος πᾶς ἄνθρωπος, ὁ παλαιός φησι λόγος. — cap. 37. *Μυσῶν λεία.* Erasm. p. 693. — Ibid. *δρυὸς πεσούσης ἀκαμάτως ξυλίζεσθαι.* — cap. 41. *ἀεὶ βελτίω τὰ πέρυσι.* Erasm. p. 732. — cap. 46. *λίθους ἑψῶν.* Erasm. p. 337. Add. cap. 61. 102. 118. *ἀνδριάσι προσδιαλεγόμενος.* — cap. 51. *βάλλειν εἰς μακαρίαν.* Erasm. p. 374. — cap. 53. *ξυναυλίαν ὀλοφυρόμενος Ὀλύμπου νόμον, ὡς ἡ κωμικὴ παροιμία.* Conf. not. 15. ad h. l. — cap. 55. *ἀφ' ἑστίας ξυνορᾷν.* Erasm. p. 9. — cap. 57. *πρύμναν κρούεσθαι.* add. cap. 91. 115. cf. Erasm. 527. Suid. ibiq. Küster. — Ibid. *ἐς τὸ κυνόσαργες.* Erasm. p. 374. — cap. 58. *βίον ἄλυπον εὑρεῖν οὐδενὶ, κατὰ τὸν πάλαι λόγον.* — Ibid. *Βοιωτία ὗς.* Erasm. p. 670. — Ibid. *ἐν τριόδοις λογισμῶν γίγνεσθαι.* — cap. 60. *ἀεὶ κῦμα κυλίνδει πόντον Αἰγίνης.* — cap. 61. *τύπτειν ἀέρα.* Erasm. p. 338. — cap. 62. *ὡς αἲξ τὴν μάχαιραν.* Erasm. p. 487. — cap. 63. *ὁ δ' Οἰδίπους ποῦ, καὶ τὰ κλείν' αἰνίγματα;* Eurip. Phoen. 1702. Pors. — Ibid. *κακῶς λῃρῶν κατὰ τὸν ἐν Τεμέσῃ, φησὶν ἡ παροιμία, πρότερον ἥρωα.* — Ibid. *λύκος ὀφθήσῃ αὖθις μάτην χανών.* Erasm. p. 270. — cap. 65. *αὐτῷ κακὰ τεύχων, ἄλλῳ κακὰ τεύχων.* — cap. 66. *χρώμενοι ἐξ οὐρίου καὶ κατὰ πρύμναν τῷ τῆς τύχης πνεύματι.* — cap. 67. (p. 434.) — *μὴ μεγάλοις τοῖς ἐκ τῶν πραγμάτων καὶ ἁμαξιαίοις δή τισι κατὰ τὴν παροιμίαν τοῖς ὄγκοις, κ. τ. λ.* — cap. 68. *σμήχειν Αἰθίοπα.* Erasm. p. 320. — Ibid. *πάρδαλιν ἀλλάττειν τὰ κατὰ τοῦ δέρματος ποικίλματα ἀδύνατον.* Erasm. p. 389. Add. cap. 118. *αἰθίοψ τὸ δέρμα οὐκ ἀλλάξεται καὶ πάρδαλις τὰ ποικίλματα.* — cap. 72. *λάθε βιώσας.* — Ibid. *οὐδὲ λέων, οὐδ' ἀλώπηξ μύρμηκος οὐκ ἀλεγίζει.* — cap. 77. *παλαιός ἐστι λόγος κάλλιστ' εἰρημένος, ὡς ἄρ', ᾧ μάλιστα παρα-*

Totum Theodori opus Müllerus descripsit e codice bibliothecae Episcop. Cizensis, qui olim fuit Thom. Reinesii (conf. Reinesii Epp. ad Nesteros p. 19.), qui in libro Vossii de Historic. Graec., vbi Theodori Metochitae scripta sunt consignata, hunc se codicem beneficio Nesterorum e Schroeterorum Ienensium bibliotheca accepisse sua ipse manu margini adscripsit. Est is formae maximae, in charta crassa et levigata nitide scriptus; cuiusque segmenti tituli, numeri et primae literae rubrica illitae; literarum character elegans et minutus; in initiis novarum enuntiationum maiuscula litera nusquam apparet. Totus codex

σκευαστέον ἐστὶν εἰς πόλεμον, ἐπιμελητέον αὐτῷ πρότερον ἂν εἴη μάλιστα τῆς εἰρήνης. — *cap.* 82. ὁ πόλεμος οὐ τεταγμένα σιτεῖται. — *cap.* 83. πᾶν μέτρον ἐν παντὶ πράγματι ἄριστον. — *cap.* 85. μάζαν ἑαυτῷ μεμαγμένην ξὺν πολλῷ τῷ πόνῳ ἑτέροις καταλιπεῖν. Erasm. p. 118. Suid. s. μάζα. — *cap.* 89. ἄνω ποταμῶν χωροῦσι πηγαί. — *cap.* 96. γλαῦκα εἰς Ἀθήνας κομίζοντες. — *cap.* 102. λέοντα ξυρεῖν. Erasm. p. 490. — *cap.* 105. αὔραις μᾶλλόν ἐστι πιστεύειν ἢ τοῖς ἀπὸ τῆς τύχης δώροις. — *cap.* 111. ὄνος κάθηται. Erasm. p. 229. — *Ibid.* θύρας ἐπιθέσθαι βεβήλοις οὖσιν. — *cap.* 113. μηδὲν ἄγαν. — *Ibid.* ἀεὶ παῖδες Ἕλληνες. — *Ibid.* ὁ Κρὴς τὸν πόντον. Erasm. p. 653. — *cap.* 117. κατὰ πρόσωπον λεόντων προτιθεὶς βορὰν καὶ ἵπποις δρομικοῖς ὑφαπλῶν πεδία. — *cap.* 120. ἀθαλάττωτος, ἀσαλαμίνιος. Erasm. p. 238. Aristoph. Ran. 206. — *Ibid.* περὶ τῆς ἐν Δελφοῖς σκιᾶς. Erasm. p. 325.

constat foliis CCL; quaelibet pagina versus continet triginta, et sicubi in fine capitis vnus alterve versus deest, ne aequabilitas violetur, signa ———, vacuum explentia spatium, addita reperiuntur. Adsunt item custodes, quos typographi dicunt; nam ad calcem cuiusque folii octavi verba paginae insequentis in longum orae sunt adiecta, singulaque segmenta octonorum foliorum, quae sunt triginta duo, litera notantur. Accentus et spiritus non vbique diligenter sunt scripti; spiritus asper et lenis saepe confusi; duobus ῤῥ deinceps positis nunquam spiritus inscripti; quod quum Bastius in Comment. palaeograph. p. 752. sq. vetustorum codicum proprium esse censeat, huic sententiae adversatur hic codex saeculo demum XVI. scriptus, nisi librarium putes secutum esse codicis vetusti scripturam, qualem tamen aliis in partibus non refert; vt semper vtitur finali ς, qua forma nunc nos cum codicibus novellis vtimur, neque vnquam cum priorum temporum librariis forma σ. Tum iota ῑ et ypsilon ῡ more scribarum posteriorum temporum (vid. Bast. l. c. p. 718.) et initio et in medio vocabulo binis punctis insigniuntur. Iota, quod subscribi solet, nusquam subscriptum; literae ᾱ et ω̄ saepe superscriptae (conf. Bast. p. 788.); ratio membra orationis signis suis distinguendi est vaga et incerta, punctis, quae

dicunt, exuberans, quibus saepius discernuntur non discernenda, iunguntur non iungenda; colon et signum, quod est interrogando, plane desunt. Scripturae compendiis librarius vsus est paucis, fere in vocabulis ad versuum finem positis, iis quidem sibi non constantibus. Quae codicis natura omnem orationem turbat, lectoremque impedit, quo minus in longis verborum circumductionibus facile progredi, distracta componere, et male coniuncta disiungere queat. Loca ex aliis scriptoribus allata nullo, quo ab ipsis Theodori verbis discernantur, notantur signo. Diligentia quidem librarii in plerisque laudanda, passim tamen et literae et syllabae sunt omissae. Praepositiones *περί*, *κατά*, *διά*, *πρό*, *ἐκ*, cum nomine proximo in vnum connexae, vt *καταβούλησιν*, *διαμνήμης*. Scripsit codicem, vt e verbis calci eius adiectis patet, *Ἐμμανουὴλ Ὀμβεβενῆς ὁ ἐκ Μονεμβασίᾳ* (hodie *Napoli di Malvasia* in Morea s. Peloponneso) *ταύτην τὴν βίβλον ἐξέγραψε μισθοῦ.* Fuit ergo Graeculus, qui victus quaerendi causa libris describendis operam daret. Qui quum idem sit, quem Ignat. Hardt in Indice librariorum graecor. et ad Cod. LIV. Emmanuelem Embene nominat, et ad annum 1548. refert, Reinesius in Epp. ad Nesteros p. 17. recte statuit, saeculo decimosexto hunc codicem scriptum esse. Libri

inscriptio, *Ὑπομνηματισμοὶ καὶ σημειώσεις γνωμικαί*, quam primus Blochus protulit, abest ab hoc codice aeque atque a Monacensi, abest fortassis etiam a reliquis codicibus memoratis a Fabricio, qui cum Reinesio inscribit librum: *Capita philosophica et historica miscellanea.* Videtur autem illa inscriptio non ab auctore esse profecta, sed a librario cod. Paris. e verbis cap. 1. extr. λογισμὸς οὗτος ἐπῆλθεν ἐμοὶ — ὑπομνηματισμοὺς δή τινας ἐπιτετμημένως ἐκδοῦναι καὶ σημειώσεις κατὰ μέρη — conflata et praeposita. Quod si ita est, vt non dubitamus, Theodori *Ὑπομνηματισμοὶ καὶ σημειώσεις* non differunt *ab eius Capitibus philosophicis et historicis miscellaneis*, errorque in Fabricii Bibl. gr. edit. nova est emendandus.

Praeter cod. Cizensem Müllerus vsus est varietate lectionis diligentissime enotata e duobus codd. Monacensibus primum a Wersero, et post huius obitum a Georg. Krabingero, viro humanissimo. Horum codicum prior n. 197. notatus, e numero codicum, qui proprie Monacenses dici possunt, ab Ignat. Hardt in Catal. Cdd. Mss. Graecorum Biblioth. Reg. Monacens. his verbis describitur: „Chartaceus, charta solida et laevi, „titulis, numeris et initialibus minio exaratis, „scriptura minuta et eleganti, cum correctionibus

„marginalibus, ab Andr. Tarmaro, Epidaurio, „sacc. XVI. in folio, foliis 529. optime conserva-„tus et inscriptus — —. In fine scriptum: *ἐνε-„τίησι παρὰ ἀνδρέου ταρμάρου τοῦ ἐπιδαυ-„ρειώτου. αφζ. μηνὶ ὀκτοβρ. κδ.* — Non videtur „(licet sit) idem esse cum Andrea Darmario Epi-„daurio, tum e subscriptione, tum e scripturae „quadam diversitate." Posterior n. 402. qui ex Augustana bibliotheca in Monacensem est translatus, ab eodem ita describitur: „Chartaceus, in „assere, corio fusco tectus et aere munitus, in „folio, titulis et initialibus miniatis, literis minutis „et nitidis, saec. XV. in foliis 354. signatus p. „74. n. 26. optime conservatus." — Ceterum horum cdd. neutrum praeter Theodori Miscellanea aliud quidquam continere, Krabinger in epistola ad Müllerum data refert.

Extant denique Parisiis duo cdd. huius Theodori operis, alter in bibl. Monasterii Coislin. D. Germanens. CLXV., alter in biblioth. regia. Ex his lectionis varietatem ad loca bene multa enotatam a Boissonade, viro celeberrimo et humanissimo, Müllerus habuit.

Horum quatuor codicum, iudice Müllero, principatum obtinet Cod. Regius Paris., hunc excipit Cizensis, Cizensem Monacensis; vltimo

loco censetur Augustanus, quocum fere consentit Sangermanensis, qui vitiis scatent.

Hac omni materia critica quomodo Müllerus sit vsus, quamque in hac editione paranda rationem adhibuerit, facile patet. Textum recensere, quod vocant, noluit. Hoc aliis reliquit. Ipse textum plane ita, vt in Cod. Ciz. extat, descriptum repetiit, paucis vitiis, iisque apertissimis, coniectura sublatis. Textui subiecit varias lectiones ex illis codd. nominatis enotatas; vitia scripturae manifesta, maxime cdd. Monac. et August., omisit praeter nonnulla speciminis loco proposita. Item voces horum cdd. plane falsas commemoravit, vt appareret, quomodo illi a cd. Ciz. differant, vtque inde interdum vera lectio extricari posset.

Indicem Müllerus subiuncturus fuerat longe copiosissimum. Qui vt breviaretur, plures rationes admonebant. Negotium datum est iuveni literarum studiosissimo, Ioan. Christiano Görlitzio, qui nunc Lipsiae in scholis philologorum primariorum antiquitatis studiis naviter operam dat. Is illa de re haec perscripsit: „Quum consilium, quod ego in Indicibus conficiendis sequutus sum, a ratione, quam Müllerus, praeceptor meus pie colendus, inierat, paululum recedat, paucis mihi de hac re exponendum videtur. Müllerus, quantum ex ipsius schedis coniicere licet, in indicem grae-

meo Cizensi, de cuius disciplina mihi maxime gratulor, omnes locos diligentissime indicavi."

Restat, vt viris celeberrimis et praestantissimis, Boissonado, Creuzero, Thierschio, quibus quantum ad huius libri materiam criticam congerendam deberet Müllerus, et saepe mihi in sermonibus collocutionibusque significavit, et in schedis relictis repetiit, iam publice pro Müllero defuncto ego gratias maximas agam, quippe quorum erga illum studiis factum sit, vt iam liber critica supellectili minime contemnenda instructus in publicum prodeat. Atque sic speramus fore, vt tum Müllerus hoc quoque libro edito de literis optimis optime meruisse censeatur, tum redemtorem, virum longe honestissimum, impensarum factarum non poeniteat.

Scripsi Cizae d. X. Febr. MDCCCXXI.

M. Theophilus Kiessling,
Rector Scholae Episcopalis, quae Cizae est.

Τοῦ σοφωτάτου[1]) *μεγάλου λογοθέτου*[2]) *Θεοδώρου τοῦ Μετοχίτου*, [*πίναξ τῆς παρούσης βίβλου*][3]).

---

1) Sic etiam Cod. August. et Bloch.; sed Codd. Monac. Vindobon. et ex hoc Fabric. in Bibl. Gr. Vol. X. p. 417. addunt: *καὶ λογιωτάτου.*

2) Codd. Aug. Monac. Vindobon. cum Fabricio et Bloch. inserunt: *κυρίου.*

3) Haec verba vncis inclusa, quae Codd. Aug. et Cizens. ignorant, quum contextus ea requirat, praeeuntibus Codd. Monac. Vindobon. et Paris. apud Bloch. praemittenda curauimus. Caeterum tenendum est, in Cod. August. prooemio sine dubio librarii errore aliam inscriptionem esse praemissam: *Τοῦ σοφωτάτου καὶ ἃ κυρίου Γεωργ. τοῦ Συγγέλου ἀπορίαι*, sed manu recentiori transfixam linea, et supra paginam inscriptionem, vt in reliquis Codd. extat, esse positam. Cod. Mscr. qui Parisiis in Bibl. Regia adseruatur, vti Bloch. p. 57. tradit, sic est inscriptus: *Θεοδώρου μεγάλου λογοθέτου τοῦ Μετοχίτου ὑπομνηματισμοὶ καὶ σημειώσεις γνωμικαὶ διὰ κεφαλαίων Ρκ. διῃρημέναι.*

4) *Καὶ* abest a Cod. Aug. et mox *λέγει* pro *λέγειν* exhibet.

5) Cod. Monac. hic et all. locc. *ἥττηνται.*

6) *Τῆς* omittunt Fabric. et Bloch. Capp. *δ'* et *ε'* iungit Bloch.

έ. Ὅτι πολὺ πάντες ἥδονται, οἷς [7]) ἂν συνεθισθῶσιν.

ς΄. Περὶ τῆς εἰς τὸν Πυθαγόραν πάντων τῶν [8]) σοφῶν εὐλαβείας καὶ περὶ τοῦ μαθηματικοῦ.

ζ΄. Ὅτι πᾶσι σύνηθες τοῖς σοφοῖς εἰρωνεία [9]), καὶ τὸ χαριεντίζεσθαι, καὶ Πλάτωνι μάλιστα καὶ Σωκράτει [10]).

ή. Ὅτι οὐκ ἔστιν, ὡς νοεῖ τις, λέγειν [11]).

θ΄. Ὅτι ἀνευλαβῶς ἅπαντες οἱ σοφοὶ πρὸς τοὺς πρὸ αὐτῶν [12]) ἐχρήσαντο, ἐν ᾧ καὶ περὶ Πλάτωνος καὶ Ἀριστοτέλους.

ί. Περὶ Ἀριστοτέλους, καὶ τῆς εἰς τὸ φυσικὸν καὶ λογικὸν εὐδοκιμήσεως τοῦ ἀνδρός.

ιά. Ἔτι περὶ τοῦ Ἀριστοτέλους, καὶ περὶ τοῦ φυσικοῦ κατ᾽ αὐτὸν, καὶ λογικοῦ.

ιβ΄. Περὶ Πλάτωνος, καὶ τοῦ μαθηματικοῦ τῆς σοφίας, καὶ μάλιστα περὶ τοῦ ἁρμονικοῦ.

ιγ΄. Ὅτι οὐκ ἐξ ἀρχῆς τέλειον κατέστη τὸ τῆς μαθηματικῆς ἐπιστήμης.

ιδ΄. Περὶ Ἰωσήπου.

ιέ. Περὶ Φίλωνος.

ις΄. Ὅτι πάντες, ὅσοι ἐν Αἰγύπτῳ ἐπαιδεύθησαν, τραχύτερον τῷ λέγειν χρῶνται.

ιζ΄. Περὶ Συνεσίου.

ιή. Περὶ Δίωνος.

ιθ΄. Περὶ Ξενοφῶντος.

---

7) οἷς, Cod. Aug. mendose οὓς; verum c. 52. ᾧ — συνεθισθείη.

8) Τῶν abest a Cod. Aug.

9) εἰρωνεία, Cod. Aug. εἰρωνία; fortasse vt ἀνδρία, ἀσεβία, εὐγενία et all. Sic postea ἐποπτία pro ἐποπτεία. Cap. 3. et 83. λιχνεία, vbi alii Codd. λιχνία. cf. Schaeferi Meletem. Crit. in Dionysii Art. Rhetor. p. 41.

10) Σωκράτει, C. Aug. Σωκράτῃ: Monac. Σώκρατες, male: confusa ει et ες.

11) λέγειν, Cod. Aug. vt antea, λέγει.

12) πρὸ omittit C. Aug.

κά. Περὶ τῶν Ἀριστοτελικῶν βιβλίων τῶν μετὰ τὰ φυσικά, καὶ [13]) περὶ τοῦ βιβλίου Ἑρμογένους τοῦ περὶ μεθόδου δεινότητος.

κβ'. Περὶ τοῦ ἐν τῇ μαθηματικῇ ἐπιστήμῃ ἀστασιάστου.

κγ'. Περὶ τοῦ ἐν τῇ φυσικῇ θεωρίᾳ ἀβεβαίου.

κδ'. Ὅτι διὰ τὸν πρὸς ῥητορικὴν πόλεμον ἀεὶ διαλόγοις ὁ Πλάτων χρῆται.

κέ. Ὅτι διὰ τὴν πρὸς Πλάτωνα μάχην σπουδάζειν ἠξίωσεν Ἀριστοτέλης περὶ τὴν ῥητορικήν.

κς'. Ὅτι τῷ ἁπλῷ καὶ ἀτημελήτῳ τῆς φωνῆς φιλοσοφία οἰκείως ἔχει.

κζ'. Θρῆνοι ἐπὶ τῷ τῶν ἀνθρώπων βίῳ.

κή. Περὶ τοῦ ῥητοῦ τοῦ λέγοντος, οὐκ ἔστιν εὑρεῖν βίον ἄλυπον ἐν οὐδενὶ, καὶ περὶ τῶν κατὰ τὸν βίον μεταβολῶν, καὶ περὶ τῶν κατ᾽ αὐτὸν τὸν συγγράφοντα [14]).

κθ'. Περὶ τοῦ εὐμεταβλήτου πάντων [15]) κατ᾽ ἀνθρώπους.

λ'. Περὶ τῆς κατ᾽ ἀνθρώπους ἀμαθίας τῶν βελτίστων.

λά. Ὅτι οὐκ ἔστι τοῖς ἐν τῷ [16]) σώματι τελεία κατάληψις περὶ τῶν ὄντων, καὶ ὑπόδειγμα πρὸς τοῦτο ἀπὸ τῶν τῇ μέθῃ μὴ τελείως καταβαπτισθέντων.

λβ'. Ὅτι ἡδὺ κατ᾽ ἀνθρώπους, ᾧ τὶς ἂν χρόνιος συνεθισθείη [17]).

---

13) περὶ τῶν — καὶ, Bloch. non habet. — μετὰ τὰ φυσικά, Cod. Aug. τὰ ignorat, et mox περὶ μεθόδου iunctim exhibet, de qua connexione praepositionum cum sequente substantiuo, quae in hoc et aliis Codd. frequentatur, vid. Bast. in Comment. Palaeograph. Gregorio Corinthio adiecta pag. 705 et 798.

14) τὸν συγγράφοντα, C. Aug. συγγραφέντων, omisso τὸν, quae lectio repugnat contextui, nam συγγράφοντα refertur ad ipsum Theod. Metochitam.

15) πάντων, sic et Bloch. verum Codd. Aug. Mon. et Fabric. addunt τῶν, quod etiam C. Ciz. infra in inscriptione huius Capitis habet.

16) ἐν τῷ: C. Aug. ignorat τῷ: reliqui adiiciunt omnes. Apud Bloch. desunt verba: καὶ ὑπόδειγμα — καταβαπτισθέντων.

17) συνεθισθείη, Aug. C. corrupte συνισθίη.

λγ'. Ὅτι πολλοὶ τῶν ἀνθρώπων [18]) ἀηδῶς σύνεισι τῷ κατ' ἔθος μακρὸν ὁτῳοῦν βίῳ.

λδ'. Ὅτι τινὲς τῶν φαύλων καὶ ἀνοήτων οὐδὲν ἧττον, ἢ κατὰ τοὺς πεπαιδευμένους ἥδιστα βιοῦσι, μεγάλα περὶ ἑαυτῶν [19]) οἰόμενοι.

λέ. Ὅτι πολλοὶ διὰ φιλαυτίαν ἐπὶ μικροὺς, οἷς ἔχουσιν, ἀπειροκάλως ἐπιδείκνυνται.

λς'. Ὅτι καὶ ἐν μικροῖς τινὲς ἀγαθοῖς εὐγνώμονές [20]) εἰσι, καὶ περὶ τοῦ βασιλέως ἐνταῦθα.

λζ'. Θρῆνοι ἐπὶ τῇ τῶν Ῥωμαϊκῶν πραγμάτων ἐλαττώσει καὶ μεταβολῇ τῆς μεγάλης ἐκείνης εὐδαιμονίας.

λή. Θρῆνοι τῶν κατὰ τὴν ἔξω τῆς Ῥωμαίων ἀρχῆς κακῶς πραξάντων.

λθ'. Θρῆνοι ἔτι περὶ τῶν αὐτῶν, καὶ ὅτι οὐκ ἔνι παραβάλλειν [21]) τὰ ἐκεῖ πάντα τοῖς ἀλλαχοῦ Ῥωμαϊκοῖς.

μ'. Θρῆνοι ἔτι περὶ τῶν αὐτῶν, καὶ ὅτι καὶ τὰ μοναχῶν ἐκεῖσε βέλτιον εἶχεν, ἢ ἄλλοθί πη [22]).

μά. Ὅτι ἔθος ἀνθρώποις τὰ παρελθόντα [23]) τοῦ βίου ποθεῖν, κἀκείνων ἥδιστα μεμνῆσθαι.

μβ'. Ὅτι σφόδρα ἡδὺ [24]) τοῖς ἀνθρώποις ἡ ἐποπτεία τῆς κτίσεως.

μγ'. Ὅτι ἥδιστον ἡ τοῦ οὐρανοῦ, καὶ τῶν κατ' οὐρανὸν ἐποπτεία.

---

18) τ. ἀνθρώπων, C. Aug. modo τῶν, et mox σύνεισι et ὁτῳοῦν separatim σὺν εἰσὶ et ὅτῳ οὖν. cf. Koen. ad Greg. Corinth. pag. 195.

19) ἑαυτῶν, C. Aug. αὐτῶν.

20) εὐγνώμονες, C. Aug. εὐγώμονες, vitiose.

21) παραβάλλειν, C. Mon. mendose περιβάλλειν. Saepe παρα et περὶ confunduntur. vid. Bast. Comment. Palaeograph. pag. 830.

22) ἄλλοθί πη, C. Mon. ἄλλοσθί πη.

23) παρελθόντα, C. Mon. separatim παρ' ἐλθόντα.

24) ἡδὺ, abest a Cod. Aug. et mox C. Mon. ἐποπτία pro ἐποπτεία.

μδ'. Ὅτι ἥδιστον θέαμα ἡ θάλαττα.

μέ. Ὅτι εἰκάζειν ἂν εἴη τοὺς ἐν τῷ ἱλαρῷ συνόντας σεμνότητι τῷ [25]) τῆς θαλάττης ἐν γαλήνῃ θεάματι.

μς'. Ὅτι πολλοῖς τῶν ἀνθρώπων ποθεινὸν τὸ ἄπραγμον [26]) τοῦ βίου.

μζ'. Ὅτι τοῖς [27]) πλείοσι περισπούδαστον ἡ περὶ τὸ πράττειν ἀσχολία.

μή. Ὅτι πλεῖστα δυσχερῆ καὶ ἀνιαρὰ τοῖς μετὰ τοῦ πολλὰ πράττειν βιοῦσι, κἂν εἰ δοκῶσιν εὖ πράττειν [28]).

μθ'. Ὅτι ἔνιοι διὰ μικρογνωμοσύνην τινὰ, καὶ οὐ λογισμῶν κρίσιν ἀποτρέπονται τὰ πράγματα: καὶ τοῦτο πάντως οὐδ' ἐπαίνου τινὸς ἄξιον.

ν'. Ὅτι ἔστιν [29]) ὁμοίως ἥδεσθαι καὶ δοκεῖν εὐπραγεῖν [30]), καὶ ἐν μεγίσταις ὑποθέσεσι, καὶ ἐν ἥττοσι [31]) καὶ διαφόροις πολιτεύμασιν εὖ πράττοντας.

νά. Ὅτι μέγας ἐπιτειχισμὸς τῇ ψυχῇ πρὸς τὴν οἰκείαν νοερὰν ἐνέργειαν τὸ σῶμα, καὶ τὰ ἐξ αὐτοῦ.

νβ'. Περὶ τῆς ἐν ἀνθρώποις πᾶσι φιλαυτίας, καὶ ὅπως ἐπείγονται πάντες, ὥστε [32]) πλέον δοκεῖν, ἢ εἰσίν.

νγ'. Ὅτι ἀπορεῖν ἐστιν, ὅπως οἱ μὲν τῶν ἀνθρώπων εὖ ξυνέλαχον ἐξ ἀρχῆς τῷ βίῳ εἰς τέλος, οἱ δὲ τοὐναντίον.

---

25) τῷ τῆς, Fabric. in Bibl. Gr. male τοῦ τῆς.

26) ἄπραγμον, sic omnes, vti Cap. 73. excepto C. Aug. qui habet ἀπράγμονον.

27) τοῖς πλείοσι: Cod. Mon. et Fabric. modo πλείοσι. Infra in inscriptione Cap. μζ'. Ciz. quoque omittit.

28) εὖ πράττειν: C. Mon. iunctim εὐπράττειν.

29) Ὅτι ἔστιν: C. Mon. ὅτι οὐκ ἔστιν.

30) εὐπραγεῖν, Cod. Aug. εὖ πραγεῖν, separatim.

31) ἥττοσι, C. Mon. ἥττωσι.

32) πάντες, ὥστε, Cod. Mon. et Fabric. πάντως τε. Infra C. Ciz. iterum πάντες, ὥστε: vti etiam Cdd. Aug. et Mon.

νδ. Ὅτι πολὺ [33]) τὸ ἐναντιολογεῖν ἀνθρώποις οὐ μόνον πρὸς ἀλλήλους, ἀλλὰ καὶ πρὸς ἑαυτούς.

νέ. Ὅτι οὐκ ἔστι παρ' ἀνθρώποις ἀπλανὴς σχεδὸν κρίσις, οὐδ' ἀπαθής.

νς'. Ὅτι ἔστιν [34]) ἀεὶ, ὅπως ποτέ τις πράττοι παρασκευῇ γνώμης εὐλόγως ἀντανισοῦν ἑαυτὸν ταῖς μεγάλαις εὐπραγίαις.

νζ'. Ὅτι ἔνιοι [35]) τῶν ἀνθρώπων πλάττονται φιλόσοφον πρόσχημα· καὶ περιφρόνησιν [36]) τῶν τυχηρῶν, καὶ τῶν κατὰ τὸν βίον εὐπραγούντων ἀτευκτοῦντες αὐτοὶ τινὸς εὐετηρίας, καὶ βασκαίνοντες.

νή. Πότερον ἄμεινον ἀνθρώπῳ τὸ γενέσθαι, ἢ τὸ μὴ γενέσθαι, καὶ ὅτι ἄμεινον τὸ γενέσθαι.

νθ'. Ὅτι πολὺ παρ' ἀνθρώποις τὸ περιαυτολογεῖν.]

ξ'. Ὅτι ἄπορον, εἰ ἔστι τις [37]) ἀνθρώποις καθάπαξ γαλήνη κατὰ τοὺς λογισμούς.

ξά. Ὅτι οὐκ ἔξω λόγου παντάπασι δόξειεν ἂν εἶναι τὰ τῶν ἐφεκτικῶν ἐναντιουμένων πρὸς πᾶσαν κατάληψιν, καὶ ὅτι καὶ [38]) Πλάτων καὶ Σωκράτης ἀρχὰς εἰς τοῦτ' ἔδωκαν.

ξβ'. Περὶ τῶν ἐμπιπτόντων πράγμασι, τῶν μὲν διὰ φιλόπραγμον [39]) ἦθος φαῦλον, τῶν δὲ δι' ἀμαθίαν καὶ ἀπρονόητον τὴν τύχην.

---

33) πολὺ, C. Aug. πολλοί, male.

34) Ὅτι ἔστιν, C. Aug. inserit οὐκ, et πράττοι pouit post γνώμης, et pro παρασκευῇ habet παρασκευή. Bloch. Ὅτι ἀεὶ ἔστιν, ἀντανισοῦν ταῖς μεγάλαις εὐπραγίαις κ. τ. λ.

35) ἔνιοι, C. Aug. πολλοί.

36) περιφρόνησιν, sic omnes; Fabric. vero sine causa vult legi παραφρόνησιν: cf. Ind. ad περιφρόνησις.

37) τις, sic et infr. et Fabric. sed Cdd. Mon. et Aug. τοῖς.

38) καί, sic C. Mon. et Fabric. sed infra et in C. Aug. omittitur καί.

39) φιλόπραγμον, C. Aug. iterum, vt antea ἀπράγμονον, φιλοπράγμονον, qui etiam τὴν ante τύχην delet.

ξγ'. Περὶ τῶν ἐλπίδων, καὶ ὅτι τρόπον μέν τινα βιωφιλέστατον[40]) ἀνθρώποις τὸ κατ' αὐτὰς[41]) χρῆμα, τρόπον δέ τιν' αὖθις καθάπαξ νεμεσητὸν καὶ κατεγνωσμένον.

ξδ'. Ὅτι ἥδιστον ἀνθρώποις ἐν τοῖς οἰκείοις καὶ συνήθει διατριβῇ ὁτιοῦν πράττειν εὖ καὶ τιμᾶσθαι.

ξέ. Ὅτι πολλάκις ἔνιοι συμπίπτουσι τοῖς ἑαυτῶν δόγμασι καὶ κρίσεσι, καὶ ὄλλυνται δίκης σφέτερα[42]).

ξς'. Ὅτι τινὲς εἰσὶ ταχεῖς πιστεύειν τῇ προνοίᾳ διὰ τὰ φαινόμενα κατὰ λόγον ἀπαντᾶν τοῖς χρηστοῖς τε καὶ πονηροῖς ἐκ τοῦ προχείρου, καὶ αὖθις ἀπιστεῖν τῇ προνοίᾳ διὰ τἀναντία τούτοις.

ξζ'. Ὅτι θαυμασίως πολλάκις εἴωθε ταῖς μεγίσταις πράξεσι καὶ εὐτυχίαις τάχιστ' ἀπολουθεῖν δυσπράγματα χαλεπὰ καὶ μηδὲν ἧττον ἀνυπονόητα.

ξή. Ὅτι οὐκ ἔστιν ὅλως ἐν ἀνθρώποις ὁμοφροσύνη.

ξθ'. Ὅτι πολὺ νοσοῦσι ταῖς προςπαθείαις ἄνθρωποι, καὶ οὐκ ὀρθῶς ὁρῶσιν.

ό. Ὅτι χρήσιμα τὰ ἐκ τοῦ μαθηματικοῦ καὶ γεωμετρικοῦ τῆς φιλοσοφίας εἴδους διὰ τὰ ἄλλα[43]) πλεῖστα τῷ βίῳ, καὶ διὰ τὰ τῶν μηχανικῶν ἔργα.

οά. Περὶ Πλουτάρχου.

οβ'. Θεωρία εἰς τὸ ἔπος[44]) τὸ, λάθε βιώσας.

ογ'. Εἰ προσίσταται τῷ χριστιανικῶς ζῆν τὸ μετὰ πολλῶν ζῆν, καὶ ἐν πολλοῖς πράγμασι ζῆν.

οδ'. Ὅτι τὸ μὴ μετὰ πολλῶν βιοῦν πραγμάτων εὐκολίαν φέρει εἰς τὴν[45]) τήρησιν τῶν τῆς χριστιανικῆς εὐσεβείας νομίμων.

---

40) βιωφιλ. C. Aug. βιοφιλέστατον.

41) κατ' αὐτὰς, C. Aug. κατ' αὐτὸ, non apte, et mox νεμιτὸν pro νεμεσητόν.

42) ὄλλ. δίκης: C. Aug. ὄλυνται δίκῃ: Mon. ὄλληνται δίκης.

43) διὰ τὰ ἄλλα: reliqui omnes διὰ τά τε ἄλλα: sic etiam infra.

44) ἔπος, C. Aug. ἔθος, mendose, qui etiam seq. τὸ omittit.

45) τὴν, C. Aug. non habet.

οέ. Ὅτι καὶ τοῖς ἐν κοινῷ πολιτευομένοις [46]) ἔξεστι καλῶς βιοῦν τῇ ἀρετῇ καὶ τοῖς θεοσεβείας νομίμοις.

οϛ'. Εἰ γαμητέον ἐστὶν, ἢ μὴ τοῖς ἐπιμέλειαν ἔχουσι καὶ φροντίδα τῆς κατ' ἀρετὴν ζωῆς.

οζ'. Ὅτι παντὶ τρόπῳ τῷ πολιτικῷ ἀντιποιητέον εἰρήνης.

οή. Ὅτι καὶ πρὸς τὸ πολεμεῖν παρασκευαστέον τῷ πολιτικῷ.

οθ'. Ὅτι μὴ διὰ τὰς ἀτυχίας καὶ τὸ κακῶς πολλάκις πράττειν ἀποτρεπτέον τοῦ πράττειν.

π'. Ὅτι τῶν φιλοσόφων οἱ πλείους ἢ πάντες σχεδὸν περὶ τὸ λέγειν διέτριψαν μόνον, μὴ χρήσιμοι γενόμενοι ταῖς περὶ τὸ πολιτικὸν θεωρίαις.

πά. Ὅτι πάντες σχεδὸν τῶν ἐν Ἕλλησι φιλοσοφησάντων τοῦ πολιτεύεσθαι καὶ τὰ κοινὰ πράττειν ἀπέστησαν [47]).

πβ'. Ὅτι ἐπιμελητέον [48]) βασιλεῖ μάλιστα περὶ τὸ πορίζεσθαι χρηματισμοὺς τῇ ἀρχῇ.

πγ'. Ὅτι μὴ καθάπαξ ἑαυτὸν δοτέον τῇ περὶ τὸ χρηματίζεσθαι ἐπιμελείᾳ τὸν βασιλέα, καὶ πάντα τρόπον σπουδαστέον εἰς τοῦτο.

πδ'. Ὅτι ἐπιμελητέον ἀνεμεσήτως περὶ οὐσίας [49]) καὶ πλούτου τῷ πολιτικῷ.

πέ. Ὅτι οὐ καθάπαξ παντὶ τρόπῳ προσέχειν ἄξιον τὸν νοῦν τῷ πλουτεῖν.

πϛ'. Ὅτι πάντες ἄνθρωποι σχεδὸν [50]) φιλοπλουτίας ἥττηνται.

---

46) ἐν κοινῷ πολιτ. C. Mon. ἐν κοινοπολιτ. non male, nam saepius occurrit κοινοπολιτεία, et in inscriptione Cap. 75. adeo κοινοπολιτεύομαι. Fabric. ἐγκοινοπολ. e Cod. Vindob. Lectio tamen ἐν κοινῷ πολιτ. non est sollicitanda.

47) ἀπέστησαν, Cod. Aug. ἔστησαν, inepte.

48) ἐπιμελητέον, C. Aug. ἐπιτιμητέον, et πολιτεύεσθαι pro πορίζεσθαι. Bloch. περὶ τοῦ pro περὶ τό.

49) περὶ οὐσίας, Fabr. iunctim περιουσίας, praue.

50) σχεδὸν, C. Aug. non agnoscit, et Mon. iterum ἥττηνται pro ἥττηνται.

πζ'. Θεωρία ἐξ ὑποδείγματος περὶ τῆς κατὰ τὰ ἀνθρώπινα ἀστασίας [51]).

πή. Θεωρία ἐξ ὑποδείγματος περὶ τῆς τοῦ λογικοῦ χρήσεως.

πθ'. Θεωρία ἐξ ὑποδείγματος περὶ τῶν αἰσθήσεων καὶ τῆς κυριότητος τοῦ νοός.

υί. Θεωρία ἐξ ὑποδειγμάτων περὶ τῆς κατὰ νοῦν ζωῆς.

υά. Θεωρία ἐξ ὑποδείγματος περὶ τῆς κατὰ τὴν ὕλην τῇ γενητῇ φύσει ἐναντιοπραγίας [52]).

υβ'. Ὅτι διὰ τὸ ἀπρόσκοπον [53]) τῆς Χριστοῦ πίστεως ἔοικεν, ᾠκονομήθη τὸ τῆς μοναρχίας κράτος *Αὐγούστῳ* τε τῷ [54]) *Καίσαρι* καὶ τῷ μεγάλῳ *Κωνσταντίνῳ*.

υγ'. Ἐπισημασία, ὅπως ἡμῖν ἐν μνήμῃ καὶ λόγῳ τὰ περὶ τῶν Ἑλλήνων πάντα καὶ μέγιστα, καὶ ὅσα βραχέος [55]) ἄξια λόγου.

υδ'. Ὅτι χρήσιμον τοῖς παιδευομένοις [56]) ἡ ἀποχώρησις καὶ ἀποστροφὴ τῶν πραγμάτων ἐξ ὑποδείγματος.

υέ. Θεωρία ἐξ ὑποδειγμάτων περὶ τοῦ νοὸς καὶ τῆς τῶν αἰσθήσεων χρήσεως.

υς'. Περὶ δημοκρατίας.

υζ'. Περὶ ἀριστοκρατίας.

υή. Περὶ βασιλείας.

υθ'. Περὶ τῆς *Ἀθηναίων* πολιτείας.

ϙ'. Περὶ τῆς *Λακεδαιμονίων* πολιτείας.

ϙά. Ὅπως [57]) οὐ μόνον Ἕλληνες, ἀλλὰ καὶ πολλὰ τῶν ἄλλων ἐθνῶν κοινοπολιτείαις ἐχρήσαντο.

---

51) Θεωρία — ἀστασίας, abest hoc Cap. ab Aug. Cod.

52) ἐναντιοπρ. Fabric. ἐναντιπραγείας.

53) ἀπρόσκοπον, Cod. Aug. ἀπρόςκοπτον. Sic deinceps saepius.

54) τὲ τῷ Καίσ. Omittit τὲ τῷ C. Aug.

55) βραχέος, C. Mon. βραχέως.

56) παιδευομ. Fabr. πεπαιδευμένοις, haud dubie rectius.

57) Ὅπως, C. Aug. πῶς, et πολλοὶ pro πολλά.

ρβ'. Ὅτι τὸ ἐξ ἀρχῆς ἅπαντα σχεδὸν τὰ κατὰ τὴν Ἀσίαν ἔθνη οὐ κοινοπολιτείαις, ἀλλ' ὑπὸ δεσποτῶν ἤγοντο [58]).

ργ'. Ὅτι τὸ ἐξ ἀρχῆς ἡ πόλις Κυρήνη ἑλληνὶς ἐν Λιβύῃ.

ρδ'. Περὶ Καρχηδόνος καὶ τῆς κατ' αὐτὴν πολιτείας [59]).

ρέ. Περὶ Καρχηδόνος ἔτι, καὶ ὅπως διὰ τὸ μέγιστα εὐπραγῆσαι καθάπαξ ἐντεῦθεν ἡ πόλις αὕτη ὤλετο.

ρς'. Περὶ τῆς Ῥώμης, καὶ ὅπως ἐκ μικρῶν ἀρχῶν [60]) τοσοῦτο κράτος καὶ μέγεθος ἀρχῆς κατ' αὐτὴν συνέστη.

ρζ'. Περὶ Νουμᾶ [61]) Πομπηλίου, δευτέρου βασιλέως τῆς Ῥώμης, καὶ ὅπως τηνικαῦτα κατὰ καιρὸν βασιλεύειν ἡρέθη [62].

ρή. Ὅπως Ῥωμαῖοι ἐκ μικρῶν τὴν ἀρχὴν πραγμάτων μετὰ τὰ [63]) πρὸς Πύῤῥον καὶ Καρχηδονίους ἑξῆς πολέμια [64]) εἰς μέγα προῆλθον ἀρχῆς κράτος, καὶ φρόνημα σχεδὸν παγκόσμιον.

ρθ'. Ὅτι ἡ Ῥωμαϊκὴ μεγίστη μοναρχία [65]) ἐπὶ τῆς οἰκουμένης ἔοικεν ὑπὸ τῆς θείας προνοίας γενέσθαι εἰς εὐδρομίαν τοῦ σωτηριώδους χριστιανικοῦ δόγματος.

ρί. Περὶ Σκυθῶν.

ριά. Ὅτι χρήσιμον τοῖς περὶ λόγους σπουδάζουσιν ἡ περὶ τὸ [66]) ἱστορικὸν ἐπιμέλεια.

---

58) ὑπὸ δεσποτῶν ἤγοντο, sic etiam infra et ap. Fabric. at in Cdd. Aug. et Mon. iunctim ὑποδεσποτῶν et ἤγοντο.

59 καὶ τῆς — πολιτείας, desunt in Cod. Aug. Caeterum Capp. ρδ' et ρέ ordine inuerso in C. Mon. leguntur.

60) ἐκ μικρῶν — τοσοῦτο, C. Aug. ἐν μικρᾷ ἀρχῇ — τοσοῦτον.

61) Νουμᾶ, Codd. Aug. et Mon. non exhibent: Fabric. legit Νούμα.

62) καὶ ὅπως — ἡρέθη, haec omnia desiderantur in C. Monac.

63) μετὰ τὰ: deest τὰ in Cdd. Aug. et Monac.

64) πολέμια, C. Aug. πολέμω, inepte. Fabric. vitio typographorum: πάλμια. Verba εἰς μέγα — κράτος C. Mon. non exhibet.

65) μοναρχία, in margine C. Aug. ἀρχὴ, γρ. μοναρχία.

66) περὶ τὸ, C. Mon. περὶ τόν.

ριβ'. Περὶ τοῦ ἀνιδρύτου καὶ μὴ διαρκοῦς εἰς τέλος τῶν ἀνθρωπίνων πραγμάτων ἐξ ὑποδειγμάτων.

ριγ'. Περὶ Ἑλλήνων, καὶ ὅτι οὐκ ὄγκῳ [67]) πράξεων ἢ τύχης περιφανεῖς ἦσαν τὸ ἐξ ἀρχῆς, ἀλλ' ἀστειότητι φύσεως καὶ ἤθους καὶ γνώμης εὐγενείᾳ.

ριδ'. Ὅπως κατὰ καιρὸν Ἐπαμεινώνδας καὶ Πελοπίδας ἀρίστω ἄνδρε καὶ στρατηγὼ κατὰ ταυτὸν, γεγόνατον [68]) τῇ πατρίδι.

ριε'. Ἔλεγχος εἰς τὸ ἀνίδρυτον καὶ εὐμετάβλητον τῶν ἀνθρωπίνων, καὶ ὅτι, εἰ δή [69]) τι ἄλλο, καὶ τὰ κατὰ τὸν Ἀλκιβιάδου βίοτον τοῦτο παρίστησιν, ὡσαύ ως καὶ κατὰ τὸν Πολιορκητὴν [70]) ἐπικληθέντα Δημήτριον, ἔτι δὲ καὶ τὸν Εὐμενῆ.

ρις'. Εἰς τὸ ἄστατον τῆς τύχης ἐξ ὑποδείγματος.

ριζ'. Θεωρία ἐξ ὑποδειγμάτων, ὅπως τινὲς ἀπὸ μεγάλων πράξεων, καὶ μεγάλης τύχης ἀλλάττουσιν εἰς ἀπραξίαν, ἢ τὸ πράττειν ταπεινῶς.

ριη'. Ὅτι τῶν ἐπιμελῶς κτηθέντων [71]) ἡ ἀποβολὴ οὐκ ἀταλαίπωρος [72]) οὐδ' ἐῤῥαστωνευμένη.

ριθ'. Ὅτι οὐκ ἔστιν ἐν ἀνθρώποις [73]) ἐξ ἀρχῆς εἰς τέλος τοῦ βίου ἄκρατος ἀνιαροῦ τινος εὐδαιμονία, καὶ ὅτι δεῖ τὰς τῶν μεγάλων εὐτυχιῶν ὑποβλέπεσθαι μεταβολάς.

---

67) ὄγκῳ, C. Aug. non apte ὄγκον.

68) κατὰ ταυτὸν γεγόνατον, C. Aug. κατ' αὐτὸν, et Fabric. γεγόνασιν pro γεγόνατον.

69) εἰ δή, C. Aug. ἠδὺ, inepte, deinde cum C. Mon. modo καὶ pro καὶ τὰ, et βίον pro βίοτον.

70) Πολιορκητ. Mon. C. Πολιορκιτὴν, Δημίτριον pro Δημήτριον. C. Aug. Εὐμενῆν pro Εὐμενῆ.

71) κτηθέντων, C. Aug. κτισθέντων.

72) ἡ ἀποβολὴ οὐκ ἀταλαίπ. C. Mon. ἀποβολὴ ταλαίπωρος.

73) ἐν ἀνθρ. C. Aug. ignorat ἐν.

ρκ'. Ὅπως πολλοὶ τῶν ἀνθρώπων ἐνεπιστήμονες [74]) εἰσὶν ὡς ἀληθῶς τῆς τῶν τοῦ βίου χρήσεως ἐξ ὑποδειγμάτων.

---

74) ἐνεπιστήμονες, C. Aug. ἀνεπιστ. vt Fabricius quoque coniectando emendauit.

Ad calcem C. Mon. addit: Τέλος τοῦ παρόντος πίνακος.

Τοῦ σοφωτάτου [1] μεγάλου λογοθέτου Θεοδώρου τοῦ Μετοχίτου προοίμιον, ἐν ᾧ καὶ ὅτι οὐκ ἔστι νῦν λέγειν.

ΚΕΦ. α.

Ἀλλ' ἡμῖν ἄρα τοῖς ὀψὲ τῶν χρόνων νῦν εἶναι πειρωμένοις τοῦ βίου οὐκ ἔστιν ὁπηοῦν τῷ λόγῳ χρῆσθαι, εἴ τις ἀμέλει καὶ ὁτιοῦν χρῆσθαι δύναιτο, καὶ τὸν μὲν Ῥωμαῖον [2] Κάτωνα καὶ λόγῳ [3] καὶ τῇ τοῦ βίου αἱρέσει δόκιμον ἄνδρα χρόνοις ὀψὲ τῶν Ῥωμαϊκῶν πραγμάτων τῇ ζωῇ καὶ τῇ πολιτείᾳ ξυντετυχηκότα, καὶ χρώμενον εἰς τὸ ἀκριβέστερον, καὶ ὅπως ἐδόκει καθάπαξ εἶναι οἱ βέλτιστον ἐννοσοῦσιν ἤδη τοῖς πράγμασιν. Ἔφησέ τις οὐκ ἀκαίρως, ἐμοὶ δοκεῖν, ὥσπερ ἐν τοῖς Πλάτωνος νόμοις, καὶ τῇ πολιτείᾳ βιοῦντα, ἀλλ' οὐκ ἐν τῇ τῶν Ῥωμύλου καὶ τῆς Ῥώμης πολιτευμάτων ὑποστάθμῃ πολιτευόμενον ἐκπεσεῖν τοῖς ἐν ἐκείνοις τοῖς χρόνοις νομίμου πρώτης ἡγεμονίας τῆς ὑπατικῆς, μάλιστ' [4] ἄξιον ὄντα τυχεῖν, εἰ δή τις

1) *Τοῦ σοφ.* Codd. Aug. et Mon. cum Fabricio hic, vt antea, *καὶ λογιωτάτου* et post *λογοθέτου* addunt *κυρίου*.

2) *Ῥωμαῖον*, C. Mon. *Ῥωμαίων*.

3) *λόγῳ*, C. Aug. *λώγῳ*: lapsu librarii.

4) *μάλιστ'*, C. Aug. hic et al. locc. *μάλλιστ'*. Sic et postea *ἀμέλλει* pro *ἀμέλει*.

αὶ ἄλλος τῶν τηνικαῦτ' ὄντων ἐν τοῖς πράγμασιν· ἡμεῖς δὲ οἵγε νῦν τῷ βίῳ καὶ τῇ ζωῇ χρώμεθα ὡς ἀληθῶς ἐν ὑποστάθμῃ τοῦ παντὸς βίου καὶ τῶν ἀνθρωπίνων πραγμάτων, τὰ μὲν ἄλλα, πῶς ἂν ἔχοιμεν βιοτεύειν, ἐξετάζειν ἄλλοις παρίημι, καὶ ἔμοιγ' ἐνταῦθα νῦν ἀθεώρητα ἔστω, πλήν γε ὅτι ἀρετῆς ἀδυναμίαν καὶ ἀχρηστίαν οὐκ ἔστιν, οὐδὲ νῦν ἀμέλει, οὐδὲ καθάπαξ, οὐδ' ἐν πᾶσι καιροῖς καὶ πᾶσι πράγμασι καταψηφίσασθαι, οὐδ' ἐξοριστέον ὅλως ὁτὲ [5]) ταύτην τοῦ βίου δι' ἀκαιρίαν, ἀλλ' ἄσυλον διὰ πάντων καιρῶν καὶ πραγμάτων τὸ δυνατὸν αὐτῇ καὶ ἀπρόσκοπον χρῆσθαι δέδωκεν ἡ φύσις ἀνθρώποις. Ὁ δέ γε νῦν ἦν τῷ λόγῳ σκοπὸς, ὅτι τοῖς [6]) ὁτιοῦν λέγειν νῦν δυναμένοις οὐκ ἔστι τῷ λέγειν σχεδὸν νῦν χρῆσθαι, ἢ περὶ τίνος ἂν καὶ χρήσαιντο [7]). Πάντα γὰρ, ὡς [8]) εἰπεῖν, φθάσαντ' ἄλλοις [9]) εἴληπται, καὶ οὐδὲν ὅ τι λείπεται μεθύστερον νῦν ἡμῖν μοιρίδιον εἰς χρῆσιν τῇ φωνῇ, οὔθ' ὅσαγε περὶ τῶν θείων, καὶ οἷς μάλιστα κατ' ὀφειλὴν ἀξιώσειέ τις ἂν προσέχειν, οὔθ' ὅσαγε τῆς περὶ τῶν ἄλλων ἔξωθεν σοφίας. Καὶ ἱερὰ γὰρ ἅπαντα γράμματα καὶ ὅσα νενομισμένα θεσπέσια δέδοται παλαιά τε καὶ νέα. Πλεῖστοι [10]) δὴ καὶ

---

5) ὁτὲ, C. Mon. ὅτε.

6) ὅτι τοῖς, C. Aug. ὅτι τοὺς, servato tamen in seq. δυναμένοις.

7) χρήσαιντο, C. Aug. χρήσαντο.

8) ὡς, omittit C. Mon. Nonnunquam omitti ὡς, docuit Zeune ad Viger. p. 206. edit. Lips. 1813. cf. Ind. ad ὡς.

9) ἄλλοις, C. Mon. ἀλλήλοις.

10) πλεῖστοι, C. Aug. πλείστοι.

θαυμαστοὶ πάνυ τοι καὶ βίον καὶ λόγον ἄνδρες ἐκεῖνοι καὶ διὰ πλείστων πόνων ἐν λόγοις ἠρευνήσαντο [11]), καὶ τῇ παρασκευῇ τῆς σοφίας εἰς μεγίστην ὄνησιν ἀνθρώποις εὖ μάλ' ἐχρήσαντο [12]) πρὸς ταῦτα τά τε [13]) καὶ τὰς αὐτῶν κατὰ μέρος θεωρίας, καὶ ἀφηγήσεις, καὶ πρὸς ἄλλας πάσας τῶν τοῦ καλοῦ νόμων καὶ τῆς ἀρετῆς εὑρέσεις τε καὶ ὑποτυπώσεις. Ἀλλὰ καὶ ὅσα περὶ τὴν τῶν ὄντων θεωρίαν τῇ ἀνθρωπίνῃ καταvενόηται [14]) σοφίᾳ, πλεῖστα δὴ καὶ διάφορα περὶ τὴν [15]) διαφόρων τῶν ὑποκειμένων εἰς σκέψιν, καὶ ὅσα περὶ τὴν τῆς φωνῆς ἄσκησιν ἅπαντα φθάσαντα τοῖς πρὸ ἡμῶν εἴργασται [16]), καὶ ὥςπερ ἐν ἐράνου [17]) συντελείᾳ παμπλήρη παρ' ἄλλων ἄλλα. Πάντα δ' οὖν παρ' ἑκάστων εἰς τὸν βίον ἐνεσκεύασται καὶ συντέτακται περί τε τὰς τῶν παλαιῶν ἐκείνων ἀρχηγῶν ἐκδόσεις φιλοπονώτερον ἀφηγουμένων, καὶ φιλανθρώπως τοῖς μετ' αὐτοὺς, καὶ οἴκοθεν ἄττα δὴ συνειςφερόντων ἐπὶ τοῖς πάλαι, καὶ οὐδὲν ὅτι σχεδὸν λέ-

---

11) ἠρευνήσ. C. Mon. ἡρηνεύσαντο, et Aug. τῇ παρασκευὴ pro τῇ παρασκευῇ.

12) μάλ' ἐχρήσ. C. Aug. μάλ' χρήσαντο, sine augmento.

13) ταῦτα τά τε, C. Mon. ταῦτά τε.

14) καταvενόηται, Codd. Aug. et Mon. κατένοηται.

15) τὴν, omiss. ab Aug. et Mon. Codd. In Cod. Ciz. notatum est τὴν lineola quasi suspectum. Fortasse repetendum vel excidit voc. θεωρία, quod referatur ad τὴν, vti περὶ requirit, vel legendum ἐπίσκεψιν pro εἰς σκέψιν. Codd. tamen Paris. Reg. et Germ. quoque τὴν non agnoscunt.

16) εἴργασται, C. Mon. εἴργασθαι.

17) ἐν ἐράνου, omiss. in C. Mon. ἐν.

λειπταί γε ἡμῖν, οὐδὲ χώρα τὶς ὅλως εἰς κοινωφελῆ τινὰ φορὰν ἴσως, ὅςτις ἂν οἷος τ' εἴη, οὔτε καιρὸς εἰς ἀναμέσητον ὅμως ἐπίδειξιν τινὰ καὶ προκοπῆς ἐντεῦθεν ἅμιλλαν, ἀλλ' ἡ μόνον πᾶσα ἀνάγκη γλώττης εὐπραξία[18]) καὶ κάθειρξις διὰ πάντων. Ὅπου γὰρ ἄν τις καὶ νικῆσαι τὸν νοῦν νέον οὐκ ἂν ἐρεῖν ἔχοι, ἀλλ' ὃ πρότερον ἤδη φθάσαν ἤνυσταί τινὶ[19]), καὶ τοῖς ἀκροωμένοις προείληπται, καὶ λοιπὸν ἀηδίᾳ ταῦτα φέρειν ἢ πρὸς φιλοτιμίαν ἴσως, ἢ πρός γέ τι[20]) χρήσιμον ὥςτε δόξειεν ἄν, καὶ περὶ ὧν ἄλλοι πρότερον ἤδη καὶ ἴσως γε καὶ κομιδῇ βέλτιον, σπουδάζειν αὐτόν τινα[21]) νῦν γε εἶναι καὶ κατεπείγεσθαι, οἷς οὐ καθάπαξ ἄρα μὴ δεῖ γέλωτ' ὄφλοντα, οὐδ' ἔστιν ἡτιςοῦν χρεία, καὶ τ' ἀμέλει[22]) περί τε τῶν θειοτέρων μάλιστ' αὐτῶν[23]), ἤ προείρηται, καὶ ὅσα γε κατὰ τὴν ἄλλην τῆς ἀνθρωπίνης σοφίας ἐπιμέλειαν καὶ θεωρίαν, ὡς ἄρα τὶς ἂν οἷός τ' εἴη τὰ οἴκοι κατ' αὐτὸν, καὶ τὴν οὐσίαν ἐπιδείκνυσθαι. Οὕτω δυςτυχοῦμεν οἱ περὶ λόγους νῦν πόῤῥω πάνυ τοι τοῦ καιροῦ τὰ τῆς ἀφωνίας, ὥστ' ἀνάγκην ταύτην ἔχομεν οὐ σπάρταν

---

18) εὐπραξία, Cdd. Aug. et Mon. ἀπραξία, vt infra.

19) τινὶ, C. Aug. τινά.

20) τι χρήσ. C. Aug. τίς χρήσ. male.

21) αὐτόν τινα, sic, vti etiam αὐτοί τινων, μή τισιν, μή τινων, ὥς τινων, τῶν δέ τινων, καί τινα, καί τινων, librarius noster vbique scripsit, quam rationem scribendi iam respuunt Grammatici. cf. Herman. de emend. rat. gr. grammat. p. 71 sqq. Cod. Mon. habet αὐτὸν τινά.

22) τ' ἀμέλει, Cdd. Aug. et Mon. τοῦτ' ἀμέλει.

23) μάλιστ' αὐτῶν, C. Aug. μάλιστα αὐτῶν.

κοσμεῖν κατὰ τὴν παροιμίαν, ἂν ἐλάχομεν, ἀλλὰ τύχην μάλιστα φέρειν, καὶ τοῦτο κατὰ τὸν λόγον [24]) *ἡμεῖς γε νῦν, ᾗ ξυνελάχομεν, ἀνιαρῶς μὲν, ἴσως κομιδῇ, φέρειν* [25]) *δ' οὖν ὅμως. Ἔγωγέ τοι μάλιστα περὶ τούτων συνεχῶς ξυννοούμενος, ἀχθόμενος μὲν, ἢ πῶς* [26]) *γὰρ οὐκ ἔμελλον, πάντων δ' ἀποτρέπομαι σὺν ἀνίᾳ, καὶ ταχὺς αὐτίκα, πρὸς ἃ τίς ἄν με νικήσειε λογισμὸς κατ' ἔφεσιν ἥντινα δὴ, καὶ ἴσως οὐκ εὐπεριφρόνητον, οὐδ' ἔξω* [27]) *παντάπασι λόγου, ἢ τί* [28]) *γὰρ ἂν δρῴην. Οὐ γὰρ ἔστιν ὅςτις δαιτὸς δεύεται* [29]) *πολλῶν ἐόντων καὶ παντοίων, καὶ μάλιστ' ἐσκευασμένων πάντων εἰς ἑτοίμην χρῆσιν. Καὶ ἴσως ἂν εἴη τὸ καθ' ἡμᾶς* [30]) *ὅτι ποτ' ἄρα πρὸς πλήθουσαν τράπεζαν πάσης εὐγενείας καὶ πάντων ἀγαθῶν τρυφᾶν κατὰ τὴν παροιμίαν· αὖθις Ἀβυδηνὸν ἐπιφόρημα, καὶ ναυτιᾶν ἀφορμή. Ἀτὰρ νῦν γε λογισμὸς οὗτος ἐπῆλθεν ἐμοὶ καὶ τάχα μὲν ἔξω παντὸς λόγου, τάχα δ' οὔ ὑπομνηματισμούς δή τινας ἐπιτετμημένως ἐκδοῦναι καὶ σημειώσεις* [31]) *κατὰ μέρη, ὅπως ἂν ἐπίῃ περὶ ὧν*

---

24) *κατὰ τὸν λόγον*, C. Aug. *καταλόγον*, et mox *ἀνιαρῶς* pro *ἀνιαρῶς*.

25) *φέρειν*, C. Aug. *φέρει*.

26) *ἢ πῶς*, C. Aug. *ἤ πως*.

27) *οὐδ' ἔξω*, C. Aug. *οὐκ ἔξω*.

28) *ἢ τί*, C. Mon. *ἢ τί καί*.

29) *δαιτὸς δεύεται.* cf. Hom. Il. 24, 69. et 1, 468. vid. ibi Heyne. Omisit Theodor. *ἐΐσης*.

30) *καθ' ἡμᾶς*, in C. Aug. vno tenore scriptum.

31) *σημειώσεις*, C. Aug. *σημειώσης*.

ἐνίοτε βιοτεύων τα παρόντα ξυννενόηκα τινῶν, καὶ ξυνελογισάμην[32]) ἐπ' ἐμαυτοῦ, καὶ ὧν ἴσως ἂν οὐκ ὀλίγοι δοκῶ μαρτύραιντό μοι συμφωνοῦντες αὐτίκ' ἀκούοντες καὶ συντιθέμενοι τοῖς γνωματεύμασιν, ὡς ἄρα καὶ σφίσιν αὐτοῖς ταῦθ' οἱ λογισμοὶ στρέφοντες ἐθησαύριζον οἴκοι, καὶ ἴσως γε καὶ ὃ νῦν εἴρηται περὶ τῆς ἀναγκαίας ἀφωνίας ἡμῖν τοῖς γε νῦν βιοῦσι, καὶ τῆς ἐν τῷ λέγειν ὅτι ποτ' ἄρα ἀπραξίας καὶ δυςχερείας, ἢ δυςτυχίας ἓν ἔσται[33]) κατὰ τὸν σκοπὸν, καὶ ἅμα μὲν πρῶτον, ἅμα δὲ καὶ προοίμιον τῶν ἑξῆς.

ΚΕΦ. β'.

Περὶ μνήμης, καὶ ὅτι ἀναγκαῖον.

Κράτιστον ὡς ἀληθῶς διὰ πάντων πραγμάτων, ὅσα τις ἂν κατίδοι καὶ λογίσαιτο, μνήμονα μάλιστ' εἶναι, ὧν ξυνεώρακέ τις, καὶ οἷς ἑκάστοτ' ἐν λόγοις ἢ πᾶσι πράγμασι ξυνέλαχε, καὶ οὐκ ἄν τις ἄλλως εἴποι τῶν νοῦν ἐχόντων, σοφίας τε γὰρ πάσης ἀρχὴ καὶ ἐπιστήμης, οὐ φύσις μᾶλλον πρὸς εὕρεσιν ἑτοίμη ἡ μνήμη τὴν εὕρεσιν ἑδράζουσα καὶ ἱστῶσα καὶ συγκατασκευάζουσα. Τέχνης γὰρ πάσης καὶ ἐπιτηδεύσεως ἐν τῷ βίῳ, καὶ σοφίας αὐτῆς μάλιστα χρῆσις οὐκ ἂν ὅλως εἴη μνήμης ἄνευ, καὶ τὸ μνήμονα εἶναι βέλτιστον ἐν πᾶσιν[1]), οἷς ἄν τις ἐγχειροίη, καὶ οἷς ἂν ὅλως συνείη, καὶ ὅσῳ γε πλεῖον ἂν εἴη τοιοῦτον εἶναι, τοσοῦτο βέλτιον ἔτι καὶ πάνυ τοι βέλτιστον. Οὔκουν γέ ἐστι

---

32) ξυνελογισάμην, C. Aug. ξυννενελογισάμην.
33) ἓν ἔσται, C. Mon. ἐνέσται.
1) ἐν πᾶσιν, omittit C. Mon.

παιδείας ἁπάσης καὶ σοφίας κτῆσιν ὁτῳοῦν [2]) ἐγγενέσθαι, καὶ τῶν κομιδῇ τὴν φύσιν εὐγενῶν καὶ ἀστείων, εἰ μὴ ἄρα οἱ τὰ τῆς μνήμης ἔῤῥωται, ᾗ θησαυρίζεται καὶ μένει [3]) καθάπαξ ἄσυλα πρὸς χρῆσιν, ὅσα λαβών τις ἢ εὑρὼν φθάσας ἀνύσαι. Εἰ δὲ μὴ παραῤῥυήσεται τοῖς ἐπαγομένοις [4]), ὥςπερ ἔχονθ᾽ ὁρῶμεν ἀμέλει τῶν ποταμῶν τὰ ῥεύματα, ὧν οὐκ ἔστι ποτὲ τῶν αὐτῶν λαβέσθαι διὰ τὸ κατὰ φύσιν ἀνίδρυτον. Ὀνησιμώτατον οὖν ὄντως, μᾶλλον δὲ ἀνυσιμώτατον καὶ ἀναγκαιότατον, εἴπερ ἄλλό τι, πρὸς κατόρθωσιν παντὸς σπουδάσματος καὶ πάσης προκοπῆς τὸ πρὸς μνήμην εὖ πεφυκέναι καὶ διαρκῶς πάνυ τοι, καὶ ἀδύνατον ὁτουοῦν [5]) τυχεῖν, ἣν μὴ [6]) τοῦτο προςῇ. Ἢ πῶς γὰρ οἷόν τ᾽ ἂν εἴη ἐν τῇ τῆς παιδείας ἕξει κάλλιστ᾽ ἔχειν, ὅτε μὴ συνέχεται μνήμῃ τὰ ἐν τῇ ψυχῇ τυπούμενα δι᾽ εὑρέσεως καὶ περινοίας οἴκοθεν, ἢ διδασκαλικῆς ἀμέλει μεταδόσεως καὶ ἡγεμονίας ἐγχαραττόμενα, καὶ τὸν νοῦν τεχνιτεύοντα καὶ πλάττοντα, ἢ κατὰ φιλόσοφον διάθεσιν, ἢ κατ᾽ ἄσκησιν τοῦ λέγειν καὶ τῆς γλώττης ἐπιμέλειαν, ἢ κατὰ τὴν τῆς ἑρμηνείας γραμματικὴν νομοθεσίαν καὶ ἀσφάλειαν; Ἢ πῶς ἐστιν ἐντεῦθεν, μᾶλλον δ᾽ ἐπ᾽ αὐτοῖς μελετᾶν ὁπηοῦν, ἢ πῶς ἐστιν

2) ὁτῳοῦν, C. Mon. ὡτῳοῦν.

3) μένει, C. Mon. μείνει.

4) ἐπαγ. C. Aug. ἀπαγομένοις.

5) ὁτουοῦν, C. Aug. τοῦ.

6) ἣν μή, sic legunt omnes. Legerim ἢν μή, vt etiam postea: ἢν μὴ συνέχοιντο, vbi iterum ἣν.

εὐτοκεῖν, καὶ τὴν ἕξιν ἐπὶ τὸ γόνιμον κινεῖσθαι, εἴ τῇ τὰ τῆς 7) μνήμης εὖ μάλ' ἐπαρκεῖ καὶ πηγάζει τὰς ἐκδόσεις; Ἀλλὰ μὴν αἱ περὶ τῶν παλαιῶν ἱστορίαι κομιδῇ πολυωφελέστατόν τι δοκοῦσιν εἶναι χρῆμα τοῖς εὖ πεπειραμένοις καὶ ξυνορῶσιν ἐπί τε τῶν λόγων καὶ τῶν πρακτέων αὐτῶν ἐξ ὑποδειγμάτων χρῆσθαι τοῖς ἐμπίπτουσι, καὶ οἷς ἄν τις ξυλλάχοι βιοτεύων 8). Πῶς δ' ἄν τις ἔχοι κατὰ καιρὸν ἐντεῦθεν ἀνύτειν, ἃ μὴ πρότερον τεθησαύρισται τοῖς τοῦ νοῦ ταμείοις; καὶ ῥᾷον ἔξεστι λοιπὸν ἐκεῖθεν εὐπορεῖν προχειριζομένῳ διὰ τῆς μνήμης κατὰ χρείαν ἑκάστοτε πάντως ἐν λόγοις τὲ καὶ πράγμασι. Καὶ ὁ μὲν 9) μῦθος φησὶ τὰ τοῦ μηχανοποιοῦ Δαιδάλου δημιουργήματα βελτίω τοῖς ὠνουμένοις εἶναι τὰ δεδεμένα τῶν μὴ δεδεμένων, ἃ γὰρ ἄν τις ἄδετα πρίαιτο, οἴχεσθαι φεύγοντ' αὐτόθεν αὐτίκα, καὶ μάτην ἦν ὁ πόνος καὶ τὸ τίμημα καταβαλλόμενον 10)· μᾶλλον δὲ καὶ 11) ζημιοῦσθαι περιῆν 12) τῷ πριαμένῳ. Ἀλλ' ἡμῖν ἄρα τοῖς περὶ λόγους ἔχουσι καὶ δημιουργουμένοις ὑπὸ σοφίας οὐδὲν πλέον ἔσται οὐδ' ἡτιςοῦν ὄνησις εἰς τὴν πρόθεσιν, ἢν μὴ 13) συνέχοιντο 14)

---

7) τὰ τῆς, C. Mon. delet τά.

8) βιοτεύων, C. Aug. βιωτεύων.

9) ὁ μὲν, Cdd. Aug. et Mon. male οἱ.

10) καταβαλλ. C. Mon. καταβαλλόμενος.

11) καὶ abest a Cod. Mon.

12) περιῆν, Cdd. Aug. et Mon. περὶ ἦν.

13) ἢν μὴ, Cdd. Aug. et Mon. ἦν μή.

14) συνεχ. C. Aug. συνέχειντο.

δεσμῷ μνήμης αἱ τῶν λογισμῶν τυπώσεις, καὶ τὰ χαραττόμενα [15]) ταῖς ψυχαῖς διάφορα τῆς σοφίας κόμματα· ἀλλ' αὐτίκα ῥᾷστ' εὐεπιχείρηται καὶ ἀνίδρυτ' ἔχῃ καὶ λύκται [16]), καὶ ὑποχωρῇ παντὶ τῷ προςπίπτοντι. Ὅθεν δὴ καὶ μέγιστον ἐκ θεοῦ δῶρον ὄντως ἐνταῦθα τὸ μνήμης μάλιστ' εὖ ἔχειν, ὡς ἂν δὴ συνέχειν οὐκ εὐρίπιστα καὶ διάλυτα ῥᾷστα τὰ κτώμενα. Καὶ πολλοῦ γ' οἶμαι, μᾶλλον δὲ τοῦ παντὸς ἀξιώσειεν ἂν καὶ πολλοῦ πρίαιτ' ἄν τις, εἴπερ οἷόν τ' ἦν, πεφυκέναι πρὸς μνήμην εὐγενῶς, καὶ οὐκ ἄλλως ἐστὶν, ἢ οὕτω σοφίας ὅλως τυχεῖν, καὶ τὰ μὲν περὶ τοὺς λόγους οὕτω. Τί δ' ἄλλο γε ἀνδρὶ βασιλεῖ, ἢ ὅλως πᾶσι τοῖς ἐν ἀρχαῖς αἰστισιν ἄρα [17]), καὶ ἡγεμονίαις μάλιστ' ἐπίχρειον καὶ βιωφελέστατον, ὡς μνήμη; καὶ τὸ παντελείως ἐνταῦθα πεφυκέναι οὐ μόνον περὶ ἃ τῶν πρότερον αὐτοῦ, καὶ ὡς οἷόν τε πόῤῥω τῶν ἄνω χρόνων καὶ ἀνδρῶν καὶ πραγμάτων ἀκούειν ἔχει [18]) τὶς, ἀλλὰ καὶ περὶ αὐτὰ πάνθ' ἃ νῦν ἑκάστοτε οἱ ξυμπίπτοι, καὶ ὧν ἀκούειν ἔχοι, καὶ ἃ καθορᾷν, καὶ ἃ ξυλλογίζεσθαι νῦν τε εἶναι καὶ πρότερον, καὶ ἴσως μὲν ἐγγὺς, ἴσως δὲ πόῤῥω, ἐξ ὧν ἐστιν ἀεὶ τὰ βέλτιστα δρᾷν, μήδ' ἀπατᾶσθαι, μήδ' ὀλιγωρεῖσθαι ῥᾷστα, μήδ' ἀτευκτεῖν τῶν χρησίμων τε καὶ καιρίων· ἀλλ'

---

15) χαρεττ. C. Mon. χαραττόμενα.

16) καὶ λύκται, sic legunt Codd. fere omnes; Paris. Reg. solus: λύηται.

17) ἄρα, Cod. Mon. ἆρα.

18) ἔχει, C. Mon. ἔχειν.

ὥστε τῶν μὲν εὖ μάλ' ἅπτεσθαι, τὰ δὲ φεύγειν, καὶ τὰ μὲν ἐλέγχειν εἰς προὖπτον, τὰ δὲ διοικεῖν ξὺν λόγῳ πάντως ἐν ἠρεμίᾳ καὶ ἀπραξίᾳ, ὥστε δόξειεν ἂν ἑνί τε καὶ ὅλως ἀεὶ πρὸς τὸ βέλτιον τοῖς τῆς ἀρχῆς πράγμασι. Ταῦτ' ἄρα καὶ Πλάτων ἐκεῖνος καὶ νόμον εἰς ἡρμοσμένον βίοτον ἀνθρώποις, καὶ πολιτείας ξυγγράφων καὶ προνοῶν φύσει τε πανσόφῳ, καὶ μνήμῃ παλαιῶν, καὶ ὧν ξυνέλαχε πείρᾳ τὰ βέλτιστα πρὸς τοῖς ἄλλοις καὶ μνημονικὸν εὖ μάλ' ὡς οἷόν τε τὸν βασιλέα βούλεται, καὶ τὸν τῆς αὐτοῦ πόλεως ἄριστον ἡγεμόνα, ὡς εἰ μὴ καὶ τοῦτ' ἄρα προσείη γε αὐτῷ μετὰ τῶν ἄλλων, ἃ νομίζει περὶ αὐτοῦ, καὶ οἷς τὰς ἡγεμονικὰς ἀρχαιρεσίας ψηφίζεται, πᾶσα ἀνάγκη φαύλως αὐτῷ καὶ τῇ ἀρχῇ [19]) τὰ πράγματα ἐσόμενα. Οὔκουν γέ ἐστιν ἄνευ τούτου μήτ' αὐτὸν τυγχάνειν, οὗ προτίθεται, καὶ σκοπός ἐστι καθόλου τῇ ἀρχῇ, μήτε τοὺς ἀρχομένους, ὧν ἄρα δεῖ, καὶ ὡς ἂν σφίσιν εἴη βέλτιστα. Οὕτω δὴ πάντων μάλιστα χρειωδέστατον κομιδῇ μεμνῆσθαι, ὧν τε φθάσας πεπείραται [20]) πρὸς τὰς ἑξῆς ἐν παραπλησίοις χρήσεις, ὧν τε φθάσας ἤκουσεν, ὧν τ' εἶδεν· οἷς τε ξυνέλαχε καθάπαξ λόγοις περὶ παλαιῶν ἱστορίας, πᾶσιν οἶμαι πράγμασιν, εὖ τε ἠνυμένοις καὶ μή, καὶ διὰ τῆς αὐτῶν μνήμης ἐν πάσῃ βασιλικῇ καὶ ἀρχικῇ [21]) διοικήσει κατά τε μάχας καὶ εἰρηνικὰ συνθήματα πρός τε τοὺς ἐκτὸς καὶ τὸ

19) καὶ τῇ, omiss. in C. Monac.

20) πεπείρ. C. Mon. πεπείραται, et mox non habet πράξεις.

21) καὶ ἀρχικῇ, omiss. in C. Mon.

ὑπὸ χεῖρα μάλιστα πράττειν εὖ καὶ κατορθοῦν, καὶ μὴ πλάνῃ φέρεσθαι, καὶ προςκόπτειν ἐν πλείστοις ὑπ᾽ ἀμαθίας εἴτουν ἀμνηστίας, ὧν ἐχρῆν.

ΚΕΦ. γ'.

Περὶ τῆς ἀσαφείας τῶν Ἀριστοτέλους συνταγμάτων [1]).

Λογισμὸς οὗτος ἔπεισί μοι καὶ πείθω γ᾽ ἐμαυτὸν [2]) εὖ μάλα, κἂν εἰ μή τισιν ἄλλοις ὅμως ξυνδοκῇ, ἴσως μὲν ἄμεινον ἂν ξυνορῶσιν, ἢ ἐγὼ, ἴσως δ᾽ οὔ. Πείθω δ᾽ οὖν οὕτως ἐμαυτὸν, ὡς ἄρα τὸ τῆς ἀσαφείας Ἀριστοτέλει δι᾽ ἐπιμελείας περὶ τὰς οἰκείας συντάξεις ἐπίτηδες ἐστὶ, καὶ ὡς ἂν μὲν σεμνύνοιτο τῷ μὴ ῥᾳδίῳ τῆς καταλήψεως τὰ λεγόμενα, καὶ περὶ πλείονος εἴη, καὶ μὴ πᾶσιν ἐκκέοιτο τὰ πολλοῦ τιμώμενα [3]), ἢ μάλισθ᾽ ἃ πολλοῦ τιμᾶσθαι σπουδάζει, καὶ πολλῶν πόνων ἀνὴρ ἀξιοῖ κτήσασθαι. Καὶ προςίεμαι δὴ, καὶ οὐδ᾽ ἔγωγ᾽ ἀπωθοῦμαι τὸ περιφερόμενον εἰς πολλοὺς τοῦ ἀνδρὸς ἐπιστόλιον περὶ τούτου πρὸς Ἀλέξανδρον τον βασιλέα ἐπιτετιμηκότα περὶ τούτων αὐτῷ· ὡς ἄρα τὰ σπουδαῖά οἱ [4]) δέδοται μὲν, ἀλλ᾽ οὐκ ἐκδίδοταί. Καὶ συχνοὶ γὰρ περὶ τούτου μνήμην πεποίηνται, καὶ μάλισθ᾽ ὁ πολυμαθέστατος Πλούταρχος. Οὐ μὴν ἀλλ᾽ ἔμοιγε μάλιστα δοκεῖ σκοπὸν ἔτ᾽ ἐνταῦθα τῆς ἀσαφείας εἶναι τῷ ἀνδρὶ κομιδῇ, πῶς

---

1) τῶν Ἀριστ. συνταγμ. C. Aug. τῶν Ἀριστοτελικῶν συγγραμμάτων, verum in Indice omnium Capp. supra praeposito, vti Ciz. et infra etiam: τὰ περὶ ζώων συντάγματα.

2) γ᾽ ἐμαυτ. C. Aug. οὐ pro γέ.

3) τιμώμενα, Cdd. Aug. et Mon. τιμωμένα.

4) οἱ, non agnoscit C. Mon. cf. Plut. Alex. c. 7.

ἂν εἴποιμι, ξὺν δόλῳ καὶ μηχανῇ κλέπτειν, καθ' ὅσον οἷόν τέ ἐστι, τοὺς ἐντυγχάνοντας τοῖς αὐτοῦ, καὶ μὴ δῆλον εὖ μάλα ποιεῖσθαι, περὶ οὗ πρόκειταί οἱ ἑκάστοτε. Τί ποτ' ἄρα φρονεῖ, καὶ τί ποτ'[5]) ἀποφαίνεται τἀληθὲς περὶ αὐτοῦ; καὶ ὃ τοὺς ἄλλους ἀξιοῖ πείθειν, ·καὶ δῆλόν γε, ὅτι τοῦτό οἱ μάλιστα σπουδάζεται περὶ τὰ τῶν προβλημάτων ἀξιολογώτερα, καὶ ὧν πολλή τις ἔφεσις, καὶ πολλή τις ἀνάγκη τυχεῖν καὶ ξυνιδεῖν, ὅπως πότ' ἄρ' ἔχοι, καὶ ὧν πολλή τις ἐξέτασις τοῖς ἐλογίμοις[6]). καὶ ἄλλως ἄλλοι[7]) περὶ αὐτῶν καὶ τἀναντί' ἔδοξαν, ὥστε καὶ δόξειεν ἂν ἐν[8]) τοῖς τοιούτοις αὐτοῦ συντάγμασιν ἐπαμφοτερίζειν ὁ ἀνὴρ, καὶ διπλᾶ[9]) σχεδὸν κρούειν κατὰ τὴν παροιμίαν, καὶ μὴ δῆλος εἶναι πάνυ τοι, μεθ' ὧν ἐστι καὶ ὁμοφρονεῖ, τῶν πλεῖστα καὶ τἀναντία λεγόντων ἀλλήλοις, ἀλλὰ νῦν μὲν ἀκολουθῶν τοῖς λεγομένοις, τοῖςδε δόξαις ἂν αὐτὸν συμφωνεῖν, νῦν δὲ τοῖςδε τοῖς ἄλλως λέγουσι, καὶ ἴσως γε τἀναντιώτατα[10]), νῦν δ' ἄλλο τι καινότερον αὐτὸν ἐκτίθεσθαι φρόνημα περὶ τοῦ προςτεθέντος εἰς θεωρίαν, μηδὲν ἄλλο λέγοντα παρὰ πρότερον εἴρηται τοῖς περὶ αὐτοῦ ζητοῦσι καὶ μαχομένοις[11]), ὡς ἂν δοκοίη καὶ ἀμφοτέρων

---

5) τί ποτ'. C. Mon. τί ποτε.

6) ἐλογ. sic scribunt Cdd. omnes; fors. ἐλλογίμοις.

7) ἄλλοι, C. Mon. ἄλλοις.

8) ἐν, praetermiss. in C. Mon.

9) διπλᾶ, C. Mon. διπλά.

10) νῦν δὲ — τἀναντιώτατα, Cdd. Aug. et Mon. non exhibent.

11) μαχομένοις, C. Aug. μαχουμένοις.

πλέον εἶναί τι καὶ περιγενέσθαι, καὶ ἅμα [ἀμφοτέρων πλέον εἶναί τι καὶ περιγίνεσθαι, καὶ][12] ἅμα ἀμφοτέροις αὖθις χαρίζεσθαι καὶ ἀφορμὰς διδόναι πρὸς ἑαυτοὺς ἕλκειν αὐτὸν, καὶ συνηγορεῖν εὖ μάλ' ἡδέως αὐτῷ, ἢ καὶ προήγορον μᾶλλον ἔχειν[13] τῆς αὐτῶν αἱρέσεως, καὶ φεύγειν ἄρα τὰς ἀπαμφοτέρων εὐθύνας δι' ἔρωτα δοξοσοφίας, καὶ ἴσως ἀλλότριον ἐλευθεριότητος, καὶ οὐκ ἀνεμέσητον, ἄλλα γὰρ σοφισταῖς δοτέον σπουδάζειν, καὶ ἄλλα[14] πάντως τοῖς περὶ τὸ[15] ὂν καὶ τἀληθὲς σπουδάζειν προτιθεμένοις. Βούλεται μὲν γὰρ ὁ ἀνὴρ πάντας αἰτιᾶσθαι τοὺς πρὸ αὐτοῦ, καὶ πρὸς τοῦτο σφόδρ' ἐπείγεται, καὶ δεικνύειν πειρᾶται περὶ πάντας σχεδὸν ἀτευκτοῦντας τῆς περὶ τῶν ὄντων ἀληθείας. Καὶ τοῦτ' ἐστὶν ἀφειδῶς αὐτῷ περὶ πάντας, καὶ οὐδενὸς αὐτῷ λόγος οὐδεὶς, οὐδὲ τῶν μὲν μᾶλλον ἅπτεται καὶ κατατρέχει, τῶν δ' οὐδ' ἔστι[16] τὶς αἰδὼς αὐτῶν τῷ ἀνδρὶ, ἀλλὰ πρὸς πάντας ὁ αὐτός ἐστιν ἐπειγόμενος ὁμοίως, καὶ πρὸς οὓς αἰδώς τις ὠφείλετό οἱ δίκαια[17] ποιεῖν αἱρουμένῳ· οἷον δὴ τοὺς περὶ Πλάτωνα σαφῶς οὕτω λέγω τὸν ἡγεμόνα τῆς σοφίας αὐτῷ, καὶ παρ' οὗ πλεῖσθ' ὅσα περὶ ὧν δογματίζει φθάσας ἔχει λα-

---

12) Haec, inclusa a nobis vncis, habent Cdd. Ciz. et Aug. sed Mon. omittit. Haud dubie incuria librarii repetita.

13) ἔχειν, abest a Cdd. Aug. et Mon.

14) ἄλλα, C. Mon. ἀλλά. Male.

15) τὸ, C. Mon. ignorat.

16) οὐδ' ἔστι, C. Mon. οὐκ ἔστι.

17) δίκαια, C. Aug. δικαῖα.

βών· καὶ ταὐτὰ [18]) τῷ ἀνδρὶ λέγει, καὶ εἰ λανθάνειν πειρᾶται δι᾽ ἑρμηνείας ἄλλης, καθ᾽ ὅσον οἷόν τέ ἐστιν, ἐπικρυπτόμενος. Καὶ τοῦτο ξύνοιδεν αὐτὸς ἑαυτῷ, καὶ εἰ πάντας οἴεται, πάντως οὐχ ἑαυτὸν κλέπτειν οἷός τέ ἐστι καὶ διαδιδράσκειν. Καὶ τοίνυν ὡς εἰκὸς [19]) εὖ δὴ [20]) λογιζόμενος καὶ φρονῶν καὶ συννοούμενος, ἅμα μὲν ὡς ἴσως δὴ καὶ παρ᾽ ἄλλων αὐτὸς τὸν αὐτὸν ἔρανον ἀντιλήψεται τῶν ἑξῆς μεθ᾽ ὕστερον αὐτοῦ, καὶ ἀπαντήσεταί οἱ ταὐτὰ δίχα τινὸς αἰδοῦς παραπλησίως, ὡς αὐτὸς ἐχρήσατο, καὶ οὐχ ὡς ἄρα τὶς θεὸς ἀπὸ μηχανῆς [21]) ὁ ἄαπτος [22]) ἔσται, καὶ πᾶσιν ἀπρόσιτος καὶ ἄσυλος καὶ ἀζήμιος· ἅμα δὲ καὶ περὶ τῶν πραγμάτων αὐτῶν ὡς οὐ ληπτῶν παντάπασιν οὐκ ἀσείστως συλλογιζόμενος, καὶ τὸ περὶ τούτων καθάπαξ ἀποφαίνεσθαι δεδοικώς. Ἐπαμφοτερίζειν ὡς οἷόν τε πειρᾶται καὶ καλύπτειν, ἃ δοκεῖ περὶ αὐτῶν ἀξιοῖ, καὶ προτιθέμενος ἀμέλει λέγειν καὶ δοκῶν ὁτιοῦν λέγειν, οὐ παντάπασίν ἐστιν ἁλώσιμος οὐδὲ δῆλος, ὅτι καὶ λέγει, φεύγων [23]) εὖ μάλα διὰ τῆς ἀσαφείας τῶν λεγομένων τὸν ἔλεγχον οὐκ ἀνύποπτον ὄντα. Καὶ τοῦτο δῆλον, ὅτι μὴ περὶ πάνθ᾽, ἃ προτίθεται, ὁ αὐτός ἐστιν, ἀλλὰ νῦν μὲν καὶ περὶ τούτων, ὧντινων ἄρα σαφής ἐστιν,

---

18) ταὐτὰ, C. Mon. ταῦτα.

19) εἰκὸς, C. Mon. εἰδὸς, mendose.

20) εὖ δὴ, C. Aug. εὖ δέ.

21) ἀπὸ μηχανῆς, iunctim C. Aug. ἀπομηχανῆς.

22) ἄαπτος, C. Mon. ἄνaπτος.

23) φεύγων, C. Aug. male φλέγων.

ὃ βούλεται, καὶ πᾶσιν ἐκκείμενος, ὥστε ξυνορᾷν 24) καὶ χρῆσθαι, νῦν δὲ καὶ περὶ τῶνδέ τινων ἄλλων, καὶ ὧν οὐκ εὔληπτος μάλισθ' ἡ θεωρία. Ἀλλ' ἔστιν ἐν τούτοις ἡ σκέψις ἡ πλείστη τῇ φιλοσοφίᾳ, καὶ ὁ πάντων πόθος πλανᾶται κατὰ ζήτησιν αὐτῶν εὖ μάλα τἀσφαλὲς 25) ἰχνηλατῶν τὴν ἀσάφειαν, ἐφ' οἷς τηνικαῦτα λέγει, περιαμπίσχει τῷ λόγῳ, καὶ ὡς ἂν λαθὼν ἀμέλει παρέλθοι τοὺς ἐποπτεύοντας, ἐν οἷς δ' ἀσφαλέστατα θαῤῥεῖν ἔοικεν ἑαυτῷ, φιλάνθρωπος ἐστὶν εὖ μάλα τοῖς ἀκροωμένοις, καὶ παντέλει ἔχουσιν αὐτοῦ καὶ τρανῶς, ἃ δοκεῖ. Καὶ ἀδικοῖεν ἂν αὐτοὶ μᾶλλον ἢ 26) γέλωτ' ἀμαθίας λαμπρᾶς ἂν ὀφλισκάνοιεν, εἰ μὴ ἕποιντό 27) γε καὶ θαυμάζοιεν τὸ 28) ἀνδρὸς ἠκριβωμένον τε καὶ ἐπιτυχὲς, οἷα τὰ περὶ ζώων 29) αὐτῷ πάντα συντάγμαθ' ὁρᾷν ἐστὶ, καὶ τὰ μετεωρολογικὰ, καί τιν' ἄλλα 30), ὅςτις ἄρα προσέχειν τὸν νοῦν οἷός τε ἐστι. Πολὺ γάρ ἐστιν ἐν αὐτοῖς τὸ σαφὲς καὶ πολὺ τὸ πιστὸν, καὶ ὡς ἀληθῶς γὰρ ἀνὴρ δίκαιός ἐστιν ἐν τούτοις θαῤῥεῖν ἑαυτῷ καὶ παῤῥησίᾳ χρῆσθαι, οὕτω δὴ παντάπασιν ἱκανώτατός ἐστιν ἐπ' αὐτῶν, καὶ πάσης τῆς ἀλη-

---

24) ξυνορᾷν, C. Mon. modo ὁρᾷν.

25) τἀσφαλὲς, C. Aug. τὰς φαλὲς, mendose.

26) ἢ, C. Aug. ἦ: praue.

27) ἕποιντό, εἴποιντο C. Aug.

28) τὸ ἀνδρ. Cdd. Aug. et Mon. τὸ τοῦ ἀνδρός.

29) περὶ ζώων, Bloch. e Cod. Paris. π. τῶν ζώων.

30) τιν' ἄλλα. C. Monac. ignorat τιν'. Bloch. ἄλλα πολλὰ, *intellige: Ethica, Politica et Aesthetica Aristotelis.*

θείας κατ᾽ αὐτὰ γνώμων ὀρθότατος, ἀγχίνοιά τε θαυμάζειν πάντων εὖ μάλ᾽ ἄξιος [31]), ὅσοι τε δῆτα πρότερον καὶ μεθύστερον αὐτοῦ περὶ ταῦτ᾽ ἐσπούδασαν. Ἐν δὲ τοῖς καθόλου περὶ φύσεως, οἷος [32]) ὁ λόγος αὐτῷ, ἐν δὲ τοῖς δευτέροις ἀναλυτικοῖς, εἴτουν περὶ τῆς ἀποδεικτικῆς παραδόσεως [33]) καὶ τεχνολογίας, ἐν δὲ τοῖς μετὰ τὰ φυσικὰ, ἐν δὲ τοῖς περὶ ψυχῆς αὐτῆς πολλὴ πάντως ἡ δυσχέρει᾽ ἐνταῦθα λαβέσθαι τρανῶς τε καὶ ἀκριβέστερον, ὧν ἄρα βούλεται, καὶ ἃ δοκιμάζει, καὶ σκότῳ πολλῷ τῆς ἑρμηνείας ἐπηλυγάζεται μηχανώμενος ἀπόῤῥητα πάνυ τοι κειμήλια συνέχειν ἐντός. Περὶ γὰρ δὴ τῆς πρώτης φιλοσοφίας, καὶ οἷος αὐτῇ σκοπὸς τῶν ὑπὲρ τὴν φύσιν καὶ πραγματείαν καθόλου, καὶ ὡς περὶ ταῦτ᾽ ἐστὶ καὶ περαίνει σεμνὴ σεμνῶς φθάνει πολλάκις ἐν τοῖς περὶ φύσεως αὐτοῦ συντάγμασι τὸν ἀκροατὴν μετέωρον καταστησάμενος [34]), ὥστε καὶ προςδοκᾷν ἀῤῥήτων τινῶν καὶ μεγίστων καὶ πανσόφων, καὶ σχεδὸν ὑπερφυῶν τεύξασθαι, καὶ πολλὴν ἐμποιήσας αὐτῷ λιχνείαν [35]) τῆς ἐνταῦθα σπουδῆς. Ἀτὰρ δὴ σπουδάζων περὶ τούτων αὐτῶν ἐν τοῖς μετὰ τὰ φυσικὰ φεύγει διὰ τῆς ἀσαφείας, καὶ μηχανᾶται μὴ καθάπαξ ἁλώσιμος εἶναι, ὡς ἂν δὴ μὴ δῆλος γίγνοιτο

31) εὖ μάλ᾽ ἄξ. C. Aug. εὖ μάλλ᾽. C. Mon. εὖ μᾶλ᾽ ἄξιος.

32) οἷος, C. Mon. οἷς.

33) παραδόσεως, Cdd. Aug. et Mon. παραδώσεως: vitiose.

34) καταστησ. Cdd. Aug. et Mon. κατεστησάμενος.

35) λιχνείαν, C. Aug. λιχνίαν: C. Ciz. c. 83. quoque λιχνία, sed c. 7. λιχνεία: vid. supra in Ind. Capp. n. 9.

πολλῷ[36]) τῶν ὑποσχέσεων ἐλάττων ἁπαντῶν, καὶ ὧν ἐλπίδων ἐπράττετο τοὺς ἀκούοντας, ἀλλ' ἄρ' ἑαυτοὺς μὴ λαμβάνοντας αὐτοί γ' αἰτιῷντο, μήδ' ἑπομένους, ὡς ἄρ' αὐτοῦ γε τὰ πάντων θαυμασιώτατα, καὶ μεγάλης διανοίας ἀξιούμενα, καὶ ὑπερῃρμένα τῆς ἐπιπολαίου ξυντυχίας σπουδάζοντος. Καὶ μὴν ὡσαύτως ὁ μὲν σκοπὸς εἶναι τῆς λογικῆς ἅπας αὐτῷ περὶ τὴν ἀπόδειξιν, καὶ εἶναι δὲ τοῦδέ γ' ἕνεκεν [37]) διὰ τὴν ἀναγκαστὴν τῇ φιλοσοφίᾳ χρῆσιν ἐπὶ τῇ ζητήσει [38]) τῆς ἀληθείας τῶν ὄντων αἱ τοσαῦτα πολύστροφοι πραγματεῖαι τῶν περὶ τὸν συλλογισμὸν μεθόδων καὶ παραδόσεων [39]). Καὶ τοίνυν τὰ μὲν περὶ τὴν εὕρεσιν ἁπλῶς τοῦ συλλογισμοῦ [40]), καὶ κατ' εἴδη διαίρεσιν εἰς τὰ τρία κληθέντα σχήματα, καὶ ὅσα ἑξῆς τούτοις ὕλης αὐτοῦ καὶ εὐπορίας ἕνεκα εἰς τὰ προτεινόμενα, καὶ ὅλως ὅση τῆς γενέσεως αὐτοῦ θεωρία, καὶ ἔτι γε μὴν ὅσοι τρόποι καθ' ἕκαστον τῶν σχημάτων αὐτῶν ἄφυκτοι, συλλογιστικοὶ καὶ παντάπασιν ἄτρεπτοι, καὶ μὴ καθ' ὁτιοῦν τὸ ἐπαμφοτερίζον ἔχοντες ἐν πάσαις ταῖς συμπλοκαῖς τῶν προδιορισμῶν, ὅσοι τε καθ' ὅλου, καὶ ὅσοι πρὸς μερικὴν ἑρμηνείαν ἀποφαίνονται· καί, ὡς ἔπος εἰπεῖν, ἅπαντα τἀνταῦθά πως ἀλλήλων ἐχόμενα, καὶ ὡς ἐκ διαδοχῆς ὑπ' ἀλλήλων ἀναφαινόμενα πρὸς θεωρίαν

---

36) πολλῷ, C. Aug. πολλῶν.

37) ἕνεκεν, Cdd. Aug. et Mon. ἕνεκαν.

38) ἐπὶ τῇ ζητήσει, C. Aug. iunctim.

39) παραδόσεων, C. Mon. παραδόσεως.

40) συλλογ. Cdd. Aug. et Mon. συλογισμοῦ.

πᾶσα ἀνάγκη καὶ ἀπαραίτητα προςάγειν. καὶ τεχνολογεῖν ἅπαντ' ἄριστα καὶ τελεώτατ' ἀνὴρ φέρων εἰς μέσους ἐκτίθεται καὶ νομοθετεῖ, μηδὲν ὁτιοῦν παριεὶς, μηδ' ὑπεύθυνον καὶ ὁπηοῦν τοῖς μετ' αὐτὸν [41]), ὁποῖοί [42]) ποτ' ἂν εἶεν, παραδιδούς. Ἀλλ' ὅςτις ἂν ὡς ἀληθῶς μὴ θαυμάζοι τὴν ἐν τούτοις τἀνδρὸς περίνοιαν εἴς τε πᾶσαν τῶν εἰκότων ἐνταῦθ' εὕρεσιν αὐτοῦ πρώτου, οὐδὲ γὰρ ἔχομεν ἄλλου του [43]) τῶν πρὸ αὐτοῦ περὶ τούτων νομοθεσίας τινὰς καὶ παραδόσεις, καὶ ἅμα εἰς τἀκριβέστατον [44]), καθ' ὅσον οἷόν τ' ἦν καὶ τελειότατον, καὶ ὡς οὐκ ἔστιν ἔτι λοιπὸν εὑρεῖν διάθεσιν καὶ κατάστασιν· μάταιος ἂν εἴη τις καὶ δυςτυχὴς καὶ ἀμαθέστατος πάντων ἄνθρωπος, καὶ οὐκ οἶδ' ἥτινι [45]) βασκανίᾳ συνών. Καὶ μὴν αὐτὰ δὴ ταῦτα τὰ περὶ τούτων Ἀριστοτέλει συνταττόμενα μάλισθ' ἁπάντων τῶν τῆς λογικῆς αὐτῷ καὶ σαφέστατα, καὶ θαῤῥεῖν ἔοικεν ἐν τούτοις ἑαυτῷ σφόδρα τοῦ παντὸς ἐπιτυγχάνοντι, καὶ ἀξίως τῶν ὑποσχέσεων, καὶ ὡς οὐκ ἂν ὅλως εἴη βέλτιον, καὶ τοὺς κατ' αὐτὸν θησαυροὺς δὴ τούτους τῆς σοφίας οἷός τέ ἐστι παῤῥησίᾳ προδεικνύειν, μᾶλλον δὲ τῶν ὄντων ἀξίως αὐτὸς ἐπιδείκνυσθαι. Ἐν δ' ἄρα τοῖς δευτέροις ἀναλυτι-

---

41) μετ' αὐτόν: iungit C. Aug.

42) ὁποῖοί, C. Aug. ὁποιοί.

43) ἄλλου του, sic etiam Bloch. sed C. Mon. ἄλλου οὗ του: incuria librarii.

44) εἰς τἀκριβ. sic scribunt omnes, verum Bloch. ἐστὶν ἀκριβ.

45) ἥτινι, Cdd. Aug. et Mon. ἧτινι.

κοῖς, ὡς εἴρηται, καὶ τῇ περὶ τὸ ἀποδεικνύειν ἐξετάσει καὶ θεωρίᾳ δῆλός ἐστιν εἰς τὸ σύνηθες τῆς ἀσαφείας σκότος εἰςδυόμενος, καὶ κρύπτειν σοφιζόμενος ἀπόῤῥητα καὶ θαυμάσια, οἷα τῶν πολλῶν ὑπέρτερα, καὶ τῷ δισοδεύτῳ [46] *τῆς ἑρμηνείας φεύγων ἡμᾶς, ὡς ἂν εἴη τε καὶ δοκοίη παρ' ἡμᾶς καὶ τὴν ἡμῶν ἀσθένειαν τὸ ἄληπτον τῶν αὐτῷ σπουδαζομένων, καὶ τὸ τῶν ἐν προςδοκίᾳ μεγίστων ἀτυχεῖν. Ἀλλ' οὐκ αὐτὸς δῆλος γίγνοιτο μὴ ταῖς ὑποσχέσεσιν ἀξίως ἀπαντῶν, αἷς φθάσας πολλάκις μετεώρους πεποίηκε, καὶ προσέχειν εὖ μάλ' ἀξιοῦντας αὐτῷ· καὶ μὴν παραπλησίως ἐν τοῖς περὶ ψυχῆς βιβλίοις, ὡς καὶ τοῦτο προείρηται, μάλα γεννικῶς* [47] *ἅπτεται τὴν ἀρχὴν τοῦ προβλήματος καὶ τῆς θεωρίας, καὶ πολύς ἐστιν αὐτίκα ἐν προοιμίοις τοὺς ἄλλους τὰ* [48] *εἰκότ' ἐλέγχων κατ' ἔθος αὐτῷ, καὶ προβάλλων ἔπειθ' ἑξῆς τὰ περὶ ψυχῆς ἀξιοζήτητα* [49] *καταδιαιρούμενος εὖ μάλ' ἕκαστα καὶ καταριθμῶν* [50] *τὰ περὶ τούτου δίκαια προβλήματα πάντων μάλιστ' ἄριστα καὶ τελεώτατα τῶν πρὸ αὐτοῦ, καὶ ἅττα δὴ μήδ' εἰς νοῦν* [51] *ἧκεν*

---

46) *δισοδεύτῳ*, Cdd. Paris. Reg. et Germ. Aug. et Mon. *δυσοδεύτῳ*, melius. Haud dubie legendum *δυςδιοδεύτῳ*, vt c. 17 *δυςδιόδευτα πλεῖστα φθέγγεται.*

47) *γεννικῶς*, C. Mon. *γενικῶς*. Postea in Cap. 4. quoque *γεννικῶς σπουδάσματα παραδραμόντες.*

48) *τὰ εἰκότ'*: C. Mon. omittit *τά.*

49) *ἀξιοζήτ.* C. Mon. *ἀξιόζητα.*

50) *καταριθ.* C. Aug. *κατ' ἀριθμόν*, male.

51) *μήδ' εἰς νοῦν*, C. Aug. *μὴ δ' εἰ ἐνοῦν*: mendose.

ὅλως ἐκείνοις ἐπιζητῆσαι κατὰ μέρη πάντα προτιθέμενος εἰς τὴν θεωρίαν θαυμασιώταθ' ὡς ἀληθῶς, καὶ ὅσα τῆς λογικῆς αὐτῇ φύσεως, καὶ ὅσα τῆς ἀλόγου δίκαι [52]) *ἐτάζειν καὶ τεχνολογεῖν τὰς περὶ αὐτῶν αἰτίας. Ἀλλ' ἑξῆς ἔπειτ' αὖθις τὰ μὲν ἀχώριστα τῆς ὕλης καὶ τοῦ σώματος τῇ ψυχῇ, καὶ ἅττα οὐσίωται τῇ ἀλογίᾳ, βέλτιστα πάνυ τοι σπουδάζεταί οἱ καὶ πολὺ τἀκριβὲς καὶ καίριον καὶ πιστὸν ἔχει. Κἀνταῦθά γε ἂν ἴδοις, ὡς Ἀριστοτέλης ὄντως ἐστὶν αὐτὸς ὅμοιος ἑαυτῷ καὶ τεχνίτης παντέλειος, καὶ γνώμων τῆς φύσεως, περὶ δὲ τῆς λογικῆς ψυχῆς ἁψάμενος θεωρῆσαι καὶ διαλαβεῖν τὰ κατὰ τὸ νοερὸν αὐτῆς συνήθως ἔτ' αὖθις κἀνταῦθα τὸ σκότος τῆς ἀσαφείας ἐπαμφιέννυσι τοῖς λεγομένοις, καὶ φοιβασμοὺς αὐτοῦ καὶ πυθόχρηστα δοκοῦσιν οἱ ἀφηγούμενοι, καὶ δηλοποιοῦντες τὰ αὐτοῦ στοχαστικῶς κατασκέπτεσθαι, καὶ ἄλλως ἄλλῃ φέρει καὶ συνέλκει κατὰ βούλησιν* [53]) *οἰκείαν τὰ προκείμενα. Οἵ γε μὴ δ' αὐτὸ τοῦ καθόλου γ' ἐρεῖν τὸ πάντων ἀναγκαιότατον συλλογίσασθαι καὶ πεισθῆναι βέβαιον ἔχουσιν ἐκ τῶν βιβλίων, ὅ τι ποτ' ἀνὴρ φρονεῖ τῷ ὄντι περὶ ψυχῆς, εἴτ' ἀθάνατός ἐστιν εἴτε μή· ἀλλ' ἄρα τοῖς μὲν δοκεῖ μάλιστα μὴ διδόναι χώραν βιώσεως καὶ οὐσίας ἄλλην, ἢ τὴν μετὰ σώματος αὐτῇ* [54]), *καὶ τοῦτ' αὐτόθεν ἔχου-*

---

52) *δίκαι*, sic Codd. omnes; leg. *δίκαια*: *δίκαι'*.

53) *κατὰ βούλ.* Codd. Aug. et Mon. iunctim *καταβούλησιν*.

54) *αὐτῇ*, omisit C. Mon.

σι πείθειν τοὺς πολλούς, ἐν οἷς ὁρίζεται ταύτην, καὶ οὐσιοῖ μόνον ἐπὶ τῷ σώματι, βουλόμενος καὶ νομίζων ἀνέδην αὐτὴν καὶ παραδιδοὺς ἐντελέχειαν μόνον σώματος ὀργανικοῦ φύσει ζωὴν ἔχοντος, καὶ οὐδὲν ὅτι δὴ καὶ τέμνων αὐτῆς ἰδιοσύστατον [55]), καὶ φέρον [56]) ἄλλως, ἢ κατὰ τὸ σῶμα, ὥςτ' ἐξ ἀνάγκης καὶ θνητὴν σὺν αὐτῷ [57]) λύεσθαι λυομένῳ, καὶ μηδὲν ἔχειν [58]) πλέον· τοῖς δὲ καὶ τοὐναντίον ἅπαν ἔστιν ἐξ αὐτοῦ συνορᾷν καὶ πείθειν ἑαυτούς, ὡς οὕτω φρονοῦντος τοῦ ἀνδρὸς καὶ ἀθάνατον τὴν ψυχὴν μάλισθ' ὁριζομένου [59]), καὶ βίοτον καὶ οὐσίαν αὐτῇ διδόντος ἰδίαν, ἢ κατὰ τὴν συμπλοκὴν τὴν μετὰ τοῦ σώματος, ἐν οἷς περὶ τοῦ νοὸς ὡς ἂν μόνου [60]), θεωρῇ καὶ ἰδιοπραγοῦντος καὶ βασιλείαν [61]) ἔχοντος καὶ δεσποτείαν ἄμικτον, καὶ ἀπροςδεῆ τοῦ σώματος ἐνέργειαν. Καὶ κατὰ τὸ παράδειγμα τῆς νηὸς καὶ τοῦ κυβερνήτου ἅμα καὶ πλωτῆρος εἰκονίζει τὸν ἐν σώματι νοῦν, ἐν αὐτοῖς τὲ τοῖς περὶ ψυχῆς βιβλίοις, καὶ μάλιστ' ἐν τοῖς περὶ κινήσεως λόγοις κατὰ τὸ ἦτα καὶ θῆτα τῆς φυσικῆς ἀκροάσεως, τοῦτο μὲν αὐτὸν φέροντα τὸ σῶμα δεικνύων ἡγεμονικῶς, τοῦτο δὲ συμφερόμενον, χωριστὸν δ'

---

55) ἰδιοσ. Aug. ἰδιοστύστατον.
56) φέρον, C. Mon. φέρων.
57) αὐτῷ, C. Mon. αὐτῇ: inepte.
58) ἔχειν, C. Aug. ἔχεις: male.
59) ὁριζομένου, C. Aug. ὁριζομένους, in margine ὁριζόμενα: male.
60) μόνου, Codd. Aug. et Mon. μόνα.
61) βασιλείαν, C. Mon. βασίλειον.

ὅμως οὐσιωμένον ἑαυτοῦ, καὶ τὸ μὲν συνεζευγμένον λείποντ' ἄδετον [62]), μὴ λείποντα δ' ἑαυτόν. Οἷς ὅτι καὶ αὐτὸς κατὰ Πλάτωνα εἰ καὶ μηχανᾶται [63]), λανθάνειν ταῦτα λέγων ἐν τούτοις μάλιστα τοῖς βιβλίοις τοῦ αὐτοκινήτου τὸ μὲν κινεῖσθαι δεικνύει, καὶ μόνον κινεῖσθαι, μὴ κινεῖν [64]) δὲ, τὸ δὲ κινεῖν μόνον, οὐ κινεῖσθαι δὲ καθ' αὑτὸ καὶ κινεῖσθαι δὲ κατὰ συμβεβηκὸς [65]), ἢ συγκινεῖσθαι τῷ ὑπ' αὐτοῦ κινουμένῳ, ὡς ἐντεῦθεν ἐξ ἀνάγκης ἂν ἕπεσθαι, ὅτι τὸ μὲν κινούμενον ὑπ' ἄλλου, καὶ παύσαιτ' ἂν ὑπ' ἄλλου κινούμενον, τὸ δ' αὐτὸ τὸ κινοῦν οὐκ ἂν ἄρα παύσαι [66]) τὸ κινοῦν· οὐδ' ἐλλείποι ἂν ἑαυτὸ, ὅτι δὴ τοῦτ' αὐτὸ καὶ [67]) οὐσία αὐτῷ, μὴ λεῖπον δ' ὅλως ἑαυτὸ, εὖγε δῆλον πάντως οὐσίωται [68]) τῷ εἶναι ἀεὶ, καὶ μὴ τελευτᾷν τῆς κινήσεως, εἴτουν τῆς οὐσίας αὐτοῦ καὶ ζωῆς. Οὕτω δὴ τοῖς τἀναντία βουλομένοις περὶ ψυχῆς ἀφορμαὶ τοῦ Ἀριστοτέλους δίδονται κατασκοπὸν σφίσιν ἐπιχειρεῖν, καὶ τοὺς ἄλλους ἀξιοῦν πείθειν μετὰ τοσούτου συμμάχου δυσαντιβλέπτου ταῦτα καὶ φρονοῦντος [69]) καὶ πείθοντος.

---

62) λείποντ' ἄδετον, C. Aug. λείποντ' ἄμηχ :::
63) μηχανᾶται usque ad μόνον κινεῖσθαι desiderantur in C. Aug.
64) μὴ κινεῖν — καὶ κινεῖσθαι: haec etiam in C. Aug. sunt omissa.
65) κατὰ συμβ. Cdd. Aug. et Mon. iungunt κατασυμβεβηκός.
66) παύσαι, C. Aug. παῦσαι.
67) αὐτὸ καὶ — δῆλον πάντως, desunt in C. Aug.
68) οὐσ. C. Aug. αὐσιώται, mendose.
69) καὶ φρον. C. Mon. omittit καί.

ΚΕΦ. δ'.

Ὅτι πάντες ἥττηνται[1]) δοξοσοφίας.

Πολὺ μάλιστ' ἐν ἀνθρώποις ὁ τῆς[2]) δόξης ἔρως κρατεῖ, καὶ οὐ τοῖς μὲν ἴσως, τοῖς δ' οὔ, ἀλλ' οὐκ ἔστιν ἐφ' ὅτῳ μὴ[3]), κἂν εἰ πάντα τὶς δῆθεν προσποιοῖτο[4]) πράγματα μὴ φροντίζειν ταύτης, ἀλλ' ὑπερηρμένος τὶς εἶναι καὶ παντάπασιν ἀνάλωτος τοὺς πολλοὺς πείθειν ἀξιῶν καὶ ἀποσεμνυνόμενος κομιδῇ πρὸς αὐτήν, καί τινα τρόπον ἐντεῦθεν δόξαν ἄλλην καινοτέραν αὖθις ἑαυτῷ πραττόμενος τῶν αὐτῷ προσεχόντων ἐκ τοῦ περιφρονεῖν δόξης, ὡς ἄρ' αὐτὸς[5]) μεγαλόφρων τὶς, ἢ κατ' ἄλλους ἅπαντας, καὶ τὴν φύσιν ὑπεραναβάς. Καὶ ὁρῶμεν γάρ, ὡς κατ' ἄλλος[6]) ἄλλό τι προκοπῆς καὶ βελτιώσεως εἶδος τῆς δόξης ἥττηνται, κἂν εἰ μήτις ἀνελευθέρως πρὸς ταύτην ἐπείγηται, καὶ πράττῃ πρὸς τοῦτο, χαίρει δ' οὖν ὅμως εὖ μάλα πῶς ἂν εἴποι τὶς ἐπαίνων τυγχάνων, καὶ τοῖς πολλοῖς κλεϊζόμενος, ἐφ' οἷς ἠνυκέναι τὶ δοκεῖ ἄμεινον ἢ κατὰ πολλούς; καὶ οὐκ ἔστιν ἄθικτός τις, καὶ, ὡς εἰπεῖν, ἄτεκτος εἰς γλυκυθυμίαν καὶ ἱλαρότητος

---

1) ἥττηνται, C. Mon. ἥττωνται: Bloch, vt Ciz.

2) ὁ τῆς, C. Mon. ὅτι τῆς, et mox οὐ τοῦ pro οὐ τοῖς.

3) ὅτῳ μὴ, C. Aug. non exhibet μή.

4) προσποιοῖτο, C. Mon. προσποιεῖ τὰ, super ει scriptum οι.

5) ὡς ἄρ' αὐτὸς — ἅπαντας, absunt a C. Mon.

6) κατ' ἄλλος, sic etiam C. Mon. sed Aug. κ' ἄλλος. Leg. vt ante: κατ' ἄλλους, vel ἄλλος plane delendum.

καὶ ἡδονῆς διάθεσιν ἐν ψυχῇ ὑπὸ τῆς τῶν ἔξωθεν κρινόντων εὐφημίας, καὶ τῶν περὶ αὐτοῦ κρότων. Καὶ τοῖς μὲν πλείστοις ἔφετον πάνυ τοι καὶ περισπούδαστον παρὰ πᾶσιν ἀνθρώποις, εἰ οἷόν τ' ἦν, καλῶς ἀκούειν καθ' ὁτιοῦν ἢ φύσεως, ἢ ἀσκήσεως, ἢ τύχης ὑπερφέρον τῶν ἄλλων πλεονέκτημα. Καίτοι τί λέγω; πολλοὶ μὲν οὖν εἰ κανὸν [7]) ἐν τρισὶν ἀνθρώποις δύναιντο, καὶ τούτοις ὡς τὰ πολλὰ φαύλοις, καὶ μηδὲν ἴσως ἐπαΐουσι, περὶ ὧν κρίνουσιν, εὐδοκιμεῖν [8]), πολλοῦ πρίαιντ' ἂν οἱ βελτίους δ' ἐνταῦθα καὶ σοφώτεροι καὶ μεγαλόφρονες, καὶ τῆς τῶν πολλῶν κρίσεως ἑαυτοὺς ἐλευθεροῦντες, τἀληθὲς καλὸν δι' αὐτὸ νομίζοντες καλὸν, καὶ ποθοῦντες καὶ κατολιγωροῦντες [9]) τῆς τῶν ἄλλων ὡς ἀξιοῦσιν ἐποπτείας καὶ ψήφου, καὶ ζῶντες ἑαυτοῖς μόνοις καὶ τῷ καλῷ, καὶ οὐκ οἶδ', εἴ τινες ἂν εἶεν οὗτοι, καὶ ὅσοι παντέλειοι [10]) τὴν γνώμην ἐρασταὶ τἀγαθοῦ βούλοιντ' ἂν ὅμως, καὶ οὐκ ἂν ἀηδῶς δέξαιντο, εἰ ἄρα προςείη, καὶ ἴσως μηδὲν ἐπίτηδες ἐπιμεληθέντων αὐτῶν,

---

7) εἰ κανὸν, cum Cod. Paris. Germ. Cod. Mon. ἱκανόν. Cod. Paris. Reg. rectius εἰ κἂν̈. Boissonade mihi scripsit: *Lectio C. Regii εἰ κἂν̈ non est vertenda εἰ κανὸν, vt est in C. Germ. etsi duplici notatum accentu: est omnino κἂν. Saepe in Cdd. μὲν̈, δὲ̈, ἂν̈ est pro μὲν, δὲ, ἂν, et alter accentus non est compendium notissimum syllabae ον, quod credidit librarius in C. Germ. scribens κανόν.*

8) εὐδοκιμεῖν, C. Aug. εὐδοκιμεῖν.

9) κατολιγ. C. Mon. καταλιγορoῦντες, vitiose.

10) παντέλειοι, Cdd. Aug. et Mon. παντέλειον, non apte.

καί τινων ἐφορώντων ἐπιγνωμοσύνη τῆς κατὰ σφᾶς [11]) ἀστειότητος ἧςτινοςοῦν καὶ τοῦ καλοῦ συναίσθησις· εἰ δὲ μὴ, τοῦτό γε μάλισθ᾽ ὅμως σφόδρ᾽ ἂν ἄχθοιντο [12]) καὶ ἀνιῷντο, φλαῦρα [13]) καὶ τἀναντία ἀκούοντες ὧν ἔχουσιν ἠνυκότες ὡς βέλτιστα τῶν ὑπ᾽ ἀμαθίας, ἢ οὐκ οἶδ᾽ ἧςτινος βασκανίας οὐ συνιέντων, ἐν οἷς εὖ πράττουσιν. Καὶ τοῦτο μὲν καθόλου περὶ πάσης εὐδοξίας καὶ ὁρᾷν ἐστι καὶ λέγειν, καὶ ῥᾴδιον περὶ τούτου πλεῖστα λέγειν, καὶ ἀεὶ πλείω ἔθ᾽ ἑξῆς ὅςτις βούλεται. Ἀτὰρ δὴ περὶ δοξοσοφίας μάλιστ᾽ ἰδίᾳ τὶ τὶς ἐρεῖ, ὅσον δὴ σχεδὸν πάντες ἐνταῦθα κεχήνασι καὶ τῆς τῶν πολλῶν ψήφου καὶ δόξης ἑαυτοὺς [14]) ἠρτήσαντο καὶ τρίβουσιν εὖ μάλα πονοῦντες [15]) οἱ περὶ λόγους, ὡς ἂν δὴ δοκεῖεν ἕκαστος πάνυ τοι πλεῖστον ἀνύσαντες, καὶ πλεῖν ὡς ἀληθῶς ἢ καὶ ἠνυκότες εἰσὶ, καταψευδόμενοι πολλάκις ἑαυτῶν, καὶ συκοφαντοῦντες παντὶ τρόπῳ τἀληθὲς τῶν προςόντων σφίσι καὶ τῶν   κόντων [16]) ἀντιποιού-

---

11) κατὰ σφᾶς, C. Aug. iunctim κατασφᾶς.

12) ἄχθοιντο, Cdd. Aug. et Mon. ἄχθοντο: perperam, ob ἀνιῷντο.

13) φλαῦρα, C. Aug. λαῦρα.

14) δόξ. ἑαυτοὺς, C. Mon. δόξ. ἑαυτὸν ἑαυτούς.

15) πονοῦντες, Cdd. Aug. et Mon. πονοῦντος.

16) κόντων: eadem lacuna apparet in Cdd. Aug. et Mon. vnde patet, vtrumque cum Cizensi ex vno eodemque archetypo esse descriptum, haud dubie Venetiis, vnde plurima apographa Augustam et in bibliothecam vrbis et Fuggerorum sunt delata. Cod. Cizensis ab Emmanuele Embene, Graeculo, sine dubio etiam Venetiis scriptus, et a Schroetero, Professore Ienensi,

μενοι καὶ κακουργοῦντες οὕτω καὶ ἀδικοῦντες τοὺς ξυντυγχάνοντας ἀπατηλαῖς ἐπιτηδεύσεσι καὶ προσχήμασι, καὶ τούτων οὐχ οἱ μὲν, οἱ δ' οὔ, ἀλλ' οὐκ οἶδ' ὅςτις [17]) οὔ. Ἀλλὰ πάντες καὶ οἱ πᾶσαν ὡς ἀληθῶς παιδείαν ἄκροι σοφιστεύουσι τῷ μέρει τούτῳ καὶ βούλοιντ' ἂν οὐ μόνον αὐτὰ τὰ ὄντα δοκεῖν, καὶ τὴν οἴκοι πλείστην ἴσως οὐσίαν μακαρίζεσθαι, ἀλλὰ καὶ ἔτι πλεῖν δοκεῖν ἢ ἐκτήσαντο [18]), κἂν εἴ τί που καὶ λέλειπται σφίσι τῶν τοσούτων τῆς σοφίας εἰδῶν καὶ τμημάτων. Καὶ τοῦτ' εὖ μάλ' ὑποκρίνονται καὶ πράττουσι [19]) δοκεῖν παρὰ τοῖς πολλοῖς, καὶ τούτου γ' ἐπιτυχεῖς εἶναι καὶ παντέλειοι, καὶ ὡς ἂν οἷοί τ' εἶεν, ἐπείγονται πάνυ τοι λαθεῖν τοὺς μετὰ τιμῆς εἰς αὐτοὺς ὁρῶντας. Περὶ μέν γε τῶν ἐν τοῖς ἐπιδεικτικοῖς σπουδαζόντων λόγοις καὶ καλλυνομένων ῥητορικαῖς ἁβρότησι, καὶ κοπτόντων [20]) τοῦτο μὲν τὰ βουλευτήρια, τοῦτο δὲ τὰ θέατρα, καὶ οἷς ὅλως ἔργον ἡ τῶν ἀκροωμένων ἐκ παντὸς τρόπου δουλαγωγία καὶ ὁλκὴ, τί τις ἂν λέγοι; ἢ ὡς αὐτόθεν γε δῆλον τοὖθ' οἱ ἄνδρες κατεπείγονται ὡς βέλτιστοί γε εἶναι δοκεῖν,

---

inde Ienam est delatus. Fors. legendum: *προςηκόντων*. Codd. Paris. Reg. et Germ. etiam hanc lacunam non explent. *C. Regius olim habuit vocem integram, cuius restat tantum syllaba των, et fere integra potest adhuc legi syllaba κον praecedens: primae litterae vocis sunt erasae.* Boissonade.

17) *ὅςτις*, Cdd. Aug. et Mon. *ὅτις*.

18) *ἐκτήσ*. C. Mon. *ἐκτίσαντο*.

19) *καὶ πράττ*. C. Mon. *ἢ πράττ*.

20) *κοπτόντων*, C. Aug. *σκοπτόντων*.

καὶ ὡς βέλτιστα λέγειν, κἂν εἰ μάλιστ' ἐνταῦθα δύναιντο, καὶ τὰ τῆς γλώττης εὐγενῶς σφίσιν ἤσκηται· πολλῷ γ' ἔτι κρεῖττον δύνασθαι βούλοιτ' ἂν ἅπασιν ἀνθρώποις δοκεῖν ἕκαστος, καὶ ὡς ἔνι μάλιστα παρεσκευάσθαι κάλλιστα τὴν φωνὴν καὶ γεννικῶς ὡπλίσθαι, καὶ ὡς οὐδεὶς τῶν ἐκ τοῦ παντὸς αἰῶνος ἄμεινον. Καὶ μὴν ἔτι φιλαυτοῦντες, ὡς ἅπαντες σχεδὸν ἄνθρωποι, καὶ ῥᾷσθ' ἃ βούλονται καὶ οἴονται περὶ αὐτῶν καὶ φιλοδοξοῦντες ἐν σφίσιν αὐτοῖς πρώτοις κριταῖς εὖ μάλα τυγχάνουσιν, ὧν ἐρῶσιν, αὐτοί γ' ὑφ' ἑαυτῶν, καὶ τὰς ψήφους καθ' ἑαυτῶν ὡς ἀμέλει βούλονται, φέρονται, καὶ κόλακες ἑαυτῶν εἰσὶ πρῶτοι τὰ μὴ ὄντες ἐπαινοῦντες καὶ θαυμάζοντες περὶ ἑαυτῶν, καὶ χαριζόμενοι, καὶ οὐκ ἀδεκάστως κρίνοντες, ἀλλὰ μὴν καὶ ὅσοι γε [21]) φιλοσοφίας ἀντιποιοῦνται, καὶ κατὰ ζήτησιν τῆς ἀληθείας τῶν ὄντων σεμνοὶ σεμνῶς πονοῦσι· τάχα μὲν οὖν οὐδ' αὐτοὶ τῆς περὶ ἑαυτῶν ἀληθείας ἀκριβεῖς εἰσὶ καὶ ἀδέκαστοι γνώμονες καὶ κριταὶ, ἀλλὰ νοσοῦσιν ὑπὸ φιλαυτίας καὶ αὐτοὶ περὶ τὰ οἰκεῖα ἐπτύοντες [22]). Ἂν δ' [23]) ἄρα καὶ ἄμεινον ἐνταῦθα τῶν πολλῶν δύναιντο συνορᾶν καὶ λογίζεσθαι μὴ τἀλλοτριώτατα τῶν ὄντων καὶ τῆς ἀληθείας περὶ ἑαυτῶν, ὃ πάντων μάλισθ' ὡς ἀληθῶς ἐργωδέστα-

21) ὅσοι γε, C. Aug. omittit γε, et C. Monac. mox καί.

22) ἐπτύοντες, Cdd. Aug. et Mon. rectius ἐποπτεύοντες. Sic infra c. 71. κριτὴς ἐπόπτης.

23) Ἂν δ', Aug. C. Ἂν δέ.

τον, ἀλλ' οἵ γε δῆθ' ὅμως περὶ τοὺς ἄλλους ἔξωθεν οἰκονομοῦσιν, ὡς ἂν δύναιντο, καὶ πλεῖον τὶ περὶ αὐτῶν φρονεῖν, ἢ τὰ κατ' αὐτοὺς ταῖς ἀληθείαις ἔχει. Καὶ ὅσοι γ' αὐτοὶ τὴν τῶν πολλῶν δόξαν κατὰ τὴν τῆς βιοτῆς αἵρεσιν ὑπερεφρόνησαν, ὥς γε τέως ἔδοξαν καὶ παῤῥησίᾳ πρὸς πολλοὺς οὐκ ὤκνησαν μεγαληγορῆσαι, καὶ ὡςπερεὶ πρόγραμμα τῆς αὐτῶν ἐκθέσθαι τοῦτο ζωῆς, οἷον τοὺς περὶ Σωκράτην λέγω, καὶ ὅςτις [24]) ὅμοιος. Ἀλλὰ δὴ καὶ ὅσοι μετ' αὐτῶν ἔπειθ' [25]) ὕστερον ἐλευθερίαν πάντων ἀήττητον καὶ παῤῥησίαν ἀκμαστικὴν πάνυ τοι κατὰ τῆς φύσεως καὶ τῆς ἀνθρωπίνης ζωῆς εἵλοντο, οἷοι δή τινες ὤφθησαν ἀριστεῖς κατὰ τοῦ βίου καὶ τῶν τοῦ βίου νοσημάτων καὶ τῆς πλάνης οἱ περὶ Διογένην καὶ Ἀντισθένην καὶ Κράτητα, οἳ πάντα δὴ τἀνθρώπινα σπουδάσματα παραδραμόντες κομιδῇ γεννικῶς καὶ θαυμάζειν ὄντως ἀξίως, πρὸς δοξοσοφίαν ἄρα καθάπαξ οὐκ ἀήττητοι καὶ ἄνοσοι περιεγένοντο. Ἀλλὰ πολλὴ τοῖς ἀνδράσι σπουδὴ πρὸς τοὺς ἐντυγχάνοντας καὶ ἄρχοντας καὶ ἰδιώτας καὶ ξὺν νῷ κατασκεπτομένους καὶ μὴ, πρὸς πάντας δ' ὅμως ἀνθρώπους σφίσι προςέχειν εὖ μάλα τὸν νοῦν ἀξιοῦν, ὡς μόνοις τὴν ἀληθινὴν σοφίαν εὐδαιμονοῦσιν ἐῤῥωμένως, καὶ παντάπασιν ἐπιτυχῶς τε καὶ ἀνόσως, καὶ οὐκ ἔστιν ἄμεινον. Ἀλλὰ μὴν καὶ τοῦ θαυ-

24) ὅςτις, C. Mon. ἥτις.

25) ἔπειθ', in margine C. Mon. γρ. ἔπειτα.

μαστοῦ Πλάτωνος αὐτοῦ οὐκ ἀνεμέσητα παντάπασιν, οὐδ' εὔστομα μὴ κείσθω τἀνθάδε πράγματα, εἰ καὶ μάλιστ' αἰδοῦς ἀνὴρ ἄξιος· πολὺς μὲν γὰρ ὡς ἀληθῶς πᾶσαν σοφίαν, καὶ μεγαλοφυὴς καὶ γενναῖος πάντων ἐπιτυχὴς, ὅσα παιδείας εἴδη καὶ κόμματα, εἰ καὶ βελτίων ἴσως αὐτὸς ἑαυτοῦ ἐν τοῖςδέ τισιν, ἢ ἐν τοῖςδέ τισιν ἄλλοις. Πᾶσι δ' ἄρα τοῖς πρότερον, πῶς ἂν εἴποιμι μετρίως, ἀδεῶς ἐπιτιμῶν, καὶ μάλ' ἐπανιστάμενος καὶ κατελέγχων, καὶ οὐδὲν ὅτι μὴ παριεὶς τῶν πρὸ αὐτοῦ σκωμμάτων ἀνεύθυνον· ἐν δόγμασί τε [26]) κατὰ φιλοσοφίαν καὶ ῥητορικαῖς χρήσεσι δῆλος ἐστὶν εὖ μάλα τοῖς προςέχουσιν ἕκασθ', οἷς ἐσπούδακε, τὸν νοῦν, πᾶσαν ἑαυτῷ προςποιούμενος δόξαν πάντων ἀνθρώπων κατὰ πάσης σοφίας ἱεράν τινα καὶ ἄσυλον, καὶ ἧς οὐδὲν ὅτι πότ' ἄρα νοσοῦν καὶ ὁπηοῦν, ἣν [27]) μή τις νοσῶν ἴσως αὐτὸς ἄλλως δόξαι κατολιγωρῶν ὑπ' ἀμαθίας ἢ βασκανίας τῶν θαυμάζειν ἀξίων. Καὶ ταῦτα οὐ λόγων νῦν ἄλλως ἡμῖν, ἀλλ' ἐν τοῖς αὐτοῦ πολλαχῇ τις ταῦτα συλλογίσαιτο, καὶ σχεδὸν αὐταῖς οὕτω δὴ λέξεσιν, αἷς νῦν εἶναι χρώμεθα, εὕροι τις ἂν εἰρημένα.

---

26) *δόγμασί τε*, C. Mon. *δόγ. τε καί.*

27) *ὁπηοῦν, ἣν*, C. Mon. *ὁποιοῦν, ἣν*, vti saepe.

ΚΕΦ. έ.

Περὶ τῆς Ἀριστοτέλους δοξοσοφίας, καὶ περὶ μαθηματικῶν.

Ἀριστοτέλην[1] *ὅςτις ἂν μὴ θαυμάσαι πάνυ τοι, καθ' ὅσον οἷός τέ ἐστιν, ὡς ἄκρον φιλοσοφίαν ἅπασαν καὶ μάλιστά γε τὴν λογικὴν αὐτὴν ἐπαστὴν ἐντελέστατον καὶ τεχνίτην, καὶ τήν γε φυσικὴν ἔτ' ἀκριβέστερον γνώμονα καὶ συνήγορον ὑπὲρ τῆς φύσεως, καὶ τῶν τῆς φύσεως ἔργων, ἀπορήσαιμ' ἂν ἔγωγε καὶ θαυμάσαιμ' ὄντως, τίς οὕτω φρενῶν ἔξω καὶ πάσης ὑπεύθυνος ἀβελτηρίας καὶ πηρώσεως εἰς τὰ παντάπασιν οὕτω δῆλα, οὐ γὰρ ἂν φαίην βασκανίας, εἰς ὅπερ οὐκ ἔστιν ὅλως ἔγγιστα φρονεῖν καὶ ὁπηοῦν*[2] *παραβάλλεσθαι, καὶ λοιπὸν ἐντεῦθεν ἴσως καὶ βασκαίνειν χώραν εἶναι, ὅςτις μὴ μελαγχολοῖ καὶ λαμπρῶς ἂν καὶ περιφανῶς μαίνοιτο. Τίς γὰρ ὅλως ἐγγὺς, ἢ τίς οὕτω καθάπαξ ἀσύνετος τῆς τοσαύτης ἐκείνου περινοίας καὶ μεγαλονοίας καὶ ἀκριβείας καὶ πορομότητος*[3] *καὶ εὐκαιρίας ἐν πᾶσιν, οἷς*[4] *ἂν ἑκάστοτε σπουδάζοι, καὶ ἐπιτυχίας δραστικώτατα*[5]*, καὶ ἐργασίας ἀφύκτου*[6]*, καὶ πολυμαθίας,*

---

1) Ἀριστοτ. C. Aug. Ἀριστοτέλης.
2) ὁπηοῦν, C. Mon. ὁποιοῦν.
3) πορομότητος, C. Mon. πορομώτατος, vitiose.
4) οἷς, conspirant Cdd. Aug. et Mon. sed Bloch. ἅ.
5) δραστ. idem Cdd. Aug. et Mon. verum Bloch. δραστικωτάτης.
6) ἀφύκτου, C. Aug. ἄφυκτον: Cdd. Mon. et Paris. cum Cizensi ἀφύκτου, at Bloch. pag. 45. ἀφίκτου: vitiose.

καὶ τῶν ἀλογίστων τέως καὶ ἀνενοήτων [7]) σχεδὸν αὐτῶν, καὶ γνώμης ἐπιμελοῦς σὺν ἀκμῇ διαρκεστάτῃ [8]), καὶ πάσης, ὡς ἔπος [9]) εἰπεῖν, λογισμῶν [10]) καὶ διανοίας εὐδοκιμήσεως οὐ πλέον μόνον, ἢ κατὰ πάντας ἄλλους, ἀλλὰ καὶ πλέον ὄντως, ἢ τὶς [11]) ἂν ὅλως ἐννοῆσαι [12]), πρὶν ἂν ἐντύχοι τοῖς αὐτοῦ; καὶ ἔγωγε σαφῶς οὑτωσί πως ἀξιῶ καὶ τίθεμαι μηδεμίαν ἄλλην ἄλλου τοῦ τῶν ἀπὸ τοῦ παντὸς αἰῶνος ἀνθρώπων φορὰν [13]) εἰς τὸν βίον οὕτω λυσιτελεστάτην εἶναι, ὅσαγε εἰς σοφίαν καὶ τὰ περὶ τοὺς λόγους ἀνθρώποις πράγματα, καὶ τὴν τοῦ νοῦ βελτίωσιν, ὡς τὸν ἄνδρα τοῦτον ἐν βίῳ γενόμενον, καὶ τὴν κατ' αὐτὸν ἐν λόγοις καὶ σοφίᾳ συντέλειαν εἰς τὸ κοινὸν ἀνθρώποις, καὶ μεγίστην ἂν εἶναι ζημίαν ἡμῖν εἰς τὴν λογικὴν εὐζωΐαν, ἣν ἄρα τὶς ἐξέλοιτο τὰ κατ' αὐτὸν τῆς κοινῆς τῶν ὅλων συντάξεως, καὶ τῶν ἐρινῶν τῆς σοφίας ἐν νῷ θέμενος [14]), ὡς ἂν μὴ γεγονότα τὸν ἄνδρα, καὶ τὴν ἐπ' αὐτοῦ φορὰν ἐκ μέσου τῷ λογισμῷ ποιη-

7) ἀνενοήτων, consonant Cdd. Aug. et Mon. sed Paris. ap. Bloch. ἀνεννοήτων.

8) διαρκεστάτῃ, sic Cdd. omnes, quin etiam Paris. Bloch. vero e coniectura διαρκεστάτης.

9) ἔπος, C. Aug. male ἔτος.

10) λογισμῶν, Cod. Paris. ap. Bloch. διαλογισμῶν.

11) ἢ τὶς, C. Aug. ἥτις.

12) ἐννοῆσαι, C. Aug. ἐννοήσαι, bene.

13) φορὰν, C. Aug. φθοράν, quod non conuenit sq. ἐπ' αὐτοῦ φοράν.

14) ἐν νῷ θέμ. C. Mon. ἐντεθέμενος, vitiose.

σάμενος. Οὕτως ἐμοὶ περὶ αὐτοῦ καὶ φρονεῖν καὶ λέγειν ἔπεισι, καὶ οἶμαί γε, καὶ λίαν ἀσφαλῶς τε καὶ ἀληθῶς, κἂν εἴ τις ἄλλος [15]) ἔμοιγε δοκεῖ προςέχων εὖ μάλα τὸν νοῦν ἐποπτεύοι καὶ σκέπτοιτο, συνθεῖτ' ἂν ἐπιεικῶς ἔμοιγε καὶ οὐκ ἄλλως ἔχοι λέγειν, ὀρθῶς γε πάντως φρονῶν. Ἀτὰρ ὅπερ εἶχον ἐν νῷ, τοιοῦτός γε ὢν ἀνὴρ τὴν σοφίαν, καὶ οὕτω πλεονεκτήσας τοὺς ἄλλους μεγαλοφυΐᾳ καὶ σπουδῇ, πάνθ' ὅμως ἔτι προςπεριβάλλεται πράγματα, καὶ πρὸς αὑτοῦ ποιεῖται, καὶ ἃ μὴ πρόςεστιν ὑπὸ φιλαυτίας, ὡς οἱ πολλοὶ καὶ μάλιστα αὐτὸς ὑπὲρ τοὺς πολλοὺς, καὶ οἷός τέ ἐστιν ἄνθρωπος ὑπ' ἄκρας δοξοσοφίας καὶ πλειόνων ἢ κατὰ τὰ οἴκοι ταμεῖα θησαυρὸν ἑαυτὸν πλήρη πάσαις μηχαναῖς ὑπεμφαίνειν τοῖς πολλοῖς, καὶ μὴ κατολιγωρεῖν, εἴ πη παρείκοι· καὶ δίδωσιν ὁ καιρὸς καὶ πλείω τῶν ὄντων φαντάζειν τοῖς ἐντυγχάνουσιν ἐν ἑαυτοῦ φέρειν, καὶ παρακατέχειν, μὴ προδεικνύειν, μήδ' ἐκτιθέναι πᾶσιν ἀξιῶν, καὶ ὧν οὐκ ἔστιν ἴσως ἀκριβὴς [16]) ἐν παρόδῳ λόγων ἄλλων [17]) σοφίζεσθαι τὴν μετουσίαν αὐτῷ, καὶ ὡς εὖ ἠνυκὼς κἀνταῦθα καὶ μάλιστ' ἔχων ἀμέλει χρῆσθαι, μὴ κατοκνῶν ἐν μέρει πως ἐπίτηδες μεμνῆσθαι, ὡς ἂν τοῖς γε μετ' ἐκεῖνον τοῖς χρόνοις ἑξῆς ἡμῖν δοκοίη καὶ τούτων ἐπιτυχὴς, ἀφειδὴς ὢν ὅλως

---

15) ἄλλος, Cdd. Aug. et Monac. ἄλλοις.

16) μήδ' ἐκτιθέναι — ἀκριβὴς, omiss. in C. Aug.

17) ἄλλων, C. Mon. non habet.

πρὸς δόξαν καὶ ὧν ἂν ἐν ἀνθρώποις ἔχοι παρακερδαίνειν καὶ πλεονεκτεῖν ἐν φαντασίᾳ τινὶ, κἂν εἰ μὴ μετ' ἀληθείας ἥκιστα ἀποτρεπόμενος ὑπὸ τῶν ἐντὸς τῆς ἑαυτοῦ συναισθήσεως δικαστηρίων τὲ καὶ ἐλέγχων· ὥς ἄρά τινες ἴσως ἄλλοι τῶν ἀστείων καὶ οὐδὲν ἐλευθερίας ἐπίπροςθεν ποιουμένων καὶ ἀληθείας, καὶ οὐ μόνον τοῖς ἄλλοις ἀνθρώποις, ἀλλὰ καὶ ἑαυτοῖς πολιτευομένων, αὐτοί γ' αὐτοὺς[18]), κἂν εἰ μή τις ἔξωθεν παίοι, πείθουσι τῶν μὴ προςηκόντων σφίσιν ἀπέχεσθαι, καὶ τῶν ἀλλοτρίων πᾶσα ἀνάγκη τοῖς ἄλλοις, οἷς αὐτῶν μέτεστιν ἐξίστασθαι, καὶ μὴ κατειρωνεύεσθαι τῶν πολλῶν, καὶ τῆς αὐτῶν εὐηθείας κατεπεμβαίνειν πλείω τῶν ἐνόντων ἀπατηλῶς ἐπιδεικνύμενοι· καὶ ταῦτα μάλιστ' ἐνὸν ἀφθόνως ταῖς οἴκοι μακραῖς οὐσίαις, καὶ ἀνεμεσήτως καθάπαξ χρῆσθαι καὶ θαυμάζειν ὄντως[19]) ἀξίως. Οἷον δὴ καὶ περὶ τῆς Ἀριστοτέλους νῦν εἶναι δοξοσοφίας εἶχεν ὁ λόγος, καὶ ἃ μήπως ἔστιν αὐτῷ δίκαια τῆς τῶν πολλῶν ἀμαθίας καὶ ὀλιγωρίας[20]) κλεπτούσης, καὶ ταῦτ' ἐπὶ πολλοῖς τοῖς κατ' αὐτὸν θησαυροῖς καὶ μεγάλῃ κατὰ φύσιν καὶ ἀληθεῖ δόξῃ, καὶ ὧν πᾶς τις νοῦν ἔχων ἀγάσαιτ' ἂν εὖ μάλα, οἷον ὡς ἂν δι' ἑνὸς ὑποδείγματος ἐν βραχεῖ[21]) τινι τὸ πιστὸν τῷ λόγῳ δοίημεν. Τὸ μὲν μαθηματικὸν

18) αὐτοὺς, Cdd. Aug. et Mon. ἑαυτούς.
19) ὄντως, abest a C. Mon.
20) ὀλιγωρ. C. Mon. ὀλιγορίας.
21) ἐν βρ. Monac. omittit ἐν.

τῆς φιλοσοφίας καθόλου καὶ μάλιστ' αὐτο δὴ τὸ σφαιρικόν τε καὶ ἀστρολογικὸν ὀψὲ τῶν χρόνων μετὰ τὴν τῆς φύσεως πολυπραγμοσύνην καὶ ἔρευναν καὶ θεωρίαν Ἕλλησιν ἧκεν ἀπ' Αἰγυπτίων τὲ καὶ Χαλδαίων, καὶ τριβήν τινα εἶχε καὶ χρῆσιν τοῖς περὶ Πυθαγόραν μάλιστα, καὶ ὅσοι μετ' ἐκεῖνον ἑξῆς διεδέξαντο τὰ τῆς τοιαύτης σπουδῆς, καὶ τὸ πλεῖστον ἐν Ἰταλίᾳ. Οὐ μὴν ἀλλ' ὅμως καὶ ἐν Ἕλλησιν ἐπιμελὲς ἦν περὶ τούτων καὶ πρὸ τῶν Ἀριστοτέλους χρόνων καὶ εἰς αὐτὸν Ἀριστοτέλην. Οὔπω δ' ἐξείργαστο παντελείως περὶ ταῦτα τοῖς Ἕλλησιν, οὐδὲ τὸ γιγνόμενον πᾶν ἀνυσίμως εἶχε τῇ φιλοσοφίᾳ, οὐδ' ὡς ὕστερον ἐπέδωκε μετ' Ἀριστοτέλην πόλλ' ἔτη τοῖς τῶν Καισάρων χρόνοις ἐνακμάσαν πάνυ τοι ὡς εἴ τι καὶ ἄλλο τῶν τῆς φιλοσοφίας. Αὐτός γε μὴν Ἀριστοτέλης ὁπηοῦν ἁψάμενος τῆς σπουδῆς ταύτης οὐ μάλα τοι φαίνεται περὶ ταύτην σχολάσας οὔθ' ὡς ἄρ' ἐν τοῖς ἄλλοις τῆς φιλοσοφίας εὖ μάλα ἠνυκὼς δείκνυται, καὶ συντετυχηκὼς σχεδὸν ἅπασι κάλλιστ' ἀπαλλάξας, ἀλλὰ δῆλος ἐστὶ τοῖς ἐπισκεπτομένοις ξὺν νῷ. Τοῦτο δὴ τὸ μέρος ἧττον ἔχων, ἢ ἄλλοι τῶν κατ' αὐτὸν τηνικαῦτα, καὶ οὐδ' ὅσον ὁ κατ' ἐκεῖνον τότε χρόνος ἐδίδου πᾶν ἄρα σπουδάσας καὶ συλλεξάμενος ἀμείωτον, ἀλλ' ἐπιδείκνυται κἂν τούτοις ὅμως τὰ συχνὰ τὰ ἐκ γεωμετρίας αὐτῷ περὶ πάντα οἱ τὲ [22]) συντάγμα-

22) τὲ, Aug. non agnoscit.

τα φυσικά τε καὶ λογικὰ καὶ τῶν μαθηματικῶν οὐκ ὀλίγη τῷ ἀνδρὶ χρῆσις καὶ μνήμη, καὶ οἷός τέ ἐστιν, ἣν ἄρα δύναιτο, τοὺς ἐντυγχάνοντας πείθειν καὶ μηχανῇ παρέλκειν, ὥςτ᾽ ἀμέλει λογίζεσθαι καθάπαξ αὐτὸν εὖ πράττειν κἀνταῦθα· καὶ οὐδὲν ἧττον ἴσως, ἢ κατὰ τἄλλα [23], περὶ ἃ σπουδάζειν αἱρεῖται, τῷ ὄντι προελόμενος κατὰ καιρὸν, ὡς ἂν αὐτὸς ἄμεινον τῶν πρὸ [24] αὐτοῦ τἀληθὲς κἀνταῦθα τῶν ὄντων, καὶ τῆς φύσεως εὑρηκώς τε καὶ κατανοήσας, καὶ φιλανθρώπως ὑποδεικνὺς εἰς βελτίωσιν τοῖς ἄλλοις. Περὶ γάρ τοι τῶν μαθηματικῶν οὐδ᾽ εἶναι οἱ χρείαν, ἃ μονοειδῆ [25]) τε ὄντα καὶ ἁπλᾶ [26]) καὶ ἀναμφήριστα κατὰ φύσιν, καὶ ἀεὶ παρὰ πᾶσι τὰ αὐτὰ ἅπαξ τοῖς φθάσασιν ἠκρίβωται πάντως καὶ δέδοται τοῖς σπουδαίοις, ὥςτε καὶ ἱκανῶς εἰδέναι, καὶ χρῆσθαι κατ᾽ αὐτά. Οὕτω περὶ πάντ᾽ ἄλλα τῆς παιδείας καὶ περὶ ταῦτ᾽ ἀνὴρ δοξοσοφῶν οὐκ ἄδηλός ἐστι· καὶ πῶς γὰρ οὐκ ἔμελλεν, ὅς γ᾽ οὐδὲ ῥητορικὰς τέχνας ἀπώκνησε νομοθετεῖν [27]) καὶ συντάττειν, πρὸς ὃ μηδεμία χρῆσις ἦν αὐτῷ πάντως, ἄλλα δῆτ᾽ ἐπιδηλότατα [28]) προελομένῳ, καὶ τὴν περὶ τὴν φιλοσοφίαν ἐπιμέλειαν αἵρεσιν προθεμένῳ τοῦ βίου·

23) τἄλλα, C. Mon. τὰ ἄλλα.
24) πρό, C. Mon. πρός.
25) ἃ μον. Cod. Aug. ἀμενοειδῆ: male.
26) ἁπλᾶ, C. Mon. ἁπλά.
27) νομοθετεῖν, Bloch. e Paris. Cod. νομοθετῆσαι.
28) δῆτ᾽ ἐπιδ. Cdd. Mon. et Aug. δή τ᾽ ἐπιδ.

ἀλλ᾽ ὑπ᾽ ἄκρας ὡς ἀληθῶς δοξοσοφίας καὶ τοῦ πάντ᾽ ἔχειν [29]) αὐτὸς μόνος παντέλειος δοκεῖν λογίζεσθαι, καὶ τοῦ πάντ᾽ εἰδέναι, πῶς ἂν εἴποιμι, τά τ᾽ ἐόντα, τά τ᾽ ἐσόμενα, πρό τ᾽ ἐόντα, καὶ ταῦτα σπουδάζει καὶ θαῤῥεῖν οἴεται δεῖν ἑαυτῷ, καὶ θαῤῥεῖν τῇ τῶν πολλῶν προλήψει περὶ αὐτοῦ [30]), καὶ τῆς αὐτοῦ μεγαλοφυΐας, ὡς ἐπιτυχεστάτης πάντως καὶ διαρκοῦς εἰς πᾶν γνωστικὸν εὕρημα, καὶ οὐδένας γε ἐπιτιμήσοντας ὅλως αὐτῷ περὶ ὁτουοῦν [31])· καὶ ταῖς ἀληθείαις μὲν ἔστιν αὐτὸν ἐν πᾶσι ξυνορᾷν πολύν τε καὶ ποριμώτατον, καὶ ἃ μὴ καθάπαξ ἐσπούδακε, μηδ᾽ ἔσχε τούτων ἀρχὰς, ὧν [32]) πάντως ἀπαραιτήτως δεῖ, καὶ ἃ μὴ πέφυκεν, ὡς εἰπεῖν. Ἀλλ᾽ ὅμως οὐχ ὁ αὐτὸς Ἀριστοτέλης ἔστιν ἐν πᾶσι τῆς τελειότητος καὶ πάσης ἀκριβείας τῶν προκειμένων εἰς θεωρίαν ἀριστεὺς, ἀλλὰ τοῖς μὲν τοιοῦτος, ὥςτε μηδὲ θαυμάζειν ἀξίως ἀτεχνῶς ἐξεῖναι, τοῖς δὲ ὅμως ἀνόμοιος ἑαυτῷ. Εἰρήσθω γὰρ οὕτω τοῦ ἀνδρὸς αἰδοῖ καὶ ὄντως δικαίως, πλήν γε ὅτι οὐκ ἄδηλός ἐστιν, εἴ τις ἐποπτεύοι σὺν νῷ [33]), τὰ μὴ ὄντα προςποιούμενος [34]).

---

29) ἔχειν, Bloch. σχεῖν, et hinc post μόνος inserit καί.

30) περὶ αὐτοῦ — ἐπιτυχεστάτης, in C. Aug. omiss.

31) ὁτουοῦν, C. Aug. ὁτοῦ οὖν.

32) ὧν, C. Mon. praemittit καί.

33) σὺν νῷ, C. Mon. σὺν θεῷ.

34) προςποιούμ. Cdd. Aug. et Mon. πρὸς ποιούμενος.

ΚΕΦ. ϛʹ.

Ὅτι πολὺ πάντες ἥδονται, οἷς ἂν *) συνεθισθῶσιν.

Οὐκ ἄρα τοσούτῳ καθορᾷν ἐστι καὶ ἴσως θαυμάζειν ἄξιον Ὀδύσσεα, τὸν τῆς Ἰθάκης καὶ τῶν Κεφαλλήνων ἡγεμόνα, τοὺς τῆς πατρίδος ποθοῦντα καπνοὺς [1]) καὶ πρὸς αὐτοὺς σπεύδοντα, καὶ πολλῷ πρόσθεν ἄγοντα τὰς ἐν φαύροις [2]) νησιδίοις καὶ αὐχμηροῖς συνήθεις διατριβὰς καὶ τὴν ἐν αὐτοῖς ἰσχνότητα καὶ στένωσιν τῆς ζωῆς, ἢ τὰς ἐν ἀλλοτρίοις καὶ ἀήθεσιν αὐτῷ χώροις καὶ ἀποδημίαις καὶ πλάναις τῶν οἴκοι μετὰ λαμπρότητος ἡδονὰς πάνυ τοι πλείστας [3]) καὶ ῥαστώνην ζωῆς, οἵαν ἐπιπόθητον ἀνθρώποις καὶ ὑγρὸν βιοτὸν καὶ λυτὸν, καὶ ὅσα πρὸς εὐμάρειαν βιώσεως θέλγητρα· οὐ τοσοῦτο τοίνυν τὸ κατ' ἐκεῖνον καθορᾷν ἐστιν, ὡς εἴρηται, ὅσον δὴ Σωκράτην αὐτὸν καὶ Πλάτωνα τοὺς ὑπερανιαβάντας τὰ φαινόμενα πάντα ποθεινὰ κατ' ἀνθρώπους, ὥς γ' ἐδόκουν, οἷς ἐβίουν, οἷς ἔλεγον ὑπερφρονοῦντες ὡς ἀληθῶς τοὺς τῆς ὕλης καὶ τοῦ σώματος δεσμοὺς, καὶ μηδὲν ἀξιοῦντες τοῖς ἄλλοις ζῆν ἢ ἑαυτοῖς καὶ τῷ λόγῳ καὶ τῇ κρίσει τοῦ βελτίστου καὶ ὄντως ἀγαθοῦ, καὶ μετὰ τούτων ὅμως τῶν λόγων καὶ τῶν λογισμῶν τῶν Ἀθήνησιν ἀτρέπτως ἐχομένους

*) οἷς ἂν, C. Mon. εἰς ἅ.

1) καπνοὺς, cf. Hom. Odyss. 1, 58. vbi est καπνόν.

2) φαύρ. Cdd. Aug. et Mon. φλαύροις.

3) πλείστας, C. Mon. πλεῖστας.

διατριβῶν [4]), καὶ τοὺς ἐν Λυκείῳ καὶ Ἀκαδημίᾳ περιπάτους τὸν ἅπαντα τῆς ζωῆς χρόνον οὐκ ὀλίγον γενόμενον ἀμφοτέροις, καὶ τὰς ἐκεῖσε μετὰ τῶν νέων καὶ τῶν ἄλλων σπουδαστῶν ὁμιλίας φιλοῦντας καὶ στέργοντας ἐπιεικῶς ὡς ἥδιστα, καὶ κομιδῇ φιλοχωροῦντας καὶ προςτιθεμένους ὁλκῇ καρδίας λιπαρεῖ, καὶ προςπάσχοντας ὡς ἀμέλει πάντες ἄνθρωποι, οἷς ξυνέλαχον. Σωκράτης μὲν γε [5]) λέγεται δίς που, ἢ πρὸς ἔτι βραχὺ τῆς Ἀττικῆς ἀποδημήσας ἐν στρατείαις, καὶ τοῦθ᾽ ὑπ᾽ ἀνάγκης νόμου [6]). Καὶ μὴν ἔτι πλέον [7]) χρόνου τινὸς ὀλίγου πάνυ τοι γενόμενος ἐν Μακεδονίᾳ, πῶς ἂν εἴποι τὶς, ἀσμενέστατα ταχὺς ἔπειτα ἐπανήκων [8]) οἴκοι ποθεινότατα ἀπαντᾷν εἰς τὰς φιλτάτας ὁμιλίας τοῖς ἐπιτηδείοις ἐν Λυκείῳ, καὶ καταγηρᾷν Ἀθήνησιν ἐν τοῖς τοιούτοις ὡς ἥδιστα, μέχρις ἂν ὑπὸ τῶν φίλων πολιτῶν καὶ τῆς ἐρωμένης πατρίδος ἐπϊκαταδίκῃ [9]) θανάτου, ὡς ἂν αὐτὸς ἔχθιστος ὢν [10]) σφίσι, καὶ τὰ μέγιστ᾽ ἀδικῶν καὶ λυμαινόμενος, τὸ κώνειον [11]) πίοι. Πλάτων δ᾽

---

4) διατριβῶν, C. Mon. διατρίβων.

5) μὲν γε, C. Aug. omittit γε.

6) νόμου, C. Mon. μόνον.

7) πλέον, Mon. τέλειον.

8) ἐπανήκων, C. Aug. ἐπανήκεν.

9) ἐπϊκαταδίκῃ, ita etiam Cdd. Paris. Germ. Aug. et Mon. fortasse ἐπὶ καταδίκῃ, vt Cod. Paris. Reg.

10) ὢν, C. Mon. male ἂν, nec melius C. Aug. mox μέγιστος pro μέγιστ᾽.

11) κώνειον. C. Aug. κώνιον.

αὐτὸς εἰς Αἴγυπτον ἐπ' ὀλίγον ἀποδημήσας ἔρωτι καὶ ἱστορίας [12]) τῆς ἐκεῖσε χώρας τε καὶ σοφίας, καὶ τῇ Σικελίᾳ, καὶ τοῖς ἐν αὐτῇ τυράννοις ὑπὲρ φιλοσοφίας καὶ φίλων συμμίξας τάχισθ' ὅμως καὶ οὗτος τῆς [13]) συνήθους γίγνεται βιώσεως πόλλ' ἐξανύτων ἔτη εἰς αὐτὸ τῆς ζωῆς τοὔσχατον, καὶ αὐτὸς μὴ παντάπασιν εὐτυχῶς ἀπαλλάξας οἴκοι τοῦ βίου, ἀλλ' ἀγνωμόνων πειραθεὶς [14]) τῶν φιλτάτων τέως καὶ κατολιγωρηθεὶς [15]) ἐν τοῖς τελευταίοις τῆς ζωῆς, ὑφ' ὧν οὐκ ἐχρῆν οὐδ' ἂν ποτ' ᾠήθη. Καὶ ἄλλοι γε μὴν τῶν ἀπὸ τοῦ παντὸς αἰῶνος εὐδοκίμων ἀνδρῶν καὶ ξυνεωρακότων εὖ μάλα τἀνθρώπινα πράγματα, καὶ ὅσοι ἐν Ἕλλησι, καὶ ὅσοι γενῶν ἄλλων εὐγενῶν [16]) τε καὶ μὴ, καὶ ὅσοι θεοσεβείας ἀληθοῦς ἐπέτυχον πάλαι τε καὶ νῦν, καὶ συνεβίωσαν τῇ τῆς θείας φύσεως ἀνόσῳ καὶ ἀνευθύνῳ ἐπιγνώσει καὶ λειτουργίᾳ, καὶ ὅσοι μὴ, ἀλλ' ἐξετράπησαν [17]) τῶν καλλίστων καὶ τῆς ὄντως ἀληθείας, ἢ γνώμαις οἰκείαις πιστεύοντες, ἢ προλαβούσαις ἀγωγαῖς καὶ πατρίοις ἐκ πολλοῦ κακοὶ κακῶς τε καὶ ἀμαθῶς ἑπόμενοι, καὶ ὅλως ἅπαντες ἄνθρωποι, ὅσοι τῶν πολλῶν, τί πλέον ἔσχον ἢ ἔχουσι, καὶ ὅσοι μηδὲν περὶ τῶν

12) ἱστορίας, Cdd. Aug. et Mon. ἱστορίαις.
13) τῆς, C. Aug. non exhibet.
14) πειραθεὶς, C. Mon. πειρασθείς.
15) κατολ. C. M. κατολιγορηθείς.
16) εὐγενῶν, omiss. in C. Mon.
17) ἐξετράπ. C. Aug. ἐτράπησαν.

ὄντων ἐπαΐουσιν ἀκριβές, ἀλλὰ τὸν βίον ἕλκουσιν ἄλλως· τὸν ἀσυλλόγιστον καθάπαξ τρόπον οἱ μὲν ἧττον, οἱ δὲ μᾶλλον σφόδρα δὴ προςανέχουσι, καὶ ὅλοι πρόςκεινται στέργοντες ὡς ἥδιστα καὶ ἀνεπιστρόφως πάσῃ διαθέσει ψυχῆς, οἷς ἂν ξυλλάχωσιν ἐξ ἀρχῆς τόποις καὶ πατρίσιν, ἢ ἐπιτηδεύσεσιν αἷςτισιν ἄρα βίου καθ' αἵρεσιν ἢ τύχην, ἢ ὅλως γ' ἐρεῖν τῆς συνήθεσιν αὐταῖς τοῦ ζῆν ἀγωγαῖς, καὶ οὐκ ἂν ῥᾷστα ἀποτρέποιντο χαίροντες ὅλῃ ῥώμῃ τῷ παθητικῷ τῆς φύσεως, οἷς [18]) εἰσὶν, οἷς ὑπὸ χρόνον [19]) ἕκαστοι ᾠκείωνται, καὶ πάντας ὡς βέλτιστα πράττουσι σφίσι προςέχειν ἀξιοῦντες καὶ συμπείθοντες, ὡς ἂν οἷοί τ' εἶεν [20]), καὶ μάλ' ἀχθόμενοι, ἢν ἄρα τὶς ὀλιγωροίη τῶν κατ' αὐτοὺς ὡς οὐδένων, ἢ καταντιῷτο παραβαλλόμενος ὡς ἄρα φαύλως ἐχόντων. Καὶ οὐδείς ἐστιν, ὃς οὐ βούλεται καὶ οἴεται τὰ σφέτερα αὐτοῦ κάλλιστ' ἔχειν, καὶ κάλλιστ' ἔχειν [21]) δοκεῖν, καὶ οὐδεὶς, ὃς οὐχ ἥδεται καὶ κατέχεται σφόδρα, οἷς καθάπαξ εἴθισται· τὸ γὰρ δὴ πρός τινος παρεμπιπτούσης τύχης ἀφίστασθαι τῆς εἰθισμένης [22]) κοινωνίας καὶ ἕξεως ἀνιαρότατόν ἐστιν, ὅτι καὶ ἀφίστασθαί [23]) πως ἐστὶν ἑαυτοῦ· ἡ γὰρ

18) οἷς, C. Aug. οἱ.

19) ὑπὸ χρόνον, C. Aug. iunctim ὑπόχρονον.

20) εἶεν, C. Mon. ἦεν.

21) καὶ κάλλ. ἔχειν, omiss. a C. Mon.

22) εἰθισμ. C. Aug. ἰθισμ.

23) ἀφίστ. C. Mon. ἀφίκεσθαι.

ἔθιμος ἀγωγὴ μονή τίς ἐστιν ἐν ἑαυτοῦ, καὶ ταὐτὸ τῆς ζωῆς, καὶ τὸ [24]) μεταβάλλειν λοιπὸν ὁπηοῦν ἄλλως, ἢ κατ' ἔθος μεταβάλλειν ἐστὶ τὸ ζῆν καὶ τὸ εἶναι, καί πως [25]) ἐξίστασθαι ἑαυτοῦ καὶ θνήσκειν τὸ μέρος οὕτω δή. Φθορὰ γάρ ἐστι τὸν τρόπον τοῦτον ὀντότητος [26]) τῷ ζώῳ, ἣ καθ' ἣν πάντως μετέβαλε [27]) διάθεσιν, ταύτῃ τέθνηκε καὶ ἥδεται κατὰ φύσιν εὖ μάλα δῆλον τῇ ἀμεταβλησίᾳ καὶ διατριβῇ τοῦ ζῆν καὶ ἀγωγῇ ἐν ταυτότητι, καὶ τοὐναντίον πᾶσα ἀνάγκη πάσχει τῷ ἐναντίῳ, ἄχθεται τῇ λύσει καὶ τομῇ [28]) τῆς κατ' ἔθος ἕξεως καὶ ζωῆς. Ὅθεν δὴ [29]) καὶ μὴ πόῤῥω λόγου τοῖς πολλοῖς εἰρῆσθαι, καίτοιγε δοκοῦν ἐπιπολαιότερον εἰρῆσθαι τὸ φύσιν εἶναί πως τὸ ἔθος· μονὴ [30]) γάρ ἐστι, ᾗπερ εἴρηται, ζωώσεως καὶ ὁλκὴ βίου τὸ ἀμετάβλητον. Καὶ γὰρ δὴ τοῦ λόγου τῆς ψυχῆς καὶ παθητικοῦ καθ' ἡμᾶς ἐστιν ἕξις καὶ ἐνέργεια· ᾧ [31]) δὴ καὶ αὐτῷ πᾶσα ἀνάγκη οὐσιώμεθα καὶ ζῶμεν καὶ ἐσμέν, καὶ τούτῳ δὴ τῷ μέρει τῆς ψυχῆς κοινὰ πρὸς τἄλλα τῶν ζώων τῶν ἀλόγων ἔχοντες, καὶ παραπλήσια ζῶμεν αὐ-

---

24) τὸ, non habet C. Mon.

25) καί πως, C. Mon. καὶ πῶς.

26) ὀντότ. C. Aug. οὐτότητος.

27) μετέβαλε, C. Mon. μετέβαλλε.

28) τομῇ, Cdd. Aug. et Mon. τὸ μή.

29) δή, C. Aug. δέ.

30) μονή, C. Mon. μόνη, non apte.

31) ᾧ, Cdd. Aug. et Mon. ὅ.

τοῖς καὶ συνδιατιθέμεθα πρὸς ἡδονὴν καὶ ἀνίαν τῷ ἀλόγῳ κοινῇ τῆς ψυχῆς. Ταῦτ᾽ ἄρα καὶ ὥςπερ ἐκεῖνα κατ᾽ ἔθος πράττοντα χαίρει, καὶ οἷς ἂν ξυλλάχοι χώροις ἢ νομαῖς ἢ κοινωνίαις ἢ αἴςτισιν [32]) *ἄρα βιώσεσιν ἥδεται καὶ προςπάσχει παραπλησίως, καὶ ἄνθρωποι χαίρουσιν, οἷς ἂν ξυλλάχωσι καὶ κατ᾽ ἔθος οἰκειωθῶσι, καὶ πρόςκεινται* [33]) *σφόδρα τῷ κοινῷ πάντες μέρει τοῦ εἶναι, καὶ τῆς ζωῆς τῷ τῆς ψυχῆς παθητικῷ καὶ ἀλόγῳ, ἧς ἄρα ζωῆς καὶ τὸ ἥδεσθαί τε καὶ τοὐναντίον ἐστὶ κοινὸν τοῖς τε ἄλλοις τῶν ζώων, καὶ τοῖς ἀνθρώποις συμπεφυκός. Ὃ καὶ τέμνειν μὲν οὐκ ἂν εἴη βιώσεως καὶ οὐσίας ἡμῖν ἀπαραίτητον μέρος, διοικεῖν δὲ ἴσως ἂν ἐξείη πρὸς τἄμεινον, ὅσοις τοι ξυμβέβηκεν, ἢ θείῳ τινὶ δώρῳ καὶ τύχῃ* [34]), *ἢ κράτει γνώμης, ἢ κατ᾽ ἀμφότερα μάλιστα πάσχειν εἰθίσθαι καὶ ἥδεσθαι τὰ βέλτιστα. Καὶ τοίνυν κάλλιστά μοι δοκεῖν εἰρῆσθαι καὶ κομιδῇ γ᾽ ἐπαινεῖν ἔγωγε ἀξιῶ πολλάκις ἐν μνήμῃ λαμβάνων τὸ τῶν Πυθαγορείων ἐκεῖνο· Βίον ἑλοῦ* [35]) *τὸν ἄριστον, τὸν δὲ ἡδὺν ἡ συνήθεια ποιήσει, τὸ* [36]) *γὰρ εἰθισμένον, ὅπως πότ᾽ ἄρ᾽ ἔχον, σφόδρα ἐστὶν ἐπαγωγὸν εἰς ἡδονήν. Καὶ τοῦτ᾽ ἐστὶν ὁ λόγος ὡς ἀσκητέον κατ᾽*

---

32) **αἴςτισιν**, C. Mon. modo **αἷς.**

33) **πρόςκ.** C. Mon. **πρόςκειται.**

34) *τύχῃ*, C. Aug. *τύχοι*: male.

35) *Βίον ἑλοῦ*, sic etiam Bloch. p. 44. sed C. Aug. *βιοῦ*: Mon. *βίου*: vterque male, vid. Erasm. Adag. p. 129.

36) **τὸ**, C. Mon. **τὸν**, et mox **ἔχειν** pro **ἔχον.**

ἔθος τὸ τῆς ψυχῆς ἄλογον ἀπαραίτητον πάντως [37]) ὂν τῇ φύσει καὶ ἄτμητον περὶ τὰς ἀμείνους τῷ λόγῳ χρήσεις, καὶ αὐτίκα συνέσθαι πάντως τῷ ἔθει τὸ ἥδεσθαι συμπεφυκὸς ἄτρεπτον αὐτῷ κατ' ἀνάγκην καθάπαξ ἄφυκτον. Καὶ μὴν αὖθις διὰ τὸ ἥδεσθαι βεβαιοῦται καὶ ἀκίνητα μένει τὰ βέλτιστά γε τῶν ἐθῶν [38]), καὶ ἀλλήλων γ' ἐστὶν ὡς ἀληθῶς αἴτια· τῷ τε γὰρ ἔθει τὰ τῆς ἡδονῆς αὐτόθεν οὐσιοῦται, καὶ τῷ ἥδεσθαι λοιπὸν ἔπειτα μάλα [39]) αὖθις βεβαιοῦται καὶ πήγνυται [40]) κατ' οὐδὲν ἄῤῥηκτα τὰ τοῦ ἔθους. Καὶ γὰρ δὴ καὶ τοῦτο κάλλιστ' εἴρηται Πλάτωνι, καὶ οὐκ οἶδ' ὡς εἴ τι καὶ ἄλλο τῶν αὐτοῦ τό· περόνην [41]) εἶναι τινὰ τὴν ἡδονὴν τῇ ψυχῇ ἐφ' ἑκάστου πράγματος, οὗ γένοιτ' ἄν· καὶ ἅμα τέ τις ἥδοιτ' ἂν ἐφ' ὅτῳ δὴ, καὶ ἅμα περόνῃ τινὶ δῆτ' ἐντεῦθεν πρὸς αὐτὸ συνδεῖται [42]) μάλ' ἄῤῥηκτα [43]), καὶ ὃς ἄρα κατ' ἔθος ὁτιοῦν

---

37) καὶ τοῦτ' ἐστὶν vsque ad πάντως desunt in C. Aug.

38) ἐθῶν, C. Mon. ἐθνῶν, sed in margine γρ. ἐθῶν.

39) μάλα, C. Mon. μᾶλλ'.

40) πήγνυται, C. Mon. πήγνυσθαι.

41) περόνην, Cdd. Aug. et Mon. πόρνην, vti etiam Paris. In C. Cizensis margine scriptum est: πόρνην. Bloch. e coniectura legit περόνην pro πόρνην, ita vt sensus exeat hic: Voluptatem esse quasi fibulam et vinculum, quo animus rebus, in quibus diu versetur, annectatur. Inseqq. περόνῃ τινὶ — συνδεῖται et περονᾶται τῷ ἔθει firmant lectionem Cod. nostri περόνην.

42) συνδεῖται, C. Mon. συνδεῖναι.

43) μάλ' ἄῤῥηκτα, μᾶλλ' ἄῤῥ. C. Mon. ἄρηκτα, ita etiam C. Cizens. sed alterum ρ superscriptum est.

εὖ τ' ἔχον, καὶ μὴ σύνεστιν ὁτῳοῦν πράγματι, καὶ ἥδεται πάντως, ὅτι τοῦτο πᾶσα ἀνάγκη τῷ ἔθει σφόδρ' ἔτι περονᾶται τῷ ἔθει διὰ τὴν ὑπ' αὐτοῦ καὶ ἐπ' αὐτῷ ἡδονὴν, καὶ οὐ ῥᾶστα 44) τέμνεται δι' ἣν ἄρα τὴν αἰτίαν ὁρῶμεν, καὶ ὃ προὔκειτο νῦν λέγειν, ὅτι δὴ πάντες ἄνθρωποι καὶ αὐτοί γε οἱ τῶν πολλῶν βελτίους δεινῶς πρόςκεινται, καὶ ὡς ἥδιστα προςπάσχουσιν, οἷς ἂν ξυλλάχωσι καὶ κατ' ἔθος ὁτιοῦν οἰκειωθῶσιν ἢ τόποις, ἢ πατρίσιν, ἢ οἰκήσεσιν, ἢ βίου τὸ ἐξ ἀρχῆς χρήσει καὶ τύχῃ, ἢ κοινωνίαις ἀνθρώπων, ἢ πράξεων.

ΚΕΦ. ζ'.

Περὶ τῆς εἰς τὸν Πυθαγόραν πάντων τῶν σοφῶν εὐλαβείας, καὶ περὶ τοῦ Μαθηματικοῦ.

Τὴν εἰς τὸν Πυθαγόραν εὐλάβειαν οὐ Πλάτωνος μόνον, ἀλλὰ καὶ Ἀριστοτέλους αὐτοῦ θαυμάζειν ἔπεισί μοι κομιδῇ κατὰ νοῦν λαμβάνοντι τὸ πρὸς πάντας ἀφειδὲς καὶ ἀμφοτέρων, ὅσοι πρὸ 1) αὐτῶν περὶ σοφίαν ἐπόνησαν 2) καὶ γνώμας τινὰς καὶ δόγματα τοῖς μετ' αὐτοὺς ἑξῆς, ὥςπέρ τινας ἐράνους εἰς τὸ κοινὸν τῇ φιλοσοφίᾳ συντελέσαντες ὤφθησαν. Πλάτων μὲν γὰρ οὐθ' ὅλως αὐτοῦ μνησθῆναί μοι δοκεῖ δια πάντων αὐτοῦ συνταγμάτων, ὥςτε καὶ ὁτιοῦν

44) οὐ ῥᾷστα, C. Mon. οὐ non exhibet.

1) πρὸ, Cdd. Mon. et Aug. πρὸς, mendose.

2) ἐπόνησαν, C. Mon. ἐπήνεσαν.

ἐπιπλῆξαί οἱ καὶ κατελέγξαι τὸν ἄνδρα τῆς ἀληθείας καὶ τῶν ὄντων ἀποτυγχάνοντα, ὥςπερ δὴ καὶ τοὺς ἄλλους τοὺς πρὸ αὐτοῦ πολλάκις ὁρᾶται τοῦτο ποιῶν, πόθεν; ὅςγε καὶ τὰ κάλλιστα τῶν αὐτοῦ περὶ φύσεως διὰ Τιμαίου πρὸς ἡμᾶς φθέγγεται, ὅς εἰ καί τις ἄλλος τῶν ἐν Ἰταλίᾳ καὶ Σικελίᾳ, ἢ μᾶλλον ἐρεῖν [3]), καὶ ὡντινωνοῦν ἁπανταχοῦ τῆς γῆς Πυθαγορείων [4]) ἐν πρώτοις μάλιστ᾽ ἐστίν. Ἀλλὰ καὶ συχνὰ συνέπραξε, καὶ εἰς κοινὸν ἧκε Πλάτων τοῖς ἄλλοις ὀνομαστοῖς τῶν Πυθαγορείων ἐν Ἰταλίᾳ, καὶ συχνὰ πρὸς αὐτοὺς τοῦ ἀνδρὸς ἐν ἐπιστολαῖς γράμματα· Ἀριστοτέλης δ᾽ αὐτὸς τῶν μὲν ἄλλων ἁπάντων μεγαλωνύμων τε καὶ τῆς φιλοσοφίας ἐκλόγων [5]) προστατῶν, καὶ αὐτοῦ γε μὴν Πλάτωνος ὧτα μέγιστ᾽ ὀφείλειν δίκαιος ἦν, λαμπρῶς κατεξανέστη καὶ θριαμβεύει τὰ κατ᾽ αὐτοὺς ἐν πᾶσι τοῖς αὐτοῦ, πῶς ἂν εἴποι τις, ἀνέδην ἐμπομπεύων, ὡς ἄρ᾽ αὐτὸς [6]) κομιδῇ περιγινόμενος [7]) τὴν ἐπίγνωσιν πᾶσαν τῆς ἀληθείας τῶν ὄντων καὶ τῶν δικαίων τῆς φύσεως εὖ μάλ᾽ ἐπιτυγχάνων, αὐτοὺς δὲ πολὺ τῶν εἰκότων ἔξω φέροντας, καὶ πάσης ἐπιτιμήσεως καὶ εὐθύνης ἀξίως. Πρὸς δὲ δὴ Πυθαγόραν οὕτως ἀμέλει φείδεται καὶ

3) ἐρεῖν, C. Aug. ἐρῶν.

4) Πυθαγ. C. Mon. Πυθαγορίων.

5) ἐκλόγων: sic legunt Cdd. omnes; verum legendum esse putaverim ἐκλογίμων, vt c. 78. et 96.

6) ἄρ᾽ αὐτός, Cdd. Aug. et Mon. ἄρα αὐτός.

7) περιγινόμ. C. Aug. περιγενόμενος.

σφόδρα ἄνθρωπος αἰδήμων ἐστὶν, ὥςτε[8]) καὶ πρὸς αὐτὸ τοὔνομά[9]) γ' ἐμοὶ δοκεῖν εὐλαβῶς ἔχειν ἔοικε, καὶ τῶν ἀπ' αὐτοῦ κληθέντων οὐδὲ τοῦτ' ἐν πλείστοις τῶν αὐτοῦ, μεμνημένος δ' οὖν τῶν αἱρεσιωτῶν τοῦ ἀνδρὸς οὐ πάνυ τοι κατατρέχων ὁρᾶται, οὐδὲ πικρῶς ἁπτόμενος, ὥςπερ δὴ τοῖς ἄλλοις συνεχῶς δριμὺς ἐπανίσταται καὶ παντὶ τρόπῳ κατεπιχειρεῖ πλέον αὐτὸς ἔχειν ἐν πᾶσιν, οἷς ἂν σὺν αὐτοῖς κοινῶς προὔθετο. Ταῦτ' ἄρα καὶ μακαρίζω τῆς τύχης ἔγωγε Πυθαγόραν, ἣ ξυνέλαχεν ἐξ ἀρχῆς εἰς τέλος ἐν Ἕλλησι, μᾶλλον δὲ καὶ[10]) τῶν ἄλλων ἐν οὐκ ὀλίγοις οὐδὲ φαύλοις γενῶν· αὐτός τε γὰρ ἐν αἰδοῖ πάσῃ καὶ δόξῃ μεγίστῃ πόλλ' ἔτη βιώσας εὖ μάλ' ἀνύσας διαγέγονε, καὶ μέγιστον αὐτοῦ κλέος ἐν τοῖς αὐτοῦ χρόνοις καὶ τῇ ζωῇ καὶ πολλοὶ τῆς αὐτοῦ σοφίας κατ' αὐτὸν καὶ τοῦ βίου ζηλωταὶ, καὶ πλεῖστον ἐσπούδασαν περὶ αὐτὸν, ὅσοις[11]) ἂν ξυλλάχοι, καὶ ὅσοι φοιτήσαιεν ἂν ὅλως ἐς αὐτοῦ, ὡς ἄρα περὶ ἕνά τινα ἄλλον οὐδένα τῶν πάνυ καὶ ὀνομαστῶν ἐκείνων ἐν φιλοσοφίᾳ περιφανῶν καὶ μεγίστης τυχόντων δόξης. Καὶ ἐπειδὴ τὸν βίον ἐτελεύτα, πολλοὶ τὴν αἵρεσιν ἐνόμισαν καὶ διεδέξαντο καὶ προςέσχον τὸν νοῦν εὖ μάλα γεννικῶς οὐκ ἐν Ἕλλησι μόνον[12]), οὐδ'

8) ὥςτε, C. Mon. τε non habet.

9) τοὔνομά γ', C. Aug. male: τ' ουνομάγος, et C. Mon. γ' omittit.

10) καὶ abest a C. Mon.

11) ὅσοις, C. Aug. ὅσοι, vitiose.

12) μόνον, C. Mon. μόνως.

ἐν Ἰταλίᾳ τὲ καὶ Σικελίᾳ, ᾗ δὴ μάλιστα πολὺς ὁ Πυθαγόρας ἤκουσεν ἐπὶ πλείστων τῶν χρόνων ἀκμαστικῶς πάνυ τοι, ἀλλ' ἤδη καὶ κομιδῇ πόῤῥω βαρβάροις καὶ τοῦ κοινοῦ [13]) γένους αὐτῷ καθάπαξ ἀλλοτρίοις ἀνδράσιν, Αἰγυπτίοις τὲ καὶ Χαλδαίοις, καὶ μὴν ἔτ' ἐκ τούτων Ἀσσυρίοις τὲ καὶ Πέρσαις, οἷς ἄρα δη πολλὰ κοινὰ πρὸς αὐτὸν τῆς αἱρέσεως τῆς σοφίας· καὶ τοῦτ' ἐκεῖθεν ἀμέλει τῶν αὐτοῦ χρόνων ἄχρι καὶ δεῦρο, καὶ οἷς μηδ' ἴσως τοὔνομα τοῦ ἀνδρὸς ἔγνωσται, τὰ ἐκείνου δ' ὅμως σπουδάζεται δόγματα. Καὶ ἡ περὶ τὸ μαθηματικὸν τῆς φιλοσοφίας μοῖρα κατ' ἐκεῖνον, καὶ οἱ ἐξ ἐκείνου τοῖς μετ' αὐτὸν ἐξεδέχθη καὶ νενόμισται, καὶ τοῖς νῦν ἐν τοῖς εἰρημένοις ἔθνεσι σοφοῖς ἀνδράσι κρατεῖ μάλισθ', ὡς οὐκ οἶδ', εἴ που καὶ ἀλλαχοῦ τῆς γῆς. Καὶ μὴν τοῦτ' ἔμοιγε δοκεῖ τὸ τῆς μαθηματικῆς ἐπιστήμης, ἧς τὰ πρῶθ' ὡς ἀληθῶς ἐν ἀνθρώποις ἀνὴρ ἐκεῖνος φέρεται καὶ τῆς εὐδαίμονος καὶ περιφήμου καὶ τιμίας αὐτῷ τύχης αἴτιον καὶ ζῶντι καὶ τελευτήσαντι τὴν ζωὴν, καὶ τῆς παρὰ Πλάτωνος καὶ Ἀριστοτέλους αἰδοῦς τῶν ἄκρων τὴν σοφίαν, καὶ πάντας ὑπερφρονησάντων καὶ πάντας τοὺς ἄλλους ἐπιτιμᾷν ἀξιούντων ὡς ὑπευθύνους. Πλάτων μὲν γὰρ αὐτὸς περὶ μαθηματικὸν τῆς φιλοσοφίας δῆλος ἐστὶν ὅλικῶς προσέχων καὶ προσκεί-

13) κοινοῦ, C. Mon. κοινικοῦ.

μενος, καὶ τοσούτῳ γε μάλιστα, ὥςτε καὶ τῶν κατὰ φύσιν αὐτῶν, καὶ τῶν ὑπὸ γένεσιν καὶ κίνησιν τὰς μαθημματικὰς ἀρχὰς αἰτιᾶσθαι, καί πως [14]) ἐντεῦθεν ἀφορμὰς Ἀριστοτέλει δοῦναι καὶ τοῖς περὶ τὸ φυσικὸν σπουδάσασιν αὐτὸν αἰτιᾶσθαι, ὡς μὴ κατὰ καιρὸν ἐνταῦθα χρώμενον. Καὶ πλεῖστα Πυθαγόρᾳ κοινὰ καὶ Πλάτωνι, ὅςτις ἂν νοῦν ἔχων ἐπισκοποίη, καὶ δόγματα ὁμόλογα, οἷον δὴ τὸ περὶ τῆς ἀθανασίας τῆς ψυχῆς καὶ τὸ μεταβατικὸν αὐτῆς ἀπὸ σωμάτων εἰς σώματα, καὶ τὸ προενεῖναι τὰ εἴδη τῶν ὄντων αὐτῇ, κἀντεῦθεν τὰς μαθήσεις οὐδὲν ἄλλο ἢ ἀναμνήσεις εἶναι, καὶ ἄλλ' οὐκ ὀλίγα περί τε τοῦ θεοῦ καὶ τῶν ἠθικῶν κρίσεων. Καὶ ὅλος Πυθαγόρειος Πλάτων εἶναι δοκεῖ τὸ μέρος, καὶ πλεῖστον μὲν δὴ τὸ πιστὸν τῷ νῦν τούτῳ λόγῳ διὰ τῶν ἐκδεξαμένων τὰς ἀγράφους αὐτοῦ παραδόσεις, ὡς ἱστορεῖν ἐστι, καὶ τῶν αὐτοῦ διαδόχων ἑξῆς. Ὑπεμφαίνει δ' οὖν ὅμως καὶ τὰ ἐν τοῖς συντάγμασιν αὐτοῦ πλείστας ἄρα καὶ [15]) τὰς ἀπὸ τοῦ μαθηματικοῦ χρήσεις φέροντα καὶ ἐν πλείστοις, καὶ αἱ κατὰ τὴν γένεσιν τῆς τοῦ παντὸς ψυχῆς κράσεις, καὶ οἱ τῶν ἀριθμῶν λόγοι πρὸς τὸ μουσικὸν σύμφωνοι, εἰ δή [16]) τις ἀμέλει τὰ κατὰ τὴν μουσικὴν ἐτελέ-

---

14) καί πως, C. Aug. καὶ πῶς. In C. Mon. verba καί πως vsque ad αἰτιᾶσθαι desunt.

15) καί, omiss. in C. Mon.

16) εἰ δή, C. Aug. εἰ δέ.

σθη[17]), καὶ δύναιτ' ἂν ἐπαΐειν καὶ τοῖς λεγομένοις ἕπεσθαι. Καὶ πολλὴ καὶ πολλαχοῦ Πλάτωνι κατὰ Πυθαγόραν ἡ περὶ τοῦ ἀριθμοῦ θεωρία, μᾶλλον δὲ σεμνηγορία καὶ τῆς κατ' αὐτὸν κρείττονος οὐσίας καὶ ἀρχεγόνου πάντων οὐσιώσεως, καὶ πόνος οὐκ ὀλίγος τὰ πάντα νῦν εἶναι περὶ τούτων τοῦ Πλάτωνος ἐνταῦθα φέρειν. Καὶ τοίνυν ὁ σκοπὸς ἦν νῦν, πῶς ἄρ' ἦν, αὐτὸν ἑαυτῷ Πλάτωνα μάχεσθαι καὶ κατελέγχειν, ἃ τιμᾷ καὶ περὶ ἃ ἐσπούδακε[18]), καὶ τὸν τούτων ἐξαίρετον ἡγεμόνα ἄρισθ', ὡς οἷόν τ' ἦν, ἠνυκότα περὶ τὸν μαθηματικὸν τῶν ἀπὸ τοῦ παντὸς αἰῶνος ἀνθρώπων, ἴσα τοῖς πολλοῖς εὐθύνειν τὲ καὶ καταμωκᾶσθαι, ὧν ὀλιγώρως[19]) ἔχει, καὶ οὐκ αὐτοί γε εἰσὶ τἀνδρὶ τὰ φίλτατα. Ἀριστοτέλης δ' αὖθις περὶ τὸ φυσικὸν μάλιστα σπουδάσας, καὶ πάντων ἐνταῦθα τῶν πρὸ αὐτοῦ πλέον φέρεσθαι πειρώμενος κατατρέχειν αὐτῶν χώραν ἔχει, δριμὺς ἄνθρωπος ἐπιθέσθαι καὶ συνιδεῖν ἀνδρῶν, ἐν οἷς σπουδάζουσιν, ἁμαρτήματα, καὶ σπουδάζουσί γε μάλιστα περὶ τὸ τῆς ὕλης ἀόριστον καὶ οὐχ ἁπλοϊκὸν, οὐδ' ἄτρεπτον, ἀλλὰ καὶ πεφυκὸς ἐπαμφοτερίζειν, καὶ λαβὰς ἐμπαρέχειν τοῖς τἀναντία φρονεῖν αἱρουμένοις καὶ λέγειν, ὁποῖον ἐστὶν ἀμέλει τὸ περὶ τὴν γένεσιν θεωρητικὸν, καὶ ὅσα ῥοῇ καὶ κινήσει καὶ τροπῇ μυρίᾳ συμπέφυκε· τῆς δὲ κα

17) ἐτελ. C. Aug. ἐτελέσθαι.
18) ἐσπούδακε, C. Aug. ἐσπούδασε.
19) ὧν ὀλ. C. Mon. ὧν ὀλιγόρως, vitiose.

τὰ τὸ μαθηματικὸν ἁπλότητος καὶ ἀμεταβλησίας καὶ βεβαιότητος εὖ μάλ' ἐπαΐων ἔοικε πᾶσα ἀνάγκη καὶ τοῦτο δὴ ξυνορᾷν, ὡς ἄρα εἴ τις ἂν ἐνταῦθα περάνας ἐντελέστατ' ἔχει, καὶ τοῦ[20]) ὄντος ἐπιτυχῶς ἐνοειδοῦς[21]) τε ὄντος[22]), ὡς εἴρηται, καὶ ἀσείστως ἑστῶτος, καὶ οὐχ οἷον δὴ πρὸς ἀντιφάσεις, καὶ πρὸς ἐναντία μερίζεσθαι. Οἷος[23]) ἐνταῦθα τεχνίτης πάσης τῆς ἀληθείας καὶ γνώμων ἀκριβέστατα Πυθαγόρας γέγονε, τί τίς ἂν χρήσαιτό γε λοιπὸν, καὶ εἰ βούλοιτο[24]) μάλα φιλονεικεῖν ὑπὸ φιλαυτίας, καὶ μάχεσθαι πρὸς τὸν εὐτυχήσαντα καὶ κατορθωκότα εὖ μάλα σπουδὴν, οὐκ εὔτροπον, οὐδὲ τόπον ὅλως ἐμπαρέχουσαν κακουργεῖν[25]), πλὴν εἰ μή τις ἐρᾷ δοκεῖν μελαγχολᾷν καὶ περιφανῶς μαίνεσθαι κατὰ τῶν σεμνοτάτων καὶ τιμίων κακὸς κακῶς παραβαλλόμενος. Αὐτῆς δὴ λέγω τῆς μαθηματικῆς ἕξεως, εἰς ὃ πολλοῦ γε δεῖ, μᾶλλον δὲ τοῦ παντὸς τῷ πάντα θαυμαστῷ συνορᾷν Ἀριστοτέλει, πόθεν; ὅςγε καὶ εἰςποιεῖν ἑαυτὸν πάντα τρόπον τῇ μαθηματικῇ σοφίᾳ πειρᾶται, καὶ οἷός τέ ἐστι κἀκ τούτου γεννικῶς[26]) ἐπιδείκνυσθαι καὶ τῶν πολλῶν πράττεσθαι καὶ οἰκονομεῖν δό-

---

20) τοῦ, C. Mon. τοῦτο.

21) ἐνοειδ. leg. ἑνοειδ.

22) ὄντος, C. Mon. ὄντως.

23) οἷος, C. Mon. οἷον.

24) βούλοιτο, C. Aug. βούλοι.

25) οὐδὲ τόπον — κακουργεῖν, non comparent in C. Mon.

26) γεννικῶς, C. Mon. γενικῶς, vt Cap. 3.

ξαν περὶ ἑαυτοῦ, ὡς ἄρα καὶ περὶ ταύτην ἄριστα καὶ παντελείως ἔχοντος. Ταῦτ᾽ ἄρ᾽ ἐμοὶ δοκεῖ καὶ καθάπαξ ἀπετράπετο τῆς πρὸς τὸν Πυθαγόραν ὀλιγωρίας καὶ βλασφημίας κοινῇ μετὰ [27]) Πλάτωνος, ὡς ἄρα περὶ τὰ καιριώτατα καὶ ἀναμφήριστα τῶν ὄντων τὲ καὶ τῆς ἐπιστήμης ἐσπουδακότα, καὶ μάλ᾽ ἐπιτυχῶς τῆς αὐτῶν ἁπλότητος, καὶ παντάπασιν ἀνεμεσήτως ἀνύσαντα, καὶ θαυμάζειν μᾶλλον ἀξίως.

ΚΕΦ. ή.

Ὅτι πᾶσι σύνηθες τοῖς σοφοῖς εἰρωνεία καὶ τὸ χαριεντίζεσθαι [1]), καὶ Πλάτωνι μάλιστα καὶ Σωκράτει [2]).

Χαρίεντές γε εἰσὶ τῶν σοφῶν οἱ πλεῖστοι πάλαι τὲ καὶ νῦν πρὸς τοὺς [3]) ἐντυγχάνοντας καὶ πολλῇ πρὸς αὐτοὺς εἰρωνείᾳ χρώμενοι, καὶ οὐκ οἶδ᾽ ὅςτις [4]) οὔ· ἀλλ᾽ οἱ μὲν καὶ μεθ᾽ ὅτι πλείστης κακοηθείας τὲ καὶ δυςνοίας ἐπιφερόμενοι, καὶ τῆς ἐν βάθει πικρίας ἰῷ κεχρωμένα τῇ γλώττῃ πέμποντες ἔσωθεν βέλη, καὶ τὸ βάσκανον σφᾶς ὁπλίζει, κἂν εἰ [5]) ἔστιν ὅτι τὴν ἐλευθερίαν πλάττωνται· οἱ δ᾽ ἐξ ἐπιπολῆς [6]), πῶς ἂν εἴποι

---

27) μετὰ, C. Mon. κατά: C. Aug. male ματὰ pro μετὰ l. κατά.

1) χαριεντίζ. C. Aug. χάριεν, sed supra in Indice Capp. χαριεντίζεσθαι quoque.

2) Σωκράτει, C. Mon. Σωκράτην, non bene!

3) πρὸς τοὺς, C. Aug. πρὸς τοῖς: infra iterum πρὸς τούς.

4) οἶδ᾽ ὅςτις, inserit C. Mon. οἱ.

5) κἂν εἰ, C. Aug. καὶ εἰ.

6) ἐξ ἐπιπολῆς, C. Mon. ἐξ ἐπὶ πολλῆς.

τὶς εὐκολίᾳ καὶ ἤθους καὶ γλώττης χαίροντες, καὶ οὐ παντάπασιν ἀηδῶς, οὐδὲ φορτικῶς ἐκ τοῦ εὐθέως χρώμενοι, πάσης σκηνῆς κακούργου ἀλλότριοι καὶ δράματος, καὶ ἔστιν αὐτοῖς καὶ τὸ δηγματῶδες ἐν τοῖς λόγοις οὐ καθάπαξ ἀφιλάνθρωπον, οὐδ᾽ εὖ μάλ᾽ ἐπιτιθέμενον[7]) ἐπειθ᾽ ἑξῆς, οἷς προςπαίζουσιν, ἀλλ᾽ ἴσως μὲν ἀνύτον[8]) εἰς ὄνησιν τινὰ, ἴσως δ᾽ ἄλλως οὑτωσί πως φέρον, μὴ δὲ προςποιούμενον[9]) σκοποῦ τινὸς πέρας, ἀλλ᾽ ἢ μόνον ὡς ἐρεῖν, τοῦ κόρδακος ἕνεκεν[10]). Ἅπαντά γε καὶ παρὰ Πλάτωνι ταῦτ᾽ ἐστὶν ἐνορᾷν, ἢ τῷ τοῦ Πλάτωνος ἐν τοῖς λόγοις Σωκράτει, εἰ δὲ βούλει μάλιστ᾽ ἀμφοῖν, ᾧ καὶ μᾶλλον ἐγὼ τίθεμαι. Οὔτε γὰρ τοσαῦτα φαίη[11]) ἂν ἔγωγε καταψεύδεσθαι Σωκράτους Πλάτωνα καὶ τἀλλοτριώτατα τοῦ ἤθους τε καὶ τοῦ βίου ἀνδρὶ φιλτάτῳ συκοφαντοῦντα φέρειν, καὶ ταῦτ᾽ ἐν εἰδόσι τοῖς πλείοσιν[12]) ἐκεῖνον ἐκείνῳ τοῖς λόγοις χρώμενον, οὔτ᾽ αὖθις εἰ μὴ τοῖς αὐτοῖς ἔχαιρε καὶ αὐτὸς Πλάτων, καὶ χαίρων εἴθιστο χρῆσθαι παραπλησίως· καὶ εἰ ταῦτ᾽ ὄντως ἐκείνου, τοῖς ἐκείνου καὶ αὐτὸς μὴ προςέκειτο στέργων ἐπιεικῶς ὅλῃ ψυχῆς αἱρέσει, πολὺς ἂν ἦν[13])

---

7) ἐπιτιθ. C. Mon. ἐπιτίθεμον.
8) ἀνύτον, C. Mon. cum lacuna ἀ τον.
9) προςποιούμ. C. Mon. προποιούμ. sed in margine γρ. προςποιούμενον.
10) ἕνεκεν, omittit C. Mon.
11) φαίη, sic omnes Cdd. Legendum φαίην.
12) πλείοσιν, C. Mon. πλείοσι. Pro ἐκείνῳ leg. ἐκείνου.
13) ἦν, Cdd. Aug. et Mon. omittunt.

ὁ Σωκράτης διὰ πάντων αὐτῷ τῶν λόγων οὕτω χρώμενος, οὓς εἰς τὸ κοινὸν ἀνθρώποις ἅπασιν ἑξῆς συνετάττετο κομιδῇ σπουδάζων προγράμματά τινα καὶ στήλας καὶ κηρύγματα τοῦ βίου τὲ καὶ τῆς σοφίας ὑπὲρ ἑαυτοῦ τὲ καὶ τοῦ φίλου Σωκράτους. Καὶ ἅμα τοῦτο καὶ περὶ ἀμφοῖν ἀκούειν ἔχομεν τῶν ἱστορούντων περὶ ἀμφοῖν [14]), ὡς ἄρα τοιούτῳ χρωμένων ἤθει, καὶ τοιούτοις ἀμέλει τοῖς λόγοις ἀεὶ πρὸς τοὺς [15]) ἐντυγχάνοντας, ὥςτε καὶ εἰσὶν, οἵ φασιν, ὡς ἄρα καὶ οὗτος ὁ τρόπος καὶ ἡ τοῦ βίου χρῆσις Πλάτωνι μὲν αἴτιον γέγονε τοῦ καθάπαξ ἐκφυγεῖν τὴν πολιτείαν, καὶ τὰ κοινὰ τῆς πατρίδος πράττειν μετὰ σοφίας ταύτης, καὶ ταῦτ᾽ ἐν Ἑλλάδι, καὶ τῆς Ἑλλάδος Ἀθήνῃσι βιώσαντι· Σωκράτει δὲ ἔπραξεν ἐνταῦθα πολιτευομένῳ σωφρόνως τὲ καὶ δικαίως καὶ μετ᾽ ὀρθῶν, ὡς εἴ τις ἄλλος, τῶν λογις [16]) κακῶς ἀπαλλάξαι, καὶ ὅλως τὸ κώνειον [17]) τοῦ θανάτου συνεκέρασεν ἡ τῶν ἐντυγχανόντων αὐτῷ, φήμ᾽ ἔγωγε, πρὸς αὐτὸν ἀηδία, κοινῇ τὲ καὶ ἰδίᾳ ὕβριν δοκούντων καὶ ὑπερηφανίαν τὸ πρᾶγμα, καὶ τοὺς ἐν τοῖς λόγοις μετ᾽ εἰρωνείας ἐλέγχους ἑκάστοτε ἑκάστους κακοήθειάν τε καὶ δύςνοιαν, ἄκρατόν τε καὶ ἀπολίτευτον. Καὶ τοῦτ᾽ ἔστι [18]) μὲν καὶ παρὰ τῆς

14) ἀκούειν ἔχομεν — ἀμφοῖν, absunt haec a C. Mon.

15) τοὺς, ignorat C. Mon.

16) λογις, leg. λογισμῶν, vti habent Cdd. Aug. et Mon.

17) κώνειον, C. Mon. κώνιον.

18) τοῦτ᾽ ἔστι, C. Mon. τουτέστι.

ἱστορίας ἡμῖν, ἀλλὰ καὶ Ξενοφῶντες ἐν ὑπομνήμασι, ἀλλὰ καὶ Αἰσχίναι διαλεγόμενοι πολλὴν ἐν τοῖς λόγοις καὶ ταῖς ὁμιλίαις ὑπεμφαίνουσι τῷ Σωκράτει τὴν εἰρωνείαν [19]), καὶ τὴν ἀηδίαν ἐντεῦθεν πᾶσα ἀνάγκη τῶν ἀκουόντων. Καὶ δῆλόν γε τοίνυν κἀκ τούτων, ὡς οὐ πάνθ' ἡμῖν οἴκοθεν ὁ Πλάτων φθέγγεται, ἃ παρὰ Σωκράτους φθέγγεται, ἀλλ' εἰσί γε μάλισθ' οἱ λόγοι τῷ ἀνδρὶ γνήσιοι, καὶ σφόδρα ἐπαληθεύοντες αὐτῷ τῷ τοῦ Σωκράτους βίῳ καὶ τρόπῳ. Πολὺς δ' ὅμως ὁ ἐν Πλάτωνι Σωκράτης, ἢ ὁ ἐν Σωκράτει Πλάτων, εἰ δ' οὖν, ὡς ἔφην, ἔστω γε κοινὸς ἀμφοῖν ὁ Ἑρμῆς κατὰ τὴν παροιμίαν, πολὺς δ' οὖν τὴν εἰρωνείαν παντί γε, πρὸς ὃν οἱ λόγοι, εἴτε σκυτεύς τίς ἐστιν, εἴτ' οἰκοδόμος [20]), εἴτε ναυπηγὸς, εἴτε κεραμεὺς, εἴθ' ὅςτις τέχνης ἡςτινοσοῦν ἐπιμελητὴς, καὶ αὖθις εἴτε βουλευτὴς καὶ προστάτης πόλεως, καὶ ὅλως τὰ κοινὰ [21]) πράττων, εἴτ' ἰδιώτης καί γ' ἔτι, εἴτε πρεςβύτης, εἴτε νέος, εἴθ' ἧςτινος ἡλικίας ἀμφοῖν ἐν μέσῳ, καὶ μὴν ἔτ' αὖθις εἴτε ῥητορείας, καὶ τοῦ λέγειν τεχνίτης, εἴτε σοφιστείας, εἴτ' ἀληθοῦς φιλοσοφίας ἐστὶν ἐραστὴς, εἴτ' ἐποποιὸς αὐτὸς, εἴτ' ἀλλοτρίων πόνων ὑποκριτής τε καὶ ῥαψῳδός. Ἅπασι γὰρ εὖ μάλ' ἀνὴρ, εἰ καὶ μὴ παραπλησίως πᾶσι, μηδ' ἐκ περινοίας, μηδὲ δυςνοίας,

---

19) εἰρων. C. Aug. εἰρωνίαν.

20) εἴτ' οἰκοδ. absunt a C. Aug.

21) κοινὰ, Cod. Aug. καινά.

ἀλλ' ἔστιν, οὗ καὶ ῥᾷον καὶ ἀποζητήτως[22]) βάθους τινὸς καὶ δεινότητος, ἅπασι δ' οὖν ἐπιφύεται, καὶ εἰ δή τις ἄλλος ὡς ἀληθῶς τῶν σοφῶν, Πλάτων μάλιστ' εἰρωνείᾳ χαίρει πρὸς τοὺς ἐντυγχάνοντας πάσης εὐλαβείας ἔξω, καὶ παντὸς ὄκνου. Πάνυ τοι θαῤῥῶν ἔοικεν ἑαυτῷ, καὶ οὐχ ἧττόν γε τῇ, πρὸς ὃ βούλοιτ' ἂν, εὐστομίᾳ, ἢ τῷ τῆς σοφίας τὲ καὶ τοῦ ἤθους παντελείῳ[23]) τὲ καὶ ὀρθῷ, ἄκρος ἀνὴρ κατ' ἀμφότερα.

ΚΕΦ. Θ'.

Ὅτι οὐκ ἔστιν, ὡς νοεῖ τις, λέγειν.

Κοινὸν ἄρα τοῦτο πᾶσιν ἀνθρώποις, τοῖς τε ἀμαθεστέροις, καὶ τοῖς ἐν τῷ λέγειν τὰ μέγιστα δυναμένοις, τὸ μὴ ῥᾷστα ἐξεῖναι, μηδ' ἔχειν λέγειν, ἅττ' ἂν νοῶσιν, ὡς ἄρα νοοῦσι καὶ λέγειν βούλονται· καὶ τὰ μὲν ἄλλα τί τις ἂν ἔχοι λέγειν, ὁπόσ' ἔξωθεν ἐπέχει τὴν τῶν λόγων φορὰν, ἢ δέ σοι ἴσως ὑποπτευόμενον, ὡς μὴ μάλα τοι συνοῖσον τοῖς ἐροῦσιν οἶμαι, ἣν[1]) ἀμέλει λέγοιεν, ὅ, τι ἂν ξυνορῷεν καὶ προςφέρειν δοκιμάζοιεν ἑκάστοτε δι' ἀγροικίαν φαύλων δεσποτῶν, ἢ αὐθάδειαν καὶ ὕβριν, ὃ βούλοιτ' ἂν

---

22) ἀποζητήτως, forsitan ἀξιοζητήτως, vt Cap. γ'. ἀξιοζήτητα περὶ τῆς ψυχῆς. Cdd. Aug. et Mon. ἀποιητήτως, fors. ἀποιήτως, vt C. Paris. Reg. sed Germ. ἀπήκτήτως, mendose.

23) παντελείῳ, C. Mon. παντελεῖ.

1) ἣν, C. Aug. ἦν, corrupte.

ἅπαντας συνανοηταίνειν σφίσιν, ἢ συνακολασταίνειν, ἐν οἷς ἂν κρίνωσι καὶ νοῶσι καὶ λέγωσι, καὶ τὰς αὐτὰς ψήφους, καὶ ταῦτ' ἀφρονεῖν, καὶ βούλεσθαι τῶν ὄντων ἔκτροπα· εἰ δὲ μὴ, κλάοιεν ἂν, ὅσοι τοι δόξαιεν ἂν ἐπαΐειν βέλτιον, καὶ μὴ παντάπασιν ἀσυνέτως, καὶ ἀτρέπτως, καὶ ἀνεπιστρόφως πάντων πραγμάτων, καὶ ἀῤῥεπῶς [2]) ὁπηοῦν, ὥςπερ αἱ σκιαὶ τοῖς σώμασιν ἕποιντ' [3]) ἂν, ἢ καὶ δυσωπία τὶς ἐνίοτε, οἷα δὴ ξυμβαίνει πολλάκις ἀποτρέπεσθαι καὶ πραγμάτων καὶ λόγων δυσωπουμένοις, ὡς ἂν μήπου τι παραφθέγξαι τ' ἀηδὲς, ἢ ὁπηοῦν φέρον ἀνίαν, οἷς οὐ βούλονται, ἢ προςπάθει' αὖθις νικῶσα τὴν κρίσιν τῶν λόγων, καὶ τὰς ἀμείνους ψήφους διὰ φίλτατα ἤ τινας ἐπιτηδείους, ἢ ὅλως οἷς αὐτοὶ προςκείμεθα. Καὶ δῆλοί γ' ἐσμὲν, ἦν τὶς ἐπαίῃ, ἢ τὸ μὴ τυγχάνειν εὐγνωμόνων ἀκροατῶν, καὶ τοῦτο μάλισθ' ἡμῖν νῦν γε εἶναι τοῖς περὶ λόγους ἔχουσιν ὀψὲ τοῦ καιροῦ, καὶ τῆς ἀνθρωπίνης βιοτῆς· οὐδὲ γάρ ἐστι ξυλλαχεῖν σχεδὸν οὐδέσιν, οἳ τὸν νοῦν προςέξουσι τοῖς λεγομένοις, ἣν ὁτιοῦν [4]) τις δύναιτο λέγειν, ἀλλ' ἐκτρέπονται πάντες, ὡς εἰπεῖν, καὶ φεύγουσιν ὡς παραληροῦντα [5]), οἱ μὲν δι' ἀβελτηρίαν παντάπασι καὶ ἀμαθίαν, καὶ τὸ φαύλως πράττειν καὶ

---

2) ἀῤῥεπῶς, Cdd. Aug. et Mon. ἀρεπῶς.

3) ἕποιντ', C. Mon. ἕποιτ'.

4) ἣν ὁτιοῦν, Cdd. Aug. et Mon. ὧν ὁτιοῦν.

5) παραληρ. C. Aug. παραληροῦντα.

ἀναισθήτως τὸν βοσκηματώδη τρόπον, οἱ δὲ καὶ διὰ τὸ πᾶν τὸ παρὸν καὶ φαινόμενον ἐν χερσὶν εὐπεριφρόνητον ἄγειν, καὶ μόνοις προςανέχειν ἀξιοῦν καθάπαξ τοῖς ἄνω καὶ πόῤῥω μάλιστα τῶν χρόνων, ὡς ἐκείνους ἀμέλει τυχόντας τῆς φύσεως ἀκμαζούσης, καὶ φύσεως ὄντας εὐγενῆ φορὰν, καὶ τῆς τύχης τῶν βελτίστων καιρῶν, ἡμᾶς δὲ τοὺς νῦν ἤδη νοσούσῃ καὶ φθινούσῃ [6]) ξυλλαχόντας τῇ φύσει, καὶ τοῖς καιροῖς, καὶ οὐδὲν ὁτιοῦν ἀνύτειν ἀστεῖον ἔχοντας, οἱ δὲ καὶ διὰ βασκανίαν οὐδὲ προςορᾶν ὅλως οἷοί τ' εἰσίν. Ἀλλ' ὥςπερ οὐδὲν βούλονται τοῖς ὁμοτέχνοις ἢ ἀντιτέχνοις ἐρεῖν ἀγαθὸν, οὐδὲ συγχωροῦσιν ἑαυτοῖς περὶ αὐτῶν ἀμέλει λογίζεσθαι, ἀλλ' ἀηδέστατα πάνθ' ὁρῶσι καὶ λεγόμενα παρ' αὐτῶν καὶ πραττόμενα· μᾶλλον δὲ οὐδ' ὁρᾶν βούλονται, ἀλλ' αὐτοῖς μόνοις ἀβλεπτεῖν, καὶ μήδ' ὁτιοῦν [7]) αἰσθάνεσθαι, μηδὲ ζῆν ὅλως. Καὶ ταῦτα μὲν, ἢ καὶ ἴσως, ἀλλ' ἔτι πλείω, καὶ οὐ ῥᾴδιον ἀριθμεῖν ἅπανθ' ἑξῆς, ὁπόσ' ἔξωθεν, ὡς ἔφην, ἐπέχει, καὶ προςίσταται, περὶ ὧν ἄν τις ἐννοήσειεν, οὐκ ἔξω πάνυ τοι τοῦ καιροῦ, καὶ λέγειν ἔχοι. Οὐ μὴν ἀλλ' ὅπερ μάλιστ' εἶχον ἐν νῷ καὶ κοινὸν [8]) ἅπασιν ἐτιθέμην [9]) ἀνθρώποις, ὅτι μὴ πέφυκε μήδ' ὅςτις εὐγενὴς πάνυ τοι

6) καὶ φθινούσῃ, desunt in Cdd. Aug. et Mon.

7) μήδ' ὁτιοῦν, C. Aug. iunctim μηδοτιοῦν.

8) ἐν νῷ — κοινὸν, C. Mon. ἐν τῷ κοινὸν, Aug. ἔννω καὶ κοινόν.

9) ἐτιθέμην, C. Mon. ἐντιθέμην.

τὴν γλῶτταν, μήδ' ὅςτις ἧττον ἔχει, καὶ πολλῷ γ' οὗτος μᾶλλον εὖ γε [10]) πάντως τοῦτο δῆλον ἱκανώσασθαι τὴν γλῶτταν τῷ νῷ, καὶ τὴν τῆς ἑρμηνείας αὐτῷ φωνὴν, καὶ τὸν ἀγγέλλοντα λόγον, περὶ ὧν ξυνορᾷ τις ἔστω, καὶ λογισμοῖς ἅπτεται, διαρκῶς ἔχειν, ὡς ἂν καὶ παῤῥησίᾳ καὶ τρανῶς εὖ μάλα δῆλον τὸν νοούμενον θέσθαι, ἀλλὰ πάσης εὐστομίας ἄμεινον ὁ νοῦς ἔνδον ἀνύτει, καὶ πάντ' ἐλάττω τῆς γνώμης ἔξω τῇ γλώττῃ πρόεισιν, ὅσα πρόεισι, καὶ καθιστορεῖ τὴν τῶν λογισμῶν ἔσω διοίκησιν, καὶ ἐνέργειαν, καὶ ἴσως τοῖς μὲν τοῦτο μᾶλλον, τοῖς δ' ἧττον. Καὶ τοῦτ' ἀληθὲς, καὶ αὐτὸς τίθεμαι, τὴν τοῦ λέγειν δύναμιν τισὶ βέλτιον ἢ τισὶν ἄλλοις ἠσκῆσθαι, καὶ παρὰ τὴν φύσιν, καὶ παρὰ τὴν ἐπιμέλειαν πρὸς τὸ καθυπουργεῖν τῇ νοήσει καὶ τῇ βουλήσει, καὶ ἄλλον ἄλλου προφέρειν καὶ ἧττον ἔχειν ἐν τούτοις, καὶ ἴσως τὸν μὲν ἐπιτυχέστατα καὶ παντελείως ἐνίοτε, περὶ ὧν προτίθεται λέγειν [11]), τὸν δὲ μὴ, ἀλλ' ὡς ἀληθῶς περὶ πάντων ἅμα πραγμάτων, ὧν ἂν ξυνορᾷ τις, οὐκ ἔθ' ὁμοίως ἔχει λέγειν, οὐδ' ὡς ἂν ἱκανῶς τε καὶ ἰσομετρήτως τῇ χρείᾳ, οὐδ' ὅςτις αὐτὸς ὡς βέλτιστα λέγειν, ᾗπερ ἔφην, ἤσκηται. Πλατωνικὸς [12]) μὲν οὖν λόγος οὗτος, εἰ δή τις καὶ ἄλλος, εὖ εἰρημένος, ὅτι θεὸν νοῆσαι μὲν χα-

---

10) εὖ γε, C. Mon. sine γέ.

11) καὶ ἴσως usque ad λέγειν socordia librarii in C. Aug. exciderunt.

12) Πλατων. C. Aug. Πλατωνικῶς.

λεπὸν, φράσαι[13]) δὲ καὶ διερμηνεῦσαι ἀδύνατον. Καὶ τοῦθ' ὡς ἀληθὲς, οὕτω παντὸς μᾶλλόν ἐστι λέγειν ἀληθὲς, οὐ γάρ ἐστι περὶ θεοῦ οὔτε νοήσαντα, οὔτ' εἰπόντα πᾶν ὁτιοῦν, ἔπειτ' εὖ ἀνύσαι[14]), οὐδ' ἂν ὅςτις μάλιστ' ἀκριβέστερος ἢ τρανότερος ἐρεῖν. Ἀλλὰ μὴν καὶ περὶ πάντα σχεδὸν, ὅσα ἀξιολογώτερα τῶν πραγμάτων, καὶ ὧν ἐργώδης ἐστὶν ἡ κατάληψις, ὡσαύτως κατιδεῖν ἔστιν, ὅςτις ἐπαΐει τε καὶ ἀληθεύειν βούλεται, ὡς οὐκ ἔστιν ἱκανῶς τῷ νῷ καὶ τοῖς ἔνδον λογισμοῖς λέγοντα καὶ διαγγέλλοντ' ἀπαντᾶν. Ἀλλὰ νοοῦμεν[15]) ἐνίοτε καὶ περὶ ἐνίων, εἰ καὶ μὴ καθάπαξ τῶν εἰκότων ἐπιτυχεῖς καὶ παντέλειοι, ἀλλ' οὐ πόῤῥω παντάπασι τῶν δικαίων τοῦ πράγματος, καὶ ἄλλος ἴσως ἄλλου βέλτιόν τε καὶ χεῖρον. Ἀτὰρ δὴ μάλισθ' ὡς τὰ πολλὰ κατὰ τὸ τῶν ναρκώντων[16]) πάθος, ἢ τὰ καθ' ὕπνους φαντάσματα ἀκινητοῦμεν εἰς τὸ λέγειν, περὶ ὧν νοοῦμεν, καὶ σφόδρ' ἐρῶντες καὶ ὁρμώμενοι[17]), καὶ πολλάκις ἐπιβάλλοντες[18]) λέγειν οὐκ ἔχομεν, ὅτι χρῴμεθ' ἂν, περὶ ὧν βουλόμεθα, οὐδ' ὅπως ἂν περιγενοίμεθα τὰς τῆς δια-

13) φράσαι, Bloch. ἐκφράσαι e Cod. Paris.

14) ἀνύσαι, C. Aug. ἀνῦσαι; idem τρανώτερος pro τρανότερος.

15) τῷ νῷ καὶ τοῖς — νοοῦμεν, desiderantur in C. Mon. sed C. Aug. ἀπαντᾷ pro ἀπαντᾶν.

16) ναρκώντων, C. Mon. ναρκάντων.

17) ὁρμώμ. Cdd. Aug. et Mon. ὀρκώμενοι.

18) ἐπιβ. C. Aug. ἐπιβάλλον.

νοίας ἐργασίας, καὶ περατώσεις ἔξω προφέρειν [19]) ἄλλοις, καὶ λόγοις ἀναζωγραφεῖν εἰς προῦπτον [20]), ἢ μᾶλλον ἀναμάττεσθαι τἄνδον τυπώματα, καὶ δι' ἑρμηνευτικῆς καὶ λογικῆς καθιστορήσεως εὖ μάλ' ὑποδεικνύειν. Ἀλλ' ἀποροῦμεν, περὶ ὧν ξυνορῶμεν, λέγειν διαρκῶς, καὶ οἷς προςπάσχομεν καὶ συνδιατιθέμεθα νοεραῖς ἐπαφαῖς, οὐκ ἔχομεν ἱκανῶς ἀγγέλλοντα λόγον, οὐδ' ἐκφαίνοντα τοὺς ἔνδον καθ' ἡμᾶς αὐτοὺς ἴσως θησαυροὺς οὕςτινας ἄρα τῆς καταλήψεως, καὶ δυςτυχοῦμεν τὸ ἀνεπίδεικτον τῶν τοῦ νοῦ καὶ τῆς γνώμης πλούτων δι' ἀτονίαν χρήσεως περὶ τὸ λέγειν· αἶ, αἶ, ποσάκις ἔγωγ' αὐτὸς ἐπ' ἐμαυτοῦ πεπείραμαι μάλισθ' οὕτω, καὶ ξυνῆκα πεπονθὼς, καὶ ἀχθόμενος μὲν πάνυ τοι, μὴ ἔχων δ' ὅτι δρῴην ἂν λέγειν ὡρμημένος, μήδ' ὅπως ἐμαυτῷ χρῴμην ἂν κατὰ βούλησιν [21]). Αὐτόθεν ὅμως καταπαύω καὶ ἀποτρέπομαι, καὶ πολλοὺς ἄν μοι δοκῶ σωφρονοῦντας καὶ βουλομένους ἀληθεύειν ἔχειν μάρτυρας ἀοράτου τοῦδε πάθους, καὶ κοινωνοὺς τῆςδε τῆς τύχης, καὶ τοῦ μὴ διαρκοῦς τῆς φύσεως, ἀλλ' ἀσυνδυάστου κατ' ἄμφω νοῦν τε καὶ λόγον ὑπηρέτην καὶ διερμηνέα δεσποτικοῖς συνθήμασιν.

---

19) προφ. C. Mon. προςφέρειν.

20) προῦπτ. C. Mon. προὔπτον.

21) κατὰ βούλ. C. Mon. iunctim καταβούλησιν.

ΚΕΦ. ι.

Ὅτι ἀνευλαβῶς ἅπαντες οἱ σοφοὶ πρὸς τοὺς πρὸ αὐτῶν ἐχρήσαντο, ἐν ᾧ καὶ περὶ Πλάτωνος καὶ Ἀριστοτέλους.

Οὐκ ἀνεμέσητον ἄρα τῷ θαυμαστῷ Πλάτωνι μηδὲν ἧττον ἢ καὶ Ἀριστοτέλει τὸ πρὸς πάντας σχεδὸν ἀνευλαβὲς καὶ ὀλίγωρον [1]), ὅσοι πρὸ αὐτοῦ γεγόνασιν ἐρασταὶ σοφίας, καὶ κατ' ἄλλος ἄλλό τι τῆς παιδείας ἐτυπώθη νόμισμα, καὶ κατεκόσμησεν ἑαυτὸν, καὶ [2]) συντέλειάν τιν' ἕκαστος τοῖς λόγοις, ὅμως χάριτος ἀξίαν καὶ μνήμης εἰς τὸ κοινὸν ἀνθρώποις συνεισήνεγκαν, καὶ τὸ λογικὸν τῆς ἀνθρωπίνης φύσεως εἰπεῖν κοινῇ πάντες ἐβελτίωσαν, καὶ τελειοποιὸν αὐτῷ δύναμιν τὸ μέρος ἕκαστος ἐσπούδασαν καὶ καθώπλισαν εὖ καὶ κατεσκευάσαντο. Εἰ μὴ γὰρ οὗτοι βέλτιστοί τινες ἂν εἶεν, τὸ γιγνόμενον [3]) ἕκαστος καὶ εὐφημίας καὶ θαυμάζειν ἄξιοι, τίνων ἂν εἶεν Ἀριστοτέλης καὶ Πλάτων βελτίους; τίνων ἂν εἶεν αὐτοὶ μᾶλλον θαυμάζειν ἄξιοι [4]); εἰ γὰρ δὴ φαύλων τινῶν [5]) ἀνθρώπων καὶ δυστυχῶν, καὶ οὓς πρίαιτ' ἄν τις δυοῖν ἢ τριῶν ἴσως ὀβολῶν, ἀμείνους εἰσὶν εὖ γε τῆς τύχης, εὖ γε τῆς προκοπῆς τῶν οὐδένων, τάχ' ἂν εἶεν αὐτοὶ δίς γε τοσούτων ἄξιοι, εἰ δ' οὖν, ἔστω τε-

1) ὀλίγωρ. Cdd. Aug. et Mon. ὀλίγον.
2) καὶ ignorant Cdd. Aug. et Mon.
3) γιγν. C. Aug. γυμνόμενον.
4) ἄξιοι, C. Aug. ἄξιον.
5) τινῶν, Cdd. Aug. et Mon. non exhibent.

τράκις ἢ δεκάκις. Καὶ τοῦτό γε χαριστέον σφίσι, πάντως δ' ἂν εἶεν, οὐ πολλοῦ τινος τῶν ὀβολῶν ἀριθμοῦ παραβαλλόμενοι καὶ αὐτοί γε ἄξιοι τοῦ παντὸς ἀξιοῦντες ἑαυτοὺς, καὶ δικαίως ἀμέλει, καὶ ἡμῖν ἀξιούμενοι. Ἀλλὰ μετ' ἀληθείας ἐρεῖν ἐκείνους ἀδικήσαντες ἑαυτοὺς ἠδίκησαν, καὶ καταδραμόντες εὖ μάλα καὶ σφόδρα γε ἀφειδῶς τῶν ἀνδρῶν χώραν τινὰ καθ' ἑαυτῶν παρέσχοντο[6]) βλασφημεῖσθαι, καὶ οὐ καλῶς οὐδ' αὐτοί γ' ἑξῆς τῶν ἐκδεξαμένων ἀπήλλαξαν, ἀλλ' ἐκίνησαν ἐφ' ἑαυτοὺς ἀνάγυρον τῆς παροιμίας. Καὶ δῆλόν γε[7]) οὐ πόῤῥω, οὐδὲ μή ποτε ξὺν χρόνῳ ἢ καμάτῳ μακρῷ, ἀλλ' αὐτόθεν αὐτίκα τὸ πιστὸν, οἷς λέγομεν, δίδωσιν Ἀριστοτέλης, αὐτὸς ἐπανιστάμενος Πλάτωνι, παρ' οὗ τὰς πηγὰς ἁπάσας ἔχει τῆς σοφίας, καὶ Ἀριστοτέλει μεθ' ὕστερον Χρύσιππός τε καὶ Γαληνὸς ἐπ' αὐτοῖς. Ἀλλ' ἀδικώτατα φήσειέ τις ἂν ἴσως, καὶ μάλα δικαίως τοῦτο, καὶ αὐτός φημ' ἔγωγε. Ἀλλὰ το ἀφειδὲς αὐτῶν, εἰς οὓς οὐκ ἐχρῆν, καὶ χάρις μάλισθ' ὡς[8]) ἐν βελτίστοις φθάσαντας ὠφείλετο, καὶ μνήμη μετ' αἰδοῦς καὶ ἀστειότητος· τὸ ἀφειδὲς ἑξῆς ἀκόλουθον ἀμφοῖν μετ' εὐλόγου τῆς ἐξ αὐτῶν γνώμης καὶ κρίσεως συνεσκεύασε, καὶ προϊδέσθαι γε πάντως ἐχρῆν τὸ, ὁποῖα ἂν εἴπησθα, τοῖα[9]) καὶ ἀκούσαις, σωφρονικὸν ἐκ

---

6) παρέσχ. C. Mon. παρέσχον τό.

7) δῆλόν γε, omittit C. Mon. γέ.

8) ὡς, Cdd. Aug. et Mon. εἰς.

9) τοῖα, C. Aug. et Mon. οἷα, sed in Hom. Il. ύ, 250. est τοῖα. cf. ibi Heyne.

ποιητικῆς καὶ μάλα καίριον. Οὐδὲ γὰρ οἱ [10]) *μετ' αὐτοὺς ἀφυεῖς γε πάντως ἔμελλον καὶ ἀνίκανοί τινες ὀφθῆναι, καὶ ἀμελεῖς αὐτῶν ἡγεμόνων ἀκόλουθοι* [11]), *καὶ ἔδειξαν εὖ μάλα μιμησάμενοι, καὶ οὐκ ἀπέσχοντο καθάπερ ἀφ' ἱερῶν τινων καὶ ἀσύλων. Ὅτι μὲν γὰρ τὼ ἄνδρε τώδε πάντ' ἀρίστω τὴν σοφίαν, καὶ θαυμάζειν πάντων μᾶλλον ἀξίω τῶν προτέρων καὶ φθασάντων ἐλλογίμων ἀνδρῶν, καὶ ὅσοι μετ' αὐτοὺς, τίς οὕτω πάσης σοφίας ἀλλότριος· καὶ ἀμαθέστατος, καὶ πρὸς τὰ παντάπασιν οὕτω δῆλα μὴ βλέπων, ἢ μὴ βλέπων ὀρθῶς, ὃς οὐκ ἂν συνθεῖτο παῤῥησίᾳ, καὶ φρονεῖν οὕτω δὴ καὶ λέγειν οὐκ ἂν ἀξιώσειε; Καὶ ἡ τοιαύτη γε τῶν ἀνδρῶν ἐκεῖθεν πόῤῥω τῶν χρόνων εἰς ἡμᾶς νῦν ἄτρεπτος δόξα πάσας αὐτοῖς ψήφους τῶν πρωτείων τὲ καὶ* [12]) *τροπαίων τῆς μεγάλης σοφίας κατὰ πάντων ὁμοῦ τῶν ἄλλων εὖ μάλα πείθουσα κρατεῖ πάνυ τοι, καὶ κρατήσει γ', οἶμαι, τὸν ἀεὶ χρόνον ἴσως ἑξῆς μεθ' ἡμᾶς. Οὐ μὴν ἀλλ' οὐδ' αὐτοῖς τὰ πάντα ἄνοσα καὶ ἀνεύθυνα καθάπαξ, καὶ τὸ μὴ τυχεῖν τῆς τοῦ ὄντος ἀληθείας ἐντελέστατα μετὰ σώματος ἔτ' ὄντας, Πλάτωνος ἐστὶ τοῦ θαυμαστοῦ λόγος, καὶ, εἰ δή τις ἄλλος, πολὺ κατὰ καιρὸν* [13]) *εἰρημένος. Καὶ*

---

10) **οἱ, a C. Mon. abest.**

11) **ἀκόλ. C. Mon. ἀκόλουθον, Aug. ἀκόθουθι: vitiose.**

12) **καὶ deest in Cdd. Aug. et Mon.**

13) **κατὰ καιρ. C. Mon. iunctim κατακαιρὸν, sic et infra, et supra καταβούλησιν.**

τοίνυν καὶ αὐτοῖς τὰ εἰκότ' ἂν ἕποιτο τῇ φύσει, καὶ οὐκ ἀνύποπτά γε τὰκ ταύτης ὀλισθηρὰ [14]) καὶ δυστυχήμαθ' ὁπηοῦν τῆς περὶ πάντων καταλήψεως. Καὶ τοῦτό γε προϊδέσθαι πάντως καὶ σφᾶς αὐτοὺς ἐχρῆν, καὶ Ἀδράστειαν, ὡς εἰπεῖν, τιμᾷν, εὐλαβεῖσθαι τὲ [15]) πρὸς τοὺς ἑξῆς μετ' αὐτοὺς, καὶ προπαρασκευάζειν ἐκ τῆς πρὸς τοὺς φθάσαντας οἰκείας αὐτῶν εὐγενείας καὶ εὐγνωμοσύνης καὶ ἑτοιμότητος εἰς συγγνώμην, καὶ αὐτοὺς παρορᾷν ἑτοιμότατα καὶ συγγνωμονέστατα καὶ αἰδεσιμώτατα, εἴ τί που καὶ σφίσιν, ἐν οἷς ἐσπούδασαν, ἁμάρτημα συμβαίη τῆς φύσεως τῆς κοινῆς ἀναγκαῖον μοιρίδιον, ὡς εἰπεῖν, διὰ τὸ μὴ πάντα περὶ πάντων ἱκανώτατα καὶ ἐντελέστατα πεφυκέναι καὶ πάντων ἐπιτυχέστατα, χάριν σὺν θαύματι μάλιστα, καὶ δικαίως σφόδρα ἔχοντας τῆς τοσαύτης εὐδοκιμήσεως τῶν ἀνδρῶν, καὶ πλεονεξίας καὶ ἀκρότητος, ἢ κατὰ τοὺς ἄλλους, ἐν τοῖς τῆς σοφίας πράγμασι [16]). Καὶ τοίνυν τὴν μὲν εἰς αὐτοὺς αἰδῶ καὶ τὸ θαῦμα περὶ τῆς σοφίας τῶν ἀνδρῶν, εἰ μὴ μαίνοιτό τις, πάντων μᾶλλον ἀξιοῦν ἐστιν ἡμῖν ξυμμετρουμένοις, ὁποῖα τἀκείνων πρὸς ὁποῖα τὰ ἡμῶν ἑκάστων, καὶ μηδὲ προσορῶσιν ὅλως, εἴπερ σωφρονοῖμεν. Ἦν ἄρα τι καὶ ἡμάρτηταί ποι διὰ

---

14) τὰκ τ. ὀλ. C. Mon. τἀκτὰν ὀλισθηρά: Aug. τἀκτὰν τῆς ὀλισθηρά.

15) εὐλαβ. τὲ, C. Mon. εὐλ. τὲ καί.

16) πράγμ. Cdd. Aug. et Mon. πράγμασιν.

τὴν περὶ τῶν πλείστων χάριν, τὸ δ' εἰς τοὺς προλαβόντας ἐκείνους τὰ τῆς σοφίας εὐγενῆ θρέμματα καὶ προγόνους τῆς φύσεως αὐτῆς, καὶ τὴν ὁδὸν αὐτοῖς ὑπανοίξαντας [17]), καὶ ὧν τοῖς ἴχνεσιν ἠκολούθησαν, εἰ καὶ βέλτιον ἢ κατ' ἐκείνους τοῦ σκοποῦ καὶ τοῦ τέλους ἔτυχον, ἠκολούθησαν δ' οὖν ἀδίκοις αὐτοὺς χρήσασθαι γλώτταις, καὶ στόμα κατ' αὐτῶν ἀνοῖξαι πλατύ. Τοῦτό γε δὴ λοιπὸν ἔπειτ' ἐπαινεῖν οὐκ ἔχομεν τῶν ἀνδρῶν, ὁπότε γὰρ καὶ πλέον ἢ κατ' αὐτοὺς ἔσχον αὐτοὶ, οἷς ἐπόνησαν, ὥςπερ δὴ καὶ πολὺ προέσχον, καὶ οὐκ ἂν ἄλλως τις φήσειεν οὔκουν γε σωφρονῶν, ὁπότε καὶ φιλτέραν ἢ αὐτοὺς ἔσχον τὴν ἀλήθειαν, ὡς αὐτοί φασιν, Ἐχρῆν γε ὅμως καὶ αὐτῶν ὁτιοῦν μέλειν αὐτοῖς, καί τι [18]) παρέχειν σεμνότητος καὶ τιμῆς, καὶ κατ' αὐτοὺς τῆς ἀληθείας τῶν ὄντων ἁμαρτήματα, καθάπερ δὴ πατέρων, ἐπικαλύπτειν δυςτυχήματα καὶ ὀλίθους [19]), ἀλλὰ μὴ οὕτω φίλαυτοί γ' εἶναι μᾶλλον ἢ φιλαλήθεις καὶ φιλόνεικοι κατ' αὐτῶν ἀνέδην, ὥςτε καὶ μάλ' ἀνευλαβῶς ἐπ' αὐτοὺς θριαμβεύειν, καὶ παῤῥησίᾳ κατεξανίστασθαι μὴ δὲ μιᾷ σὺν φειδοῖ καὶ [20]) κόσμῳ τῶν ἐποπτευόντων, καὶ ὥςπερ τὸν Ὁμήρου Θερσίτην ἀκριτοεπῆ [21])

17) ὑπανοίξ. — ὧν τοῖς, ignorat C. Aug.

18) καί τι, C. Aug. καί τοι.

19) ὀλίθους, sic habent Cdd. omnes; leg. ὀλίσθους cum Cod. Paris. Reg. Supra ὀλισθηρὰ καὶ δυςτυχήματα.

20) καὶ, deest in C. Mon.

21) ἀκριτοεπῆ: Hom. Il. β'. 212. eum ἀμετροεπῆ, et 246. ἀκριτόμυθον nominat.

καὶ λῆρον ἀηδίας πάσης, καὶ ἀλαζόνα τῶν μη προσηκόντων ὑποκριτὴν, ἤ τί φαῦλον ἀλλ᾽ ἐπίτριπτον ὄνειδος, καὶ ὡς ἔπος εἰπεῖν, καθάπερ ἀμέλει φύσεώς τιν᾽ ἀμβλώματα ἅμα μὲν καταχωμῳδεῖν, ἅμα δὲ καὶ παίειν αἴσχιστα κατὰ μέσην ἀγορὰν τῶν Ἑλλήνων, ὁπόσοις τὰ οἰκεῖα σπουδάσματα προὔφερον, εὖ γε εἰδότες[22]), καὶ τὸ πρᾶγμ᾽ ἔδειξεν, ἀξιολογώτατα καὶ πολυπύθητα ἐσόμενα· κἂν εἰ[23]) ταῦτά γε τὰ ἐκ τῶν ἐπῶν αὐτοῖς προσήκειν λέγειν καὶ ἔχειν ᾤοντο, ἡμεῖς μέγα τοι πατέρων εὐχόμεθ᾽ ἀμείνονες εἶναι. Ἀλλὰ καὶ τό θ᾽ αὖθις κατὰ καιρὸν ἐκ τῶν αὐτῶν ἐπῶν ἐπαινεῖν ἔδει εὖ εἰρημένον ἀνθρώποις σωφρονικοῖς τέττα, ἦ μάλ᾽ ἀληθῶς τε καὶ ἀτρεκέως ἔειπας, οὔτις τοι τὸν μῦθον ὀνόσεται[24]), ἀτὰρ δὴ καὶ τόνδ᾽ ἐμεῦ μῦθον ἄκουσον, ὅν μοι θεὸς ὤπασε, καὶ περισώζοντας ἐκείνοις τὸ σεμνόν τε καὶ κόσμιον τὰ σφέτερα αὐτῶν, ἔπειθ᾽ ἑξῆς σφέρειν πολλῷ[25]) βέλτιστα· ἐπεὶ καὶ βουλομένοις γε προσορᾶν εὐγνωμόνως καὶ πλεῖστ᾽ ἐξῆν θαυμάζειν ἐκείνων σὺν ἀληθείᾳ, καὶ δι᾽ εὐφήμου[26]) καὶ τιμίας ἄγειν τῆς μνήμης, καὶ

---

22) εἰδότες, C. Aug. εἰδότος.

23) κἂν εἰ, C. Mon. κἂν ἐν, male.

24) ὀνόσεται, C. Mon. ὀνήσεται. Hom. Il. ι. 55. ὀνόσσεται. Reliqua, quae sequuntur, sunt verba Homeri e variis locis composita.

25) σφέρ. πολλῷ, C. Aug. σφέρειν (fors. φέρειν l. προσφέρειν) πολλῶν.

26) δι᾽ εὐφήμ. C. Mon. δι᾽ ἐφήμου: in margine γρ. εὐφήμου.

χρῆσθαι φιλανθρώπως. Τὸ δὲ, τα μὲν παρορᾷν τε καὶ παρατρέχειν ἄριστ' ἔχοντα, καὶ σιγῆς σκότῳ καλύπτειν, τὰς δ' ἀτυχίας αὐτῶν [27]) καὶ ὅσ' ἐνόσησαν ἐν τῇ σπουδῇ καὶ τῷ βίῳ παρὰ τὸ μὴ διαρκὲς καθάπαξ τῆς φύσεως, ἐν πᾶσιν ἀκροαταῖς τε καὶ κριταῖς κατελέγχειν ἀνερυθριάστως καὶ μὴ περιστέλλειν ὁπηοῦν, πῶς ἄν τις δίκαιον θεῖτο, ἢ πῶς ἂν λυσιτελεῖν; Καὶ οὐ λέγω νῦν εἶναι τοῖς φθάσασι καὶ παρελθοῦσιν ἐκείνοις, ἀλλ' αὐτοῖς γε μάλιστα τοῖς λέγουσι, καὶ εἴρηταί γε πρὸ βραχέος, ὡς ἄρα πολλοὺς ἑξῆς παραπλήσια ἐδίδαξαν ἐφ' ἑαυτοὺς, λαβὰς καὶ αὐτοὶ δόντες τοῖς βλασφημεῖν βουλομένοις, καὶ σὺν λόγῳ τινὶ πάντως μετὰ τῶν ἐξ αὐτῶν νόμων καὶ κρίσεων· εἰ καὶ μὴ παραπλησίως καὶ τοσαύτας, δόντες δ' οὖν καὶ αὐτοὶ λαβὰς ἅστινας δὴ τοῖς προθεμένοις ἐπηρεάζειν τῷ μὴ παντάπασι καὶ διὰ πάντων ἀλωβήτῳ τῆς φύσεως, καὶ δεικνυσιν Ἀριστοτέλης τόδε ταχὺς ἐπὶ Πλάτωνα, καὶ ἐπ' Ἀριστοτέλην ἕτεροι. Καὶ προείρηταί γε ἡμῖν, καὶ οὐκ οἶδ' ὅντινά τις ἀμφοῖν αἰτιάσαιτο μᾶλλον Πλάτωνα τὴν ἀρχὴν αὐτὸν ἐνταῦθα δόντα, καὶ τῷ μετ' αὐτὸν ὑπόδειγμα κακὸν θέμενον, κἂν εἰ μὴ σὺν τέχνῃ πλείστῃ καὶ βάθει πικρίας, ἀλλ' ὡς ἀληθῶς εὐκολώτερον ἀνὴρ ἐχρήσατο, ἢ τὸν δεύτερον αὐτὸν ἐν τοῖς αὐτοῖς ἐπελθόντα, καὶ μάλα τοι καθαπτόμενον καὶ κακουργοῦντα, πῶς ἂν εἴποιμι, γεν-

27) αὐτῶν, C. Aug. αὐτῷ.

νικῶς ἢ ἐπιμελῶς τῶν τε ἄλλων, καὶ αὐτοῦ μάλιστα Πλάτωνος. Καὶ μὴν εἰ ἄρα δεῖ φιλοχωρεῖν ἔτι καὶ κρίνειν, Πλάτων μὲν αὐτὸς πρὸς οὐδένα τῶν πρότερον τοιοῦτον ἀγνωμονεῖ τε καὶ ἐπιτίθεται, ὡς ἄρ᾽ ἀμέλει πρὸς οἷον Ἀριστοτέλης αὐτὸν Πλάτωνα, οὐδ᾽ οὕτω θαυμάζειν ἄξιον αὐτῷ καὶ κομιδῇ προσέχειν αἰδημόνως, ὡς Ἀριστοτέλει Πλάτωνα, καὶ τὸ ἐν λόγοις αὐτοῦ κράτος, οὗ τὸ κλέος Ἑλλάς τε πᾶσα καὶ βάρβαρος σεμνύνειν ἠξίου, καὶ μὴν ἔτι τὸ μὲν τοῦ Πλάτωνος ἄγνωμον εἰς τοὺς πρὸ αὐτοῦ καὶ ἀφειδὲς καὶ ἀχάριστον [28]), καίπερ ὂν μετ᾽ ἀληθείας ἐρεῖν νεμεσητὸν καὶ αὐτὸ, οὐ τοσοῦτον [29]) ὅμως ἐστὶν, ὁπόσον Ἀριστοτέλει τὸ πρὸς Πλάτωνα, τὸν αὐτῷ πάσης σοφίας ἡγεμόνα, καὶ τοσαύτης μεγαλοδωρεᾶς χορηγόν. Καὶ Πλάτων μὲν οἷον ἑαυτὸν παρέσχε Σωκράτει τῷ καθηγητῇ, καὶ οὐ μὴ τοσαῦτ᾽ ὤνατο τῆς σοφίας καὶ ἀρετῆς, ὁπόσ᾽ Ἀριστοτέλης αὐτοῦ, δῆλόν γε παντὶ, καὶ ὡς ἀληθῶς καὶ τοῦτ᾽ ἐκείνου κομιδῇ θαυμάζειν ἄξιον, εἰ δὴ καὶ ἀξίως ἐπαινεῖν τοῦτ᾽ ἐστὶ καὶ θαυμάζειν· ᾧ γε δὴ καὶ πάντα τὰ αὐτοῦ φέρων εὖ μάλ᾽ ἀποδίδωσί τε καὶ ἀνατίθησι, καὶ οὐχ ἑαυτοῦ ποιεῖται. Ἀριστοτέλης δ᾽ οἷος ἀπήντησε καὶ ζῶντι καὶ τελευτήσαντι τὸν βίον Πλάτωνι, οὐ πολλῷ πλείω, ἢ Σωκράτους Πλάτων, καὶ πάνυ τοι πλεῖστ᾽ ὤνατο, καὶ οὐκ οἶδ᾽ ὡς εἴ

28) ἀχάριστον, C. Aug. ἀχώριστον.

29) τοσοῦτον, C. Mon. τοσοῦτο: antea C. Aug. ἐρῶν pro ἐρεῖν.

τις ἄλλος ἄλλού του τῶν ἀπὸ τοῦ παντὸς αἰῶνος. Τί τίς ἂν ἔχοι λέγειν καὶ σιωπᾷν ἴσως ἁρμόδιον φειδοῖ καὶ ἀμφοτέρων, τοῦ μὲν ἀτυχήσαντος, ὧν ἐχρῆν, τοῦ δ' ἀντιδόντος ἀδικώταθ', ἃ μὴ ἐχρῆν;

ΚΕΦ. ιά.

Περὶ Ἀριστοτέλους καὶ τῆς [1]) εἰς τὸ φυσικὸν καὶ λογικὸν εὐδοκιμήσεως τοῦ ἀνδρός.

Καὶ τἄλλα μὲν τῆς Ἀριστοτέλους σοφίας, ὅςτις μὴ θαυμάζοι καθ' ὅσον, οἷός τέ ἐστιν, ἀπορροίην ἂν ἔγωγε καὶ θαυμάσαιμι τοῦ ἀνδρὸς, ὅςτις ἂν εἴη, περιφανεστάτην οὕτω καὶ τοσαύτην ἠλιθιότητα, καὶ οὐκ οἶδ' ὅπως ἂν φαίην βασκανίαν, ἢ καὶ αὖθις μᾶλλον ἐρεῖν ἠλιθιότητα, εἴ τις βασκαίνων ὁρᾶται, περὶ ὧν οὐκ ἔστιν ὅλως ἐννοεῖν οὕτω συμμετρούμενον ὡς ἀνεφίκτων, καὶ παραβάλλεσθαι, τὸ δόγε [2]) τῆς φυσικῆς τε καὶ λογικῆς θεωρίας ἄκρον καὶ τὴν περίνοιαν ἐν τούτοις τοῦ ἀνδρὸς καὶ ἀκρίβειαν οὐκ ἔχω, τίς ἂν γενοίμην, εἰς νοῦν λαμβάνων ἑκάστοτε, κατασκεπτόμενός τε ἐπ' ἐμαυτοῦ, καὶ πρὸς ἄλλους περὶ τούτων λέγειν καὶ διεξιέναι πειρώμενος. Πολὺ γὰρ ἐν τούτοις ἁπάντων τῶν ἄλλων προέχει, ἢ κατὰ τἄλλ' ἅπαντα, καταδιαιρούμενος ἅπανθ' ἕκαστα καὶ διοικῶν θεσμοῖς

1) τῆς, Cod. Mon. τοῖς, mendose: in Indice Capp. recte τῆς: C. Aug. omittit καί.

2) τὸ δόγε, sic Cdd. omnes: leg. τὸ δέ γε l. τό γε.

τισιν εὐτάκτοις καὶ λόγοις, καὶ χώραν οἰκείαν εἰς θεωρίαν ἑκάστοις διδοὺς, καὶ πάντα νομίμως εἰς τὴν ἐξέτασιν προτιθέμενος, καὶ οὐδὲν ὅτι μὴ παριεὶς, καὶ [3]) πάντα περαίνων καὶ κατασυλλογιζόμενος καὶ ἀνευρίσκων ἄφυκτα, οὕτως ἐπιτυχῶς τε καὶ καιριώτατα καὶ διὰ πάσης ἀκριβείας τῶν δικαίων ἑκάστου, ὡς μηδενὶ τῶν ἐντυγχανόντων ξυγχωρεῖν ἔτ' ἀμφιγνοεῖν περὶ ἑκάστου, εἰ δήπου καὶ ἄλλως ἐνδέχεται περὶ αὐτοῦ, ἢ κατ' ἄλλου γνώμην ἔχει καὶ κρίσιν, ἢ εἰ δή τι περὶ αὐτοῦ τινος ἑκάστου τῶν προτιθεμένων καὶ λέλειπται τῆς ζητήσεώς τε καὶ καταλήψεως ἔξω. Καὶ σφόδρα γε ἀνὴρ εὐμηχάνως ἔοικεν ἐνταῦθα κατὰ καιρὸν [4]) πρὸς ἑτοίμην πίστιν τῶν ἀκουόντων χρήσασθαι καὶ πράττειν, ὅπως ἂν εὖ μάλα οἱ ἕποιντο τοῖς φαινομένοις θαῤῥοῦντες, τὰ τῆς ὕλης ἀεὶ δοκιμάζων μετ' αἰσθήσεως αὐτόθεν χειραγωγούσης, καὶ οἷς ὁ μετὰ σώματος ἔτι νοῦς οὐκ ὀκνεῖ προσβαίνειν καὶ συντίθεσθαι ῥᾶστα εὐπειθὴς διὰ τὰς μετὰ τῆς αἰσθήσεως ὁμολογίας. Καί μοι δοκεῖ, καθάπερ τὶς βουλευτὴς τῆς φύσεως καὶ πάρεδρος, ὁ θαυμαστὸς Ἀριστοτέλης ἐν ταῖς αὐτῆς φιλοτεχνήσεσι καὶ ἐργασίαις, καὶ ἅπαντ' ἐντελέστατα εἰδώς τε καὶ λέγειν ἔχων, ἢ κατάπεμπτός [5]) τις ἡμῖν ἐπὶ τούτοις αὐτῆς διάκονος ἐπιτυχέστατα, καὶ κατὰ

3) καὶ, omittit C. Aug.

4) κ. καιρὸν, C. Mon. iterum iungit: κατακαιρόν.

5) κατάπεμπτος: sic et Bloch. p. 48. sed Cdd. Aug. et Mon. κατάπεπτος.

πᾶσαν ἀλήθειάν τε καὶ ἀκρίβειαν περὶ τῶν αὐτῆς ἑκάστων ἀγγέλλειν, ὅπως τότ' ἔχει, καὶ μεθ' οἵων τῶν ὑποκειμένων ἐσκεύασται, καὶ πρὸς ὃ βέλτιστον τῷ τεχνίτῃ καὶ χρήσιμον αὐτῷ γέ τινι ἑκάστῳ καὶ τῷ παντί· οὕτω δὴ πάντα καθόλου τὲ καὶ κατὰ μέρη [6]) τὰ τῆς φύσεως προτίθεται [7]), καὶ τελεσφόρος ἐστὶ γνώμων, καὶ νομίζει πάντ' ἀνενδεῶς [8]), καὶ οὐδὲν ὅτι οὔ [9]). Περὶ δὲ τῆς λογικῆς αὐτῆς, τί τίς ἂν ἄξιον εἴποι τοῦδε τἀνδρός, οὗ γε δὴ καὶ πρώτου τὰς περὶ τούτων ὀργανώσεις ἔχομεν; Οὔκουν γέ ἐστιν οὐδενὸς ἄλλου τῶν πάνυ τοι πρώην ἐκείνων ὀνομαστῶν πρὸ αὐτοῦ, καὶ τῆς σοφίας ἐξαιρέτων, οὐδὲν ὁτιοῦν ἐνταῦθα σπούδασμα καὶ σύνταγμα ἡμῖν εἰς διδασκαλίαν περὶ τούτων καὶ χρῆσιν, καὶ μόνου γε δῆτ' αὐτοῦ πάντα τῶν τῆς λογικῆς ἔχομεν ἐντελέστατα, καὶ ἠκριβωμένως ὡς μηδὲν ὁτιοῦν λείπεσθαι· ἀλλ' ἢ τοῖς ἑξῆς μετ' ἐκεῖνον [10]) τοῦτο δὴ μόνον λείπεσθαι τὸ περὶ τὰ ἐκείνου πονεῖν καὶ τρίβειν ἐν τοῖς αὐτοῦ, μεγίστην τοῦτ' αὐτὸ φιλοτιμίαν καὶ ἀφορμὴν ἐπιδείξεως ἔχοντας, ἣν αὐτῶν ἐπιγνώμονες φαίνοιντ' εὖ μάλ' ἑπόμενοι, καὶ τοῖς ἄλλοις ἀφηγηταὶ κατὰ καιρὸν [11]), καὶ

6) *κατὰ μέρη:* Cdd. Aug. et Mon. connectunt *κατὰ* cum *μέρη*, *καταμέρη*.

7) *προτίθεται*, C. Mon. *προστίθεται*.

8) *ἀνενδεῶς*, C. Mon. *ἀνεδεῶς:* Aug. *ἐνδεῶς*.

9) *ὅτι οὔ*, C. Mon. *ὅτι οὒ*.

10) *μετ' ἐκ.* C. Aug. *μετ' ἐκείνου*.

11) *κατὰ κ.* C. Mon. vti semper, *κατακαιρόν*.

μὴ πόῤῥω φέροντες, καὶ τοίνυν τὸν πρῶτον αὐτὸν σπουδάσαντα περὶ ταῦτα τῆς σοφίας, καὶ παρὰ μηδενὸς ἐκδεξάμενον, οὔκουν γε ὅτι καὶ λόγου [12]) τινὸς ἄξιον, καὶ τὰς ἐνταῦθα πάσας ποικιλίας καὶ στροφὰς ἰχνηλατήσαντα, καὶ ἀνευρόντα, καὶ πάνθ' ἕκαστα διελόμενον [13]) τακτοῖς ὅροις, ᾗ προςῆκε, καὶ κατατεχνιτεύσαντα παντελείως, καὶ νόμους ἀσαλεύτους περὶ αὐτῶν συνταξάμενον, καὶ ὧν οὐκ ἔστιν ἔξω χρώμενον εὖ πράττειν καὶ χρῆσθαι. Τίνος ἂν πρῶτον θαυμάσαι τὶς ἀξίως, καὶ τίνων ἑξῆς, ἢ μᾶλλον ἐρεῖν, τίνος ἂν μᾶλλον, ἢ τῶν λοιπῶν ἄλλων τῆς περὶ τούτων ζητήσεως καὶ ἐπιμελείας, καὶ πολυπραγμοσύνης, πρὸς ἣν οὐδὲν ἦν ἡγεμονικὸν αὐτῷ; οὔκουν γε οὐδὲ τοσοῦτον, ὥςτε εἰδέναι τὴν εἰς τὰ τρία σχήματα καὶ εἴδη τοῦ συλλογισμοῦ διαίρεσιν τῆς εὑρέσεως, ὡς σφόδρα ἐπιτυχέστατα τῆς ἀκριβείας ἁπάντων, ὡς ἄρ' ἐντελέστατα τῆς ἀκριβείας ἁπάντων, ὡς ἄρα ἐντελέστατα, ὡς μηδένας ἔχειν ἔθ' ἑξῆς ὁτιοῦν προςθεῖναι, οὔκουν μὴ γέλωτα ὄφλοντας [14], μήδ' ἐπιτιμᾷν καθ' ὁτιοῦν, εἰ μὴ μαίνοιτό τις, ὡς ἄλλως ἐχρῆν, ἢ ὡς νενόμισται. Καὶ μὴν ἅπαντες, ὅσοι καὶ ἤρξαντό τινος εὑρέσεως, ἢ τέχνης, ἢ ἐπιστήμης, οὐκ ἔσχον ἀμέλει καὶ εἰς τέλος ἱκανώσασθαι, ὅτι μὴ δὲ πέφυκε τοῦτ' ἐξεῖναι σχεδὸν, ὡς ἐπὶ πάντων ἔστι

---

12) λόγου, C. Aug. λόγον.

13) διελόμ. C. Mon. δι' ἑλόμενον.

14) ὄφλοντας, C. Mon. ὄφλοντος.

πραγμάτων ὁρᾶν τῶν ἀπὸ τοῦ παντὸς αἰῶνος εἰς νῦν εὑρημένων εἰς τὸ κοινὸν ἀνθρώποις. Καὶ ἀρχή φησιν ἡ παροιμία παντὸς ἥμισυ· τὸ δὲ καὶ πρῶτον αὐτὸν ἄρξασθαι περὶ ταῦτα τῆς σοφίας σπουδάσαι καὶ διὰ πάντων, εἰς ὅσον ἐξῆν, καὶ τάξεως, καὶ τελειότητος καὶ ἀκριβείας τυχεῖν, καὶ ἱκανώσασθαι καθάπαξ ἀνευθύνως, καὶ ὡς οὐκ ἔθ' ὁτιοῦν λιπεῖν ἄλλῳ σωφρονοῦντι προςεπιθεῖναι καὶ ξυνειςενεγκεῖν [15]), πῶς οὐκ ἂν εἴη πάντων μᾶλλον ὡς ἀληθῶς θαυμάζειν ἄξιον;

ΚΕΦ. ιβ'.

Περὶ [1]) τοῦ Ἀριστοτέλους, καὶ τοῦ [2]) φυσικοῦ κατ' αὐτὸν, καὶ λογικοῦ.

Μέγιστον δῆθ' ὡς ἀληθῶς τοῦτο δεῖγμα τῆς Ἀριστοτέλους περὶ τὸ φυσικόν τε καὶ λογικὸν εὐδοκιμήσεως, καὶ νίκης κατὰ πάντων, ὅσοι τὲ πρὸ αὐτοῦ, καὶ ὅσοι μετ' αὐτὸν γεγόνασι φιλοσοφίας ἄνδρες ἐκλόγιμοι, τὸ μηδὲν νυνὶ παρ' ἡμῖν [3]) εἶναί τινος περὶ τούτων σύνταγμα· οὔκουν γε ὥςτε καὶ λόγου τινὸς ἄξιον εἶναι δοκεῖν, οὐ τῶν πάλαι πρώτων, οὐ τῶν ἔγγιστα. Καὶ τοίνυν περὶ τῶν πρὸ αὐτοῦ γε Ἀριστοτέλους, εἰ μὲν οὐδ' ὅλως [4]) ἐνενόησάν τι περὶ τούτων, ἢ

---

15) ξυνειςενεγ. C. Aug. συνειςενεγκεῖν: Mon. συνεγκεῖν.

1) περὶ, Cdd. Mon. et Aug. ἔτι περὶ; sic et Ciz. in Ind. Capp.

2) τοῦ, Cdd. Aug. et Mon. περὶ τοῦ; item Ciz. in Ind. Capp.

3) παρ' ἡμῖν, C. Mon. παρ' ἡμῶν: in margine γρ. ὑμῖν.

4) ὅλως, C. Aug. ὅλοις: mendose.

καὶ ἀμφοῖν, ἢ καὶ θατέρου γε, ἢ καὶ ἐς νοῦν ὁτιποτοῦν λαβόντες, οὐκ ᾠήθησαν ἐξεῖναι σφίσιν, οὐδ' ἱκανῶς ἔχειν περὶ τῶν τοιούτων σπουδάσαι, καὶ διὰ τοῦτ' ἄρ' ἀπέσχοντο. Τί ποτε χρὴ δοκεῖν περὶ Ἀριστοτέλους, καὶ ποῖόν τινα συνορᾷν αὐτὸν τήν τε φύσιν καὶ τὴν ἐπιμέλειαν εἰς τα βέλτιστα, ὅςτις ἀμέλει καὶ συνεῖδε περὶ τῶν τοιούτων, ἅττα ἐστὶ νοεῖν καὶ λέγειν, καὶ συνενόησεν ἅμα ἱκανῶς ἔχων εἰς ταῦτα καὶ τὸν περὶ αὐτῶν πόνον ἑαυτὸν καθεῖναι, καὶ ἅμα ἀψάμενος καὶ οὐκ ἀποκνήσας ἐντελέστατα καὶ ἄριστα [5]) διεγένετο; Εἰ δὲ κἀκεῖνοι πρότερον ἐπεβάλλοντό τε τοῖς αὐτοῖς, καί τινα συνετάξαντο περὶ τούτων, τοῖς δ' Ἀριστοτέλους δευτέρου γ' ἐλθόντος αὐτοῦ, καὶ πάνυ τοι περιγενομένου πλεῖστον ἐπεκαλύφθησαν, καὶ παρώφθηραν [6]) τὰ ἐκείνων, ὡς οὐδὲν μήποτ' ἀνύσιμον ἔχοντα πρὸς τὸν σκοπὸν, μήθ' ὅλως παραβάλλειν πρὸς τὰ τοῦδε τοῦ ἀνδρὸς ἄξια, τί ποτ' αὖθις χρὴ λογίζεσθαι περὶ αὐτοῦ τε καὶ τῶν αὐτοῦ, καὶ πόσον τὸ ἐν τούτοις κράτος τἀνδρὶ δείκνυται, καὶ μὴν ἔτι περὶ τῶν μετ' αὐτὸν ὡςαύτως; Εἰ μὲν ὅλως οὐκ ἠξίωσαν ἐπὶ τοῖς Ἀριστοτέλους προςθεῖναι, ἅτε μὴ ἐξὸν ὁτιοῦν εὖγε [7]) δῆλον πάντως, ἢ ἀντιβλέψαι, καὶ ἀντιθεῖναι πρὸς τὰ αὐτοῦ ὡς ἄρα βέλτιον ξυννενοηκότες

5) καὶ ἄριστα, C. Mon. ignorat.

6) παρώφθηραν, sic Cdd. Aug. et Mon. leg. παρώφθησαν, vti habent Paris. Reg. et Germ.

7) εὖγε, C. Mon. omittit.

αὐτοὶ ἐπὶ τοῖς ἐκείνου δεύτεροι γενόμενοι μάλιστα. Καὶ οὔ τίς ἂν ὄναιτο πλεῖν, ἢ ἐκείνου τὲ καὶ τῶν ἐκείνου; Καὶ διὰ τοῦτ᾽ ἄρα σφόδρα εὐλαβηθέντες καὶ ἀποδειλιάσαντες πρὸς τὴν τοῦ ἀνδρὸς σοφίαν, καὶ τὸ ἄκρον, ἐν οἷς ἐσπούδασεν, ἀνέστησαν τοῦ περὶ τῶν αὐτῶν [8]) καὶ αὐτοὶ συντάττειν. Ἔξεστι λοιπὸν αὖθις καθορᾷν τε καὶ συλλογίζεσθαι, τίς ἐκεῖνος ἀνὴρ, καὶ τὰ ἐκείνου δυσαντίβλεπτα, καὶ διὰ πάντων ἀνυσιμώτατα συντάγματα, καὶ πάσης αἰδοῦς τοῖς μετ᾽ αὐτὸν ἀξιούμενα. Εἰ δέ γε καὶ αὐτοὶ χρόνοις ὕστερον περὶ τῶν αὐτῶν ἐπεβάλοντο καὶ ἀπετόλμησαν πρὸς τὰ ἐκείνου πλέον τὶ καὶ ἄμεινον ἴσως ἐπ᾽ ἐκείνοις ὕστεροί γ᾽ ἐπιόντες εὑρεῖν τε καὶ ἀντερεῖν οἰηθέντες, λόγου δέ τινος τὰ κατ᾽ αὐτοὺς τοῖς μετ᾽ αὐτοὺς οὐκ ἠξίωται, ἀλλὰ πάσαις ψήφοις ἀποδεδοκίμασται καὶ ἀπέῤῥιπται, καθάπερ Ἀθήνησιν οἱ νόθοι [9]) πάλαι εἰς τὸ Κυνόσαργες, καὶ οὐδὲν ἔχομεν, οὔτ᾽ ἀξιοῦμεν ὅλως αὐτοῖς χρήσασθαι, οὔτ᾽ ὄνασθαί τι τῆς αὐτῶν σπουδῆς πρὸς τὰ τοῦ ἀνδρὸς ἐκείνου παραβαλλόμενοι, καὶ παντάπασι τὰ αὐτῶν ὥντινων ἄρα περὶ τῶν αὐτῶν σπουδάσματα κατέσβεσται καὶ κατήργηται, ὅσα καὶ μὴ γεγονότα τοῖς νῦν ἡμῖν ὀψὲ τῶν χρόνων μετ᾽ αὐτὸν Ἀριστοτέλην. Καὶ μετ᾽ αὐτοὺς πόσην ἄρα δὴ κατανοεῖν τε καὶ συλλογίζεσθαι δεῖ τὴν κατ᾽ ἐκείνων νίκην καὶ

8) αὐτῶν usque ad ἐπεβάλοντο omnia absunt a Cod. Mon.

9) οἱ νόθοι, cf. Plut. Themistocl. c. 1.

πλεονεξίαν Ἀριστοτέλους, καὶ πόσον ἀμέλει πείθειν ἐντεῦθεν ἔχομεν ἑαυτοὺς οἱ νῦν ἡμεῖς εὖ μάλα προςέχειν τὸν νοῦν τοῖς τοῦ ἀνδρὸς περί τε τῶν φυσικῶν καὶ τῶν λογικῶν συντάγμασιν, ὡς ἂν ἄριστ' ἔχουσι, καὶ τελεώτατα καὶ ἐπιτυχέστατα διὰ πάντων, καὶ ὡς οὐκ ἔστιν ὅλως βέλτιον πάντοθεν ἐξετάζοντες, οὕτω πρὸς ταῦτα, καὶ πάντας φιλοκρινοῦντες, ὅσοι πρότερον, καὶ ὅσοι καὶ [10]) μετ' ἐκεῖνον ἑξῆς; Τῷ ὄντι γὰρ ὅσοι πρὸ ἐκείνου [11]) καταφιλοσοφίαν [12]) ἐπρώτευσαν περὶ τὴν φυσικὴν θεωρίαν πάνυ τοι διέτριψαν, καὶ τὸ πλεῖστον αὐτοῖς [13]) τῆς σπουδῆς ἐν τούτοις ἦν, καὶ οὐ καθάπαξ ἀκαίρως. Ἀλλ' ἔστιν, ἃ καὶ ἴσως τὰ πλείω τῶν ἀνδρῶν ἐνταῦθα προςίεσθαί τε καὶ τιμᾷν ἔχομεν, καθόλου δέ γε πρὸς τὰ τοῦδε τοῦ ἀνδρὸς παραβάλλειν, τίς οὕτω περιφανῶς μαίνεται, ὅςτις καὶ ὅλως τοῦτ' ἐρεῖν ἀξιώσειε· καὶ πρᾶγμα δῆλον αὐτίκα, καὶ οὐκ ἀμφιγνοεῖν ἐστὶ [14]) περὶ τούτου. Τὰ μὲν γὰρ ἐκείνων ἅπαντα παρεώραται καὶ κατωλιγώρηται, καὶ οὐδὲν ὅτι νῦν γε εἶναι παρ' ἡμῖν τῶν ἀνδρῶν ἐκείνων λείπεται, τὰ δέ γε τοῦ ἀνδρὸς τούτου, τοῦ παντὸς ἀξιοῦμεν εἰδέναι. Καὶ κομιδῇ πῶς ἂν εἴποι τις, ὡς οἷόν τε σπουδάζομεν, καὶ ὃς ἂν μάλιστα κατανενοηκὼς ἔχοι ταῦτα, καὶ

10) καί, C. Mon. non habet.
11) πρὸ ἐκείνου, C. Mon. πρὸς ἐκείνου.
12) καταφιλοσοφίαν, iunctim cum Cdd. Aug. et Mon.
13) αὐτοῖς, C. Aug. αὐτῆς, sed superscript. οἷς.
14) ἐστί, C. Aug. ἔστι.

διὰ μνήμης [15]) ἔχοι, κάλλισθ᾽ οὗτος, καὶ ὡς ἔνι μάλιστα περὶ τὴν τῆς φύσεως καὶ τῶν τῆς φύσεως ἔργων κατάληψιν ἔχει, καὶ περὶ πλείονος ἐν τῷ νῦν βίῳ, καὶ τοῖς νῦν ἀνθρώποις ἐστὶν, ὃς ἂν ἐντελῶς τὰ τοῦ Ἀριστοτέλους, καὶ τῆς αὐτοῦ μεγάλης περὶ τὴν φύσιν σοφίας ἤσκηται, καὶ διὰ μνήμης ἀεὶ καὶ διὰ γλώττης ἔχοι. Περὶ δὲ τὸ λογικὸν ἐκεῖνοι πρότερον ἄνδρες ἅπαντες φιλοσοφίας σπουδασταὶ οὐδὲν ὅτι καὶ βραχύτατον ὅλως ἐπόνησαν, ἢ μὴ πρὸς τοῦθ᾽ ἱκανῶς ἔχειν νομίσαντες ὁπωσοῦν, ἢ μήδ᾽ εἰς νοῦν τοῦτο βαλλόμενοι καὶ προσέχοντες ὁτιοῦν, ἀλλ᾽ ἀγνοήσαντες καθάπαξ πρᾶγμα τοσοῦτον, καὶ πολλοῦ πόνου, καὶ σπουδῆς ἄξιον, ὥςτε καὶ ἀξίως τυχεῖν. Καὶ ἔοικεν, ὡς ἐχρῶντο μὲν ἑκάστοτ᾽, ἐν οἷς ἐσπούδαζον, λογικαῖς, εἴτουν συλλογιστικαῖς πίστεσι, καὶ οὐκ ἄλλως ἐνῆν πάντως περαίνειν καὶ ἀνύτειν εἰς τὰ προκείμενα, ἢ πῶς γὰρ οὔ; οὐκ εἶχον δὲ κατανοεῖν οὐδὲ λέγειν περὶ αὐτῶν, οἷς ἐχρῶντο, τίνά ποτ᾽ ἐστὶ καὶ πῶς ἄρ᾽ ἔχει, καὶ πῶς ἐστὶν αὐτοῖς ὅλως χρῆσθαι, καὶ πῶς μάλιστα βέλτιστά ἐστι χρῆσθαι, καὶ ἀσφαλέστατα καὶ κατὰ καιρόν [16]); Καὶ οἱ μέν γε οὕτω πρότερον ἐκεῖνοι· ὅσοι δὲ μετ᾽ αὐτὸν Ἀριστοτέλην, μάλιστα περὶ ἄμφω γ᾽ ἐσπούδασαν, καὶ τὸ τῆς φυσικῆς, καὶ τὸ τῆς λογικῆς φιλοσοφίας ἐκ τῶν ἐκείνου τἀνδρὸς ἐμοὶ δοκεῖν ἀρχῶν τε καὶ ὑπο-

15) διὰ μνήμης, Cdd. Aug. et Mon. διαμνήμης, iunctim: sic et postea.

16) κατὰ καιρὸν, iterum κατακαιρὸν Cdd. Aug. et Mon.

δειγμάτων, καὶ τοῖς ἐκείνου μάλιστ᾽ ἴχνεσιν ἑπόμενοι· ἢ πῶς γὰρ ἂν ἄλλως ἐξῆν; καὶ πρὸς πλεῖστα τῶν αὐτοῦ φιλονείκως [17]) τινὲς ἔσχον ἐπεξιόντες [18]) καὶ μὴ φειδόμενοι κατατρέχειν ἀντανιστάμενοι, καὶ περιτρέπειν ἀξιοῦντες, καὶ σφίσι προσέχειν, ὡς βέλτιον ἢ κατ᾽ ἐκεῖνον ἠνυκόσι, βραχὺ δὴ μάλιστ᾽, ἢ κατ᾽ οὐδὲν ὤναντο τῆς φιλοτιμίας ταύτης ἢ ἀκαιρίας. Ποῦ γὰρ τὰ ἐκείνων πάντα τόσα καὶ τόσα συντάγματα παρ᾽ Ἕλλησιν ἢ βαρβάροις, καὶ ἡ μεγίστη σπουδὴ τῶν διαδεξαμένων ἀνδρῶν, ὥςπερ ἂν εἰ καὶ μὴ γέγονεν ὅλως, τοῖς νῦν ἀνθρώποις ἔχει; Καὶ μόνος ἅλιος [19]) ἐν οὐρανοῖς φησι Σιμωνίδης, καὶ μόνος Ἀριστοτέλης, καὶ τὰ ἐκείνου συντάγματα πᾶσα πρόθεσις ἐστὶ τοῖς περὶ φιλοσοφίαν, καὶ μάλιστα τὴν τῶν φυσικῶν καὶ λογικῶν [20]) κατάληψιν σπουδάζειν αἱρουμένοις. Καίτοι [21]) οὐκ ὀλίγαι μὲν ἐκδόσεις εἰσὶ Θεοφράστου, οὐκ ὀλίγαι δὲ Χρυσίππου καὶ τῶν ἀπὸ τῆς στοᾶς διαδόχων κατεπανιστάμεναί γε αὗται δριμύτεραι μάλιστα τῶν τοῦ ἀνδρὸς ἐκείνου, οὐκ ὀλίγαι δὲ καὶ χρόνοις [22]) ὕστερον ἐπὶ τούτοις αὐτοῦ Γαληνοῦ, φιλονείκως καὶ αὗται καὶ διαφόρως πάνυ τοι κατ᾽ Ἀριστοτέλους καὶ τῶν αὐτοῦ, τοῦτο μὲν περὶ

---

17) φιλονείκως, C. Aug. φιλονεικῶν, Mon. φιλονεικων (ς).
18) ἐπεξ. C. Aug. ἐπαξιόντες.
19) ἅλιος, Cdd. Aug. et Mon. rectius ἅγιος.
20) λογικῶν, Cdd. Aug. et Mon. λογ. καί.
21) καίτοι, Cdd. Aug. et Mon. καίτοιγε.
22) χρόνοις, C. Aug. χρόνους.

τῶν φυσικῶν, τοῦτο δὲ περὶ τῶν λογικῶν. Καὶ λαμπροί γε καὶ αὐτοὶ πάντες ἄνδρες περὶ τῶν αὐτῶν Ἀριστοτέλει πάντων μάλιστα σπουδάζοντες καὶ παραβαλλόμενοι, καὶ τὸ δὴ χάριεν μετὰ τῶν αὐτῶν ἑκάστοτε προτεθειμένοι σκοπῶν, καὶ ταῖς αὐταῖς ἐπιγραφαῖς τῶν συγγραμμάτων χρώμενοι περὶ ζώων τάδε ἢ τάδε κατ' ἐκεῖνον ἐν προοιμίοις καὶ ὑποσχέσεσι, καὶ περὶ κατηγοριῶν καὶ σχημάτων, καὶ ἀναλυτικῶν πρώτων τε καὶ δευτέρων, καὶ περὶ πάντων καθόλου παραπλησίως σεμνοὶ σεμνῶς ἡμῖν ἐπαγγέλλονται, καὶ οὐκ αἰσχύνονται κατ' ἐκεῖνον οὕτω χρώμενοι. Οὐκοῦν ἄχρι τούτου, τάδ' ἑξῆς ὁ Διὸς ὄντος Κόρινθος [23]) ἐν τοῖς λόγοις, καὶ πολλὴ ἀηδία, ἢ τοῖς ἐκείνου γε χρωμένων ἀτρέπτως ἅ τε μὴ ἐξὸν ἄλλως ὁπηοῦν χρῆσθαι, καὶ τὸν ἄνδρα ἐν ἐκείνοις ἄριστα πάντων καθόλου καὶ ἐντελέστατα καὶ ἀκριβέστατα σπουδάσαντα. Ἢ εἴ τι καὶ πλέον ἐπιφέροιεν τοῖς ἐκείνου, δεύτεροί γε ἴσως ἐπιόντες αὐτοὶ μάτην πονούντων καὶ εἰς οὐδὲν δέον, οὐδ' οὐδὲν ὄφελος· ἢ καὶ πῦρ χερσὶ κατὰ τὴν παροιμίαν σκαλλόντων [23 b]), ἣν ἄρα τι καὶ ἀντιλέγειν οὐκ ὀκνῶσι τἀνδρὶ, καὶ αὖθις οὕτω μάτην πονούντων· καὶ

---

23) ὁ Διὸς — Κόρινθος, cf. Suid. ad Διὸς, et Marx ad Ephori Cumaei Fragmenta p. 112.

23b) πῦρ χερσὶ — σκαλλ. fors. leg. μαχαίρᾳ pro χερσὶ, vt Diog. Laert. VIII, 1, 17. et Suid. Plut. Vol. VI. p. 42. πῦρ σιδήρῳ μὴ σκαλεύειν, quod voc. omnes pro σκάλλειν. cf. etiam Iamblich. de Vit. Pythag. l. 2. p. 131. et Erasm. Adag. p. 459. πῦρ σιδήρῳ μὴ σκαλεύειν.

σαφὴς πάλιν ἡ αὐτὴ πίστις τῶν νῦν λόγων, ὡς ἄρ' ἐκεῖνα τῶν ἀνδρῶν τόσα καὶ τόσα σπουδάσματα, καὶ πάνυ τοι πλεῖστα πάντ' ἔριπται[23c]), καὶ ὀλίγη κομιδῇ, καὶ ἴσασιν, εἰ ὅλως γέγονε· μόνα δὲ τὰ τοῦ ἀνδρὸς ἐκείνου κρατεῖ καὶ τιμᾶται καὶ σπουδάζεται τὸν ἅπαντ' ἐξ ἐκείνου γ' αἰῶνα[24]), καὶ παρὰ πᾶσι, καὶ οὐχ Ἕλλησί γε μόνοις ὡς ἀληθῶς, ἀλλ', εἴ τινες καὶ γλώττης καὶ λέξεως ἄλλης, ἢ Ἑλλάδος, καὶ τῆς Ἀριστοτέλους ἐκδόσεως ἀλλότριοι, ἐρασταὶ δ' ὅμως σοφίας εὖ μάλα πονοῦσιν Ἀριστοτέλει, καὶ τὰ τοῦ ἀνδρὸς σπουδάζουσι συντάγματα, καὶ βιάζονται, καθ' ὅσον οἷοί τ' εἰσὶ, μεταφέρειν[25]) ταῦτα τοῖς οἰκείοις ἤθεσι τῆς φωνῆς καὶ τῆς γλώττης, καὶ μεταφέρειν ὄντως τῷ κατ' αὐτοὺς βίῳ καὶ τῇ ζωῇ ἀληθινῆς ἀφορμὴν εὐδαιμονίας, καὶ θησαυροὺς σοφίας καὶ γνώσεως τῶν ὄντων, ἀποδήμους τῶν οἴκοι καὶ ἐθίμων ταμείων ἀποσυλῶντες παῤῥησίᾳ καὶ ἀποτεμμαχίζοντες[26]). Καίτοιγε μάλιστ' ἴσχυσαν οἱ ἀπὸ τῆς στοᾶς ἐπί τε τῶν Ἑλληνικῶν, καὶ χρόνοις ὕστερον ἐν[27]) τοῖς Ῥωμαϊκοῖς, καὶ ταῖς τῶν καὶ σάρων[28]) αὐτοκρατορίαις, ἡνίκα δὴ καὶ

23c) ἔριπται, leg. ἔῤῥιπται: Codd. omnes habent ἔριπται.

24) ἐξ ἐκείνου γ' αἰῶνα, C. Mon. ἐξ ἐκείνους γ' αἰῶνα: Aug. ἐξεκείνους γ' αἰῶνα.

25) μεταφ. C. Mon. τὰ φέρειν, et mox Aug. μεταφέρων pro μεταφέρειν.

26) ἀποτεμμαχ. sic et Aug. et Mon. fors. ἀποτεμαχίζοντες, verum c. 110. ἀποτεμμαχ. et c. 118. κατατεμμαχιζ.

27) ἐν abest a Cdd. Aug. et Mon.

28) καὶ σάρων, Cdd. Aug. et Mon. rectius Καισάρων.

τὰ τῆς χριστιανικῆς θεοσεβείας ἀναλάμπειν ἐν τῷ βίῳ κατὰ πάσης ἤδη τῆς οἰκουμένης ἤρξατο. Οἵ γε δὴ μάλισθ᾽ οὗτοι καὶ κατ᾽ Ἀριστοτέλους ἀντετάξαντο, καὶ τῶν αἱρεσιωτῶν αὐτοῦ καὶ διαδόχων τῶν ἐκ τοῦ περιπάτου, καὶ πολὺ κράτος ἔσχον ἐκεῖνοι πλεῖν ἢ κατὰ πάντας τοὺς ἐν ταῖς τῆς φιλοσοφίας διαφοραῖς στασιώτας ἄλλους, καὶ πλεῖστον ὅσον ἤκμασαν [29]), καὶ γεννικῶς ὡπλίσαντο, καὶ μέγα φρονεῖν ἠξίωσαν αὐτοὶ πλήθει τε ἀνδρῶν καὶ συνταγμάτων πλήθει, ἃ δὴ πάντ᾽ οἴχεται καὶ τῆς Ἀριστοτέλους καθάπαξ ἥττηται [30]) σοφίας, καὶ οὐκέτι καὶ νῦν ἀντέχει, οὐδ᾽ ὁτιοῦν αὐτῶν λείπεται, ὡς ἂν εἰ καὶ μὴ γέγονεν ὅλως, ἧπερ εἴρηται· μόνα δὲ τὰ τοῦ Ἀριστοτέλους ἄσυλα τοῦ παντὸς χρόνου μένει, καὶ ἀζήμια διὰ πάντων ἀκμάζει, καὶ σπουδάζεται πάνυ τοι πλεῖστον, ὅσοις τοι φιλοσοφίας ἔρως πολλοῦ τιμᾶται. Καὶ τἄλλα μὲν τοῦ σοφοῦ Γαληνοῦ περὶ τῆς φιλανθρώπου κατ᾽ αὐτὸν τέχνης [31]) εὖ μάλα κρατεῖ τῷ [32]) βίῳ καὶ τοῖς ἀνθρώποις βιωφελέστατ᾽ ὄντως, καὶ πᾶσιν ἀνθρώποις, Ἕλλησί τε καὶ πᾶσιν ἄλλοις εἴπερ καὶ ἄλλά τινα μάλιστ᾽ ἐπίχρεια, καὶ συντηροῦσιν αὐτὰ παῖδες

---

29) ἤκμασαν: scriptor Codicis Aug. aberrans habet ἠκμάθει, et omnia, quae in Mon. etCiz. inter ἤκμασαν et πλήθει leguntur, omisit.

30) ἥττηται, C. Mon. ἥττηνται.

31) περὶ τῆς — τέχνης, Bloch. p. 49. περὶ τὴν — τέχνην.

32) κρατεῖ τῷ, C. Mon. κρατεῖ τε.

ἰατρῶν κειμήλια τῷ ὄντι τῆς συμμαχίαν [33]) κρατίστην ὑπὲρ τῆς φύσεως ἐν ταῖς ἐμπιπτούσαις ἑκάστοτε τοῦ σώματος συμφοραῖς. Τὰ δέ γ' ἐπ' Ἀριστοτέλην [34]) αὐτοῦ Γαληνοῦ παῤῥησίᾳ [35]) μάχιμα πλεῖστα, ὅσα πονηθέντα, καὶ ἴδιαι συντάξεις ἀντιπολιτευόμεναι, καὶ πλέον ἔχειν τὶ καὶ συνειςφέρειν δόξασαι, ἢ περὶ τῶν αὐτῶν αἱ τοῦ [36]) Ἀριστοτέλους ἐκδόσεις, ποῦ νῦν εἰσιν, ἢ τίσι [37]) σπουδάζονται; ὥςπερ καὶ τἄλλα τῶν αὐτοῦ, καὶ ὥςπερ Ἀριστοτέλους τὰ περὶ τῶν αὐτῶν ἐπιμελέστατα πολὺ προέχειν δοκοῦντα πάντως, ὡς εὖγε δῆλον ἐστὶ παντὶ τἀληθὲς πρὸ παντὸς τιθεμένῳ, καὶ καλῶς ἔχοντι ξυνορᾷν. Καίτοι τί λέγω; Πολλοῖς μὲν οὖν τῶν προσανεχόντων ἰατρικῇ, καὶ ὡς ἀληθῶς τοῖς γε πλείοσι τῶν τὰ ἐκείνου τιμώντων, καὶ τὴν τοῦ ἀνδρὸς πᾶσι τρόποις ἐξαίρειν καὶ θαυμάζειν ἀξιούντων σοφίαν, καὶ

---

33) τῆς συμμαχίαν, Cdd. Aug. Monac. et Bloch. p. 49. τῆς ἀνθρωπίνης εὐετηρίας καὶ εὐπραγίας (Mon. ἀπραγίας) καὶ συμμαχίαν.

34) τὰ — ἐπ' Ἀριστοτέλην, Bloch. ἃ δὲ (intellige nonnulla Galeni philosophica, e. g. περὶ αἱρέσεων, π. Πλάτωνος δογμάτων etc. vbi Aristotelem carpit) ἀντὶ τοῦ Ἀριστοτέλους — etc. sed videtur vir doctus plura, quae habet Theodorus, omisisse et in breuius coegisse.

35) παῤῥησ. μάχ. C. Mon. παῤῥ. μάλιστα πλεῖσθ' ὅσα (μάχιμα omittit). C. Aug. παῤῥ. μάχιμα πλεῖσθ' ὅσα.

36) αἱ τοῦ, C. Mon. αἱ τῶν: C. Aug. περὶ τῶν αὐτοῦ Ἀριστοτέλους ἐκδόσεις, sine αἱ τῶν vel τοῦ.

37) τίσι, C. Mon. τισί.

ἠγνόηταί γε τοῦθ', ὡς ἀνὴρ[38]) ἐκεῖνος βιβλία πάνυ τοι πλεῖστα περὶ τῶν αὐτῶν Ἀριστοτέλει συνέταξε, καὶ κατὰ τῶν αὐτοῦ σπουδῇ πάσῃ καὶ συντόνοις ἐπιμελείαις, ὥςτε καὶ περιγενέσθαι χρησάμενος. Ἀλλ' ἅπαντ' ἐκεῖνος κατὰ τῶν ὁμοτέχνων εὐδοκιμήσας ἐν τούτοις καὶ ὁτιοῦν κατὰ τοῦ ἀνδρὸς ἀνύσαι[39]), καὶ πλέον τὶ σχεῖν οὐκ ἴσχυσεν, ἀλλὰ μάτην πονήσας ἐλέγχεται τῷ χρόνῳ, καὶ εἰς οὐδὲν χρήσιμον οὔθ' ἑαυτῷ οὔτε τῷ τῶν ἀνθρώπων βίῳ, φιλονεικίας καὶ φιλαυτίας μόνον ἥττων γενόμενος. Καὶ μὴν ἔτι καὶ θαυμάζειν μάλιστα τοῦτ' ἐστὶν ἄξιον, ὅτι δὴ καὶ πολλοὶ τῶν ἀντιπολιτευομένων Ἀριστοτέλει καὶ διαφόρων, καὶ διαφόρους ἐκδεξαμένων αἱρέσεις, ὡς αὐτὸς ἀμέλει Πορφύριός τε καὶ Πρόκλος, καί τινες ἄλλοι μὴ τῆς αὐτῆς δόξης τε καὶ γνώμης τῶν ἐκ τοῦ Πλατωνικοῦ καταλόγου, καὶ[40]) διαδοχῆς. Καὶ πολλοί γε μὴν ἔτι πάνυ τοι πλεῖστον ἐν σοφίᾳ περὶ αὐτῶν λογίζεσθαι καὶ φρονεῖν[41]) ἀξιοῦντες καὶ πείθοντες ἑαυτοὺς καὶ τοὺς ἄλλους συμπείθειν αἱρούμενοι, καὶ καθάπαξ ἀναινόμενοι[42]) καὶ ἀπαξιοῦντες ὡντινωνοῦν[43]) καὶ τῶν μεγίστων αὐτῶν δοκεῖν τε καὶ ἀκούειν ἀκόλουθοι καὶ σπουδασταὶ τῶν κατ' ἐκείνους

38) ἀνὴρ abest a C. Mon.
39) ἀνύσαι, Cdd. Aug. et Mon. ἀνῦσαι.
40) καὶ ignorat C. Mon.
41) φρονεῖν, C. Mon. σωφρονεῖν.
42) ἀναιν. C. Mon. ἀναγόμενοι.
43) ὡντιν. C. Mon. ὡςτινοῦν, et mox δοκεῖ pro δοκεῖν.

αἱρέσεων, ὡς οἱ περὶ Σιμπλίκιον καὶ Θεμίστιον, καὶ Ἀμμωνίω [44]) γε ἀμφοτέρω, καὶ Συριανον [45]), καὶ Ἑρμείαν, καὶ Πλουτάρχω γε ἀμφοτέρω, καὶ Δαμάσκιον, τοσοῦτον ἐθαύμασαν τὴν ἐν τοῖς φυσικοῖς καὶ λογικοῖς περίνοιαν Ἀριστοτέλους, καὶ καταληπτὴν ἀκρίβειαν, καὶ, ὡς ἔπος εἰπεῖν, τελειότητα, ὥςτε καὶ πρόθυμοί γ' εὖ [46]) μάλα τῶν ἐν τοῖς τοιούτοις τοῦ ἀνδρὸς συνταγμάτων ἐξηγηταὶ γενέσθαι, καὶ φιλάνθρωποι, καὶ διερμηνεῖς [47]) ἀνθρώποις ταπεινὰ πράττουσι, καὶ μὴ πρὸς ἐκεῖνον βλέπειν ἱκανῶς τε καὶ ἀνυσίμως ἔχουσι, καὶ χρήσιμοί γε ὡς ἀληθῶς εἰς τὸν βίον καὶ τὸ κοινὸν τῆς λογικῆς ἀνθρώπων φύσεως χειραγωγοὶ τῆς τῶν βελτίστων συνέσεως, μηκέτ' ἀπαξιοῦντες τὸ μέρος τοῦτο καθυπουργεῖν τῷ ἀνδρὶ καὶ καταγγέλλειν τὰ παρ' αὐτοῦ, ὡς ἄρά τι μέγα περὶ ἑαυτῶν καὶ αὐτοὶ φρονοῦντες κατ' ἔθος ἀνθρώπινον.

---

44) *Ἀμμωνίω*, C. Mon. *Ἀμμωνίῳ*: Bloch. *οἱ δύο Ἀμμώνιοι*, et mox *οἱ Πλουτάρχοι* pag. 50.

45) *Συριανὸν — καὶ Δαμάσκιον*, Bloch. l. l. *Δαμάσκιος Συριανὸς*, perperam, cum sint diuersi. cf. Fabric. Bibl. Gr. Vol. III. p. 170 et 449. Addit: *Δαμάσκ. Σ. sic deleto commate lego: Syrianus igitur hic Patronymicum est, Damascenus. Nisi forte, posito καὶ* (vt in Cdd. nostris ponitur) *post Δαμάσκιος, Syrianus ille Alexandrinus intelligatur, qui etiam Commentarios in Aristotelem scripsit.*

46) *πρόθυμοί γ' εὖ*, Cdd. Aug. et Mon. *πρόθυμοι τ' εὖ.*

47) *διερμηνεῖς*, Bloch. *ἑρμενεῖς*, operarum socordia pro *ἑρμηνεῖς*.

ΚΕΦ. ιγ'.

Περὶ Πλάτωνος, καὶ τοῦ μαθηματικοῦ τῆς σοφίας, καὶ μάλιστα περὶ τοῦ ἁρμονικοῦ.

Πλάτωνα δὲ τὸν θαυμάσιον ἴσμεν πάνυ τοι τοῖς μετὰ Πυθαγόραν διαδόχοις ἐκείνου συμμίξαντα κατὰ τὸν βίον, καὶ συνεσχολακότα τῇ θεωρίᾳ τῶν ὄντων ἐν Ἑλλάδι τὲ καὶ κατὰ τὴν Ἰταλίαν, καὶ μὴν καὶ ἀπόδημον γενόμενον ἐπ' Αἰγύπτου χρόνον οὐ βραχύν τινα· καὶ τοῦτο ἴσμεν ἄλλων τὲ μαθόντες καὶ αὐτοῦ γε μάλισθ' ἱστοροῦντος, καὶ τοῖς ἐκεῖσε συγγενόμενον ἱερογραμματεῦσιν ἐπιμελῶς. Ἐδόκουν δ' οὗτοί γε κομιδῇ πλεῖν ἢ κατὰ πάντας [1]) ἄλλους ἀνθρώπους ἐν ἐκείνοις ἄρα τοῖς χρόνοις, μᾶλλον δὲ καὶ πόῤῥωτάτω πάλαι τῶν χρόνων περὶ τὴν τῶν θείων σπουδάζειν ἱστορίαν, καὶ τὴν τῆς μαθηματικῆς αὐτῆς ἐπιστήμης ὑπὲρ τὴν ὕλην ἀναχώρησιν. Ταῦτ' ἄρα καὶ πάνυ τοι τῆς κατὰ τὸ μαθηματικὸν φιλοσοφίας Πλάτων εὖ ἔσχε, καὶ ἄμεινον πολλῷ δὴ ἢ κατ' Ἀριστοτέλην, καὶ μάλιστά γε περὶ τὴν γεωμετρίαν καὶ τὴν τῶν ἀριθμῶν θεωρίαν. Μουσικῶν γὰρ λόγων ἤρξατο μὲν Πυθαγόρας, καὶ θαυμάσιος ἐν τούτοις ἡγεμὼν τοῖς Ἕλλησιν αὐτὸς γέγονε, πρῶτος φιλοκρινήσας ὑπ' ἄκρας ἀγχινοίας [2]) καὶ περινοίας καὶ γνωστικῆς ἐπιμελείας τὰς ἐκ τῆς ἀ

---

1) κατὰ πάντας, C. Mon. iunctim καταπάντας, vt al. locc.

2) ἀγχιν. C. Mon. ἐγχιν.

κουστικῆς αἰσθήσεως καὶ κρίσεως καὶ χειραγωγίας εἰς νοῦν διαιρέσεις τῶν ἐν ἀριθμοῖς λόγων, καὶ τὸ σύμφυτον τοῖς οὖσιν ἐπιμελὲς καὶ ἡρμοσμένον ὅροις τακτοῖς καθάπαξ τὸ ἀσάλευτον ἔχουσι, καὶ μεγάλης[2b]) ἐπιστήμης εὕρεσιν χορηγοῦσι· πρᾶγμα θαυμασιώτατον ὡς ἀληθῶς, εἴ τις ἅπτοιτο ξὺν νῷ καὶ κατανοεῖν ἔχοι[3]), καὶ συλλογίζεσθαι, ὡς ἐπειδὴ χρείαν ἔχομεν τῆς αἰσθητικῆς ἀφορμῆς κατὰ τὸ μαθηματικὸν ἐναγούσης εἰς τὴν νοερὰν ἐργασίαν, καὶ τὰ τῆς διανοίας συμπεράσματα, καὶ δεῖ τὴν ἀρχὴν περὶ τὴν αἴσθησιν ἐξ ἀνάγκης χρῆσθαι, καὶ τὴν ἄλογον καὶ πεῖραν καὶ κρίσιν, καὶ τὸ φαινόμενον προλαμβάνειν, εἰ καὶ νοσερῶς ἔχοι καὶ ἁμαρτητικῶς τοῦ τελείου, καὶ ἀτρέπτου, καὶ ἀκριβοῦς, προλαμβάνειν δ' ὅμως εἰς τοὺς ἀσείστους ἔξω[4]) τῆς ὕλης τῆς ἐπιστήμης ἐπιλογισμοὺς, καὶ παντάπασιν ἀλωβήτους καὶ ἀνευθύνους τὲ καὶ ἀνόσους. Πολλῷ λοιπὸν ῥᾷόν ἐστι τῇ κατὰ τὴν ὅρασιν αἰσθητικῇ χειραγωγίᾳ, ἧς ἐστιν ἔκγονα γεωμετρία, καὶ σφαιρικὴ, εἴτουν ἀστρονομικὴ, καὶ ἀριθμῶν ὁρισμοὶ καὶ καταλήψεις τὸ μέρος, ἢ τῇ κατὰ τὴν ἀκουστικὴν αἰσθήσει χρῆσθαι πρὸς τὴν ἐντεῦθεν τῶν ἁρμονικῶν καὶ συμφώνων[5]), καὶ μὴ λόγων ἀποπεράτωσιν συλλογιστι-

---

2b) μεγάλης, Bloch. p. 53. μεγάλαις.

3) ἔχοι, C. Aug. ἔχον: inepte.

4) ἔξω, deest in C. Mon.

5) συμφώνων, C. Mon. male συμφόνων.

κήν. Ὁράσεως μὲν γὰρ ἔχομεν εὖ μάλ' ἀπονώτερον μέτρα τινὰ καὶ διαιρέσεις τῶν αἰσθητῶν λαμβάνειν διὰ τὸ τῆς αἰσθήσεως ἀνθρώποις ταύτης τελειότερον, ὡς εἰπεῖν, καὶ ἀκριβέστερον εἰς τὴν οἰκείαν χρῆσιν, ἀκοῆς δ' οὐ τοσοῦτον[6]), οὐδ' οὕτως[7]) ἕτοιμόν τε καὶ ἄπονον ἀπὸ τῆς ὑλικῆς ἐντεύξεως βοήθειαν εἰς τοὺς ἐπιλογισμοὺς, καὶ τὰς ἀπαθεῖς χρόνοις ὕστερον ἀποφάνσεις τῆς ἐπιστήμης, ἀλλ' ἔοικεν, ὥσπερ εἶναι τρόπον τινὰ, ἀΰλου ἀΰλου θεωρίας καὶ καταληπτικῆς ἕξεως καὶ τελευτῆς ὑπόδειγμα τὴν ἀρχήν. Οὐ γὰρ δὴ[8]) παραπλησίως ἔχομεν, ὡς ἂν δῆτα ἐπὶ τῆς ὁράσεως αὐτῆς σταθμούς τινας, καὶ πήχεις ἀκοῆς, καὶ φωνῆς εὐορίστους συνιδεῖν, καὶ διαιρέσεις καὶ μέτρα ῥᾷστα ἄπονα χρῆσθαι. Ἀλλὰ πολὺς ἀληθῶς ἀνὴρ ἐκεῖνος ὁ Πυθαγόρας, καὶ θαυμάζειν μάλιστ' εἰ δή τις ἄξιος, ἀπο τῆς ἀκουστικῆς ταύτης ἐντεύξεως καὶ πείρας καὶ χρήσεως ὑπ' ἄκρας εὐκολίας καὶ ἑτοιμότητος, καὶ εὐφυΐας, καὶ εὐστροφίας τοῦ νοῦ, καὶ μέχρι τῶν λεπτοτάτων καὶ ἀκαριαίων αὐτῶν καταδιελόμενος, καὶ καταριθμήσας καὶ ὁρισάμενος πήχεσι καὶ θριγγοῖς ἀσαλεύτοις τὰ ἐν τῇ φωνῇ καὶ ταῖς ἤχοις[10]) μήκη ὁποσαοῦν ἕκαστα, καὶ τὰς διαθέσεις αὐτῶν πρὸς ἄλληλα συμφώνους τε καὶ

6) τοσοῦτον, C. Mon. τοσοῦτο.

7) οὕτως, C. Mon. οὗτος.

8) δὴ abest a C. Mon.

9) δῆτα, C. Aug. δὴ τά.

10) ταῖς ἤχ. Cod. Aug. κατακριτοῖς ἤχοις.

πρώτην καὶ καλλίστην ἀρχὴν, ὡς ἄρ' ὤφθησαν Ἀριστοξένειοι μεθ' ὕστερον ἀντιπολιτευόμενοι Πυθαγορείοις τοῖς γνησίοις, τἀνδρὸς ἰδίᾳ τινὲς τῆς ἁρμονικῆς ἐπιστήμης αἱρεσιῶται. Νῦν γε εἶναι παρίημι, πλὴν γε ὅτι τοῦθ' ὅμως νῦν φημὶ, ὅτι μέχρι πολλοῦ μετὰ Πυθαγόραν περὶ τὴν ἁρμονικὴν θεωρίαν πονεῖν, καὶ φέρειν τὶ πλέον, μέχρι καὶ εἰς αὐτόν γε Πτολεμαῖον τὸν Κλαύδιον· αὐτὸς γὰρ δὴ κάλλιστ' ἀνὴρ Πτολεμαῖος, ὥςπερ δὴ τελευταῖος καὶ τελεώτατος ἐπὶ πᾶσι γνώμων πάσης τῆς μαθηματικῆς ἐπιστήμης ἐπιγενόμενος, χώραν ἑξῆς οὐ παρῆκεν οὐδενὶ τῶν ἁπάντων φέρειν, καὶ ὁτιοῦν ἔτι μετ' αὐτὸν πλέον περὶ τἄλλά τε, καὶ ἀστρονομίαν, καὶ μουσικήν. Οὔκουν γε ὅςτις μὴ μαίνεται, ἀλλ' ἔχομεν ἐκεῖθεν τῶν αὐτοῦ συνταγμάτων ἐκπεπονημένα τῷ ἀνδρὶ παντελείως, ὥςπερ τὰ περὶ τὴν ἀστρονομίαν, οὕτω δὴ καὶ τὰ τῆς ἁρμονικῆς ἐπιστήμης. Ἀμείνους μὲν τἂν εἴημεν λοιπὸν αὐτοῖς, ὡς ἔνι μάλιστα προςέχοντες τὸν νοῦν, καὶ ὡς οἷόν τε χρώμενοι, ἢ καὶ πρὸς ἔτι πλέον ὁρῶντες ὁτιοῦν καὶ συνειςφέρειν οὐκ οἶδ' εἴ τινες[18]) ἂν οὐδ' ὅπως πειρώμενοι. Τέως μέν γε, ἧπερ εἴρηται, οἱ πρὸ αὐτοῦ Πτολεμαίου, καὶ οἱ μάλιστα περὶ τὰ μαθηματικὰ κατέτειναν ἑαυτοὺς, καὶ ταύτῃ γε πάνυ τοι πλεῖστον ἐπόνησαν, εἴτ' εἶχον ἀμέλει χρῆσθαι, καὶ οὐ παντάπασιν ἀνενδεῶς ἐπέραινον[19]).

---

18) εἴ τιν. C. Aug. ἅτινες.

19) ἐπέραινον, e correctione; antea ἐπαίρειν, vt in C. Mon.

Ὡς ἄρα καὶ Πλάτων αὐτὸς ὁ πάντ' ἄριστος φίλα [20]) μὲν εὖ μάλ', ὡς οὐκ οἶδ' εἴ τις ἄλλος, πλέον ἔχει [21]) περὶ τὸ μαθηματικὸν τῆς φιλοσοφίας, καὶ περὶ τὰ τέτταρα κληθέντα μαθήματα κομιδῇ σπουδάζει [22]), καὶ δύναται περὶ ταῦτα κράτιστα μετὰ τοῦ καιροῦ ὅμως καθ' ὅσον οἷόν τ' ἦν χρῆσθαι, καὶ πολὺς ὢν ἐν ἅπασιν, ἥττων ἐστὶν ἑαυτοῦ περὶ τὴν ἁρμονικὴν ἕξιν, καὶ μὴν ἔτι γε μᾶλλον περὶ τὴν ἀστρονομικὴν αὐτήν [23]). Καὶ βραχύ γε ἡμῖν ἐντεῦθεν ἐπιδείκνυται, καὶ οὐχ ὥςπερ κατὰ τἄλλα, καίτοιγε δῆλος ὢν ἐρῶν σφόδρα καὶ προςποιούμενος, καὶ οὐκ ἔξω τοῦ περὶ ταῦτα χοροῦ τιθεὶς ἑαυτόν.

ΚΕΦ. ιδ'.

Ὅτι οὐκ ἐξ ἀρχῆς τέλειον κατέστη τὸ τῆς μαθηματικῆς ἐπιστήμης.

Ὥςπερ δὴ κἀν τοῖς ἄλλοις ἅπασιν, ὅσα τε κατὰ φύσιν [1]) ἀεὶ γίγνεται, καὶ ὅσα διά τινος ἀσκήσεως, ἢ τεχνικῆς σοφίσεως [2]) εἰς τὸν βίον

---

20) φίλα, sic Cdd. omnes: Bloch. rectius ἐν τῇ φιλοσοφίᾳ: haud dubie φίλα pro φιλοσοφία compendio erat scriptum, et a librario corruptum.

21) πλέον ἔχει, C. Mon. πλέον ἔχειν.

22) σπουδ. Cdd. Aug. et Mon. σπουδάζειν.

23) ἀστρ. αὐτήν: hic inserit Bloch. a Cdd. nostris aliena: Οἱ δὲ Ἀριστοξένειοι ἀγνωμονήσαντες καινόν τι σύστημα μαθηματικὸν εὕρησαν.

1) κατὰ φύσιν, C. Mon. iunctim καταφύσιν.

2) ἢ τεχν. σοφ. omissa in C. Aug.

προήχθη καὶ πολιτεύεται, καὶ κρατεῖ, κατά τι πάντως τῆς ἀνθρωπίνης εὐζωΐας χρήσιμον τοῦθ᾽ ὁρᾷν ἔστιν, ὅτι μὴ τέλει᾽ εὐθὺς ἐκ προοιμίων ἕκαστα πρόεισι τῆς αὐτῶν ἕξεως, ἀλλ᾽ ἐξ ὀλίγου τὴν ἀρχὴν ἑκάστοτε προχωροῦντα, τελευτῶντά γε ὅμως κάλλισθ᾽ ὡς οἷόν τε, καὶ παντέλεια τῆς οἰκείας οὐσιώσεως περαίνει καὶ ξὺν χρόνῳ καθίσταται· ὡσαύτως γε δῆτα καὶ ἐπὶ τοῦ μαθηματικοῦ τῆς φιλοσοφίας, μᾶλλον δὲ καὶ ἐπὶ πάσης αὐτῆς καθόλου γε τῆς σοφίας. Νῦν δέ γε ὅμως εἰρήσθω περὶ τοῦ μαθηματικοῦ διελομένοις ἰδίᾳ, ὡσαύτως γε δῆτα καὶ ἐπ᾽ αὐτοῦ τοῦ μαθηματικοῦ ξυμβεβηκὸς[3]) *ἔξεστιν ὁρᾷν, μὴ τὴν ἀρχὴν εὐθὺς ἀνθρώποις, μᾶλλον δὲ τοῖς Ἕλλησι παντέλειον ἑαυτοῦ φανῆναι, καὶ ἀνυσιμώτατ᾽ ἔχειν, ὥςπερ ἄρα χρόνοις ὕστερον ἐπονήθη, καὶ κάλιστα*[4]) *καὶ διαρκέστατ᾽ εἰς πέρας ἵκετο τοῖς περὶ αὐτὸ σπουδάσασιν. Ἔοικε μὲν γὰρ πάσης ἐπιμέλεια σοφίας ὀψιαίτερον τῶν ἐκ μακροῦ χρόνων εἰς Ἕλληνας ἐλθεῖν, ἢ καὶ εἰς ἄλλους οὑςτιναςοῦν*[5]) *τῶν ἀνθρώπων· καὶ τοῦθ᾽, ὅςτις ἂν καλῶς ἐπιστήσειε τοῖς παλαιοῖς τὸν νοῦν κατιὼν διὰ τῶν ἱστοριῶν ἄνωθεν, ὄψεται μάλισθ᾽ οὕτως ἔχον. Καὶ ἐν ἄλλοις ἡμῖν ἴσως περὶ τούτων εἰρήσεται· ἀτὰρ δὴ περὶ τῶν τετ-*

---

3) *ξυμβ.* C. Mon. *ξυμβεβηκώς.*

4) *κάλιστα*, sic etiam C. Aug. sed Mon. *μάλιστα*: *μ* et *κ* saepe confunduntur. Legerim tamen *κάλλιστα*, nam antea dictum *κάλλιστα περαίνει*, quod hic dic. *κάλλιστα εἰς πέρας ἵκετο.*

5) *οὑςτ.* C. Mon. *οὑςτινοσοῦν.*

τάρων κληθέντων μαθημάτων οὕτως[6]) κατανοεῖν ἔχομεν καὶ συλλογίζεσθαι, ὡς πάλαι πρότερον Χαλδαίοις τὲ καὶ Αἰγυπτίοις ἐσπουδάσθη ταῦτα, ὀψὲ δ' εἰς Ἕλληνας ἧκε κατ' ἐκδοχὴν τῶν ἐκεῖθεν ἀρχῶν. Καὶ Θάλητα φασὶ καὶ Πυθαγόραν πάνυ τοι πλεῖστον, ἢ πάντες Ἕλληνες[7]), καὶ Πλάτωνα μάλ' αὖθις ἐπ' Αἰγύπτου περὶ τὸ μαθηματικὸν γενομένους αὐτοὺς κομιδῇ πονῆσαι, καὶ πλεῖστον χρόνον αὐτὸν, ὡς εἴρηται, Πυθαγόραν, καὶ οὐχ ἅπαξ ἐκεῖσε γενόμενον, ἀλλὰ καὶ πλεῖν ἔτι[8]). Εἰσὶ δ' οἵ φασὶ, καὶ αὐτὸς ὁ τὰ ἐκείνου ξυγγεγραφὼς Ἰάμβλιχος, τῶν αἱρεσιωτῶν ἐκείνου καὶ σπουδαστὴς ὢν, οὐκ οἶδ' ὡς εἴ τις ἄλλος, πλέον αὐτοῦ τὲ καὶ τῆς κατ' αὐτὸν φιλοσοφίας, ὡς ἄρα μὴ μόνον εἰς Αἴγυπτον ἀπεδήμησε καὶ διέτριψε Πυθαγόρας πλεῖστον, ἀλλὰ καὶ εἰς Χαλδαίους, καὶ ὑπὲρ αὐτοὺς ἔτ' ἔρωτι σοφίας ἐν Ἰνδοῖς ἀφίκετο. Καὶ φαίνονταί γε μάλιστ' ἐξ ἀρχῆς καὶ πρῶτοί γε ἀνθρώπων περὶ τὴν ἀστρονομίαν Χαλδαῖοι σπουδάσαντες. Ταῦτ' ἄρα καὶ Ἀβραὰμ αὐτὸν, τὸν τῆς εὐσεβείας ἡμῖν πρόγονον, (καὶ Χαλδαῖος γὰρ οὗτος τὸ γένος,) καὶ τὸν ἐξ αὐτοῦ χρόνοις ὕστερον Μοϋσῆν τὸν νομοθέτην πρῶτον ἐν γράμμασι περὶ τῆς εἰς θεὸν[9]) εὐσεβείας, ἀστρονομικῆς εὖ μάλα σοφίας ἐπιστήμο-

---

6) οὕτως, sic etiam C. Aug. verum Mon. οὕτω.

7) πάντες Ἑλλ. sic omnes Cdd. nostri et Pariss. Reg. et Germ. legendum πάντας Ἕλληνας, nisi ἀκαταλλήλως dictum esse putes.

8) ἔτι, C. Aug. ἔτιν, cum ν ἐφελκυστικῷ, quia sequitur εἰσί.

9) εἰς θεὸν, C. Mon. εἰς τὸν θεόν.

νας [10]) ἄκρους γενέσθαι. Πάντων δὲ, ὅσοι καὶ γεγόνασιν ἐν μνήμῃ τινὶ τὸ ἀρχαῖον Ἕλληνες, τώδε τὼ ἄνδρε καὶ ἀμφοτέρω γε πολὺ προτέρω ἐγενέσθην. Καὶ ῥᾶστ' ἔξεστιν ἐπιλογίζεσθαι τὰ τῶν χρόνων. Καὶ Χαλδαῖοι μὲν [11]) περὶ ἀστρονομίαν εὖ μάλ' ἔσχον, Αἰγύπτιοι δὲ περὶ γεωμετρίαν. Καὶ εἰσὶν, οἵ φασιν, εἰ μὴ μυθῶδες, καὶ παρορᾶσθαι δίκαιον, διὰ τὰς κατατομὰς τῆς γεηπονίας, εἰς ἣν ἐξ ἀνάγκης αἱ τοῦ Νείλου ἀρδεῖαι καὶ ἐπικλύσεις χρήσιμοι εἰς τὰς γεωμετρικὰς θεωρίας αὐτοὺς κεκινεῖσθαι· τῷ ὄντι δὲ καὶ πάντων μάλιστ' ἀληθέστατον τοῦτο, ὡς ἄρα σοφοί τινες ἐδόκουν τὸ ἐξ ἀρχῆς Αἰγύπτιοι, κἀντεῦθεν μεγίστου κατ' ἀνθρώπους ὀνόματος, καὶ περὶ γεωμετρίαν σφόδρα ἐπαΐοντες. Ταῦτα δὲ δὴτ' ἄμφω τὰ μαθήματα δῆλόν γε, ὡς ἐκεῖθεν εἰς Ἕλληνας ἧκε, καὶ τῶν ἐξ ἀρχῆς χρόνων μάλιστ' ὀψέ. Καὶ ἄλλως οὐκ ἔστιν ἐρεῖν, εἰ μή τις ἀγνοεῖ γε τὰ πάντη δῆλα, ἢ περιφανῶς ψεύδεσθαι βούλεται. Ἡ δὲ περὶ τοὺς ἀριθμούς τε καὶ τοὺς τῶν ἀριθμῶν μουσικοὺς λόγους θεωρία σύμφυτος μέν ἐστιν ὡς ἀληθῶς· καὶ οὐκ ἄλλως τὶς ἐρεῖ. Οὔκουν γε ὅςτις περὶ τῶν μαθημάτων ὅλως ἐπαΐειν οἷός τέ ἐστι τῇ τῆς ἀστρονομίας καὶ γεωμετρίας ἐπιστήμῃ [12]), καὶ τὸν περὶ ταῦτα σπουδάζοντα, μὴ καὶ περὶ ἀριθμοὺς

10) ἐπιστ. C. Mon. ἐπιστήμονες: corrupte.

11) μὲν, deest in C. Aug.

12) καὶ γεωμ. ἐπιστήμῃ, omissa in Cdd. Aug. et Moff.

ἔχειν ὁπηοῦν χρῆσθαι τῶν ἀδυνάτων παντάπασι. Καὶ δῆλόν γε ὅςτις ἂν ἅπτοιτο καὶ ἀξιοίη χρῆσθαι γεωμετρίᾳ τὲ καὶ ἀστρονομίᾳ. Οὐ μὴν ἀλλ' ἐπ' ἀληθείας ἐρεῖν δοκοῦσί γ' Ἕλληνες μάλιστ' ἐνταῦθα τῆς μαθηματικῆς Πυθαγόραν ἀρχηγὸν ἔχοντες μέγιστα καὶ τελεώτατ' ἀνύσαντες ἔχειν, καὶ τὰ κατὰ τὴν τῶν [13]) ἀριθμῶν ἐπιστήμην πολὺ πάντων ἐθνῶν προενεγκεῖν. Ὃ δ' οὖν ἐβουλόμην, καὶ σκοπὸς ἦν τῷ νῦν λόγῳ, ὅτι δὴ τῶν χρόνων ὀψὲ, ἢ κατ' ἄλλους οὑςτιναςοῦν Ἕλληνες τοῦ μαθηματικοῦ τῆς φιλοσοφίας ἥψαντο· ὡς δ' ἄρα καὶ ἥψαντο, οὐκ εὐθὺς ἐξ ἀρχῆς [14]) εἰς πέρατα τῆς ἐν τούτοις ἐπιστήμης διεγένοντο, οὔθ' οἱ [15]) πρῶτοί γε αὐτοὶ ἁψάμενοι, οὔθ' οἵτινες [16]) ἑξῆς ἔγγιστ' ἔπειτα, ὥςπερ οὐδ' ἄλλου τούτων ἁπάντων ἐπιτηδεύματος μαθηματικοῦ, ἢ τινὸς ὅλως γνωστικοῦ πεφύκασιν ἄνθρωποι, ἀλλὰ πόλλ' ἐφεξῆς ἔτη ἔτι πω ἐνδεῶς εἶχον καὶ διέτριψαν, ἢ ὥςτε παντάπασιν ἐνταῦθα τῶν προςηκόντων ἐπιτυχεῖς γενέσθαι. Καὶ τὰ μὲν ἄλλ' ἐῶ νῦν γε εἶναι, ἀστρονομίας δὲ πέρι [17]) πλεῖστος μὴν ἦν ἐκείνοις

13) τῶν, C. Aug. non habet.

14) ἐξ ἀρχῆς, C. Aug. iunctim ἐξαρχῆς.

15) οὔθ' οἱ, C. Mon. οἴθ' οἱ.

16) οὔθ' οἵτινες, C. Aug. οὔθ' ὅτινες, vbi ι erasum videtur.

17) πέρι, Cdd. Aug. et Mon. περί: cf. Hermann. de emend. rat. Graecae Grammaticae pag. 107 sqq. qui, etiamsi inter nomen, ad quod praepositio pertineat, et ipsam praepositionem aliud vocabulum sit positum, tamen πέρι scribendum esse ostendit. Fortasse leg. ἀστρονομίαν δὲ πέρι.

πόνος [18]), καὶ ἤνυτον ὁτιποτοῦν, καὶ πρό γε τοῦ θαυμαστοῦ Πλάτωνος αὐτοῦ, καὶ μετ' αὐτὸν εἰς πολλοστὸν ἔτος. Πᾶσαν δὲ τὴν κατ' αὐτὴν τὴν ἐπιστήμην [19]) ἀκρίβειαν οὐκ εἶχον Ἕλληνες εἰς τέλος κομιδῇ σπουδάζοντες, καὶ ἄλλος ἄλλου πλέον ἀνευρίσκοντες ὅμως, καὶ ἀεὶ πλεῖον μετὰ τῶν χρόνων οἱ δεύτεροι τῶν προτέρων, οὐκ εἶχον δ' οὔπω καθάπαξ ἀνυσιμώτατα ταύτῃ πως μέχρι καὶ εἰς τὰς τῶν Καισάρων μοναρχίας. Εὐκλείδης [20]) μέντοι, ὁ ἐκ Μεγάρων Σωκρατικὸς, ἡλικιώτης ὢν Πλάτωνος, ἄριστος τὰ ἐς γεωμετρίαν ἀνὴρ, καὶ πλεῖστ' ἐνταῦθα συνταξάμενος, ὡς ὁρᾶν ἐστι, κατὰ τὴν ἐν [21]) ἐπιπέδοις θεωρίαν, καὶ στερεοῖς, καὶ τὴν τῶν ὀπτικῶν τε καὶ δεδομένων καὶ κατοπτρικῶν [22]), καὶ ἄλλων ὡντινωνοῦν ἐνταῦθα, καὶ μουσικῶν μὲν ἅπτεται καὶ ἀστρονομικῶν ἐπισκέψεων. Ἀλλ' ἐν

---

18) πόνος, C. Aug. πόνοις.

19) κατ' — ἐπιστήμην, C. Aug. κατ' αὐτὴν (τὴν omisso) ἀριθμῶν ἐπιστήμην; sed haec falsa, nam librarius verba inde a κατὰ τὴν τῶν ἀριθμῶν usque ad hunc locum bis scripsit.

20) Εὐκλείδης. *Nisi Theodorus errauerit, suspicandum est, vel hancce parenthesin ab inscio librario esse adiectam, vel certe particulam* οὐχ (scil. ante ὁ ἐκ Μεγάρων.) *excidisse: constat enim, Euclidem, de quo hic agitur, sub Ptolemaeis Alexandriae floruisse. Confunditur cum altero Euclide Megarensi etiam a Boëthio,* 1 *Geometr. p.* 1507, *it. a Val. Max.* VIII, 12. (Sed ibi quidam legunt Eudoxum.) *Bloch.* Equidem putauerim, a Theodoro, vti etiam ab aliis, nomina esse confusa.

21) ἐν, abest a C. Mon.

22) κατοπτ. C. Mon. κατ' ὀπτρικῶν.

τούτοις ἧττον[23]) ἑαυτοῦ καὶ πολύ γ' ὡς ἀληθῶς ἀνύτων ὁρᾶται, καὶ τὰ περὶ τῶν φαινομένων αὐτοῦ συντάγματα δοκεῖ πως ὥςπερ ἐν προοιμίοις τισὶν ἢ προαυλίοις[24]) τῶν ἀστρονομικῶν μυστηρίων ἔξω τρίβειν, καὶ πόθον[25]) αὐτοῦ περὶ τὴν τῶν οὐρανίων ἐπιστήμην μόνον, καὶ φαινομένην περὶ ταῦτα κατάληψιν, καὶ μὴ κατὰ βάθος, ἀλλ' ἐξεπιπολῆς[26]) ἁπτομένην ἐνδείκνυσθαι. Καί τις ἂν ἴσως ἐφορώμενος πρὸς τὴν χρόνοις ἔπειθ' ὕστερον ἀναλάμψασαν τῆς ἐπιστήμης ταύτης, ἥπερ εἴρηται, τελειότητα[27]), καὶ ἀκρίβειαν, καὶ τὰς Πτολεμαίου τοῦ Κλαυδίου συντάξεις, καὶ τῶν πρὸ αὐτοῦ μικρὸν αἰσχύνοιτ' ἄν, ὡς εἰπεῖν, ὑπὲρ Εὐκλείδου τοιαῦτα περὶ τῶν κατ' οὐρανὸν καταλείψαντος συντάγματα, καὶ ὥςπερ παιδίων ἐπιδείξεις τινὰς ταῦτα δὴ πρὸς

---

23) ἧττον, sic Cdd. nostri, sed Paris. ἧττων ap. Bloch.

24) ἢ προαυλ. Bloch. καὶ προαυλ.

25) πόθον: sic Cdd. nostri omnes. *Vitio laborat hoc comma: quid si σπουδὴν pro πόθον ita legeremus: καὶ σπουδὴν αὐτοῦ — φαινομένην μόνον καταληπτὴν* (leg. κατάληψιν) κ. τ. λ. *Sensus erit: Etsi appareat, Euclidem studio suo penitus comprendisse astronomiam, tamen non nisi in superficie huius scientiae natat. Bloch.* Saue vitio laborat, verum nou legeudum est σπουδὴν, sed πόνον pro πόθον, ut antea πόνος περὶ ἀστρονομίας, et c. 111. Sic dic. πονεῖν quoque τῇ σοφίᾳ c. 16. et φιλοσοφίᾳ c. 80. et infra περὶ τὰ ἀστρονομικὰ ἐπόνησαν. Codd. Pariss. Reg. et Germ. legunt πόθου: fors. πόνου. πόθος et πόνος saepe permutari ostendit Boissonade in notis ad Nic. Eugenianum VII, 251.

26) ἐξεπιπολῆς, C. Mon. male ἐξεπίπολλῆς.

27) τελειότητα, C. Mon. τελειότατα.

τὰ ἐκείνων ἀκμάζοντα, καὶ πρεσβυτικὰ λογίσαιτ' ἂν παραβάλλων, εἰ μή τις φιλανθρώπως τοὺς κατ' Εὐκλείδην χρόνους, καὶ τοὺς μεθ' ὕστερον ἐποπτεύοι καλῶς, καὶ τὸ πεφυκὸς ἐν ταῖς πάντων πραγμάτων ἀρχαῖς συγγνώμης ἀξιούμενον κρίνοι. Καὶ ἅμα τἄλλα τῆς περὶ γεωμετρίαν σπουδῆς τοῦ ἀνδρὸς θαυμάσια συντάγματα τόσα καὶ τόσα, καὶ πάντ' ἄριστα μάλιστ'[28]) ὀρθῶς ἐπιλογιζόμενος εὐλαβῶς ἔχειν πρὸς ἄνδρα τοσοῦτον, δεῖν ἡγεῖται, καὶ τῶν αὐτοῦ πάντων, καὶ τῶν ἐν δευτέρῳ τῆς χρείας μὴ κατολιγωρεῖν ἑαυτὸν πείθει δικαίως ἀντὶ τῆς ὀφειλομένης τῶν ἄλλων ἕνεκα τοσούτων τε καὶ τοιούτων χάριτος. Τὰ δ' αὐτὰ καὶ περὶ Ἀλεξάνδρου τοῦ ἐκ Πέργης λέγειν ἔχομεν, ἀνδρὸς, ὅσα γ' ἐμοὶ δοκεῖ, τελειοτάτου, καὶ πρώτου τῶν περὶ γεωμετρικὰ σπουδασάντων, οὗ καὶ Πτολεμαῖος κατὰ καιρὸν ἐν ἀξιολόγοις χρήσεσι μέμνηται, καὶ τιμῶντι γε μάλα καὶ θαυμάζοντι τὴν ἐπιστημονικὴν ἕξιν τὸν ἄνδρα ἐκεῖνον ἐοικὼς ἐστίν. Ἀλλ' ὅμως καὶ αὐτὸς Ἀλέξανδρος τὰ ἐς ἀστρονομίαν[29]) παῖς ἂν εἴη, ὥστε καὶ παραβάλλειν ἀνδρὶ, ἣν ἄρα Πτολεμαίῳ παραμετροῖτο καὶ παραβάλλοιτο[30]). Πτολεμαῖός γε μὴν αὐτὸς ὁ θαυμάσιος οὐκ ὀλίγων ἐν τῇ μαθηματικῇ συντάξει μεμνημένος, ὅσοι περὶ τὰ ἀστρονομικὰ σφόδρα ἐπόνησαν, καὶ

28) μάλιστ', abest a C. Mon.

29) ἐς ἀστρ. C. Mon. ἐν ἀστρονομίαν, fors. ἀστρονομίᾳ.

30) Πτολεμαίῳ — παραβάλλοιτο, desiderantur in Cdd. Aug. et Mon.

πεποίηνταί τινας ἐκδόσεις, Ἀττικοί τε καὶ ἄλλοι Ἕλληνες, καὶ Ῥόδιοι, καὶ Φοίνικες, καὶ ἔτι μᾶλλον Αἰγύπτιοι, πάντων ἄρα τῶν[31]) πρὸ αὐτοῦ πολλῷ τινι προσέχειν Ἵππαρχον τίθεται, καὶ πλεῖστά γε τῶν αὐτοῦ προςίεται ὡς ἐπιμελέστατα, καὶ ἀληθείας ἐπιτυχέστατα, καὶ πάσης ἀκριβείας καὶ τελείας ἕξεως περὶ τὴν τῶν οὐρανίων ἐπιστήμην, καὶ, ὡς ἔπος εἰπεῖν, πολύς[32]) ἐστι προςέχων μετ' αἰδοῦς ἐκείνῳ, καὶ ὑπεξαίρων κομιδῇ ἢ κατ' ἄλλους ἅπαντας, ὅσοι πρὸ αὐτοῦ ἔγγιστα τὲ καὶ πόῤῥω. Ἔοικε δὲ αὐτῷ πλέον ὅμως θαῤῥῶν[33]) ὡς παντελείως ἐπὶ τῆς ἀστρονομικῆς ἐπιστήμης ἠνυκότι[34]), καὶ διῳκηκότι[35]) πάνθ' ἕκαστα κατὰ καιρὸν[36]), ὅσα[37]) κατ' αὐτὴν καὶ οὐδὲν ὅτι μὴ λελοιπότι τῶν ἀξίων λόγου καὶ θεωρίας, ὥςτε μὴ καὶ συνιδεῖν καθάπαξ, καὶ μετ' ἀκριβείας ἀσειστου τοῖς μετ' αὐτὸν[38]) ἐκδοῦναι, καὶ ὡς ἀληθῶς δίκαιος ἀνὴρ ὑπὲρ ἅπαντας τὴν σοφίαν ταύτην θαυμάζεσθαι τούς τε πρὸ αὐτοῦ πλεῖστον ὑπερβαλλόμενος, καὶ

31) τῶν, Bloch. non exhibet, sed mox pro προςέχειν habet προέχειν.

32) πολύς, C. Mon. ὁ πολύς.

33) θαῤῥῶν, Bloch. θαῤῥεῖν.

34) ἠνυκότι, sic etiam Bloch, verum C. Mon. ἐνυκότι, Aug. ἠνικότι.

35) διῳκ. Bloch. πεπληρωκότι.

36) κατὰ καιρὸν, Cdd. Aug. et Mon. iterum κατακαιρόν.

37) ὅσα, C. Mon. ὅσα καί: Bloch non habet καὶ; neque C. Aug.

38) τοῖς μετ' αὐτ. Bloch τοῖς ἄλλοις.

τοῖς μετ᾽ αὐτὸν οὐδὲν ὅτι καὶ προςθεῖναι [39]) τῇ τῶν οὐρανίων ἐπιστήμῃ χώραν δοὺς [40]), καὶ τοῖς αὐτοῦ γε μὴν προςθεῖναι πόνοις [41]), ὥστε μὴ μόνον περὶ αὐτὰ διατρίβειν, καὶ ἐπὶ τοῖς αὐτοῦ πονεῖν [42]) οὐδὲν νέον εἰςφέροντας, ἀλλ᾽ ἢ καὶ αὖθις ἐκ τῶν αὐτοῦ καὶ, καθόλου γ᾽ ἐρεῖν, εἰς πέρας αὐτὸς ἐπιτυχέστατον [43]) τῆς ἐπιστήμης ταύτης γενόμενος.

ΚΕΦ. ιέ.

Περὶ Ἰωσήπου [1]).

Ἰώσηπον δὲ τὸν Ἑβραῖον ἀξιῶν τις ἐπαινεῖν κατ᾽ ἄμφω, τήν τε τοῦ νοὸς, καὶ τὴν τῆς γλώττης εὐκολίαν, δικαίως ἂν ἐμοὶ δοκεῖν ἀξιοίη· καὶ ἔοικε γὰρ ὡς ἀληθῶς ἀνὴρ ἀμφότερα τῷ τοῦ θαυμαστοῦ Πλάτωνος κηρῷ τῷ μὴ σκληρῷ τε καὶ αὐχμηρῷ, καὶ ξυμμίκτῳ φαύλης τινὸς καὶ κοπρώδους ὕλης καὶ φύσεως, κἀντεῦθεν ἀνωμάλῳ πρὸς πᾶσαν χρῆσιν καὶ διάπλασιν, ἀλλὰ μαλθακῷ καὶ διύγρῳ, καὶ ῥᾷστ᾽ ἔχοντι καὶ

---

39) οὐδὲν — προςθ. Inter οὐδὲν ὅτι et καὶ προςθεῖναι in C. Mon. irrepserunt librarii incuria haec iam supra memorata: μὴ λελοιπότι τῶν ἀξίων λόγου καὶ θεωρίας οὐδὲν ὅτι.

40) χώραν δοὺς, Bloch non exhibet.

41) καὶ τοῖς — πόνοις, Bloch: οὐδ᾽ ὅτι καὶ τοῖς αὐτοῦ γε μὴν προςθεῖναι (C. Aug. male προςθῆναι) πόνοις.

42) πονεῖν, sic Cdd. nostri, sed Bloch πόνοις, recte.

43) ἐπιτυχ. Bloch ἐπιτυχέστατος.

1) Ἰωσήπου, ita etiam Bloch, sed C. Mon. Ἰωσίππου, et postea Ἰώσιππον.

πεφυκότι [2]) τυποῦσθαι πρὸς πάνθ' [3]), οἷς ἂν ἑκάστοτε ξυλλάχοι. Ὑγρὸς μὲν γὰρ ὁ νοῦς τῷ ἀνδρὶ, καὶ οὐκ αὐχμώδης, καὶ αὐτοφυῶς, καὶ πόνων δίχα πολλῶν καὶ ἀρόσεων γόνιμος, ὑγρὰ δὲ καὶ ἡ γλῶττα πρὸς πάντα ἐῤῥαστωνευμένως φέρεσθαι· καὶ ῥεῖ γε ὁ νοῦς αὐτῷ, ῥεῖ δὲ καὶ ἡ γλῶττα μάλ' ἀπροςκόπτως [4]) κατὰ τοὺς ἐν πεδίοις ἰόντας ποταμοὺς ἀλύπῳ [5]) καὶ ὁμαλῷ ῥεύματι, καὶ μὴ διὰ πετρῶν τινων καὶ ῥηγμάτων ὀχληρῶς ἐπιτρέχοντας [6]), καὶ τὸν νοῦν εὖ μάλα καὶ τὴν ἀκοὴν τῶν ἔγγιστ' αὐταῖς προςέχειν ἀναγκάζοντας ἀεί· καὶ ῥεῖ γε μὴν ἔτι ποτίμου τινὸς καὶ διειδοῦς τοῦ ὕδατος. Καὶ ὁ λόγος αὐτῷ καθαρὸς μὲν, ἡδὺς δὲ καὶ ἱλαρὸς χρήσασθαι, ὁ δὲ καὶ πέφυκεν οὕτω δὴ ξὺν οὐδεμιᾷ φιλεργῷ διοικήσει καὶ ἐπιμελείᾳ, ἀλλ' ἀποίητος ἔχων ἐν ῥαστώνῃ [7]), καὶ κατὰ φύσιν αὐτῷ τὰ τῆς εὐστομίας, καὶ οὐκ ἔοι [8]) τρίβειν ἀνὴρ κομιδῇ περὶ τὴν ἑρμηνείαν, οὐδ' ἐπικοσμεῖν τὸν νοῦν περιέργοις τισὶ περιβλήμασι. Τοιγαροῦν

---

2) πεφ. τυποῦσθαι, Cdd. Aug. et Mon. πεφυκότι ποῦσθαι, corrupte.

3) πρὸς πάνθ', C. Mon. πρὸς παθ'.

4) ἀπροςκόπτως, sic Cdd. omnes, et infra c. 43. Sed ἀπροσκόπως Lexica omnia exhibent. In Cap. ις'. etiam ἀπρόσκοπος: cf. Reinesii Obseruatt. in Suidam p. 52.

5) ἀλύπῳ, lineola hoc voc. notatum est in Cod. Cizensi.

6) ἐπιτρέχ. C. Aug. vitiose ἐπιτρέχοντα.

7) ἐν ῥαστ. Cdd. Mon. et Aug. εὐῤαστώνῃ, mendose, et mox καταφύσιν bis, iunctim.

8) ἔοι, sic Cdd. omnes; at leg. ἔοικα.

καὶ ἀφελὴς μέν ἐστι κατὰ φύσιν, οὐκ εὐτελὴς δὲ, οὐδὲ μετ' ἐπιτηδεύσεως τινὸς τὴν ἀφέλειαν ἀμπεχόμενος, τῇ δ' ἀληθείᾳ δεινότητι χρώμενος. εὖ μάλ' ἀδήλῳ, καὶ δόλῳ κακουργῶν εἴσω, καὶ κλέπτων τὸ φαινόμενον ἀπλαστίᾳ, ὥςπερ ἐπ' ἐνίων ὁρᾷν ἐστιν, ἂν εἴ τις ξυνορᾷν δύναιτο καὶ προςέχειν τὸν νοῦν, καὶ οὐκ ἔξω μένει καὶ πλανᾶται περὶ τὸ φαινόμενον μόνον [9]), μὴ χωρῶν ὁτιοῦν εἴσω. Τοῖς γὰρ τοιούτοις ὡς ἄρα καθάπαξ ἀναξίοις ἐπαΐειν, ἐν οἷς εἰσι καὶ βεβήλοις περὶ τῶν τῆς γλώττης ὀργίων θύρας ἐπιτιθέμεθα τῆς παροιμίας. Ἰωσήπῳ δὲ κατὰ φύσιν ἡ ἀφέλεια, καὶ οὐκ εὐτελής γε δι' ἀτονίαν. Αὖθις οὐδ' εὖ περιφρόνητος [10]), ἀλλ' ἐπανθεῖ γε τῷ ἀποιήτῳ τῆς ἑρμηνείας καὶ τῇ ἐλευθεριότητι εὐγενὴς ὅμως χρόα, καὶ κατὰ φύσιν γε καὶ το τῆς εὐχροίας αὐτῷ, καὶ οὐκ ἐπιπονεῖται κομμωτικῶς. Ταῦτ' ἄρα κάλλους τὲ ἴσον ἀπέχει διὰ τὸ κατὰ φύσιν εὔδρομα [11]) χρῆσθαι, καὶ ἀξιώματος, ὅςγε δὴ καὶ σεμνὸς μέν ἐστιν, [ἔστιν [12])] οὖ ταῖς ἐπινοίαις καὶ ταῖς ὑποθέσεσιν ἐξ ἀνάγκης [13]) περὶ τῶν θείων ἅττα [14]) δὴ διεξιὼν καὶ μεμνημένος κατὰ καιρὸν τῇ προθέσει τῶν λόγων. Ἀλλὰ κἀνταῦθ' ὅμως αὐτός ἐστι τῇ γλώττῃ, καὶ

9) μόνον, abest a Cdd. Aug. et Monac.

10) εὖ περιφρόν. alias semper εὐπεριφρόνητος.

11) εὔδρ. C. Mon. ἔνδρομα.

12) ἔστιν, vncis inclusimus, nam Cdd. Aug. et Mon. non habent.

13) ἐξ ἀνάγκ. Cdd. Aug. et Mon. non diuisim: ἐξανάγκης.

14) ἅττα, leg. ἄττα, vt in C. Aug. recte exhibetur.

μὴ συνεξαίρεσθαί πως φροντίδα τινὰ καὶ ἐπιμέλειαν ποιεῖται, τῇ φύσει δ' ἁπλῶς χρώμενος, καὶ δὴ λοιπὸν ἐκ τῆς αὐτῆς αἰτίας οὐδ' ἀκμαστικός ἐστιν, οὐδὲ τραχὺς ἢ σφοδρὸς οὔτε νοῦν, οὔθ' ἑρμηνείαν. Καὶ ἡ λέξις αὐτῷ [15]) πολλὴν ἔχει τὴν γαλήνην, οὔτε γὰρ βροντῶδες ἐν αὐτῇ καὶ ὁτιοῦν, καὶ σφόδρα ἐπιβρέμον καὶ καταχτυποῦν τους ἀκούοντας, ὡς ἂν ἔξω τῆς συνήθους καὶ ἁπλοϊκῆς τοῦ λέγειν ἀγωγῆς, ἀλλ' οὐδ' ἀττικῆς ἀστειότητος, καὶ καλλιεπείας ξένης λόγος ὅλως αὐτῷ, ἀλλὰ καθάπαξ ἐστὶν ἁπλοῦς, εὐγενὴς φύσει καὶ ἀποίητος, καὶ πάσης ὑποκρίσεως ἀφροντιστῶν, μόνῳ τῷ κατὰ φύσιν ἀπλάστῳ δρόμῳ χρώμενος· κἂν εἰ δήπου τὶ καὶ προςποιοῖτο τῶν τῆς φωνῆς χρωμάτων, καὶ τοῦτ' οὐ πόῤῥω φέρον [16]), ἀλλ' οἰκεῖον τῆς αὐτοῦ φύσεως. Εὐκρινὴς γὰρ ἔτ' ἐστιν ἐπὶ τῷ φύσει λείῳ, καὶ τούτου δῆτ' ἐστὶν ἐπιμελὴς, καὶ ἤθους αὐτῷ μέτεστιν ἐκ τῆς τέχνης ἐπὶ τῇ φύσει καὶ γλυκύτητος, καὶ πιθητικὸς οἴκοθέν τε καὶ κατ' ἄσκησιν [17]). Καὶ ταῦτα πάνθ', ὡς ἔστι [18]) ξυνορᾷν, ξυγγενῆ τῇ [19]) κατὰ φύσιν ἕξει τοῦ ἀνδρὸς, ὅςγε καὶ πιθανὸς ὢν ἐν ταῖς κατὰ χρῆσιν δημηγορίαις, καὶ στοχαστικὸς εὖ μάλα καὶ ἀγχίνους,

15) αὐτῷ, fors. αὐτοῦ.

16) φέρον, C. Mon. φέρων.

17) κατ' ἄσκ. C. Aug. iunctim κατάσκησιν, vti semper καταφύσιν, et alia.

18) ὡς ἔστι, C. Mon. ὥς ἐστι.

19) τῇ, C. Mon. τό.

καὶ ἐπιτυχὴς τῶν ἰσχυρῶν καὶ[20]) καιρίων[21])· οὐδ' ἐπιμελής ἐστι τῇ τέχνῃ, οὐδὲ κατὰ τοὺς αὐτῆς νόμους χρῆται διοικούμενος ἐν δεινότητι, ἀλλὰ πλείστῳ χρῆται κἀνταῦθα τῷ ἤθει, καὶ τῷ παθητικῷ, καὶ οὐ κύκλῳ περίεισιν, οὐδὲ συστρέφεται, καὶ ὅλως κατὰ φύσιν κἂν τούτοις φέρεται, καὶ τὴν χρῆσιν ἐπαληθεύει τῶν λόγων, σὺν ὅτι πλείστῃ κἀνταῦθα τῇ λειότητι βαδίζων ἀνεπιτήδευτος. Τοιγαροῦν καὶ οἱ ῥυθμοὶ τοῦ λόγου, καὶ ἡ συνθήκη πᾶσα συγγενὴς αὐτῷ τῇ κατὰ φύσιν ἁπλότητι, καὶ αἱ βάσεις οἰκείως σχεδὸν διὰ πάντων τῶν αὐτοῦ δακτυλικαί τε καὶ ἰαμβικαὶ καὶ[22]) τροχάζουσαι· καὶ σχολῇ τις ἂν εὕροι τὶ τοῖς λόγοις αὐτοῦ πυῤῥιχίζον καὶ καταβαρυνόμενον ἐν σπονδείαις λήξεσι, καὶ ὅλως ναστῶδες καὶ συμπεπιλημένον τοῖς ῥήμασιν.

ΚΕΦ. ιϛ'.

Περὶ Φίλωνος.

Φίλωνος δ' αὖθις τοῦ[1]) Ἑβραίου πέρι τοῦτο νῦν λέγειν ἔχομεν εὐθὺς, ὡς ἄρα μέγα μαρτύριον τῆς αὐτοῦ σοφίας τὸ παρὰ πᾶσι τοῦτο σχεδὸν περιᾳδόμενον πάλαι πρότερον ὑπ' ἐνίων εἰρημένον παραβαλλόντων αὐτὸν Πλάτωνι, ὅτι

20) καὶ desideratur in C. Aug.

21) καιρίων, Cdd. Aug. et Mon. καιρίῳ.

22) καὶ abest a C. Aug.

1) τοῦ, deest in Cdd. Aug. et Mon. sed Bloch. pag. 168. habet.

δὴ Φίλων πλατωνίζει, ἢ Πλάτων φιλωνίζει [2]). Καίτοιγε κομψότερον μὲν τοῦτ' εἴρηται, κομπῶδες [3]) δ' ἐστὶ καὶ θρασὺ, καὶ παρακεκινδυνευμένον εἴρηται ὑπό τινος ἴσως ἐραστοῦ τἀνδρὸς προςενεχθὲν [4]) ἀπροόπτως, καὶ προνοίας ἔξω τοῦ προςήκοντος. Εἰ γὰρ καὶ φίλος ἀνὴρ καὶ θαυμάζειν ἄξιος Φίλων, ἀλλ' οὐκ ἄξιος Πλάτωνι παραβάλλειν καὶ συμμετρεῖσθαί γε παρὰ τοσοῦτον, ὥςτε καὶ τῶν αὐτῶν τε καὶ ἴσων τυγχάνειν. Ἀλλ' ἔοικέ γε ὅμως περιττὸς εἶναί τις τὴν σοφίαν ἀνήρ· καὶ τούτου γε μαρτύριον, ἥπερ ἔφην, ὁπηοῦν εἶναι τὸ εἰρημένον· τῷ ὄντι γὰρ καὶ τῆς τοῦ Πλάτωνος φιλοσοφίας αἱρεσιώτης ἐστὶν ὁ Φίλων. Δογματικὸς γάρ ἐστι, καὶ ὑψηλῶν ὁ νοῦς ἐφίεται τῷ ἀνδρὶ, καὶ ἠθικός ἐστι, καὶ τῇ περὶ τὰ μαθηματικὰ σπουδῇ πάνυ τοι προςέθετο· καὶ τοῦ φυσικοῦ μὲν οὐ καθάπαξ ὠλιγώρηκεν, ἀλλὰ δῆλος [5]) ἐστὶ κἀνταῦθά [6]) γε τῆς φιλοσοφίας νέμων, ὅτί ποτ' ἄρα τῆς σπουδῆς, οὐ μὴν τοσοῦτό γε αὐτῷ τοῦδε [7]) μέλει, ὥςπερ γε καὶ κατ' ἄλλ' [8]), ἅπερ εἴρηται, καὶ

2) πλατωνίζει — φιλων. cum Blochio, sed C. Mon. πλατωνίζειν — φιλωνίζειν.

3) κομπ. C. Mon. κομπῶς. Bloch. κομπῶδες.

4) προςενεχθ. Bloch. προενεχθέν.

5) ἀλλὰ δῆλος, sic Cdd. nostri, sed Paris. ap. Bloch. ἀλλ' ἄδηλος, quod iam hic suspicatus est mutandum esse in ἀλλὰ δῆλος.

6) κἀνταῦθα, C. Mon. κἂν ταῦτα.

7) τοῦδε, C. Mon. τοῦ.

8) κατ' ἄλλ', Bloch. κατά τ' ἄλλ'.

τοῦτό γε κατὰ ζῆλον [9]) *ὡς ἀληθῶς τοῦ Πλάτωνος, καὶ τῆς γλώττης ἐπὶ τούτοις ἐπιμελεῖται, ὅσον κατὰ τὴν χρείαν, καὶ προςήκει γε ἥπερ σπουδάζει σοφίᾳ καὶ πρόςκειται· οὐ γὰρ δογματικοῖς λόγοις καὶ ἠθικοῖς ἀξιοῖ φιλοσοφία κομμωτικῶς* [10]) *ἐσκευάσθαι* [11]), *καὶ δρόμους τρέχειν ἀγγελίας δικαστηρίοις καὶ ἀγωγῇ πολιτικῇ προςήκοντας, καὶ κατατεχνιτεύειν τὴν ἑρμηνείαν τῶν λεγομένων πολὺν πόνον ἐνταῦθα νέμοντας, ἀλλ', ὡς ἄρα παρήκοι* [12]), *μετ' ἀξιώματος τινὸς ἁπλούστερον ταύτῃ γε χρῆσθαι. Καὶ τοίνυν καὶ Φίλων αὐτὸς οὐκ ἀτημελήτως* [12a]), *οὐδ' ἀνασχήτως καθάπαξ ἔχων κἀνταῦθα δῆλος ἐστὶν οὐκ ἀποτυγχάνων τῶν τῆς φωνῆς ἀγαθῶν, ἀλλ' εὐφυῶς καὶ ταύτῃ γε πειρώμενος, καὶ ὡς ἂν εὖ μάλ' ἐπαινεῖσθαι δίκαιος εἶναι. Μάλιστα δ' ἐοικώς ἐστι* [13]) *περὶ νοῦν καὶ φιλοσοφίαν σχολάζοντι, καὶ πλεῖστά γε* [14]) *πεπόνηκεν, ὡς συνορᾶν ἐστι, καὶ συλλογίζεσθαι, τῇ σοφίᾳ. Καὶ βίος*

---

9) **κατὰ ζῆλ.** C. Mon. iunctim **καταζῆλον.**

10) **κομμωτ.** sic Cdd. nostri omnes, quod voc. Theodorus frequentat. Cod. Paris. ap. Bloch. **κομματικῶς**, corrupte, pro quo hic **πομπευτικῶς** legendum esse suspicatur, sine causa, nam **κομμωτικῶς** recte se habet.

11) **ἐσκευάσθαι**, Bloch. operarum vitio **ἐσκευάθαι.**

12) **παρήκοι** cum Bloch. verum Cdd. Aug. et Mon. **παροίκοι.**

12 a) **ἀτημελήτως**, Cap. 101. dic. **φυσικῶν δογμάτων ἀμελήτως ἔχοντες**, leg. **ἀτημελήτως.** Bloch. p. 165. vitiose **οὐ κατημελήτως.** Fors. legendum: **ἀμελετήτως.**

13) **ἐοικώς ἐστι**, C. Aug. **ἐοικῶς ἐστι**, Mon. **ἐοικὼς ἐστί.**

14) **γε**, omittit Bloch.

ἐστὶν αὐτῷ καὶ καθόλου τῆς ζωῆς πρόθεσις ἡ παιδεία, καὶ πολὺ μᾶλλον, ἢ κατ' αὐτὸν Ἰώσηπον. Ἀμφοτέρω μέν γε τώδε τὼ ἄνδρε πλεῖστον ἀμέλει τῶν ἐκ τοῦ αὐτοῦ πάντων ἔθνους Ἑβραίων τῶν ἀπὸ τοῦ παντὸς αἰῶνος ἐνδόξω ἐγενέσθην ἐπὶ τῇ κτήσει[15]) τῆς ἑλληνικῆς σοφίας πρὸς τῇ πατρίῳ, καὶ πλεῖστά γε συνεταξάτην κατὰ τὴν ἑλληνικην[16]) τῆς γλώττης εὐγένειαν. Ἔοικέ γε μὴν ὁ Ἰώσηπος, καὶ ἀφ' ὧν συνεγράψατο δῆλον τοῦτ' ἐστὶ[17]), καὶ ἀπὸ τῆς τοῦ βίου αἱρέσεως, ἧττον προςταλαιπωρῆσαι τοῖς λόγοις, ἢ κατὰ τὸν Φίλωνα, καὶ μὴ παραπλησίως ἑαυτὸν ἐκδοῦναι τοῖς ἐνταῦθα πόνοις, ἀλλὰ τῇ φύσει μᾶλλον ἐνευδοκιμεῖν[18]), ἢ τῇ περὶ τὸ[19]) πρᾶγμα σχολῇ, καὶ οὐκ ἄπειρος μὲν εἶναι πάσης παιδείας κατά τε φιλοσοφίαν πᾶσαν καὶ τὴν ἐν τῷ λέγειν ἄσκησιν· οὐ τοσοῦτον δ' ἐνιδρώσας τῇ περὶ τούτων σπουδῇ διὰ φύσεως ὅμως ἀστειότητα, καὶ τάχος, καὶ μνήμην, κάλλιστ' ἀνύσας τυχεῖν καὶ τῶν ἄλλων τῆς σοφίας θησαυρῶν καὶ κτήσεων, μάλιστα δὲ περὶ τὴν γλῶτταν οὐ κατὰ τοὺς πολλοὺς σχεῖν, ἣν ἄρα[20]) δι' εὐκολίαν, ὡς εἴρηται, φύσεως εὔθηκτον ἔχων ὀλίγων ἐδεήθη

---

15) κτήσει, C. Mon. κτίσει.

16) ἑλλην. Bloch. ἑλληνικῆς.

17) τοῦτ' ἐστὶ, C. Aug. τουτ' ἔστι.

18) ἐνευδοκ. sic Cdd. nostri, sed Bloch. ἂν εὐδοκ. Cap. 61 et 67. Ciz. iterum ἐνευδοκιμεῖν.

19) τό, Bloch. operarum incuria τοῦ.

20) ἣν ἄρα, Bloch. ἣ δ'. ἄρα.

τῶν πόνων [21]), ὥςτε παρ᾽ Ἕλλησιν ἀριστεῦσαι κομιδῇ μετ᾽ ὀλίγων ἐναρίθμιος, καὶ ἀπὸ ξένης ἥκων τοῖς γνησίοις ἐμπολιτεύσασθαι καὶ συντάξασθαι. Καὶ δῆλόν γε τοῦτο μάλιστα τῷ τοῦ ἀνδρὸς βίῳ, ὅςγε Ἱεροσολυμίτης [22]) ὢν, καὶ ἱερατικῆς, ὡς αὐτός φησι, φυλῆς τε [23]) καὶ λειτουργίας, καὶ τῇ κακῇ τῆς πατρίδος τύχῃ, καὶ τοῖς χαλεπωτάτοις συναντήσας καὶ συζήσας καιροῖς μεγίστοις καὶ ἐρνώδεσιν, οὕτω δὴ πᾶσα ἀνάγκη [24]) συνηνέχθη πράγμασιν, ὥςτε καὶ στρατιωτικῶν καὶ μαχίμων ἐπὶ πλεῖστον ἔργων ἅψασθαι, τοῦτο μὲν ὑπὲρ [25]) τῶν πατρίων καὶ τῆς πατρίδος παραβαλλόμενος ἐπιμελέστατα, τοῦτο δὲ συνὼν ὕστερον τοῖς κατ᾽ αὐτῆς ὡπλισμένοις αὐτοκράτορσι Ῥωμαίων, Οὐεσπασιανῷ τε καὶ Τίτῳ, καὶ τελευτῶν τὰ Ῥωμαίων πολιτευσάμενος ἀντὶ τῶν πατρίων ἐπὶ δόξῃ διὰ φύσεως καὶ ἤθους [26]) καὶ γνώμης εὐγένειαν, καὶ βασιλέων τρίψας αὐλαῖς ἐν σπουδῇ [27]) πραγμάτων Τίτου καὶ Δομετιανοῦ, ὥςτε μὴ καθάπαξ ἀπρόσκοπος τὰ περὶ λόγους ἀμέλει γενέσθαι. Φίλων δὲ καθόλου συνεβίωσεν ἐπ᾽ Αἰγύπτου τῇ σχολῇ καὶ

---

21) τῶν π. C. Mon. male τὸν πόνον.

22) Ἱεροσολ. C. Mon. ἱεροσολυμήτης.

23) τε, Bloch. hic, uec autea post δῆλον habet γέ.

24) πᾶσα ἀνάγκη, Bloch. πάσῃ ἀνάγκῃ.

25) ὑπέρ, C. Mon. ὑπό.

26) καὶ ἤθους, ita etiam Bloch; sed Cdd. Aug. et Mon. haec ignoraut.

27) ἐν σπουδῇ, Cdd. Aug. et Mon. male et iunctim ἐνσπουδῇ.

τῷ τῶν [28]) λόγων ἔρωτι, καὶ πολιτικῶν δή τινων ἔργων οὐδὲ, τοῦ καιροῦ μάλιστα διδόντος [29]), βραχὺ καὶ ἥψατο. Ταῦτ' ἄρα καὶ πλεῖσθ' οὗτος ἀνὴρ μάλιστα συνετάξατο, καὶ οὐ κατὰ τὸν Ἰώσηπον λέγω [30]) νῦν γε, ἀλλ' εἰ δή τις καὶ ἄλλος τῶν ἐλλογίμων καὶ διὰ μνήμης [31]) ἐν Ἕλλησι, καὶ μάλιστα μὲν τὰ κατὰ φιλοσοφίαν προὔθετο, καὶ τῶν πατρίων ὑπερβαλλόντως ὢν σπουδαστὴς ἐπὶ τοῖς ἱεροῖς κατὰ Μωσέα πάλαι γράμμασι πᾶσαν τὴν αὐτοῦ σοφίαν φιλοπονεῖ, καὶ πάντ' αὐτῇ [32]) φέρων κάλλιστ' ἀνατίθησιν εὖ μάλα πρόθυμος [33]). Καὶ κατὰ πάντα τρόπον, ὅσα καὶ ἁπλῶς οὕτω δὴ καὶ τὸ φαινόμενον ἐπαινεῖν ἔχει, καὶ ὅσα δι' ὑπονοιῶν καὶ ἀλληγοριῶν τῆς προδήλου καὶ καθ' ἱστορίαν ἐντεύξεως βαθύτερα, καὶ, ὡς ἔπος εἰπεῖν, ἐνταῦθα δὴ πάσης φιλοσοφίας ἀφορμὴν συνεισάγειν, ὡς οἷός τ' ἂν εἴη, καὶ πάσαις μηχαναῖς ἐπείγεται, καὶ τὰ τῆς οἰκείας ἐπιδείκνυσι σοφίας. Καὶ πολὺς μέν ἐστι τὸν νοῦν καὶ ὑψηλῶν, ὡς ἔφην,

---

28) τῷ τῶν, Bloch. non habet τῷ.

29) διδόντος, scriptor Cod. Mon. a διδόντος ad μάλιστα συνετάξατο aberrauit; caeteris omissis.

30) κατὰ — λέγω, Bloch. κατὰ Ἰώσηπον λέγων.

31) διὰ μνήμης, C. Mon. iunctim διαμνήμης, vt mox καταφιλοσοφίαν.

32) αὐτῇ, Bloch. αὐτοῖς.

33) πρόθυμος, C. Aug. male πρόθυμοι. Bloch etiam corrupte πρόοιμος, qui malebat legere πόριμος, quam coniecturam voc. πρόθυμος reiicit.

ἐφίεται [34]), *καὶ τυγχάνει γε θαυμαστῶς, ὅπως ἄρα τούτου μᾶλλον, οὗ καὶ ἡ πᾶσα, εἰ δ' οὖν ἡ πλείων, πρόθεσις. Μέλει δέ πως αὐτῷ, καὶ εἴρηταί γε, κἂν τούτοις τῆς γλώττης, καὶ ἔστι μὲν αὐτῷ τῇ προθέσει πάντως* [35]) *οἰκείως* [36]) *ἀξιώματος καὶ σεμνότητος ἐν τῷ λέγειν ἐπιμέλεια καὶ φροντὶς τῶν ἄλλων μᾶλλον τῆς ἑρμηνείας χρωμάτων, καὶ οὐ ταῖς ἐννοίαις μόνον, ἀλλὰ καὶ τοῖς ῥήμασι καὶ τοῖς ῥυθμοῖς καὶ ταῖς συνθήκαις ἐπαίρεται. Οὐ μὴν ἀλλὰ καὶ χάριτος οὐ καθάπαξ ὀλιγωρεῖ οὐδ' ἀποτυγχάνει, καὶ ἔστι μᾶλλον αὐτῷ ἢ κατὰ τὸν Ἰώσηπον τὰ τῆς χάριτος καὶ τοῦ ἤθους κατ' ἐπιτήδευσιν* [37]) *πλέον ἢ κατὰ φύσιν, καὶ οὐχ ἁπλῶς κατ' ἔθος φύσεως ὡς ἐκεῖνος χρῆται, ἀλλ' ἐπιμελεῖται μᾶλλον ἢ ἀναδίδωσιν ἀποιήτως. Καὶ οὐ ῥεῖ γε οὕτως ἐπιὸν ἀπόνως ἀμέλει, ἀλλὰ ξὺν ἐργασίᾳ καὶ διοικήσει τοῦ κατὰ φύσιν γε συνήθους πλέον ἀξιοῖ φέρειν, οὐ διὰ πάντων, οὐδ' ἔργον τοῦτο πρῶτον αὐτοῦ, ἀλλ' ἔστιν οὗ χαριέστερος τῆς προθέσεως γινόμενος, ὥστε καί τιν' ὥραν ἐπιδείκνυσθαι. Καὶ οὐκ ἐν σχήμασιν, οὐδ' ἐν ἐπιπλοκαῖς* [38]) *καὶ ἑτερότησι τοῦ δρόμου τῶν λόγων ὁ καλλωπισμὸς*

---

34) *ἐφίεται*, Cod. Paris. *φύεται*, recte coniecit Bloch *ἐφίεται*.

35) *καὶ εἴρηται — πάντως* desunt ap. Bloch.

36) *οἰκείως*, Bloch *οἰκείου*.

37) *κατ' ἐπ.* C. Mon. iunctim *κατεπιτήδευσιν*, et mox, vt vbiuis, *καταφύσιν*.

38) *σχήμασιν — ἐπιπλ.* Bloch. *σχήματι οὐδὲ ἐπιπλοκαῖς*.

τἀνδρὶ [39]), ἀλλ' ἐν τῷ τῶν ῥημάτων εὐσήμῳ καὶ ταῖς καινότησιν, ἐν οἷς καὶ γοργός ἐστιν, εἰ δή τις καὶ ἄλλος, καὶ πολὺν νοῦν ἐν ὀλίγοις στενούμενος ὀνόμασι· τὸ πλεῖστον δ' [40]) ἁπλῶς τε καὶ φιλοσόφως κατὰ τὴν πρόθεσιν τῷ λέγειν χρῆται, καὶ οὐ περιεργάζεται [41]) χωρῶν ἀφροντίστως οὑτωσί. Τῆς λέξεως [42]) αὐτὸ τὸ ἔκτροπον καὶ ἄηθες πολλάκις, καὶ ἀπολίτευτον ἐστὶ μὲν, ὡς ἐρεῖν τινα, κατὰ φύσιν εἶναι τραχυτέραν αὐτῷ καὶ ἴσως οὐ καθάπαξ νεμεσητῶς [43])· ἔστι δ', ὥςτε καὶ προςήκειν φάναι τῷ παντὶ σκοπῷ καὶ τῇ προθέσει τῶν λεγομένων, οὐ γὰρ παντάπασιν ἔξω οὐδ' ἀνοίκειον τοῦ σεμνοῦ τὲ [44]) καὶ ἀξιωματικοῦ τὸ τραχὺ τῆς φωνῆς, ὡς ἡ τέχνη βούλεται καὶ νομίζει [45]).

---

39) τἀνδρὶ, Bloch. τοῦδε, sed Theodor. amat dicere ἀνδρὸς pro τοῦδε.

40) πλεῖστον δ'. Bloch, omisso δὲ, et deleto antea puncto, continuat orationem, eamque iungit cum superioribus.

41) περιεργ. C. Mon. περιεργάζηται.

42) τῆς λέξ. Bloch τῆς δὲ λέξεως.

43) νεμεσητῶς, sic Cdd. nostri, et Paris. verum Bloch. addit: an νεμέσαι τις. Fortasse νεμεσητόν.

44) τὲ omittit Bloch.

45) νομίζει, C. Aug. νομίζω: male.

ΚΕΦ. ιζʹ.

Ὅτι πάντες, ὅσοι ἐν Αἰγύπτῳ ἐπαιδεύθησαν [1]), τραχύτερον τῷ λέγειν χρῶνται.

Ἔννοιά μοί τις αὕτη πολλάκις καὶ [2]) λογισμὸς ἔπεισιν, ἴσως μὲν τἀληθοῦς τυγχάνων, ἴσως δὲ μὴ, λογίζομαι δ' οὖν, ὅτι δὴ πάντες, ὅσοι κατ' Αἴγυπτον ἐπαιδεύθησαν, παλαιοί τε πρότερον καὶ νεώτεροι, καὶ συνεγράψαντο ἅττα δὴ, παραπλήσιοί πως τὴν φωνὴν εἰσὶ, τραχύτερον [3]) τά τε ἄλλα, καὶ τοῖς ὀνόμασι μάλιστα χρώμενοι. Καὶ τοῦτ' εἶναι πάντως κατ' ἔθος ἔοικε [4]) κρατῆσαν ἐκεῖσε, τῶν ἐκδεξαμένων ἄλλων ἐπ' ἄλλοις, τῶν αὐτῶν ἐχομένων δρόμων τῆς γλώττης· καὶ πάντας [5]) γὰρ ἐπισκοπούμενος ἔγωγε, ὅσοι τὸν τοιοῦτον χαρακτῆρα καὶ τύπον τῆς ἑρμηνείας ἐνόμισαν καὶ καθιστόρησαν, οὕτω δὴ καὶ διέθεντο τὰ σφέτερα αὐτῶν συντάγματα, εἰ [6]) καὶ ἄλλος ἄλλου βέλτιον, καὶ τοὐναντίον ἐχρήσατο, καὶ ὅσοι τῆς καθ' ἡμᾶς [7]) θεοσεβείας καὶ πίστεως, καὶ ὅσοι μὴ, πάντας δ' ὅμως τούςγε τοι-

---

1) ἐπαιδ. C. Aug. ἐπαιδεύθη, corrupte.

2) καί, habet C. Paris. ap. Bloch.; in Codd. Coisl. ap. Bl. et in Aug. et Mon. desideratur.

3) τραχύτ. *Intellige Africanum genus dicendi.* Bloch.

4) ἔοικε, C. Mon. ἔοικεν.

5) πάντας, C. Mon. πάντα, Bloch. ἅπαντας; C. Aug. et Paris. consonant cum Cix.

6) εἰ, omittit C. Paris. Reg. ap. Bloch.

7) καθ' ἡμᾶς, Bl. καθ' ἡμῶν.

ούτους ἐν τῷ λέγειν, κατ' Αἴγυπτον μόνον τῇ παιδείᾳ συσχολάσαντας ξυνορῶ, καὶ συνεθισθέντας, καὶ δευσοποιὸν, ὡς εἰπεῖν, τῆς φωνῆς βαφήν τε καὶ ἄσκησιν ἐκεῖσε δὴ κεχρωμένους [8]*, καὶ οὐκ ἔτι πω καὶ ἄλλῃ πολιτευσαμένους τὰ τῆς σοφίας, καὶ κοινωνήσαντας, ἄλλων δή τινων νομίμων, καὶ ἐθῶν τῇ παιδείᾳ καὶ χρήσεων. Οἷον δὴ Φίλων ὁ Ἑβραῖος ἐκεῖνος Αἴγυπτον μόνον οἶδε, καὶ ταύτῃ γε τὸν ἅπαντα τῆς ζωῆς χρόνον τροφῷ τῆς παιδείας ἐχρήσατο. Πολὺς τὴν σοφίαν ἀνὴρ, καὶ τῆς γλώττης πρόνοιαν ἐπιμελῶς ποιούμενος οὐχ ἱλαρὸς καθάπαξ ἐμπίπτει τοῖς ὠσὶν, οὐδὲ λεῖος* [9] *τοῖς ῥήμασιν, οἷς ἑρμηνεύων ἑκάστοτ' ἐκφέρει τὸν νοῦν, καὶ διαπλάττει καὶ προδείκνυσι. Καὶ Πτολεμαῖος ὁ Κλαύδιος μεθ' ὕστερον τὸν αὐτὸν τρόπον συντάττει τὰ κάλλιστα καὶ θαυμασιώτατα σπουδάσματα* [10]*, καὶ Θέων μετ' αὐτὸν, καὶ τῶν τῆς ἡμετέρας χριστιανικῆς αὐλῆς, Ὠριγένης τε καὶ Πανταίτιος, καὶ Κλήμης, ὁ τοὺς στρωματεῖς συνθέμενος, καὶ ὁ θαυμαστὸς ὄντως καὶ θαυματοβρύτης Γρηγόριος· εἰ καὶ Ποντικὸς* [11] *γὰρ οὐ-*

---

8) *κεχρωμ.* sic etiam Cdd. Aug. Monac. et Coisl. ap. Bloch, qui vero rectius *κεχρωσμένους. Lucian. Imag. p.* 158. *οὐκ ἄχρι τοῦ ἐπικεχρῶσθαι μόνον, ἀλλ' ἐς βάθος δευσοποιός, κ. τ. λ. cf. etiam Quintil.* XII, 10. Bloch.

9) *λεῖος*, C. Mon. *λείως*.

10) *σπουδ.* Bloch: *τὰ σπουδιάσματα*, leg. *σπουδάσματα*.

11) *Ποντικός*, C. Mon. male *ποντικόν*. Bloch. *εἰ γὰρ* pro *εἰ καὶ*, et pro altero *γάρ* vult legi *μέν*.

τος, ἀλλ' ἐπ' Αἴγυπτον[12]) τὸ πλεῖστον ἐπαιδεύθη παρ' Ὠριγένει, καὶ τοῦτ' αὐτός φησι περὶ αὐτοῦ[13]). Καὶ ὁ τοῦ Παμφίλου Εὐσέβιος, ἐκ Παλαιστίνης μὲν τὸ γένος, ἀλλ', ὡς αὐτός φησι, τοῖς ἐπ' Αἰγύπτου πάνυ τοι χρονίως συνεφοίτησε, πολυμαθὴς ἀνὴρ, καὶ δῆλός γε πολλὰς ἐκδόσεις προενεγκὼν, καὶ χρώμενος οὕτω[14]) τῇ γλώττῃ. Καὶ ὁ πολὺς τὴν[15]) θείαν κατὰ Χριστὸν σοφίαν, καὶ τὴν θύραθεν ὁ ἱερὸς Κύριλλος διὰ πάντων τῶν αὐτοῦ παμπλείστων καὶ πολυτιμήτων τῇ ἐκκλησίᾳ Χριστοῦ, καὶ αὐτός γε μὴν[16]) οὕτω χρῆται καὶ συνυφαίνει τοὺς λόγους αὐτοῦ χρώματι φωνῆς φεύγοντι τὸ λεῖον ἐπίτηδες καὶ τῆς ἀκοῆς ἔθιμον. Συνέσιός τε αὐτὸς πολὺ θαυμάσιος ἀνὴρ[17]) πᾶσαν σοφίαν δι' εὐκολίαν καὶ πρὸς πάντα χωροῦσαν ἑτοιμότητα φύσεως, καὶ νοῦν τε καὶ γλῶτταν εὔστροφος καὶ ταχὺς, εἰ δή τις καὶ ἄλλος, καὶ ῥέων ἐν τῷ λέγειν ἀμογητὶ[18]), καὶ πᾶσαν τὴν σοφίαν αὐτῷ[19]) τὸν[20]) κατ' Αἴγυπτον

---

12) *Αἴγυπτ.* Cdd. Aug. Mon. et Bloch. *Αἰγύπτου*, recte, nam mox sequitur *ἐπ' Αἰγύπτου*.

13) *αὐτοῦ*, Bloch vult legi *ἑαυτοῦ*, quia hoc de se ipse Gregorius in Panegyr. p. 170. dicit.

14) *οὕτω*, C. Mon. *οὕτως*.

15) *τὴν*, C. Paris. Reg. *τήν τε*.

16) *μὴν*, Bloch *μέν*.

17) *ἀνὴρ*, desideratur ap. Bloch.

18) *ἀμογ.* Bl. male *ἀμώγητι*, C. Paris. Reg. vt nostri Cdd. *ἀμογητί*.

19) *αὐτῷ*, C. Mon. *αὐτῶν*.

20) *τὸν*, sic Cdd. nostri cum Coisl. sed Bl. *τῶν*.

τῆς παιδείας ἐργαστηρίων ἀπολαβὼν καὶ πριάμενος, καὶ βραχύ τι κομιδῆ καὶ τοῦτ᾽ αὐτός φησιν, Ἕλλησιν ἐκ Λιβύης [21]) καὶ πέραν κατ᾽ Εὐρώπην γενόμενος, παρατραχύνεται τὴν ἑρμηνείαν, ἐν οἷς ἑκάστοτε σπουδάζει, καὶ δυςδιόδευτα πλεῖστα καὶ δυςέντευκτα [22]) τῷ τῆς ἀκοῆς ἐθίμῳ φθέγγεται. Καὶ τοῦτ᾽ ἔστι μὲν, ἔστιν οὗ τῷ [23]) ὄντι τῷ καλῶς κρίνοντι προςίεσθαι καὶ ἐπαινεῖν, καὶ μὴ ψοφοδεῶς [24]) ἔχειν κατακτυπούμενον ἀσυνήθως ὡς τὰ παιδάρια, ἔστι δ᾽ οὗ καὶ νεμεσῆσαι τὶς ἂν δικαίως τὸ τῆς γλώττης παράτροπον. Ἀλλὰ περὶ τούτου νῦν γε ἡμῖν εὔφημα κείσθω [25])· οὐδὲ γὰρ ἡ πρόθεσις τοῦτ᾽ ἦν ἐξετάζειν περὶ τούτων καὶ κρίνειν, ὃ δ᾽ οὖν [26]) ἐβουλόμην [27]), ἐπιστωσάμην διὰ τῶν εἰρημένων ἀνδρῶν, οἳ πάντες ἐπ᾽ Ἀλεξανδρείας κατ᾽ Αἴγυπτον [28]) τὰ τῆς σοφίας ἐσπούδα-

---

21) *Λιβύης*, Bl. hic et al. locc. *Λιβύας*.

22) *δυςέντ.* sic etiam Bloch, verum C. Paris. Reg. alter et Aug. *δυςάτευκτα*, C. Mon. *δυςεύτεκτα*: Ciz. lectio est verissima.

23) *οὗ τῷ*, Bl. *οὕτω*, sed C. Paris. Reg. vt Ciz. et reliqui Cdd.

24) *ψοφοδ.* sic Cdd. nostri, C. vero Germ. *ψόφῳ δὲ ὡς*: Reg. *ψοφοδεῷ᾽ ἔχειν*: *vtrumque vitiosum. Restitui ex mente ψοφοδεῶς. Sic e. g. Lucian. Imag. pag.* 174. *τὰ πρὸς τοὺς θεοὺς δεισιδαιμόνως καὶ ψοφοδεῶς ἔχω.* Bloch.

25) *κείσθω*, omissum in C. Mon. et Aug. pro *εὔφημα* male *ἔφημα*. *Herodot*. II, 151. *εὔστομα κείσθω.*

26) *ὃ δ᾽ οὖν*, C. Mon. *ὁ δ᾽ οὖν*.

27) *ἐβουλ.* Bl. male *ἐβούλομεν*.

28) *κατ᾽ Αἴγ.* sic Cdd. nostri, recte, sed Bloch *κατ᾽ Αἰγύπτου*, et addit: *annon potius καί?* quam coniecturam et contextus et lectio Cdd. nostrorum irritam reddunt.

σαν [29]), ὅπερ ἐν ἀρχῇ προὐθέμην [30]), ὅτι δὴ παραπλησίως πάντες ἐνταῦθα τὴν φωνὴν ἤσκησαν, ἀηθέστερον ἐκτραχυνόμενοι τοῖς ὀνόμασιν. Ὧν δὴ τοὐναντίον ἅπαν συνορᾷν ἐστι καὶ συλλογίζεσθαι περὶ τῶν ἐν Συρίᾳ τε καὶ Φοινίκῃ παιδευθέντων, λειότατα [31]) κομιδῇ χρωμένων τῷ λέγειν, καὶ οὐδ' ὁπηοῦν ἀνόδευτα καὶ τοῖς πολλοῖς τῶν ἀνθρώπων αὐτοῖς, καὶ πᾶσα ῥαστώνη πᾶσιν ὠσὶν ἐντεῦθεν, καὶ οὐδ' ὁτιοῦν ἀφιλάνθρωπον ἐμπίπτει [32]) πλῆττον τραχύτητι. Καὶ τοῦ λόγου τοῦδε πλείστους ἂν ἔχοιμεν [33]) μάρτυρας, ὅςτις ἂν προσέχειν βούλοιτο, τοῦτο μὲν ἐκ φιλοσόφων, οἳ δόγματά τινα καὶ συντάξεις ἐπόνησαν διαφόρους, ὡς οἱ περὶ Πορφύριον καὶ Μάξιμον, (Φοίνικές δὲ οὗτοι καὶ Τύριοι) καὶ [34]) πλεῖστοί γ' ἐκεῖθεν ἄλλοι οὕτω τῇ [35]) γλώττῃ χρησάμενοι, τοῦτο δ' ἐκ ῥητόρων μάλισθ', οὓς καὶ δικαιότερον τὶς ἐν τοῖς τοῦ λέγειν δρόμοις μαρτύραιτ' ἄν· καὶ παρεὶς τοὺς ἄλλους, πλείστους ἔχων ἐρεῖν, Λουκιανόν τε καὶ Λιβάνιον ἐν μνήμῃ ποιοῦμαι νῦν, ἀμφοτέρω Σύρω ἄνδρε καὶ

---

29) ἐσπούδ. C. Aug. male ἐσπούδασαι. C. Paris. Reg. ap. Bl. ἐμελέτησαν, quae videtur esse glossa.

30) προὐθέμην, Bl. προυθείμην, sed Paris. Cod. vt Cis.

31) λειότ. sic C. Aug. quoque, sed Mon. λειότητα.

32) ἐμπίπτει, sc. τοῖς ὠσὶν, vt supra. Bloch.

33) ἂν ἔχοιμεν, C. Mon. ἂν ἔχομεν, sed ι scriptum supra εν. Fortasse legendum ἂν ἔχοι μὲν, ὅστις.

34) καὶ deest in C. Mon.

35) τῇ non habet Bloch.

ὀνομαστῷ γ᾽ ἐν ῥητορείᾳ καὶ γλώττης ἀσκήσει, καὶ πόλλ᾽ ἐξενεγκότε [36]) βιβλία μετ᾽ εὐστομίας θαυμάσια. Οἱ καίτοιγε τὸ ἀττικίζειν [37]) ὑπερβαλλόντως σπουδάζοντες οὕτω δὴ μάλιστα το τῆς γλώττης ἱλαρὸν ἠσπάσαντο, καὶ προείλοντο, καὶ οὐκ ἄτριπτον, ὥςτε καὶ ἐν οἷς τὸ ἀττικίζειν φέρει πρός τιν᾽ ἐκτροπὴν τοῦ ἐθίμου, καὶ σκληρύνεται [38]) τοῖς ὠσὶ, παρορῶσι τοῦτο, καὶ οὐχ αἱροῦνται, οὐδὲ χαίρουσιν ὁτιοῦν [39]) οὕτω χρῆσθαι, πάντα τρόπον τὸ τῆς φωνῆς ἐῤῥαστωνευμένον προκρίνοντες. Παραπλησίως δὲ τῇ ἑρμηνείᾳ χρῶνται καὶ πάντες Ἀσιανοὶ, καὶ μάλιστ᾽ Ἴωνες, καὶ πολὺς ἐντεῦθεν ἀριθμὸς φιλοσόφων τὲ καὶ ῥητόρων πιστοῦται τὸν λόγον, ὅςτις καταλογίζεσθαι βούλοιτ᾽ ἄν. Καὶ πολλὴ γὰρ [40]) ἐντεῦθεν συντέλει᾽ ἀνδρῶν [41]) σπουδαίων τῷ χορῷ τῆς σοφίας ὡς ἀληθῶς γέγονε, πᾶσαν παιδείαν καὶ φιλοσόφους [42]) αἱρέσεις καὶ ῥητορικὰς ἐπιδείξεις φημὶ, καὶ πολὺς πόνος, καὶ ἴσως οὐκ ἐν καιρῷ πάντας ἀπαριθμεῖσθαι. Ἀλλὰ μὴν καὶ τὸ μετρίων μνησθῆναι δόξειεν ἂν ὡς τοὺς ἄλλους περιφρονοῦντος εἶναι. Καὶ δη καθόλου

---

36) *ἐξενεγ.* Cdd. Aug. et Mon. et Bloch. *ἐξενεγκόν τε.*

37) *ἀττικίζειν*, *alias χαριεντίζειν dicitur.* Bloch.

38) *σκληρ.* C. Aug. et Germ. ap. Bloch., neglecto *λ*, *σκηρύνεται.*

39) *ὁτιοῦν*, ap. Bl. C. Germ. *ὅτι δὴ οὖν.*

40) *γὰρ*, Bl. *γέ.*

41) *συντέλει᾽ ἀνδρῶν*; Bl. *ξυντέλεια ἀνδρῶν*, quod explicat per: *θίασος.*

42) *φιλοσ.* C. Paris. Reg. ap. Bl. *φιλοσοφικούς.*

γε περὶ αὐτῶν ἁπάντων εἰπὼν, ὡς οὕτω δὴ χαίρουσι τῇ γλώττῃ χρώμενοι, καὶ παραπέμπων τὸν βουλόμενον ἐπισκέπτεσθαι πρὸς τὰ ἐξ αὐτῶν παντοῖα βιβλία καὶ πλεῖστα, τοσοῦτο νῦν προςτίθημι μόνον, ὡς ἄρα τῆς ἀττικῆς γλώττης καὶ χάριτος τραχύτερον μὲν Αἰγύπτιοι, καὶ ἀγροικότερον ἐχρήσαντο τὰ ἐς ἑρμηνείαν [43]), Φοίνικες δὲ καὶ Σύροι, καὶ ἔτι Ἀσιανοί τε καὶ Ἴωνες ἱλαρώτερον, καὶ πάντα τρόπον τὴν ὁμαλὴν καὶ ὁδεύσιμον καὶ ἄπονον καθάπαξ, καὶ ἀπρόσκοπον τοῖς ὠσὶν εἵλοντο.

ΚΕΦ. ιή.

Περὶ Συνεσίου.

Συνέσιος δ' ὁ Κυρηναῖος ἔστι μὲν παντὸς ἐραστὴς [1]) εἴδους σοφίας, ἔστι δὲ καὶ παντὸς πολὺ μάλιστα ἐπιτυχὴς τῷ τε πολυαρκεῖ πάντως τῆς φύσεως, καὶ πρὸς πάντ' εὐκινήτῳ τὲ καὶ οἰκείῳ καὶ πεφυκότι [2]), καὶ μνήμῃ καὶ τάχει, καὶ τῶν καλῶν ἀκαμάτῳ καθάπαξ, καὶ ζέοντι δραστικῶς, ἀλλ' οὐ μικρολόγως, οὐδ' ἀπειροκάλως

43) τά ἐς ἑρμ. C. Mon. τὴν ἑρμηνίαν: Bl. τὰ ἐς ἑρμηνείας.

1) ἐραστὴς, sic Cdd. nostri et Bloch; verum C. Paris. Reg. ἐρασθεὶς.

2) πεφυκότι, sic Cdd. omnes, etiam ap. Bloch. qui vero putat, incuria librariorum εὖ excidisse, non temere, nam supra c. 2. πρὸς μνήμην εὖ πεφυκέναι dicitur. Fortasse tamen etiam absolute πεφυκὼς ponitur, vt sit i. q. οἰκεῖος, *naturalis*, *a natura insitus*, vt postea: οὐδὲ πέφυκεν οὕτω.

μὲν οὖν ἔρωτι. Ἃ πάντα [3]) καθ' ἕκαστα, καὶ πάνθ' ὁμοῦ πολὺ κράτος πιστοῦται φύσεως τῷ ἀνδρὶ, καὶ δῆλός γε, ὡς οὐ λίχνος [4]) ἐστὶν ἀκαίρως, πρὸς ἃ μὴ [5]) ἐχρῆν ἅπαντ' ἀναιδῶς [6]) πράγματα, καὶ ἃ, μὴ οἷόν τέ ἐστιν ὁμοῦ [7]). Καὶ τοίνυν ἄκρος μὲν οὐκ ἔστιν ὡς ἀληθῶς ἅπαντα, οὐ πολλῶν γε μὴν αὐτὸς δεύτερα φέρεται [8]), καὶ κομιδῇ σὺν ὀλίγοις ἐστὶν ἐναρίθμιος· καὶ ὧν ἄρα καθ' ὁτιοῦν λείπεται, τῷ περὶ τἄλλα πάνθ' ὁμοῦ κάλλιστ' ἔχειν καὶ πλεῖν, ἢ ὡς ἂν κατὰ πολλοὺς τῶν ἐλλογίμων τε καὶ δοκίμων πολὺ μάλιστ' ἀνὴρ θαυμάζειν ἐστὶν ἄξιος [9]). Φιλοσοφία μὲν γὰρ πρόθεσις αὐτῷ πάνυ [10]) τοι πρὸ τῶν ἄλλων ἁπάντων, μέλει δὲ αὐτῷ καὶ τῆς γλώττης καὶ τῶν ἐντεῦθεν κόσμων τῷ τῆς δια-

---

3) ἃ πάντα, Cdd. Aug. Monac. et Bloch. ἅπαντα.

4) οὐ λίχνος, ita Cdd. nostri, et C. Reg. ap. Bloch. qui vero dedit ἄλλιχνος, et addidit: *Amat Theodorus eiusmodi compositiones, e. g.* ἀνικανὸς *pro* οὐχ ἱκανός. Λίχνος *ap. Atticos significat gulosus, hic vero translate de eo, qui inepte auideque famam eruditionis captat.* Attamen quum Cdd. reliqui omnes conspirent in οὐ λίχνος, haec lectio non est sollicitanda. Altera ἄλλιχν. lapsu librarii orta videtur.

5) πρὸς ἃ μὴ, C. Coisl. ap. Bloch. vitiose: π. ἃ μέν.

6) ἀναιδῶς, ita Cdd. nostri sed Bl. ἀναιδής.

7) ἃ — ὁμοῦ, sic Cdd. nostri et Bloch; sed C. alter Reg. Paris. ἃ μὲν οἱ οὔτ' ἔστιν ὁμοῦ.

8) δεύτ. φέρεται, idem Cdd. nostri, et Paris. Reg. verum Bloch δευτεροφορεῖται.

9) καὶ κομιδῇ vsque ad ἐστὶν ἄξιος a Bloch. sunt omissa.

10) πάνυ, deest ap. Bloch.

νοίας γονίμῳ. Καὶ νοῦς μέν ἐστιν αὐτῷ διὰ πάντων, ὧν λέγει, φιλοσοφίᾳ προσήκων καὶ γνήσιος, καὶ κατ᾽ αὐτὴν βέλτιστ᾽ ἐνεργής. Ἐπικαλλύνεται δ᾽ ὅμως καὶ τῇ κατὰ τὴν φωνὴν χάριτι, καὶ πρόεισιν ἀμέλει τοῖς ἔξω καὶ διαδείκνυται περικοσμούμενος εὐαγγέλῳ[11]) *τῇ χρήσει, καὶ πολὺ τὸ ἀστεῖον καὶ τερπνὸν*[12]) *ἐντεῦθεν ἔχει εὐκολία*[13]) *κατὰ φύσιν τοῦ ἀνδρός. Πρᾶγμα πάντων ἐργωδέστατον καὶ σπάνιον συντυχεῖν, καὶ οὔ μὴ πολλὰ μήδ᾽ ἐκ πολλῶν τῶν ἀπὸ τοῦ παντὸς αἰῶνος ἀνθρώπων ὑποδείγματα, ὥστ᾽ εἰς ἓν ἥκειν*[14]) *δηλαδὴ ταῦτα, νοῦν ἀξιωματικὸν*[15]) *ἐκ φιλοσοφίας, καὶ σεμνὸν καὶ ἀπέριττον, ὡς τὰ πολλὰ κατὰ φύσιν εὐστομίᾳ προϊόντα*[16]), *καὶ συνυφαινόμενον*[17]). *Οὐ γὰρ φιλεῖ νοῦς φιλόσοφος ἐπιστρέφεσθαι τῆς ἐν τῷ λέγειν ὥρας, οὐδὲ πέφυκεν ὡς ἀληθῶς οὕτω, ἀλλ᾽ ἀποίητος ἐστὶ πάσης τῆς κατὰ τὴν γλῶτταν*[18]) *χάριτος,*

---

11) **εὐαγγέλῳ, C. Mon. εὐαγγελίῳ, Bloch. etiam εὐαγγέλῳ e C. Paris. Reg. in altero Paris. est εὐγέλῳ, vitiose.**

12) **τερπνόν, sic et Bl. verum Cdd. Aug. et Mon. τέρπον.**

13) **εὐκολ.** ***In Cod. Germ. erat εὔκωλι, in margine εὐκωλία. Bloch.***

14) **ἥκειν, sic etiam Bloch, sed Cdd. Aug. Mon. et Coisl. ap. Bl. ἥμην. ει et η, μ et κ saepe confunduntur.**

15) **ἀξιωμ.** ***Hoc restitui ex C. Reg. pro vitioso ἀστειωματικόν. Bloch.***

16) **προϊόντα, Bl. προσιόντα.**

17) **συνυφ. Cdd. Aug. et Mon. συνυμφαινόμενον, corrupte: Bl. ξυνυφαινόμενον.**

18) **γλ. Bl. γλῶττην.**

καὶ ἁπλῶς οὑτωσὶ ῥεῖ, καὶ διατίθεται καθάπαξ ἀκαλλώπιστος ἔξω συντυχεῖν, καὶ οὐ μένει τὶ φροντίδος ἐνταῦθα, οὐδ' ἴσως ῥᾷστ' ἔχει χρῆσθαι καὶ κατὰ φύσεως τινὰ ἰδιότητα καὶ σύμφυτον ἀπλαστίαν κάλλους. Καὶ ὁρῶμέν γε πλὴν ὀλίγων [19]) τοὺς ἐξ ἀρχῆς ἐν φιλοσοφίᾳ πάντας πρωτεύσαντας οὕτω χρησαμένους τῷ λέγειν, καὶ κατὰ τὴν φωνὴν ἀνεπιτήδευτ' [20]) αὐτοῖς καὶ ἀνάσκητα, καὶ μὴν ἔτ' αὖθις [21]) ἰδίᾳ τοὺς περὶ τὸ λέγειν ἐπιμελεῖς τοῦτ' αὐτὸ δὴ καὶ μόνον [22]) ἔξω τῶν τῆς φιλοσοφίας ὀργίων [23]) ἐπειγομένους καὶ τεχνητεύοντας. Συνεσίῳ δὲ κομιδῇ σὺν ὀλίγοις, καὶ οὐκ οἶδ' ὅσοις ἄρα δή τισιν, ἥ τε πρόθεσις, ἧπερ [24]) εἴρηται, παντὶ λόγῳ, καὶ ᾧ κατεπείγεσθαι δοκεῖ, καὶ σφόδρα προσέχειν τὸν νοῦν ἀξιοῖ, καὶ ᾧ μὴ [25]), καὶ ῥαστωνεύεσθαι

19) ὀλίγων τοὺς ἐξ, Bl. ὀλίγους ἐκ.

20) ἀνεπιτ. Bloch. praemittit huic voc. ἀγοήτευτα, vncis tamen inclusum. C. Mon. ἀναγοήτευτα, omisso ἀνεπιτήδευτα: C. Aug. ἀγωήτευτα ἀνεπιτήδευτ'. In Cdd. Paris. Reg. et in Ciz. deest ἀγοήτευτα; at librarius margini C. Ciz. addidit γρ. ἀγοήτευτα, scl. pro ἀνεπιτήδευτα, et inde in textum illatum videtur.

21) ἔτ' αὖθ. Cdd. Aug. Monac. et Bl. ἐνταῦθις. Bloch. etiam μὲν pro μήν.

22) μόνον, sic Cdd. nostri, et Bl. verum C. Germ. μόνους.

23) ὀργ. C. Mon. ὀργείων.

24) ἧπερ, Bl. ἧπερ, scl. φιλοσοφίᾳ: C. Germ. ᾧπε, vitiose.

25) ᾧ μή, sic Cdd. nostri, et Cod. Paris. Reg. sed Germ. ᾧ μέν. *Praefero μὲν, sensus igitur est: Vbi Synesius quasi ludere videtur, tamen seria tractat, nam σπουδάζειν et παίζειν sibi opponuntur, e. g. Xenoph. Mem. Socr.* IV, 1, 2. Bloch. Sed seq. καὶ, posito ante commate, repugnare videtur lectioni μὲν, quo fit transitus ad aliud Synesio proprium.

δόξαι τὶς ἂν ἴσως αὐτὸν[26]) τηνικαῦτα καὶ προςπαίζειν φιλοσόφου σπουδῆς ἐστιν εὖ μάλα. Καὶ ἡ τοῦ νοῦ καὶ τῶν λεγομένων ἑρμηνεία καλλύνεται, πῶς ἂν εἴποι τὶς, ταῖς τοῦ λέγειν χάρισιν, ὥςτε καὶ δόξειέ τις ἂν ἴσως μᾶλλον ἐπιπολῆς[27]) ὁρῶν καὶ χρώμενος, ὡς ἄρα τούτου μόνον[28]) ἀμέλει τῷ ἀνδρὶ μέλει, καὶ ὅλως ἐστὶν ἐνταῦθα περὶ τὸ φαινόμενον. Καὶ τὸ δὴ[29]) μάλιστ' ἔτι θαυμάζειν ἄξιον, ὅτι καὶ οὐ ξὺν πολλῷ τῷ καμάτῳ[30]) δῆλος ἐστὶν, εἴ τις ἐπαΐειν οἷός[31]) τέ ἐστι, διοικῶν τὴν φωνὴν, καὶ πομπευτικῶς τὸν νοῦν ἐπιδεικνύμενος καὶ θεατρικῶς, ἀλλ' ὅγε δῆτ' ἄρα μετὰ ῥαστώνης εὖ μάλα χωρεῖ, καὶ κατὰ φύσιν, ὡς εἰπεῖν, ἔχει[32]) τὴν ἐμφαινομένην ὥραν, καὶ πόνων οὐ δεῖται πολλῶν, οὐδ' ἐπιμελείας, οὐδ' ἐπιτηδεύσεως εὐκολίᾳ φύ-

---

26) αὐτὸν, C. Paris. Reg. ap. Bl. αὐτοῦ.

27) ἐπιπ. C. Mon. ἐπὶ πολλοῖς. Haec interdum confundi, docuerunt editores Greg. Corinthii p. 241. ed. Lips.

28) τούτ. μόνον, sic Cdd. nostri, sed Bloch αὐτοῦ τοῦ μόνου. C. Germ. τούτου μόνου. *Sensus est: apparet prima fronte, quasi ipsa dictio, quam tamen negligit, curae ei esset. Bloch.*

29) δὴ, sic Cdd. nostri, et Germ. sed Bloch δεῖ.

30) καμάτῳ, C. Mon. καμμάτῳ.

31) εἰ — οἷος, Bl. (εἴ τις ἐπαΐει) οἷός τέ ἐστι: *Germ. C.* ἐπαΐειν. *Vtraque lectio sensum suum habet.* Sed altera, quam frequentat Theodorus, est praeferenda.

32) ἔχει, Cdd. Aug. et Mon. ἔχειν, in hoc vero ν punctis notatum est.

σεως καὶ ἑτοιμότητι [33]) πρὸς τὸ πᾶν ὁτιοῦν ἐνεργεῖν, ὥςπερ αἱ κατὰ γῆς ῥᾷστα χωροῦσαι καὶ ἀναχεόμεναι πηγαὶ κατὰ τὸ παρῆκον ἀκάματοι καὶ μάλα ποτίμου κατὰ φύσιν καὶ ἡδίστου νάουσαι τοῦ ὕδατος. Καὶ τοῦτο μὲν οὕτως ἔχει· καὶ ὁ νοῦς μέν ἐστιν ἐνεργὸς [34]) τῷ ἀνδρὶ πάνυ τοι κατὰ φιλοσόφους, καὶ πόριμος καὶ ταχὺς οἴκοθέν τε κἀκ πείρας, καὶ σὺν ἀσκήσει τῶν βελτίστων, καὶ πρώτων νομίμων καὶ δογμάτων φιλοσοφίας, ἡ γλῶττα δὲ καὶ αὐτὴ παραπλησίως ἐνεργὸς καὶ φιλοτίμως ἀνύτει [35]), καὶ κατατείνει δρόμον ἀπρόςκοπον [36]), εὖ δὲ πεφυκυῖα, καὶ τάχιστα καὶ ἀπόνως, ὡς ἔφην, φέρεσθαι [37]), καὶ οὐ ξὺν βίᾳ καὶ φροντίδι πλείστῃ, γαληνῶς ὅμως [38]), μετ' ἀληθείας ἐρεῖν· οὐκ ἔχει, οὐδὲ λείως εἶτουν πολιτικῶς, καὶ πρὸς τὰν ἀρχαῖον ἐκεῖνον τύπον, ἀλλ' ἐπαινετὸν μὲν καὶ θαυμάσιον οἷον τὸ τῆς φωνῆς ἐῤῥαστωνευμένον τῷ ἀνδρὶ καὶ ἕτοιμον. Οὐ μὴν ἀλλ' ἀήθεις [39]) ἐστὶ

---

33) ἑτοιμ. Cdd. Aug. et Mon. ἑτοιμότησι: Bl. vt C. noster, ἑτοιμότητι.

34) ἐνεργὸς, Bl. ἐνεργὴς, sed C. Germ. etiam ἐνεργός. Sic et postea.

35) ἀνύτει, Bl. ἀνύττει: *intelligitur verbum sequens δρόμον.*

36) ἀπρόςκ. *Quid si legeremus πρὸς σκοπόν?* Bl. Sine causa, nam supra c. 16. dic. ἀπρόςκοπος τὰ περὶ λόγους γενέσθαι, et all. locc.

37) φέρ. Bl. φέρεται, sed C. Germ. vt nostri, φέρεσθαι.

38) γαληνῶς ὅμως, Bl. γαληνῶς (ὃ μεν μετ' ἀληθ. ἐρ. οὐκ ἔχει).

39) ἀήθεις, sic et Cdd. Aug. et Mon. sed Bl. ἀήθης, fors. ἄηθες.

τοῖς ἑλληνικοῖς πάλαι νομίμοις ἐκείνοις τοῦ λέγειν [40]), καὶ [41]) νεωτέρας τινὸς ἕξεως, κἂν εἰ σὺν ἀστειότητι μάλ' αὖθις, νεωτέρας δ' ὅμως ἐστὶ, καὶ τῆς προτέρας εὐγενείας ἐκείνης ἔκτοπα φέρει [42]) καὶ κομψεύεται [43]) καινῇ διαθέσει, μήτε κατὰ [44]) τὴν παλαιὰν ἁπλότητα καὶ πολιτικὴν τέχνην τοῦ λέγειν, μήτε κατὰ σπουδαζομένην τηνικαῦτ' ἐκείνην δεινότητα, καὶ παντὶ τρόπῳ τοὺς ἀκούοντας κλέπτουσαν, ἐπαληθεύων δὲ τοῖς λόγοις διὰ τὴν φιλόσοφον πρόθεσιν, καὶ ἀπλαστίᾳ [45]) μετ' εὐστομίας χρώμενος τὴν εὐστομίαν ἔξω ῥητορικῶν παρασκευῶν τε καὶ ἀγωνισμάτων ἔχει. Καὶ λογοειδὲς εὖ [46]) μάλα οἱ τὸ τῆς φωνῆς ἐπιμελὲς, ἀλλ' οὐ κατὰ ῥήτορας· πόθεν; ὅςγε [47]) καὶ, ἃ [48]) πείθειν ἀξιοῖ [49]) καὶ πειρᾶται,

40) τοῦ λέγειν vsque ad ὅμως ἐστὶ Bl. sic exhibet: τ. λέγειν, κἂν εἰ σὺν ἀστειότητι μάλ' αὖθις νεωτέρας τινὸς ἕξεως, δ' ὅμως ἐστὶ, et putat post ἐστὶ excidisse οὐ. In C. Reg. Paris. docet etiam haec verba esse transposita, in altero autem Cod. vitiose repetita. Lectio Cdd. nostrorum est verissima.

41) καὶ, Cod. Aug. omittit.

42) ἐκτ. φέρει, Bl. ἐκτοπαφορεῖ: sed Paris. Reg. ἔκτοπα φέρει.

43) κομψ. sic nostri Cdd. et Bl. verum C. Paris. Reg. πομπεύεται, quod verbum amat Theodorus.

44) κατὰ, Cdd. Aug. et Mon. κατὰ καί.

45) ἀπλαστίᾳ — εὐστομίαν, C. Aug. εὐστομίας χρώμενος τὴν omittit. Bloch sic: ἀπλαστίαν μετ' εὐστομίας: Cod. Germ. ἀπλαστίᾳ μετ' εὐστομίαν: C. Reg. μετ' εὐστομίας χρώμενος.

46) εὖ, Cdd. Aug. et Mon. εὐ.

47) ὅςγε, Cdd. Aug. et Mon. οἷγε. Bl. vt C. noster, ὅςγε, sed Reg. alter οἷγε.

48) ἃ, Bl. ᾧ.

49) ἀξιοῖ — πειρ. C. Mon. ἀξιοῖ: πειρᾶται δὲ οὐ πειστικῶς ἀγω-

οὐ πιθανῶς ἀγωνίζεται, ἀλλ' ἀποιήτως καὶ μετὰ σεμνότητος καὶ ἀξιώματος καὶ τῶν φιλοσοφίᾳ δικαίων προφέρει. Οὔκουν γὲ ἐστιν ἔντεχνον οὐδὲν ὁτιοῦν αὐτῷ πιθανὸν, οὐδὲ κακούργως ἁρπάζον, οὐδὲ νικᾷν πάντα τρόπον σπουδάζει [50]), καὶ δριμύς ἐστι κατὰ τῶν ἀκουόντων, ἀλλ' ἐπανθοῦν ἔχει μετὰ ῥαστώνης τοῖς λόγοις, καὶ τὸ ἦθος ἐπιπρέπον εὖ μάλα, καὶ οὐκ οἶδ' ὡς εἴ τῳ καὶ ἄλλῳ πλέον· καὶ τό γε μὴν πάντως μὴ σπανίζον, ἀλλ' ὡς ὁρᾶται κατ' αὐτὸν ἐν πολλῇ τῇ κρίσει, εἴ τις ὀρθῶς κρίνει, τό γ' ἐμοὶ δοκεῖν, ἀῤῥητόρευτον [51]) ἐστὶ καὶ λογοειδές. Ἀλλὰ καὶ ἀττικῆς δή τινος καλλιεπείας καὶ καινότητος βραχὺ τῷ ἀνδρὶ μέλει, καὶ οὐδὲ τοῦτ' ἄρα οἱ κατ' ἐκείνους Ἕλληνας τῷ λέγειν εὖ πάλαι χρωμένους, ἀλλὰ τῷ κοινῷ χαίρει καὶ σφόδρ' ἐθίμῳ, καὶ ἁπλῶς οὑτωσὶ [52]) κατὰ φύσιν, ἢ ἀτέχνως, ὡς εἰπεῖν [53]), τὸν λόγον διατίθεται. Καίτοιγε μὴ τοῖς ὀνόμασι χρώμενος ὅμως οὕτω [54]),

---

νίζεται: C. Aug. post πειρᾶται inserit πειστικῶς. Bl. πειστικῶς vncis inclusit, nam deest in C. Reg. vt in Ciz. qui margini additum habet γρ. πειστικῶς, sc. pro πιθανῶς.

50) οὔκουν — σπουδάζει, desunt ap. Bloch.

51) καὶ τό γε μὴν — ἀῤῥητόρευτον: Bloch. modo πλέον τὸ ἀρειτόρευτον, caeteris omissis, et addit, se ἀρειτόρευτον restituisse pro vitioso ἀρ' ῥητορεύστικον et ἀῤῥητόρευτον. C. Aug. habet ἀῤῥητόρευστον: sed ἀῤῥητόρευτον non est sollicitandum, nam occurrit etiam c. 20 et 25.

52) οὑτωσί, deest ap. Bloch.

53) ἢ ἀτ. ὡς εἰπεῖν, Bloch καὶ ἀτέχνως, omiss. ὡς εἰπεῖν.

54) Καίτοιγε — ὅμως οὕτω, desunt ap. Bloch.

ἀλλ᾽ ἐξιὼν ἔστιν ὅτε, καὶ πλειστάκις ἀμέλει τοῦτο, τῆς κοινῆς αὐτῆς ἕξεως καὶ γνωρίμου, καὶ εἰς ἀνόδευτ᾽ ἀδεῶς ἄγων, καὶ ὧν οἱ πολλοὶ τῶν λεγόντων εὐλαβῶς ἔχουσιν, αὐτὸς ἁπτόμενος [55]), καὶ ἴσως μὲν οὐκ ἀκαίρως, ἀφροντιστῶν δ᾽ ὅμως τῶν ἀκουόντων, καὶ ταῖς λέξεσιν εἰς τοὐφανὲς [56]) τραχυνόμενος οὕτω θαῤῥεῖν ἔοικεν εὖ μάλ᾽ ἑαυτῷ, καὶ χαίρει καθ᾽ αἵρεσιν ἑαυτῷ χρώμενος, ὡς ἄρα τὶς αὐτοκράτωρ, καὶ τῆς ἑρμηνείας ἀνεύθυνος, καὶ μὴ τῶν νομίμων τε καὶ ἐθίμων τῇ τέχνῃ τοῦ λέγειν [57]), ἐν λόγῳ πλείστῳ γινόμενος τῷ τε παντὶ δρόμῳ τοῦ λόγου, καὶ τῷ ἤθει καὶ τῇ διαθέσει, καὶ πρός γ᾽ ἔτι τοῖς [58]) ὀνόμασιν, ὡς ἔφην, αὐτοῖς· καὶ δείκνυσιν ἔτ᾽ αὖθις καὶ περὶ τὴν τῆς γραμματικῆς τοῦτ᾽ ἀκρίβειαν, καὶ ὅσον [59]) ἑαυτῷ θαῤῥεῖ καινίζων τῇ χρήσει [60]) κἀνταῦθα [61]) πλεῖν, ἢ κατ᾽ ἔθος τοῖς πολλοῖς, καὶ μὴ τῶν εἰκότων [62]) ἐκπίπτων διὰ τὸ [63]) περὶ ταύτην ἄκρον τὴν τέχνην. Ἐπεὶ [64])

---

55) αὐτ. ἁπτόμ. Bl. αὐτὸς ἅπτεται. C. Mon. αὐτοῖς ἁπτόμενος.

56) τοὐφ. Bl. τοὐμφανὲς, sed C. Paris. Reg. vti noster.

57) τῇ — λέγειν, non exhibet Bloch, nec mox πλείστῳ.

58) πρός — τοῖς, Bl. πρὸς γ᾽ ἔτι: C. Paris. Reg. πρός γε τοῖς, in margine vero πρός γ᾽ ἔτι τοῖς. ὡς ἔφην, omittit Bloch.

59) τοῦτ᾽ — καὶ ὅσον, Bl. ἀκρίβειαν, ὅσον.

60) καινίζ. — χρήσει, corrupte Cdd. Aug. et Mon. καὶ νίζων χρίσει.

61) κἀνταῦθα, Bl. ἐνθαῦτα (ἐνταῦθα).

62) εἰκ. C. Mon. εἰκότως.

63) διὰ τὸ, C. Paris. Reg. ap. Bloch. διὰ τὸ καί.

64) Ἐπεὶ μὴ — οἷός τ᾽ εἴη, omisit Bl.

μὴ δὲ [65]) συγγνωστὸν πάντως τὸ ξενίζον ἐνταῦθα, καὶ ἄηθες, ἣν μὴ [66]) μετ' ἀσφαλείας καὶ τῶν τῆς τέχνης νομίμων ὁρῷτο, ἣν δ' ἄρ' οὕτως εὐθαρσής τις εἴη καὶ χρώμενος ἔξω τῆς τῶν πολλῶν ἀγωγῆς ἀκλόνητος, ἴσως καὶ θαυμάζειν μᾶλλον ἐστὶν ἄξιος, ὡς ἄρα καὶ Συνέσιος ὄντως αὐτὸς, ἤν τις ἐπαΐειν οἷός τ' εἴη. Καὶ τὰ μὲν κατὰ τὴν γλῶτταν οὕτως, ἄρ' εἰ καὶ μὴ καθάπαξ ἄκρως, βέλτιστα δ' ὅμως ἔχει τἀνδρί· φιλοσοφίαν [67]) δ', ὡς εἴρηται, προτίθεται τοῦ βίου παντὸς [68]), καὶ διῃρημένης εἰς πλεῖστα, πάντων εὖ ἔχει, καὶ οὐ τῶν μὲν αὐτῷ μέτεστι, τῶν δ' οὐ καθάπαξ, ἢ καὶ [69]) ἧττον μέτεστιν ἢ κατὰ τἄλλα· οὐδ' ἔχει [70]) τὶς ἐρεῖν περὶ αὐτοῦ, πῶς [71]) ἂν εἴποι τὶς, ἀπολαβόμενος καὶ ὁρίσας, ὡς ἄρα τοῦδέ τινος ὁ ἀνὴρ σπουδαστής ἐστιν, ἢ τοῦδέ τινος αἱρεσιώτης ἐστὶ τοῦ συντάγματος, εἰς ἃ δὴ πλεῖστα κατατέτμηται τὰ φιλοσόφων πράγματα, ἀλλὰ πάντων ἐστὶν, ὡς εἰπεῖν, κοινὸς θιασώτης καὶ συντελὴς, καὶ μάλιστά γε δὴ τῶν βελτίστων

---

65) μὴ δὲ, Cod. Mon. modo μή.

66) μὴ abest a C. Mon.

67) φιλοσ. Bl. φιλοσοφία.

68) παντὸς, sic Cdd. nostri, et Paris. Reg. ap. Bl. Germ. vero πρῶτος: mallem, addit Bl., σκοπὸς, scilicet quia φιλοσοφία, non vero φιλοσοφίαν legit.

69) ἢ καὶ, Bl. εἰ καί.

70) ἔχει vsque ad τοῦδέ τινος ignorat C. Aug.

71) πῶς ἂν vsque ad ὁρίσας Bl. non habet, sed C. Paris. Reg. exhibet. Desunt etiam in Cod. Germ.

τῶν ἀπ' Ἀριστοτέλους καὶ Πλάτωνος, καὶ σύνδεσμός τις ἀμφοῖν κοινωνίας, καὶ διαλλακτὴς εἰς τὰ νομιζόμενα καὶ δοκοῦντα φιλονείκως ἀντίθετα, καὶ ἀπ' ἀμφοτέρων τὰ βελτίω πορίζεται, καὶ οὐ νέμει[72]) πλεῖν[73]) ἢ λυσιτελεῖ θατέρῳ τούτων ἑαυτόν. Καὶ τοῦτο καὶ αὐτὸς φησὶ περὶ ἑαυτοῦ, καὶ οἷς φρονεῖ, καὶ οἷς λέγει, πιστοῦται μάλιστα. Καὶ τοίνυν τῆς φυσικῆς τε θεωρίας τὸ μέρος τῇ φιλοσοφίᾳ κάλλιστ' ἐν μετουσίᾳ δείκνυται, καὶ οἷός τέ ἐστιν ἐνταῦθα τρίβειν οὐκ ἔξω καιροῦ, τῆς τε τῶν προτέρων μάλιστ' ἀπολαύσας παρασκευῆς, καὶ γόνιμος περὶ ταῦτ' οἴκοθεν οὐ πολλῶν δεύτερος καὶ ἠθικός ἐστι, καὶ δογματικὸς, εἰ δή τις καὶ ἄλλος τῶν ἀπὸ Πλάτωνος, καὶ νομίζει μὲν ἐνταῦθ' ὡς ἄριστά τε καὶ κριτικώτατα. Βακχεύει δ' ἐν τούτοις ταῖς τῶν κρειττόνων καὶ ὑπὲρ τὴν φύσιν ἐποπτείαις καὶ τελεταῖς, καὶ συνοργιάζει τῇ περὶ τῶν ὄντων ἁπλότητι[74]) καὶ τῇ δεσποτείᾳ, καὶ τοῖς ἡγεμονικοῖς τοῦ νοῦ[75]) μυστηρίοις. Ἀλλὰ μὴν ἔτι καὶ μαθηματικὸν[76]) εὑρέσεων ἐπιστημονικῶς[77]) εὖ μάλα ἔχει, καὶ πάντ' ἔστι[78])

---

72) καὶ οὐ νέμει usque ad πιστοῦται μάλιστα sunt omissa a Bloch.

73) πλεῖν, Cdd. Aug. et Mon. πλήν.

74) ἁπλότητι, sic Codd. omnes, sed Bl. mavult ἀδηλότητι.

75) νοῦ. *Suspicor hic esse legendum* Θεοῦ. Bloch.

76) Ἀλλὰ μὴν — μαθ. Bl. ἀλλὰ μὲν — μαθηματικῶν.

77) ἐπιστ. C. Mon. ἐπιστημονικῶν.

78) πάντ' ἔστι, C. Aug. πάντες ἐστὶ, fors. πάντως, vt Bl. exhibet. C. Paris. Reg. πάντ', ἔστι, vt Mon. et Ciz.

ταῦτα, ἐξ ὧν καταλέλοιπε βιβλίων, ἀσφαλῶς συλλογίζεσθαι. Καὶ πολυειδὴς ὢν οὕτω τὴν σοφίαν πᾶσιν ἀρκεῖ τῇ τῆς φύσεως εὐγενείᾳ μάλιστα καὶ τῷ κράτει, ἢ τῷ συνεχεῖ τῆς μελέτης, καὶ μονίμῳ τὲ καὶ φιλοπόνῳ τῆς ἀσκήσεως. Καὶ γάρ μοι καὶ ξυλλογιζομένῳ περὶ αὐτοῦ καὶ σφόδρ᾽ ἐπισκοπουμένῳ τὰ κατ᾽ αὐτὸν πράγματα δοκεῖ, καὶ ἴσως μὲν ξὺν λόγῳ, καὶ ἴσως δὲ μὴ, δοκεῖ δ᾽ ὅμως ἀνὴρ [79]) μὴ πολυμαθὴς εἶναί τις τὰ τῶν πρὸ αὐτοῦ, μήδ᾽ ἐνσχολάσαι πάνυ τοι τοῖς ἐκείνων, ὥςπερ καὶ ἄλλοί τινες, οἶμαι [80]), τῶν εὐδοκιμούντων τῇ παιδείᾳ καὶ σπουδαίων ἀνδρῶν. Καίτοι σχολῆς ἀπολαύσας ἐν βίῳ μάλιστα, εἰ δή τις καὶ ἄλλος, καὶ πραγμάτων ἔξω ζωὴν ἀνύσσης [81]) φιλοσόφῳ πρέπουσαν, ἀλλὰ ταχύς ἐστιν, ἀλλ᾽ ἀγχίνους, ἀλλ᾽ εὐφυὴς ἅπαντα τῆς σοφίας κάλλιστα καὶ παντοῖ᾽ εἴδη, ἀλλ᾽ ἀπ᾽ ὀλίγης κτήσεως καὶ πόνων καὶ ἀσκήσεως κατὰ φύσιν ἀνυσιμώτατος [82]).

ΚΕΦ. ιθ΄.

Περὶ Δίωνος.

Περὶ Δίωνος, ᾧ Προῦσα πατρὶς, πλεῖστ᾽ εἴρηται Συνεσίῳ, καὶ ἴσασιν, ὅσοις τὰ ἐκείνου πάντως σπουδάζεται, τῆς τε σοφίας αὐτοῦ πέρι

79) ἀνὴρ, deest ap. Bl. vti saepe alias.

80) οἶμαι, Bl. ignorat.

81) ἀνύσσ. Bl. ἀνύσας.

82) ἀνυσ. C. Aug. et ap. Bl. ἀνασιμώτατος, corrupte.

καὶ τῆς τοῦ βίου αἱρέσεως πρώτης τὲ καὶ δευτέρας, καὶ ὅτι δήποτε τῆς τοῦ βίου μεταθέσεως αἴτιον τῷ ἀνδρὶ, μᾶλλον δὲ μετ᾽ ἀληθείας ἐρεῖν ἴσασι περὶ τούτων, ὅσοις τὰ Δίωνος ἐπιμελὲς ἐστιν εἰδέναι βιβλία, πλεῖστά τε καὶ διαφόρου κατὰ τὴν ἑρμηνείαν ἕξεως, ἐξ ὧν τήν τε κατὰ τὸν βίον τοῦ ἀνδρὸς ἱστορίαν ἔχομεν συλλογίζεσθαι, καὶ ἅμα τὴν διάθεσιν τῆς σοφίας αὐτοῦ, νῦν μὲν ῥητορικῶς ἐπιχειροῦσαν, νῦν δὲ φιλοσόφῳ πρέπουσαν, ἅμα δὲ καὶ τὴν ἐργασίαν τῆς γλώττης κατ᾽ ἀμφότερα προσήκουσαν μηδὲν ἧττον ἐπαινεῖσθαι κατ᾽ ἀμφότερα δικαίαν, ὡς κατ᾽ ἄμφω [1]) καὶ σκοπῶν οὐχ ὁμοίων [2]), ἀλλ᾽ ἀκολούθων πρὸς τοῦ βίου τὴν ἐφ᾽ ἑκάτερα πρόθεσιν, ἀλλὰ καὶ ὅμως αὖθις ἐμφερὲς ἔχουσαν τὸ χρῶμα, καὶ τοὺς ἐπιφαινομένους τοῦ λέγειν τύπους [3]), καὶ τὴν ἐν τῇ φωνῇ διοίκησιν. Ἀλλ᾽ ἔμοιγε τοῦτο νῦν ἔπεισι σημειοῦσθαι, καὶ πολλάκις γὰρ ἐπεσκεψάμην, καὶ τὸν βουλόμενον προσέχειν ἀξιῶ τὸν νοῦν καὶ συλλογίζεσθαι, ὅτι δὴ τὼ ἄνδρε τώδε [4]), Δίων τὲ καὶ Συνέσιος, περὶ τὴν φωνὴν κατ᾽ οὐδὲν, ὡς εἰπεῖν, ἐοικότε, πλεῖσθ᾽ ὅμως ἔχετον κοινά. Καὶ χαίρει μᾶλλον Συνέσιος Δίωνι δεύτερος ἐπιὼν αὐτὸς, καὶ οἷς Δίων

1) *κατ᾽ ἄμφω:* ex Cdd. Aug. et Mon. haec sunt inserenda: *καιροῦ τυγχάνουσαν, καὶ μὴν ἔτι, κἂν εἰ μετ᾽ ἐνστάσεων.*

2) *ὁμοίων* usque ad *πρόθεσιν* sunt a librario neglecta in C. Mon.

5) *τύπους*, sic leg. nam Cod. noster *τύπος*. Cdd. Aug. et Mon. etiam *τύπους*.

4) *τὼ — τώδε*, C. Aug. *τῷ ἄνδρι τῷδε*, male.

λέγει, καὶ δῆλός ἐστιν ἐν οἷς περὶ αὐτοῦ Δίωνος μέμνηται, καὶ μέμνηταί γε οὐχ ἅπαξ, οὐδ' ἐν παρόδῳ λόγων, οὐδ' ὅπως ἔτυχεν ἐπελθὸν, ἀλλ' ὅγε δὴ μάλιστα τέρπεται μεμνημένος. Καὶ τῆς τοῦ ἀνδρὸς γλώττης δῆλός ἐστιν εὖ μάλ' ἁλώσιμος ὤν, καίτοιγε χρώμενος αὐτὸς ἄλλως, ἢ κατ' ἐκεῖνον, καὶ μήθ' ὅλως ῥητορικῶς σπουδάζων καὶ τεχνιτεύων ὁτιποτοῦν ἐπὶ τοὺς ἀκούοντας, ὡς ἄρα Δίων αὐτὸς μάλιστα τῇ [5]) τέχνῃ σπουδάζει. Καὶ σφόδρα ἐστὶ τὸ δραστήριον αὐτῷ κατὰ ῥήτορας ἐν τοῖς πρώτοις τῶν αὐτοῦ συνταγμάτων μήπω δὴ τότε τῇ φιλοσοφίᾳ προσνεύσαντι καὶ προσθεμένῳ, μήτε μὴν ὅλως κατὰ τὸ λογοειδὲς, ᾧ καθάπαξ χρῆται, καὶ καταγγέλλει τὰ βέλτιστα τοῦ νοῦ [6]), καὶ ὅσα κατὰ φιλοσοφίαν ἐστὶ γόνιμος, ὑποχαλῶν ὅλως εἰς τὸ ὕπτιον καὶ λιτότητι, ταῖς τῶν πολλῶν ἀκοαῖς οἰκειούμενον. Ὥσπερ ἄρα καὶ τοῦθ' οὑτωσὶ Δίων καὶ φεύγει τὸ διῃρμένον [7]), καὶ μεστὸν ἐπίτηδες καὶ κατὰ φύσιν, καὶ μάλιστ' ἐν οἷς κατ' αὐτὸν ἀμέλει Συνέσιον μετὰ φιλοσόφου προθέσεως φθέγγεται ἐν τοῖς δευτέροις δηλονότι τοῦ βίου. Συνεσίῳ γὰρ τοὐναντίον ἡ φωνὴ καθάπαξ τετόνωται, καὶ φεύγει μᾶλλον ἁπάσῃ σπουδῇ καὶ πᾶσι τρόποις τὸ ἔθιμον, κἂν ταῖς εὐτελεστάταις ἔστιν ὅτε συμβαῖνον, ἐννοίαις ὀγκοῦσθαι χαίρει,

5) τῇ, abest a C. Mon.

6) τοῦ νοῦ, C. Mon. τοῦ νοεῖν.

7) διῃρμ. C. Mon. διῃρημένον.

καὶ διαίρειν ἑαυτὸν ἀμηγέπη πειρᾶται μὴ πράττειν ταπεινὰ παντάπασι, μήδ' εὐπεριφρόνητα τῇ διαθέσει τῆς ἑρμηνείας σπουδάζων. Καὶ τοίνυν οὐδ' ὁπωσοῦν ἀφελείας αὐτῷ μέτεστιν, ὅτι μὴ ταῖς ὑποθέσεσι [8]) μόνον ἔστιν, οὗ διατίθησιν ἡδέως καὶ διὰ γλυκύτητος εἰς τὴν ἀφέλειαν γενικῶς ἂν φέρειν, ὁπηοῦν δόξαι, καὶ τοῖς ῥήμασιν ἴσως ἄρα βραχὺ καὶ σπανίως, συνθήκῃ δὲ καθ' ὁτιοῦν οὔ. Καὶ οὐκ οἶδ' εἴ τις ἂν καὶ ἄλλος κατὰ Συνέσιον καὶ τὰ χαμερπῆ [9]) καὶ γλυκάζοντα συνέχειν τὲ καὶ σεμνύνειν ἀναφέρων τῷ δρόμῳ τε καὶ τῇ συνθήκῃ, αἱροῖτό τε καὶ δύναιτο· Δίων δὲ πᾶν τοὐναντίον ὁρᾶται, ὅςγε καὶ τὰς ἀξιωματικὰς αὐτὰς ὑποθέσεις ἀκόμψως καὶ ἀφελῶς προφέρειν [10]) εἴωθεν. Ἀλλὰ καὶ ὅμως ὑπεναντίως οὕτως ὅσον γ' εἰς τὸ φαινόμενον τῆς ἀγγελίας τῷ λέγειν χρώμενοι οὐκ ὀλίγα τοῖς καλῶς ξυνορῶσιν ἔχουσι [11]) κοινὰ, καὶ, καθὼς ἔφην, ὁ δεύτερος ἥκων Συνέσιος αὐτὸς ἐπιεικῶς χαίρει τῷ Δίωνι. Καὶ οὐ λέγω νῦν κατὰ τὴν φιλόσοφον ἀμέλει πρόθεσιν, καὶ τοῦτο μὲν γὰρ, ἀλλ' ὅτι [12]) καὶ τὸ γόνιμον ἄρ' ἑκάτερος ταῖς αὐτὸς αὑτοῦ ὑποθέσεσιν ἐμφερὲς ἔχουσι, καὶ ταῖς ἐπιβολαῖς τῆς γνώμης εἰς τὰ

---

8) ὑποθ. C. Aug. ὑπόθεσί, et μεῖνον pro μόνον.

9) τὰ χαμ. C. Mon. τὰ χαμαρπῆ, Aug. ταχυμαρπῆ.

10) προφ. C. Mon. πρόφεροι, perperam.

11) ἔχ. C. Mon. ἔχουσιν.

12) ἀλλ' ὅτι, C. Mon. ἄλλότι.

παραπλήσια φέρονται, καὶ μάλιστά γε τῷ [13]) κατὰ τὴν ἑρμηνείαν ἤθει κομιδῇ ξυγγενεῖ τοὺς λόγους αὐτῶν παθητικοὺς ποιοῦσι, καὶ γοητεύειν εὖ μάλ' ὡς ἀληθῶς τὸ ἀκροώμενον οἵω τ' ἐστὶν ἄμφω. Τόγε δὴ καὶ ἴσμεν ἅπαντες, ὅσοι τῶν λόγων αὐτῶν πεπειράμεθα [14]), καί, εἰ μὴ νεμεσήσαι [15]) τὶς ἴσως, ὡς ἐρῶ, πολλάκις δὴ καὶ τοῖς αὐτοῖς ὁ δεύτερος, οἷς φθάσας ὁ Δίων ὁρᾶται χρώμενος, καὶ οὐ φείδεται, οὐδ' αἰδεῖται τοὺς ἐποπτεύοντας. Καὶ μὴν οὐ κατ' ἦθος ἄρα μόνον οὕτως ὁρᾶται χρώμενος, ὃ νῦν ὁ λόγος ἠβούλετο, ἀλλ' ἔτι πω καὶ θαυμάζω μάλιστ' ἔγωγε ξυνορῶν, ὅτι καὶ νοήμαθ' [16]) ὅλα τῶν Δίωνος ἀφαιρεῖται Συνέσιος εἰς κατασκευὴν, ὧν ἑκάστοθ' αἱρεῖται, καὶ σπουδάζει· μάλιστα δὴ καὶ περὶ τῶν αὐτῶν σπουδάζων καὶ τὴν ἔνστασιν ἔχων, ὧν καὶ Δίων αὐτὸς, καὶ κρατύνει τὸ προκείμενον ταὐτό γε ὂν, ὃ καὶ Δίωνι [17]), διὰ τῶν αὐτῶν ἐννοημάτων καὶ ἐπιχειρήσεων, ὧν φθάσας ἐκεῖνος ἀνύτει προενεγκὼν [18]) ὡς ἀληθῶς βέλτιστα πρὸς τὴν χρείαν, καὶ οὐ ποιεῖται μόνον τὸν νοῦν ἑαυτοῦ καὶ κοινὸν, ἀλλ' ἐνίοτε καὶ τὰ ῥήματα αὐτὰ καὶ τὴν σύνθεσιν, ἔπειτ'

---

13) τῷ, C. Aug. τῶν.

14) πεπειρ. C. Mon. πεπειρώμεθα.

15) μὴ νεμεσ. C. Aug. μὴν ἐμεσήσαι, male.

16) νοήμαθ', C. Aug. νοήκαθ', corrupte: κ et μ saepe confunduntur.

17) Δίωνι, Cdd. Aug. et Mon. Δίων, sine inciso.

18) προενεγκ. C. Mon. προςενεγκών.

αὐτὴν [19]) τοῦ λόγου μὴ συγκαλύπτων ὁπηοῦν, ὡς [20]) ἄρα ἀλλοτρίοις χρώμενος, καὶ ὁρᾷν ἐστιν οὑτωσὶ πλεῖστα μάλιστα καὶ κατ' ἄλλα τῶν βιβλίων ἀμφοῖν. Ὁ δ' οὖν βασιλικὸς Συνεσίου οἶμαι, καὶ ῥᾶστ' ἔξεστιν ὁρᾷν, οὐκ ὀλίγα τῶν Δίωνος βασιλικῶν ἀποφέρεται κατασκευάζων τὴν πρόθεσιν αὐτοῖς ῥήμασι, καὶ τίθησιν ὡς οἰκεῖ' αὐτοῦ [21]) Συνεσίου, ἀλλ' οὐ μὴν ὡς ἄλλου κατὰ χρείαν δή τινα πρὸς πίστωσιν τῶν σπουδαζομένων, ὡς καὶ τοῦτ' εἰώθασιν ἐνίοθ' οἱ λέγοντες. Ἀλλ' ὅγε δὴ Συνέσιος, ἧπερ εἴρηται, μηδὲν εὐλαβούμενος, εἴ τις ἂν ξυνορῴη, συνυφαίνων τὸν λόγον ὡς οἴκοθεν τρέχων ἅμα πρόσω φασὶ καὶ ὀπίσω, καὶ συνεχῆ μετὰ τῶν αὐτὸς αὐτοῦ καὶ γνησίων τῆς φορᾶς ποιούμενος· καὶ τοῦτο μὲν οὕτω. Καὶ κοινά γε ἀμφοῖν τῆς φωνῆς οὐκ ὀλίγα. Τὸ δέ γε πλεῖστον μάλιστα καὶ τοῖς πλείστοις δῆλον ἀπὸ τῶν ἐναντίων ἰδεῶν καὶ διαθέσεων τοὺς λόγους αὐτῶν χρωματίζουσι. Καὶ Συνεσίου μὲν εἴρηται πέρι, μέτρια μὲν, ἀλλ' ἴσως γε τὴν εὐτονίαν ἀποχρώντως [22]) παριστῶντα τῆς ἑρμηνείας τῶν λόγων, καὶ ὅτι, εἰ δή τις καὶ ἄλλος, φεύγει τὸ ἀφελὲς, εἰ καὶ μὴ δεινός ἐστι μήτε κατὰ φύσιν, μήτε κατ' ἐπιτήδευσιν. Φεύγει δ' οὖν, ὡς ἔφην, παντὶ τρόπῳ τὸ ἀφελὲς, καὶ

19) αὐτὴν, C. Aug. αὐτόν.

20) ὡς, Cdd. Aug. et Mon. omittunt.

21) οἰκεῖ' αὐτοῦ, C. Aug. οἰκεῖαν τοῦ.

22) ἀποχρ. C. Mon. ἀποχρῶντος, Aug. ἀποχθῶντος.

δύναται καὶ αἱρεῖται κατ' ἔθος ἐπίτηδες, καὶ τὰ καθάπαξ εὐτελέστερα τῶν πραγμάτων τὲ καὶ ἐννοημάτων ἐπιμελείᾳ τινὶ τῆς γλώττης ἐξαίρειν ὁπηοῦν καὶ λογοειδῶς ἀπαγγέλλειν. Δίωνι δὲ πλείστη πάνυ τοι τῆς ἀφελείας [23]) ἐπιμέλεια τῷ λέγειν, καὶ κατὰ φύσιν μὲν οὕτω ταῖς ἀληθείαις χαίρει, ἀλλὰ καὶ πολὺ τοῦτ' ἔργον αὐτῷ καὶ σπουδῆς πάσης, ὡς εἰπεῖν, ἀξιούμενον ἐπίτηδες πλάττεσθαι τὸ ἀφελές τε καὶ ὕπτιον καὶ ἀποίητον· καὶ ὥςπερ δέ τι ἄλλο ἄλλῳ τῳ, καὶ αὐτῷ [24]) πρόθεσίς ἐστι τὸ ἄκομψον, καὶ τὸ θαυμάσιον δεινότης ἐστὶν αὐτῷ κατὰ μέθοδον ἡ ἀφέλεια, καὶ κατὰ φύσιν δοκοῦσα, πολὺ μᾶλλον ἐστὶν ὑποκρίσεως [25]) ἔργον, καὶ τὸ πειστικὸν [26]) αὐτὸ μᾶλλον πράττει τῇ δοκούσῃ γε ἀπλαστίᾳ, καὶ τῷ φαινομένῳ, ῥαδίῳ τὲ καὶ ἀτημελήτῳ, καὶ τὰς ἐννοήσεις ἁπλᾶς [27]), ὡς εἰπεῖν, προφέρων, καὶ ἀκόμψως χρώμενος [28]) ὡς ἄρα μηδὲν ἐν φροντίδί τινι [29]) μεθόδου τινὸς καὶ διοικήσεως, εὖ μάλ' ἐπηλυγάζεται καὶ λανθάνειν πειρᾶται συνέλκων ἀσείστως τὲ καὶ ἀνυπόπτως τὸν ἀκροατὴν, ἃ βούλεται, μὴ προςποιούμενος ἀγωνίζεσθαι. Καὶ

23) ἀφελ. Cdd. Aug. et Mon. ἀσφαλείας.

24) καὶ αὐτῷ C. Mon. non agnoscit.

25) ὑποκρ. C. Mon. ὑποκρίσεων.

26) πειστ. Cdd. Mon. et Aug. πιστικόν.

27) ἁπλ. C. Mon. ἁπλὰς, Aug. ἁπλᾶς (sic).

28) χρώμ. omissum in C. Mon.

29) φρ. τινι, Cdd. Aug. et Mon. φροντίδι τινί.

δῆλος ἐστὶ μὲν οὕτως ἄρ' ἔχων, εἴ τις οὐχ ἁπλοϊκῶς ἐμπίπτων εὖ μάλ' ἀξιοῖ, προςέχει[30]) τὸν νοῦν, οἷς λέγει· δῆλος δὲ καὶ[31]), ὅτι δεῆσαν αὐτῷ πρὸς ἄσκησιν τοῦ λέγειν ἐκκαλέσασθαι τινὰ τῶν ἐπιτηδείων, καὶ παραδοῦναι τοὺς ἐκ τῶν πάλαι πρότερον δοκίμων, καὶ τῶν ἔγγιστ' αὐτῷ, καὶ οὐ πόῤῥω τῶν χρόνων λυσιτελήσοντας[32]) εἰς ὃ προτρέπεται[33]) τὴν εὐφωνίαν αὐτὴν δηλαδὴ, καὶ τὴν τοῦ λέγειν ὡς βέλτιστα μελέτην. Παρατίθεται μὲν αὐτῷ φίλους ἄνδρας, οἷς δέοι ἂν ἐν τοῖς βιβλίοις συγγίνεσθαι, καὶ γυμνάζειν τὴν φωνὴν κατ' ἐκείνους τυπούμενον, μάλιστα δ' ἐπαινεῖ καὶ συνίστησιν εἰς τοὖργον καὶ τὴν ἐπιμέλειαν ταύτην Ξενοφῶντα τὸν Γρύλλου[34]), τὸν ἀττικὸν μὲν, εἰ δή τις καὶ ἄλλος, καὶ γένος, καὶ γλῶτταν, τῇ δὲ τῆς φωνῆς ἰδέᾳ χρησάμενον μετὰ τῆς κατὰ φύσιν καὶ ἐν σκηνῇ καὶ δράματι ταύτης ἀφελείας πάντων μάλιστα τῶν ἄλλων Ἑλλήνων παλαιῶν τε καὶ νέων, καὶ ὅσοι κατ' αὐτὸν Σωκρατικοὶ καὶ μετὰ φιλοσόφου[35]) προθέσεως ἐβίωσαν, καὶ ὅσοι κατ' αὐτὸν πάλιν ῥητορικῶς. Οὕτω δὴ κἀντεῦθεν προδείκνυσι καὶ

---

30) προςέχει, Cdd. Aug. et Mon. προςέχειν.

31) καὶ deest in Cdd. Aug. et Mon. et mox δεύσαν pro δεῆσαν.

32) λυσιτ. C. Aug. λυσιτελήσονται.

33) προτρ. C. Mon. τρέπεται: fors. ὅπερ τρέπεται; sed infra iterum προτρέπεται.

34) Γρύλλου, C. Mon. Γρύλλον, mendose.

35) μετὰ φιλ. C. Mon. μετὰ φιλοσόφοις.

πιστοῦται τὰ περὶ αὐτοῦ νῦν ἡμῖν λεγόμενα. Οἷς γὰρ χαίρει, καὶ οἷς ἥδεται ξυνὼν, καὶ φίλους ἄνδρας, καὶ οἷς τὰ βέλτιστα βούλεται, προτρέπεταί[36]) γε τοῖς αὐτῶν χρῆσθαι. Τοιοῦτος αὐτός ἐστι πάντως ταῦτ᾽ ἐπαινῶν, οἷς χρῆται, καὶ χρώμενος αὐτὸς τέως, οἷς καὶ τοὺς ἐπιτηδείους προςέχειν βούλεται. Οὐ γὰρ ἄλλοις βελτίοσιν, ἢ καὶ αὐτὸς ἐχρήσατο, προςέχειν ἠξίωσεν ἂν, οὐδὲ φίλους ἔκρινεν ἂν ὥςτε καὶ τῶν καλλίστων δι᾽ ἑαυτοῦ τυχεῖν πλεῖν[37]) ἢ ἑαυτὸν, οὐδὲ μὴν αὖθις, ὧν ἑαυτῷ βελτίστων ᾠήθη, τἀναντία παρετίθετο φίλοις, καὶ μάλιστ᾽ ἀδικεῖν ἄνδρας ἐπιτηδείους ἐπειρᾶτο σφόδρα τιμῶντας αὐτὸν καὶ πειθομένους ἀνυπόπτως[38]), ὃ μήδ᾽ ἐχθροὺς ἀδικεῖν τῷ βίῳ προθέμενος, καὶ πάντας εἰς τὴν αὐτὴν αἵρεσιν φίλους τὲ καὶ μὴ συμπείθων.

ΚΕΦ. κ'.

Περὶ Ξενοφῶντος.

Ξενοφῶντα δ᾽ ἐκεῖνον ἐκάλουν μὲν Ἀττικὴν μέλιτταν, οὕτω δὴ περὶ πλείονος ἐποιοῦντο τὴν ἐκείνου γλῶτταν[1]), καὶ τὴν κατ᾽ αὐτὴν ἀνθη-

36) προτρ. C. Mon. καὶ προτρέπεται.

37) πλεῖν, C. Mon., vt alias, πλήν.

38) ἀνυπ. ὃ, C. Mon. ἀνυπόπτων, ὅ.

1) γλῶτταν, *annon* γλυκύτητα? Bloch. quam coniecturam respuunt sqq. τὴν κατ᾽ αὐτὴν (s. γλῶτταν) ἀνθ.

φορίαν [2]) ἐπόθησαν, ἐπισημειοῦνται δέ τινες τῶν παλαιῶν, ὡς ἄρα τοσοῦτο περὶ ἑαυτοῦ φρονεῖν ἐπῆν αὐτῷ, ὥςτε καὶ παραβάλλεσθαι πρὸς τὸν θαυμαστὸν οὐκ ἀπώκνει Πλάτωνα, καὶ δεῖγμα ποιοῦνται, ὅτι δὴ περὶ τῶν αὐτῶν ἐπίτηδες ἐνεχείρησε [3]) τῷ λόγῳ χρήσασθαι προθέσεων ἐπὶ τῷ Σωκράτει, καὶ πολλὰ περὶ ἐκείνου καὶ δι' ἐκείνου φθέγγεται [4]) τά τε ἄλλα, καὶ ἀντισυμποσιάζει Πλάτωνι τὸν Σωκράτην σκοπὸν ἔχων. Καὶ πολύς ἐστιν ὁ Σωκράτης διὰ πάντων αὐτῷ τῶν λόγων [5]), καὶ μὴν ἐν τοῖς τῶν ἀπομνημονευμάτων βιβλίοις, ἃ δὴ πάντων τῶν Ξενοφωντείων ἔγωγε συνταγμάτων βελτίω καὶ πολὺ τῶν κατ' αὐτὸν ἄλλων προέχειν τίθεμαι. Ἐν τούτοις δ' οὖν τοῖς ἀπομνημονεύμασι ὡς ἀπὸ Σωκράτους πλεῖστα διαλεγόμενος ἐν πολλοῖς ταὐτὰ Πλάτωνι φθεγγόμενος [6]), καὶ περὶ τῶν αὐτῶν ὡσαύτως κατ' ἐκεῖνον [7]) ἔοικε

---

2) ἀνθηφ. sic et reliqui Cdd. sed Bloch. ἀνθοφόριαν. Lexica ἀνθοφόρια, atque, etsi praebeant ἀνθηφόρος et ἀνθηφορέω, ignorant ἀνθηφορία.

3) ἐνεχ. C. Aug. ἐνεχείρωσε.

4) φθέγγεται, Bl. φθέγγεσθαι, non apte ob sq. ἀντισυμποσιάζει, nisi legas φθέγγεσθαι et ἀντισυμποσιάζειν. Cdd. nostri omnes: φθέγγεται. Voc. ἀντισυμποσιάζειν occurrit etiam in Lucian. Lexiphan. Tom. II. p. 318. ed. Reitz. Verba eius sic se habent: ἀντισυμποσιάζω τὸν Ἀρίστωνος, sed Varr. Lectt. Fl. et W. exhibent τῷ pro τόν.

5) ἔχων — τῶν λόγων, desiderantur in C. Mon.

6) ἐν πολλοῖς — φθεγγόμενος, sic Cdd. nostri, sed Bl. haec omisit.

7) ἐκεῖνον, sc. Πλάτωνα.

πίστιν ἐμποιεῖν τινὰ τοῖς ἀκροωμένοις· ὡς ἄρ' οὐδὲ Πλάτων πολλὰ τῶν παρ' αὐτοῦ λεγομένων Σωκράτους καταψεύδεται, παρ' αὐτοῦ πάντα λέγων, ὡς εἴωθε[8]), τιμῇ τῇ πρὸς τὸν ἄνδρα, ἀλλ' ἔστιν ὡς ἀληθῶς ἐκείνου γ' ἔνια, καὶ οὐ συκοφαντεῖται καθάπαξ παρ' αὐτῷ Σωκράτης, βέλτιστα λέγων ἀνθρώποις τοῖς κατ' αὐτὸν τηνικαῦτα ἐκείνοις, καὶ μὴν τοῖς ἔτ' ἐξ ἐκείνου μέχρι δεῦρο νῦν εἰς ἡμᾶς καὶ μεθ' ἡμᾶς ἑξῆς ἅπασι. Καὶ τόγε ὅλον ἔστι δρᾶμα τὸ κατὰ Σωκράτην Πλάτωνι· Πλάτων δὲ ἡμῖν τὰ δοκοῦντα παρ' αὐτοῦ φθέγγεται, ἀλλ' ἔστιν ἃ παρ' ἐκείνου κατ' ἀλήθειαν ἐκδεξάμενος ἀξιοῖ μνήμης τε καὶ συγγραφῆς, καὶ παιδεύειν δι' αὐτῶν πειρᾶται τοὺς ξυντυγχάνοντας, ὅτι δῆτ' ἐπὶ ταῖς αὐταῖς ὑποθέσεσι καὶ Ξενοφῶν ἡμῖν διὰ Σωκράτους ταὐτὰ φθέγγεται, ἀλλὰ καὶ τοῦτο μὲν οὐκ ἔξω λόγου δόξαι τις ἂν οἶμαι πάντως, καὶ πολλὴν ὄντως[9]) τῆς σοφίας τε καὶ καλοκαγαθίας Σωκράτει[10]) πίστιν ἡμῖν παρέχεται. Ἀλλ' ἔγωγε[11]) παραβαλέσθαι μὲν Πλάτωνι Ξενοφῶντα

---

8) εἴωθε, Bl. mavult: ἔοικε, sine causa, nam sensus est: *vti semper Socratem honorare et laudare consueuit.*

9) πολλ. ὄντως, Bl. π. οὕτως, male.

10) Σωκράτει, sic omnes Cdd. verum Bl. mavult: Σωκράτους. Quid vero impedit, quominus haec interpretemur: *in eius honorem*, vti ipse explicat. Deinde Theodor. frequentat in hac verborum coniunctione Dativum, vt supra: διὰ πάντων αὐτῷ τῶν λόγων: infr. ὁ μὲν λόγος αὐτῷ τοιοῦτος.

11) ἔγωγε, Bl. ἐγώ.

καθάπαξ οὐκ ἀνεμέσητον κρίνω, καὶ πολλὴν εὐήθειαν ἢ καὶ μανίαν ἄντικρυς παῤῥησίᾳ καταψηφίζομαι, εἴ τις ἄλλως ἐρεῖ, καὶ οὐδὲν γὰρ[12]) ἀμφοῖν παραπλήσιον, ἢ ὁπηοῦν ἔγγιστα, πᾶσαν λέγω σοφίαν, οὐ τὴν περὶ τῶν ὄντων θεωρίαν[13]), καὶ ταύτης καθ' ὅ τι ἂν εἴποι τὶς εἶδος, οὐ τὴν περὶ τὸ λέγειν ἄσκησιν, πολὺ γὰρ ἀνὴρ τοῦ θαυμαστοῦ Πλάτωνος πάντα λείπεται. Ὅτι δὲ καὶ τὸ κατ' αὐτὸν[14]) Ξενοφῶντα λόγου πλείστου δή τινος ἄξιον[15]) Ἕλλησι δοκεῖ, θαυμάσαιμ' ἄν, ὅςτις οὐκ οἶδε, καὶ πείθεται γ' εὖ μάλα, τοῦτο μὲν[16]) ταῖς ἱστορίαις καὶ κρίσεσι, καὶ τῇ περὶ αὐτοῦ δόξῃ καὶ φήμῃ τῶν παλαιῶν, τοῦτο δὲ καὶ πειρώμενος αὐτὸς καὶ συγγινόμενος τἀνδρὶ διὰ τῶν βιβλίων, ὧν συνέταξεν, ἃ καὶ φιλοσοφίᾳ προςεσχηκότα κάλλιστα τὸν ἄνδρα δείκνυσι, καὶ μάλιστα τὸν Σωκρατικὸν τρόπον ἐν ταῖς ἠθικαῖς καὶ πρακτικαῖς κρίσεσι, καὶ τὴν γνώμην ἕτοιμον, κἂν εἰ μὴ βρύοντα δαψιλῶς, καὶ βαθὺν καὶ περινοίας διϊκνούμενον εἰς τὰ μὴ πολλοῖς πρόχειρα συνορᾷν τε καὶ συλλογίζεσθαι,

---

12) οὐδὲν γὰρ, C. Aug. omittit γὰρ, vti etiam Bl. sed C. Paris. Reg. servat, quod Bl. ipse melius esse putat.

13) οὐ — θεωρίαν, *idem est ac alias: τὴν τῶν θείων ἱστορίαν s. θεωρίαν τὴν φυσικήν*. Bloch.

14) κατ' αὐτὸν, ap. Bloch. καθ' αὑτὸν, *in se spectatum, nec cum Platone comparatum*, qui vero lectionem κατ' αὐτὸν praeferendam esse putat.

15) ἄξιον, Bl. ἄξιος.

16) μὲν deest in C. Mon.

ἀστεῖον δ' ὅμως, καὶ τοῦ καιρίου τυγχάνοντα ῥᾳδίως· ἔτι γε μὴν τὴν φωνὴν ἠσκημένον κατὰ φύσιν εὖ, καὶ ῥητορικῶν οὐκ ἔξω καὶ πολιτικῶν ἐπιτεχνήσεων. Καὶ περὶ τὸ δικαστικὸν γὰρ εὔθηκτος καὶ δείκνυσι κατὰ τὰς ἱστορικὰς [17]) συγγραφὰς ἐν ταῖς δημογορικαῖς [18]) καὶ ἀντιθετικαῖς χρήσεσι, καὶ περὶ τὸ βουλευτικὸν ἐπιτυχὴς καὶ πειστικὸς, καὶ τὸ γόνιμον ἔχων οὐκ εὐπεριφρόνητον, καὶ περὶ το πανηγυρικὸν ἐπαφρόδιτος, κᾂν [19]) εἰ μὴ λογοειδὴς ἀμέλει, πλεῖστον ὅμως ὥρας μετέχων καὶ ἤθους, καὶ ξὺν τῷ γαληνῷ καὶ ὑπτίῳ πομπεύει διαιρόμενος ἀμηγέπη, καὶ πυκνούμενος τοῖς ἐννοήμασι, καίτοιγε σφόδρ', ὡς οὐκ οἶδ' εἴ τις καὶ ἄλλος, ἀφελείᾳ χαίρων φύσει τὲ καὶ κατὰ κρίσιν [20]) ἐπίτηδες, ὡς ἂν δὴ καὶ μετὰ σκηνῆς τινὸς ἐντεῦθεν καὶ δράματος πειστικὸν [21]) μάλιστα διοικούμενος, καὶ δεινότητι χρώμενος ἐν ἀπλάστῳ τὸ φαινόμενον, καὶ ἀπραγματεύτῳ τῇ χρήσει· ἀξιώματος δὲ καὶ ἀκμῆς οὐδ' ὁπωςοῦν αὐτῷ μέλει, καὶ τοῦτο δὴ μάλιστα μὲν, ὡς ἔφην, αὐτῷ κατὰ φύσιν. Ἀλλὰ δὴ καὶ τόγε πλεῖστον ἴσως οὐκ ἀῤῥητόρευτον, οὐδ' ἄνευ ἐστὶν ὑποκρί-

---

17) ἱστορ. C. Mon. ἱστορίας: in margine γρ. ἱστορικάς.

18) δημογορ. Cdd. Aug. Monac. et Bloch. rectius δημηγορικαῖς.

19) κᾂν, Bl. et Cdd. Aug. et Mon. καί.

20) κατὰ κρίσιν, iunctim Cdd. Aug. et Mon. κατακρίσιν, vti mox μετασκηνῆς et κατασκοπόν.

21) πειστ. C. Aug. πιστικόν.

σεως καὶ μεθόδου κατὰ σκοπον ἀνυσίμως ἔχοντα, καὶ ἰσχνὸς δὲ ὢν μάλιστα γοργότητος πάνυ τοι καὶ ἐντρεχείας ἀλλότριός ἐστί. Καὶ ἥκιστά τις ἐν τοῖς αὐτοῦ τόσοις καὶ τόσοις [22]) ὁτιοῦν περιβεβλημένον ὄψεται, οὐδ' ἐκ περιοδικῆς συστροφῆς στρογγύλεσθαί πως ἱκνούμενον, ἀλλὰ καθόλου διὰ πάντων αὐτῷ τὸ ὕπτιον εὐθυφορούμενον ἱλαρῶς ὁρᾶται· καὶ ὁ μὲν λόγος αὐτῷ τοιοῦτος. Οὐκ ἀνίκανος δὲ ὢν ἐν πράγμασιν, οὐδὲ κατὰ τοὺς ἄλλους τῶν τηνικαῦτα φιλοσοφούντων, ἐν λόγοις ἐπιδεικνυμένων τὴν πολιτικὴν ἀρετήν. Πόθεν; ὅςγε καὶ στρατηγικώτατος, αὐτοχειροτόνητος, δεῆσαν εὖ μάλα, καὶ καρτερὸς [24]) τῶν μυρίων ἡγεῖται, καὶ διασώζει [25]) τῇ Ἑλλάδι τοὺς ἄνδρας· φεύγων ὅμως διεγένετο [26]) τὸ πλεῖστον τοῦ βίου τὰ πράγματα, καὶ ἀπολίτευτος μάλιστα τῇ πατρίδι διὰ τύχην, ἢ μὴ καλῶς χρησάμενος Ἀθήνησιν, οὐκ ἦν ἡδὺς ὁρᾶσθαι, οὐδ' εἶχεν οὐδ' αὐτὸς ἡδέως ὁρᾷν τὴν πατρίδα. Τοιγαροῦν καὶ ἀπόδημος διεβίω [27]) τὸ πλεῖον, καὶ οὐ πολλὰ τοῖς οἴκοι δῆλός ἐστιν εὔνους ὤν. Φιλολάκων δὲ καὶ φιλαγησίλαος

---

22) καὶ τόσοις, ignorat C. Mon.

23) εὐθυφορ. recte: Cdd. Mon. et Aug., vti etiam Bl., mendose ἐνθυφορούμενον.

24) καρτερὸς, sic nostri Cdd. et Paris. Reg. verum Bl. καρτερικός.

25) διασώζει, C. Mon. διασώζειν.

26) διεγ. C. Germ. διεγίγνετο ap. Bl.

27) διεβίω, Bl. διεβίωτο.

μάλιστα, καὶ πολὺς ἐραστὴς ἐκείνου, ᾧ καὶ συνεβίωσε πόλλ' ἔτη συνὼν ἥδιστα, χρήσιμος ὢν τἀνδρὶ, καὶ μηδὲν ἧττον, ὡς αὐτός φησι, χρήσιμον αὐτὸν ἔχων εἰς παντοίαν ἀρετὴν ἑαυτῷ, καὶ οὗ [28] *δὴ πρὸς τὸ τῆς σωματικῆς χρείας ἀφρόντιστον ὤνατο δι' ἀγροῦ δωρεᾶς* [29] *οὐ πολυτάλαντον ὅμως φορὰν ἐκεῖθεν, ἀλλ' ἀρκοῦσαν ἀμέλει τῷ ἤθει τὲ καὶ τῷ βίῳ, καρπούμενος.*

ΚΕΦ. κά.

Περὶ τῶν Ἀριστοτελικῶν βιβλίων τῶν μετὰ τὰ [1] *φυσικὰ, καὶ περὶ τοῦ βιβλίου Ἑρμογένους τοῦ περὶ μεθόδου δεινότητος.*

Πολλάκις ἔχω ξυνεωρακὼς ἔγωγε περὶ τῶν βιβλίων Ἀριστοτελικῶν [2], *ὧν πολὺς ὁ λόγος* [3], *ὧν ἐπιγράφεται μετὰ τὰ φυσικὰ, καὶ πρὸς τούτῳ γε περὶ τοῦ βιβλίου τοῦ διδασκάλου τῆς ῥη-*

---

28) *οὗ*, sic Cdd. nostri, sed Bl. *οὐ*.

29) *δωρεᾶς*, Bl. *δωρεὰν*, qui addit: *Sic restitui lectionem corruptam: δωρεᾶς. Constat enim, Xenophontem a Spartanis publice donatum fuisse agro Elidis dicto Scillunte: Diog. Laert.* 2, 6, §. 7. *postea vero alium emtum agellum Dianae sacrauisse: Diog. ibid.* §. 8. At quum omnes Codd. consentiant in lect. *δωρεᾶς*, seruanda est, et explicanda *διὰ τῆς δωρεᾶς τοῦ ἀγροῦ*, agro s. e reditibus agri, quo a Spartanis est donatus, fructum percepit etc.

1) *τὰ*, in C. Aug. deest.

2) *Ἀριστοτ.* Cdd. Aug. et Mon. *Ἀριστοτέλους*.

3) *ὧν — λόγος*, in C. Mon. sunt omissa.

τορικῆς τέχνης Ἑρμογένους, ὃ περὶ μεθόδου δεινότητος ὀνομάζει, ὡς ἄμεινον ἂν ἦν τοῖς ξυγγραψαμένοις, ἢν μὴ ξυνετάττοντο σφίσι ταῦτα, ἢ τόγε δεύτερον, εἰ μὴ συνετήρουν τῷ χρόνῳ ταῦθ᾽ Ἕλληνες καὶ παρέπεμπον τοῖς ἑξῆς ἀεὶ τῶν σπουδαζόντων ἐν λόγοις, καὶ μετ᾽ ἐπισκέψεως μάλιστα ξυγγινομένοις, καὶ σφόδρα τὸν νοῦν προςέχουσι ταῖς παλαιαῖς ἐκδόσεσι, καὶ παρασκευαῖς εἰς δή τινα σοφίαν· φθάνουσι γὰρ οἱ ἄνδρες πλεῖστα δὴ τοῖς ἡγησαμένοις αὐτῶν βιβλίοις περὶ τῶνδε τῶν συγγραμμάτων ἐπαγγειλάμενοι. Καὶ πολύς ἐστιν ὁ θαυμάσιος Ἀριστοτέλης ἐν τοῖς βιβλίοις, οἷς περὶ τῶν φυσικῶν θεωρεῖ τοῖς πλείστοις περὶ τῆς πρώτης φιλοσοφίας τὸν ἀκροατὴν ἐξαίρων, καὶ ποιούμενος ἐν ἐλπίσι μεγίσταις, ὡς ἐνταῦθά γε τῆς αὐτοῦ σπουδῆς μεγάλοις δή τισι, καὶ ἱεροῖς καὶ ἀποῤῥήτοις, ὡς εἰπεῖν, ἐπιτυχὴς συνέσται, καὶ ταῖς ἀξιολογωτάταις ἑκάστοτε καὶ παρ᾽ ἑκάστοις τῶν φυσικῶν αὐτοῦ συνταγμάτων ἐπισκέψεων συμπίπτων, καὶ ὑπερβαινούσαις τὰν μέρει, καὶ ὑπερφρονούσαις [4]) τὴν ὕλην ὑπερτίθεται τὴν θεωρίαν καὶ τοῦ πρώτου φιλοσόφου, καὶ τῆς πρώτης φιλοσοφίας καὶ ὑπὲρ τὰ φυσικὰ, εἴτουν μετὰ τὰ φυσικὰ, ταὐτὸ γὰρ αἱ κλήσεις αὗται διάφοροι σκοποῦσιν ἓν καὶ βούλονται, τὴν περὶ τούτων ἐξέτασιν καὶ διδασκαλίαν ποιεῖται [5]), καὶ

4) τὰν — ὑπερφρον. absunt a C. Monac.

5) ποιεῖται, C. Mon. ποιεῖτε: et seq. καὶ non habet.

καθυπισχνεῖται τὰ περὶ τούτων ἐν ἄλλοις βελτίοσι πάντως, ἢ κατα τὰ παρόνθ' ἕκαστα[6]). *Τὰ δ' αὐτὰ καὶ Ἑρμογένης περὶ τῶν μεθόδων τῆς δεινότητος μεμνημένος ἐν τοῖς ἄλλοις τῶν τῆς ῥητορικῆς διδασκαλικῶν πόνων τὴν μάθησιν ταύτην καὶ μελέτην πάντων ὑπερτίθησι, καὶ τῶν ἄλλων τεχνικῶν τοῦ λέγειν ἐντολῶν καὶ παραδόσεων ἀξιολογωτάτην προεπαγγέλλεται ταύτην οὐκ ὀλίγῳ τινὶ, καὶ κατὰ τὰς ἄλλας, ἃς ἀποτυποῖ*[7]) *καὶ διατάττεται. Εἶθ' ὥςπερ ἐπιλαθόμενοι τῶν ἐπαγγελιῶν τόσων δὴ καὶ τόσων, ἢ πάντως ἡμᾶς γ' ἐπιμελησομένους οἰηθέντες, ὧν ἐν ἐλπίσι παρ' αὐτῶν φθάσαντες γεγύναμεν. Ὁ μὴν ἑξῆς ἔπειτα τοῖς ἄλλοις αὐτῷ ῥητορικοῖς πόνοις καὶ συντάγμασιν Ἑρμογένης συνεχὲς ἐκτίθεται τὸ περὶ μεθόδου δεινότητος παντάπασιν ἀπρονοήτως πολὺ τῶν ὑποσχέσεων λειπόμενον καὶ κομιδῇ γ' ἐμφανῶς τῶν γενικῶν ἐκείνων ἐλπίδων ἀνάξιον, καὶ ὡς ἀληθῶς βέλτιον ἂν ἦν τἀνδρὶ μὴ τοῖς Ἕλλησιν ἐκδεδομένον*[8]), *ἀλλὰ μένον ἐν ἐλπίσι μόνον, ἢ πολλῷ γ' οὕτω τῶν ὑποσχέσεων ἔλαττον ἐκδεδομένον. Οὐδὲν γὰρ ἐν αὐτῷ κατὰ τὴν ὑπόσχεσιν, οὐδὲ κατὰ τὴν τοσαύτην προεπαγγελίαν ἀξίως ἀπήντηκε. Καὶ ἴσως δ' ἂν καὶ αἰσχύνοιτό τις ὑπὲρ Ἑρμογένους τοῦ-*

---

6) τὰ παρ. ἕκ. C. Mon. τὸ παρὸν θ' ἕκαστα.

7) ἀποτυποῖ, C. Aug. ὑποτυποῖ, recte. Mon. ὑποτυπεῖ.

8) ἐκδεδ. C. Mon. ἐκδεδομένων.

δε[9]*) φθάσας ἀπώλετο, καὶ προὐτεθνήκει αὐταῖς ἐπαγγελίαις μόναις, αὐταῖς μόναις ἐλπίσιν, αἷς αὐτός τε εἶχεν ἴσως ἐν ἑαυτῷ περὶ τούτου, καὶ τοὺς ἄλλους ἔχειν ἔπειθεν, οἷς παρεδίδου τὰς ῥητορικὰς ἐπιτεχνήσεις τοῦ λέγειν. Ἀριστοτέλης δ' αὐτὸς ἰδίᾳ μὲν χρόνοις ἔοικεν ὕστερον καὶ ἀναμέρος τὰς ἐκδόσεις τῶν μετὰ τὰ φυσικὰ ποιεῖται, καὶ πορρωτέρω γ', ὡς εἰπεῖν, τῶν μεγάλων ἐπαγγελμάτων καὶ ὑποσχέσεων· καὶ τοῦτό γ' αὐτίκα τεχνικῶς*[10]*) ἐκεῖνος, ἀποβουκολήσας τῶν γεννικῶν ἐλπίδων, ὡς οἷόν τ' ἦν*[11]*) τοὺς ἐντυχεῖν μέλλοντας, ἔπειτα κατ' ἔθος πολλῷ σκότῳ τῆς λεκτικῆς χρήσεως συγκαλύπτει τὸ σύγγραμμα, βουλόμενος φεύγειν τὸν τῶν ὑποσχέσεων ἔλεγχον, καὶ τὸ καταφανὴς γίνεσθαι μὴ τῶν ἐλπίδων ἄξια ἀποδιδοὺς*[12]*), ἀλλά γε δὴ συγκρύπτειν δοκεῖν ἀπόρρητά τινα ἔργα, καὶ κειμήλια δογμάτων καὶ θησαυροὺς σοφίας, οὐ τοῖς πολλοῖς εὐχερεῖς κτήσασθαι· οἷος ἐκεῖνος ἐν πολλοῖς τοιοῦτος ἄλλοις*[13]*) οἰκονομῶν τὸ μὴ ῥᾴδιον εἰς σύνεσιν καὶ ἀνύσιμον, ἐν οἷς βούλεται πλέον τι τῶν ἄλλων αὐτὸς ξυνορᾷν δοκεῖν τοῖς πολλοῖς, καὶ μὴ καθάπαξ ἐν τοῖς ὑψηλοτέροις τῶν*

---

9) τοῦδε, hinc inserunt Cdd. Aug. et Mon. τοῦ συντάγματος ἕνεκα καὶ εἴθε γε μὴν ἄγονος τοῦδε, Aug. τῷδε.

10) τεχν. C. Aug. τεχνικῶν.

11) τ' ἦν, C. Aug. male τήν.

12) ἀποδιδ. C. Aug. tantum ἀπο, duabus syllabis omissis.

13) ἄλλοις, ignorat C. Mon.

σπουδασμάτων καὶ τῶν προθέσεων ἁλώσιμος εἶναι, καὶ περὶ ὧν ἀγῶνες καὶ παλαίσματα πλεῖστα, καὶ οὐκ ἀνεύθυνον, οὐδ' ἀναμφήριστον τὸ νικᾷν· καὶ τοῦτο μὲν οὕτω. Δῆλος δ' ὅμως κἀν τούτοις Ἀριστοτέλης βέλτιον ἢ κατὰ τὸν Ἑρμογένην ταῖς ἐπαγγελίαις ἀπαντήσας, καὶ κάλλιστα καὶ θαυμάζειν ἄξι' [14]) ἀποδοὺς κἀνταῦθα, κἂν εἰ μὴ πρὸς τὰς ὑποσχέσεις τέως καὶ τὰς τῶν πολλῶν ἐλπίδας ἱκανῶς ἔχοντα.

ΚΕΦ. κβ'.

Περὶ τοῦ ἐν τῇ μαθηματικῇ [1]) ἐπιστήμῃ ἀστασιάστου.

Πολύ τις ἐν τοῖς μαθηματικοῖς τῶν φιλοσόφων, οἶμαι, τὸ ἀστασίαστον ὄψεται· καὶ ἄλλον μὲν ἄλλου βέλτιόν τε καὶ μὴ περὶ τὴν ἕξιν ταύτην γενόμενον ξυνορᾷν ἐστι καὶ συλλογίζεσθαι ταῖς ἱστορικαῖς παραδόσεσι, καὶ ὧν καταλελοίπασι βιβλίων καὶ συνταγμάτων ἐποπτείᾳ καὶ πείρᾳ, ἄλλον δ' ἄλλῳ μαχόμενόν τε καὶ τἀναντία λέγοντα καὶ φρονοῦντα τῶν ἀπὸ τοῦ παντὸς αἰῶνος οὐδένας, οὔθ' Ἕλληνας πρὸς Ἕλληνας, οὔτε βαρβάρους μὲν τὴν γλῶτταν, Τὴν δὲ μαθηματικὴν ἐπιστήμην τε καὶ ἕξιν εὖ ἠνυκότας ὡς ἐπὶ πολλῶν ἐστιν ὁρᾷν πάλαι τε καὶ νῦν ἔτι μηδὲν ἧττον πρὸς βαρβάρους ὡσαύτως, ἀλλὰ μὴν οὐδὲ βαρβάρους ἄρα πρὸς Ἕλληνας,

---

14) ἄξι', C. Aug. modo ἄξ'.

1) μαθημ. C. Mon. μαθηματικῆς.

καὶ ὅλως οὐδὲν πρὸς τοὺς ἐξ ἄλλων γενῶν τοῖς ἐξ ἄλλων γενῶν, ᾗ δὴ καὶ πεφυκὸς ἂν ἦν μάλιστα, περὶ τῆς αὐτῆς σπουδῆς τῆς μαθηματικῆς δηλαδὴ ὁτιποτοῦν μάχιμον ἐστὶ, καὶ περὶ ταὐτό γε σκέμμα καὶ ὑποκείμενον τῇ θεωρίᾳ κατὰ τὴν μαθηματικὴν πᾶσαν ἕξιν ἐναντιολογία τὶς, καὶ ἀσύμβατον [2]*) νόημα, οὐ μᾶλλόν γε, ἢ αὐτῷ τινὶ πρὸς ἑαυτὸν, ἀλλ' ἅ* [3]*). Τοῖς δέ τισι περὶ ὧν τινων ἄρα τῆς μαθηματικῆς ἐπιστήμης δοκεῖ κοινῇ πᾶσι καὶ ὁμοφρόνως ξυνδοκεῖ καὶ νέοις καὶ παλαιοῖς, καὶ Ἕλλησι καὶ βαρβάροις, καὶ πᾶσιν, ὅσοις τοι ξυντετύχηκεν εἰδέναι περὶ τῶν αὐτῶν. Καὶ πάντες ὡς πρὸς ἕνα σκοπὸν ὁρῶντες ἄλλοθεν ἄλλοι* [4]*) τῶν τόπων, εἴτουν τῶν διαλέκτων βάλλοντες ξυμπίπτουσι, καὶ κατευστοχοῦσιν οἱ τυγχάνοντες, καὶ ὥςπερ πάντ' ἀριθμὸν ὡσαύτως ἅπαντες ξυνορῶσι τῷ νῷ ταῖς λέξεσι διαφόροις χρώμενοι, ἤτοι τὰ δύο δύο πάντες, καὶ δέκα τὰ δέκα, καὶ ἄττα δὴ πάντα τοσαῦτα τοῖς ὀνόμασιν ἑτεροιούμενοι, παραπλησίως δὴ καὶ τὰς περὶ τῶν ἀριθμῶν μαθηματικὰς διπλᾶς θεωρίας, καὶ περὶ τῶν μεγεθῶν ὡσαύτως διπλᾶς ἐν ἀσυνέτοις πάντως ἀλλήλων τοῖς ῥήμασιν ἅπαντες καθάπαξ βέλτιστα* [5]*) ὁμόφρονες εἰσὶ, καὶ κοινοπολιτείαν ἅπαντες ἐν τούτοις ἔχουσιν ἀν-*

---

2) ἀσύμβατ. Cdd. Aug. et Mon. σύμβατον.

3) ἀλλ' ἅ, C. Mon. ἀλλὰ τοῖς δέ τισι: Aug. ἀλλ' ἃ τοῖς δ. τ.

4) ἄλλοι, Cdd. Aug. et Mon. ἄλλοις.

5) βέλτ. Cdd. Aug. et Mon. βέλισθα.

θρωποι, καὶ πόῤῥω καὶ σύνεγγυς ὄντες καὶ στασιαστικῶς τἄλλα καὶ μαχίμως τοῖς πράγμασι, καὶ μή. Καὶ εἰ τοῦθ', ὡς εἰπεῖν, τὸ μέρος [6]) ἅπαντες ἔζων ἄνθρωποι, οὐδὲν ἂν ἦν ἀνθρώποις, ἀλλ' ἢ εἰρήνη βαθεῖα, καὶ ἀστασίαστος βίοτος, καὶ κοινὰ καθόλου πράγματα, κἂν ἄλλος ἄλλου γε προέχων ὁρᾶται ἢ διὰ φύσεώς τινος πλεονεξίαν, ἢ δι' ἀσκήσεως ἴσως [7]), ἢ καὶ κατ' ἀμφότερα. Τὸ μὲν γὰρ ἀμέριστον καὶ ἀστασίαστον ἐν αὐτοῖς καὶ ὁμόλογον εὖ μάλα δῆλον, καὶ οὐκ ἂν ἄλλος τὶς εἴποι προσέχων τὸν νοῦν, καὶ μετ' ἀληθείας βιοῦν αἱρούμενος, ὅτι δ' οἳ μὲν πλέον ἠνυκότες ὁρῶνται περὶ τήνδε τῆς σοφίας [8]) τὴν ἕξιν, οἳ δ' ἔλαττον πάλαι τε καὶ νῦν, καὶ παρ' Ἕλλησιν ἀμέλει καὶ βαρβάροις. Καὶ τοῦτό γε δῆλον ὡσαύτως, καὶ πολὺ τὸ εὔλογον ἔχει δι' ἕτερόν γε τῶν εἰρημένων τρόπον, ἢ καὶ δι' ἀμφότερα. Τοῦ γε μὴν συμφώνου τοσούτου καὶ εἰρηναίου τοῖς μαθηματικοῖς τῶν φιλοσόφων οὐδὲν ἄλλ' αἴτιον, ὅτι μὴ τὸ βεβηκὸς τῶν ὑποκειμένων τῇ θεωρίᾳ ταύτῃ πραγμάτων καὶ ἁπλοϊκόν. Περὶ γὰρ τοῦ ἑνὸς καὶ ὡσαύτως ἔχοντος ἀεὶ καὶ μὴ μεταβάλλοντος ὁπηοῦν κατ'

6) τὸ μέρος, C. Mon. ignorat.

7) ἴσως, hic inserit C. Mon. ἢ καὶ διαφύσεώς τινος πλεονεξίαν; sed C. Aug. ἢ κατ' ἃ ἢ διὰ φύσεώς τινος πλεονεξίαν, ἢ δι' ἀσκήσεως ἴσως: haud dubie lapsu librariorum κατ' ἃ est κατ'. ἀμφότερα. Quae sequuntur: ἢ κατ' ἀμφότερα Cod. vterque etiam habet.

8) σοφίας, C. Mon. φύσεως, in ora γρ. σοφίας.

οὐδένα λόγον, κατ᾽ οὐδὲν πρᾶγμα καὶ σύμβαμα, καὶ ἡ περὶ αὐτοῦ ἐπιτυχὴς κατάληψις ἡ αὐτὴ πάντως, καὶ οὐκ ἐπαμφοτερίζειν ὅλως πέφυκε, καθὼς ἄρ᾽ ἔχει περὶ τῶν ἐν φύσει καὶ ὑπὸ γένεσιν, ἃ καὶ ῥέει διόλου [9]) καὶ μεταβάλλει πρὸς τἀναντία, καὶ συμμεταβάλλειν ἀναγκάζει τοὺς περὶ αὐτῶν λόγους, καὶ χώραν ἐναντιολογίαις περὶ αὐτῶν δίδωσιν. Ἀλλ᾽ οὐχ οὕτω τὰ κατὰ τὴν μαθηματικὴν ἐπιστήμην θεωρητὰ, ἃ κἂν εἰ προςχρῆταί πως τῇ ὕλῃ πρὸς χειραγωγίαν ἀμηγέπη τοῖς μετ᾽ αἰσθήσεως ζῶσιν ἔτι πω [10]) τὸν παρόντα βίοτον εἰς τὰς κατὰ διάνοιαν ἀποπερατώσεις, Ἀλλὰ καὶ ὅμως ἀφαιρεῖται τελευτῶντα τῆς ὕλης τῷ νῷ, καὶ ἴδια θησαυρίζεται τοῖς ταμείοις τοῖς [11]) φαντασίας, καὶ μένει γε παντάπασιν ἀζήμια, καὶ ἄσυλα φθορᾶς ἁπάσης καὶ τροπῆς. Ταῦτ᾽ ἄρα καὶ ἀΐδια τοῖς ἔξω καλεῖται τὰ μαθηματικὰ, καὶ μόνιμα τὴν οὐσίαν, καὶ τοὺς περὶ αὐτῶν λόγους ἀτρέπτους ἔχει κατὰ τὴν αὐτῶν φύσιν, καὶ καθάπαξ τὸ στάσιμον ἔχοντας [12]), καὶ οὐδεμία λοιπὸν στασιώδης ἑτερότης τῇ περὶ αὐτῶν ἀληθείᾳ, καὶ μάχιμος θεωρία τοῖς περὶ ταῦτα σπουδάζουσιν.

---

9) διόλου, C. Aug. δι᾽ ὅλου.

10) πω, C. Mon. περί.

11) τοῖς, C. Mon. τῆς.

12) ἔχ. C. Mon. ἔχοντες.

ΚΕΦ. κγ'.

Περὶ τοῦ ἐν τῇ φυσικῇ θεωρίᾳ ἀβεβαίου.

Ἡ δὲ περὶ τὸ φυσικὸν θεωρία μάλιστ' ἐπαμφοτερίζειν οὐκ ἀκαίρως ἔχει, καὶ τοῖς τἀναντία περὶ τῶν αὐτῶν λέγουσι χώράν τινα[1]) *τοῦ δοκεῖν εὖ πως λέγειν δίδωσι. Καὶ ὁρῶμεν γάρ, ὡς οὕτω γε πολλοὶ περὶ τῶν αὐτῶν τῶν ἐκ φιλοσοφίας δοκίμων ἐχρήσαντο, καὶ κατασκευάζουσιν οὐκ ἀγεννῶς*[2]) *τὰ δόξαντα, καὶ πολλοὺς ἔχουσι τοὺς εὖ μάλα δὴ πειθομένους ἐκ τῶν ἐναντίων λογισμῶν κινούμενοι, καὶ πολλαὶ στάσεις ἐνταῦθα καὶ μερισμοὶ πρὸς ἀλλήλους μαχόμενοι, καὶ τῶν ἐν τοῖς φυσικοῖς αἱρέσεων μεγαλώνυμοι πολλοὶ τὸ ἀρχαῖον*[3]) *προστάται καὶ ἡγεμόνες ἀλλήλοις ἀντιπράττοντες παῤῥησίᾳ, καὶ μηδενὶ ξὺν κόσμῳ, καὶ πολλὰ πλήθη καὶ συντάγματα τῶν σπουδαστῶν αὐτοῖς ἀντιπολιτευομένων τὴν καταληπτικὴν σοφίαν καὶ χρῆσιν. Καὶ ἴσως οἱ μὲν ἄμεινον ἔχουσιν, ἢ κατὰ τοὺς ἄλλους, καὶ τοὺς λογισμοὺς ἔῤῥωνται, καὶ νίκης ἀποφέρεσθαι ψήφοις δίκαιοι, οἱ δ' οὔ, καὶ οἱ μὲν μᾶλλον, οἱ δ' ἔλαττον, καὶ νικῶσι καὶ ἥττηνται, καὶ οἱ μὲν τάδε, οἱ δὲ τάδε, τάδε βέλτιον ξυννενοήκασιν· οὐκ ἀπίθανοι δ' ὅμως ἅπαντες, οὔθ' ὥςτε καὶ μὴ τυγχάνειν καθάπαξ ἀκροωμένων*

---

1) *χώράν τινα*, C. Mon. *χώραν τινά.*

2) *ἀγενν.* C. Mon. *ἀγενῶς.*

3) *τὸ ἀρχ.* C. Aug. *τῶν ἀρχαῖον*, male.

καὶ συντιθεμένων τοῖς δόγμασιν, ἀλλ' ὥςπερ ἐν νυκτομαχίᾳ καὶ ἀδήλῳ καὶ δυςτεκμάρτῳ πάντοθεν τῷ σκοπῷ βάλλουσι, καὶ μάλισθ' ὑπ' ἀλλήλων βάλλονται, καὶ κατευστοχοῦσιν ἔστιν [4]) οὔ, καὶ ἀποτυγχάνουσιν ἄλλοτε καὶ νεμεσητὰ πράττουσι. Καὶ εἰ μὴ θαυμάζειν ἔν τισιν ἄξια [5]), συγγνώμης γε μὴν οὐ πόῤῥω, τὰ δὲ καὶ πάνυ τοι θαυμάζειν ἄξια, οἱ αὐτοὶ τἀναντία καὶ περὶ τῶν αὐτῶν, νῦν μὲν σύμφωνα ἄλλοις ἄλλοι, νῦν δὲ μαχόμενα. Καὶ, ὡς ἔπος εἰπεῖν, πολλὴ προδήλως περὶ τῆς φυσικῆς θεωρίας τοῖς φιλοσόφοις ἡ μάχη, καὶ διάφοροι πρὸς ἀλλήλους αἱ δόξαι μετ' ἐναντίων ἐνστάσεων· τὸ δ' αἴτιον εὖ γε δῆλον αὐτόθεν, εἴ τις καλῶς συλλογίζοιτο τοὐναντίον τοῦ κατὰ τοὺς μαθηματικοὺς αἰτίου τῆς ὁμονοίας καὶ τῆς ἀστασιάστου πίστεως, ὅτι τὸ τῆς σπουδῆς ὑποκείμενον σφίσιν ἀβέβαιον τὴν οὐσίαν, καὶ ῥεῖ μεταβάλλον ἀεὶ, καὶ μυρίαις τροπαῖς ὑπεύθυνόν ἐστι [6]), καὶ οὐ συνέχεται καθάπαξ ἀσείστοις αἰτιολογίαις. Καὶ τοίνυν ὡς περὶ ἀστάτου καὶ ἀνιδρύτου γε τῶν λόγων ὄντων, καὶ οὐδὲν μή πότ' ἔχοντος ἀσφαλὲς καὶ ἀσάλευτον ὁρίσθαι [7]) οἷα δὴ τὰ ὑπὸ γένεσιν πάντως πάντα καὶ φύσιν, καὶ κίνησιν, καὶ

4) ἔστιν, abest a Cdd. Aug. et Mon.

5) ἄξια, scriptor C. Aug. ad alterum ἄξια in versu sq. aberravit, et omnia, quae intercedunt, omisit.

6) ἐστι, C. Aug. ἐστίν.

7) ὁρίσθαι, Cdd. Aug. et Mon. ὁρίσασθαι.

οἱ περὶ αὐτῶν λόγοι διαμαρτάνουσιν ἔστιν οὗ καὶ ὅτε, καὶ τυγχάνουσι, καὶ μὴν ἔτι καὶ ἀσυμφώνως ἔχουσι, καὶ πολλὰς ἐξ αὐτῶν ἔχουσιν ἐναντιολογιῶν ἀφορμὰς διὰ τὴν κατ᾽ οὐσίαν αὐτῶν εἰς τἀναντία [8]) περιχώρησιν. Τὸ γὰρ μὴ μένον [9]) ἐν ταυτότητι πῶς ἄν τις λόγοις ὡς ἐνοειδὲς [10]) ὁρίσαιτο; καὶ τὸ μυρίαν ὑφιστάμενον τὴν μεταβολὴν πῶς ἐστὶν [11]) ἁπλότητι συσχεῖν καταλήψεως; καὶ τὸ πάσαις τροπαῖς ἀλλάττον ὑποκείμενον πῶς οὐκ αἴτιον αὐτὸ πλείστας τε καὶ διαφόρους καὶ τὰς ἐναντίας περὶ αὐτοῦ πεπλάττεσθαι δόξας τῶν ἐποπτευόντων, καὶ λόγους τῶν μὲν, τὰ τῶν δὲ τὰ λογίζεσθαι πᾶσα ἀνάγκη προγόνων [12]), καὶ πείθειν ἀξιούντων τοὺς ἐπιμελὲς ποιουμένους τὴν περὶ αὐτῶν ἀλήθειαν; Ταῦτ᾽ ἄρα καὶ Παρμενίδαι καὶ Ζήνωνες [13]) καὶ Ἐμπεδοκλέες τε καὶ Δημόκριτοι, καὶ Ἀναξαγόραι, καὶ Ἀναξιμένεις, καὶ Ἀναξίμανδροι, καὶ Λεύκιπποι, καὶ Ἡράκλειτοι, καὶ Χρύσιπποι, καὶ Θεόφραστοι, καὶ οἱ κορυφαῖοι τὴν σοφίαν ἅπασαν Ἀριστοτέλεις [14]) καὶ Πλάτωνες εἰς πολ-

---

8) εἰς τἀναντ. C. Aug. εἰς τὴν ἀντία, corrupte.

9) μένον, C. Mon. μόνον.

10) ἐνοειδὲς, C. Mon. ἑνοειδὲς, sic rectius, et omnibus locis, vbi occurrit, leg. ἑνοειδ. nam est idem quod μονοειδὴς et opponitur πολυειδής.

11) ἐστὶν, C. Mon. ἔστιν.

12) προγ. C. Aug. προαγόντων.

13) Ζήνων. C. Aug. Ζώνωνες, male.

14) Ἀριστ. C. Aug. Ἀριστοτέλης.

λὰς τὴν περὶ φύσεως θεωρίαν κατατεμόντες αἱρέσεις καὶ διάφορα δόγματα, πάντες μὲν ἔχουσιν οὐκ ἀκαίρως, ὡς ἔφην, λέγειν καὶ διατρίβειν ἐνταῦθα, πάντες δὲ καὶ ὑπ' ἀλλήλων ἐλέγχονται τὲ [15]) καὶ περιτρέπονται· καὶ [16]) τοῦτ' οὐκ ἀκαίρως, ἀλλ' ὡς εὐλόγους ἀντιλήψεις καὶ ἀντιθέσεων ἀφορμὰς ἀλλήλοις παρεχόμενοι, εἰ καὶ μᾶλλον ἄλλων ἄλλοι τῶν εἰκότων τυγχάνουσι, καὶ ἴσως [17]) οὐδὲ παντάπασιν ἔξω τἀληθοῦς. Τὸ γὰρ δὴ μὴ τῶν βελτιόνων καὶ ἀκριβέστερον τῇ σπουδῇ ταύτῃ χρησαμένων ἐπαΐειν, καὶ τῆς νίκης αὐτοῖς τὰς ψήφους ἀποδιδόναι μὴ οὐ θεμιτὸν εἴη, καὶ οὐκ οἶδ' εἴ τ' ἀγνωμόνων ἢ ἀσυνέτων ἀνδρῶν. Καὶ ἴσως δικαίως ἄν τις μᾶλλον ἐπαινεῖν ἀξιοίη πάντας σὺν λόγῳ πάντως τῆς εἰς τὸ κοινὸν ἕκαστον φορᾶς οὐ παντάπασιν ἀγεννοῦς, ἢ πάντων ἂν κατελέγχοι τὰ τυχήματα [18]) καὶ τὰς ἁμαρτίας συνεξολισθαινόντων ἐν πολλοῖς τῇ φύσει τῶν ὑποκειμένων εἰς σκέψιν, πάντας δ' οὐ δικαίως ἂν ἐν ἴσῳ τιθείη, μὴ διαστέλλων ὁπηοῦν τοὺς ἄμεινον εἰς τὴν πρόθεσιν ἠνυκότας [19]), καὶ κάλλισθ' ὡς οἷόν τ' ἦν μάλιστ' ἀπαλλάξαντας.

---

15) ἐλεγ. τὲ, Cdd. Aug. et Mon. ἐλέγχονταί τι.

16) καὶ, abest a C. Mon.

17) ἴσως, omissum in C. Mon.

18) τὰ τυχ. Cdd. Aug. et Mon. τἀτυχήματα: recte.

19) ἠνυκ. C. Mon. ἠνυκότες.

ΚΕΦ. κδ'.

Ὅτι διὰ τὸν [1]) πρὸς ῥητορικὴν πόλεμον ἀεὶ διαλόγοις ὁ Πλάτων χρῆται.

Θαυμάσαι τὶς ἂν ἴσως εὖ μάλα ξυννοούμενος τὸν εἰς τοσοῦτον τοῦ θαυμαστοῦ Πλάτωνος πρὸς ῥητορικὴν πόλεμον, καὶ τὴν ἀκήρυκτον, ὡς εἰπεῖν, καὶ [2]) καθάπαξ ἄσπονδον μάχην, ὅτι καίτοι ῥητορικὸς ὢν ὁ ἀνὴρ, ὡς οὐκ οἶδ' εἴ τις ἄλλος, πλέον τῶν ἀπὸ τοῦ παντὸς αἰῶνος μέχρι καὶ δεῦρο, καὶ τὴν γλῶτταν. εἰς ἄκρον πεπαιδευμένος διὰ τὴν κατὰ τῆς ῥητορικῆς ἐκτόπως ἐπ' αὐτοῦ πρόθεσιν κρατοῦσαν παντάπασιν ἀπέστη τοῦ καὶ ὁτιοῦν ἐξ ὀρθοῦ συγγράψασθαι κατὰ τὸ τῶν ῥητόρων ἔθος ἀποτάδην οἴκοθεν συνεχῆ καὶ ἀδιάκοπον τὸν δρόμον ποιούμενος. Ἀλλὰ πάντ' ἐν διαλόγοις τὰ θαυμάσι' ὄντως ἐκεῖνα καὶ κατατετμημένως [3]) ἐν πεύσεσι καὶ ἀπαντήσεσι, καὶ ταύταις ἐπίτηδες, ὡς οἷόν τ' ἂν εἴη, συντόμοις καὶ συχναῖς φθέγγεται. Καίτοιγε πλεῖστα βιβλία συνταξάμενος καὶ καταλελοιπὼς ἡμῖν, καὶ οὐκ ἄλλον τρόπον οὐδὲν ὅτι οὔ, καὶ οὐ μόνον οὕτω διόλου χρῆται, ἀλλὰ καὶ πείθειν ἀξιοῖ πάντας· ὡς ἄρ' οὕτω δῆτ' ἐστὶ τῷ παντὶ βέλτιον χρῆσθαι, καὶ φεύγειν τὰ ῥητορικὰ μήκη, καὶ τοὺς διαύλους τῶν ἀγωνιστικῶν λόγων,

---

1) διὰ τὸν, C. Aug. διὰ τὴν.

2) καὶ, C. Mon. in margine γρ. καὶ τὰ.

3) κατατ. C. Aug. κατατετμημένων.

ἐξ ὧν ἦν ἐν τοῖς βουλευτηρίοις τὲ καὶ δικαστηρίοις εὐδοκιμεῖν [4]), μᾶλλον ἐξ ὧν ἐστιν, ὡς αὐτὸς βούλεται, συστρέφειν τοὺς ἀκροωμένους, καὶ συγχεῖν καὶ κλέπτειν τὴν τῶν πραγμάτων ἀλήθειαν. Ὅτι γὰρ οὗτος δῆτ᾽ ἐστιν ὁ τῶν θαυμαστῶν ἐκείνου καὶ τοσούτων διαλόγων σκοπὸς, καὶ πάντ᾽ ἐπὶ τὴν [5]) ῥητορικὴν καὶ τοὺς ῥήτορας ἀνὴρ ἐπιμελῶς καινίζειν, καὶ τεχνάζεται καὶ οὐχ ἁπλῶς οὕτω χρῆται χαίρων οὕτως ἤθους ἰδιότητι τινὶ [6]) δῆλος ἐστὶν ὡς ἀληθῶς, καὶ ὅςτις προςέχων τὸν νοῦν ἐπιμελέστερον ἐγκύπτει τοῖς αὐτοῦ λόγοις, συλλογίσαιτ᾽ ἄν. Ἀλλὰ καὶ αὐτὸς ἀδεῶς πολλαχοῦ τῶν λόγων ἀνακηρύττει τοῦτο, καὶ προδείκνυσιν ὡς κατὰ σκοπὸν οὕτω πειρᾶται, καὶ πειρᾶταί γε συνέλκειν εἰς τοὔθ᾽ ἅπαντας. Οὕτω γε κομιδῇ κατὰ [7]) ῥητορικῆς παντὶ τρόπῳ, καὶ τῶν τότε μετὰ ταύτης κοπτόντων τὰ δικαστήρια σπουδάζει, μάλιστα τῶν ἐκείνου χρόνων ἀκμαζούσης αὐτῆς τε καὶ τῶν αὐτῇ χρωμένων ἐν Ἕλλησι, καὶ μάλιστ᾽ Ἀθήνησι, καὶ οὐδενὸς φείδεται πράγματος ἢ λόγου, ἢ πάσης ἐπιμελείας ῥητῆς τὲ καὶ μὴ, καὶ δικαίας, καὶ μὴ μετ᾽ ἀληθείας ἐρεῖν, ὥςπερ οἱ σφόδρα ἐχθραίνοντες καθ᾽ ὁτουοῦν [8]), ὥςτε καθελεῖν. καὶ

4) εὐδοκ. C. Aug. εὐδοκεῖν.

5) τὴν, C. Mon. non exhibet.

6) ἰδιότ. τινὶ, mendose Cdd. Mon. et Aug. ἰδιότῃ τινί.

7) κατά, C. Mon. καὶ τά.

8) καθ᾽ ὁτ. C. Mon. καθοτουοῦν: Aug. καθ᾽ ὅτι τουοῦν.

φλαῦρον[9]) ἀποδεῖξαι, καὶ οὐδενὸς ἄξιον τὸ κατὰ τὴν ῥητορικὴν πρᾶγμα, καὶ πάντα κάλλιστον καὶ κρατοῦν ἐν παντὶ, καὶ[10]) βιωφελέστατον ἀνθρώποις φιλοσοφίαν. Καὶ τοῦτ' ἐστὶ μὲν τἀνδρὶ συγγνωστὸν διὰ προςπάθειαν καὶ φιλαυτίαν τὰ οἰκεῖα καὶ περὶ ἃ σπουδάζειν εἵλετο, πάσαις μηχαναῖς ἐξαίροντι, ὡς ἅπαντες ἄρ' εἰώθασιν ἄνθρωποι, καὶ ὅσοι κατὰ τοὺς πολλοὺς, καὶ ὅσοι πολλῷ βέλτιον, ἢ κατὰ τοὺς πολλοὺς κρίνουσι καὶ συνορῶσι τἀληθῆ καὶ δίκαια ἑκάστοις. Ἔστι δὲ καὶ φιλονεικότερον ὅμως πλεῖν, ἢ ἔδει χρωμένου, καὶ νεμεσῆσαι[11]) τὶς ἂν ἴσως οὐκ ἔξω λόγου, εἰ δὲ μὴ, ῥᾳδίως οὐκ ἂν πείθοι τὸν νοῦν ἔχων καὶ τῆς ἀκαίρου σπουδῆς ταύτης μὴ καθάπαξ, ὅσα καὶ ἀνδράποδον ἁλώσιμος ἀγόμενος. Χρὴ γὰρ δὴ καὶ τὸ κρεῖττον αἰδεῖσθαι τε καὶ τιμᾷν, καὶ τοῖς γε δευτέροις ἀμηγέπη χώραν διδόναι, καὶ μὴ παντάπασιν ἀσυνέτως ἔχειν, ἢν ἄρα τὶς ἔξω τοῦ καιροῦ φιλαυτῇ καὶ κατεπαίρηται τῶν δικαίων ἑαυτῷ μάλιστα θαῤῥῶν, ὡς οὐδενὸς ἀντιβλέψοντος. Ὡς ἄρα καὶ Πλάτων αὐτὸς τἄλλα πάνυ τοι θαυμάζειν ἄξιος ἐν τοῖς κατὰ τῆς ῥητορικῆς ἀγωνίσμασιν ἐκφέρεται τοῦ μέτρου, κατατρέχων ἴσως ἄδικα καὶ συγγνώμης ἔξω τοῖς προςέχουσι[12]) τὸν νοῦν.

---

9) φλ. C. Aug. λαῦρον.

10) καὶ deest in C. Mon.

11) νεμεσ. C. Aug. νεμεσίσαι, male.

12) προςέχ. C. Aug. προςέχουσιν.

ΚΕΦ. κέ.

Ὅτι διὰ τὴν πρὸς Πλάτωνα μάχην σπουδάζειν ἠξίωσεν Ἀριστοτέλης περὶ τὴν ῥητορικήν.

Ὅπερ δὲ περὶ τῆς ἀκαίρου διαμάχης καὶ φιλονεικίας τοῦ Πλάτωνος πρὸς τὴν ῥητορικὴν καὶ τοὺς τῆς ῥητορικῆς ἐπιμελητὰς ἐπεσημηνάμεθα καὶ θαυμάζειν ἔχομεν, οὐκ ἀξιοῦντες ἀνεμεσήτως προσέχειν αὐτῷ, τοῦθ' ὡσαύτως, ἢ μάλισθ' ὡς ἀληθῶς, καὶ πολλῷ γε πλέον θαυμάζειν ἔχομεν Ἀριστοτέλους, καὶ τὴν ἀμετρίαν αὐτοῦ κατὰ τοῦ θαυμαστοῦ Πλάτωνος, τοῦ πάσης τῆς σοφίας ἡγεμόνος αὐτῷ, καὶ διὰ πάντων ἀντιπολιτείαν πρὸς αὐτὸν Πλάτωνα καὶ ἀντίπραξιν ξυνορᾷν βουλόμεθα πάντως, καὶ γνώμης οὐ χρηστῆς καὶ ἀφιλοσόφου τιθέμεθα. Πολὺ γὰρ τὸ φιλόνεικόν [1]) τε καὶ μάχιμον Πλάτωνι, καὶ ταῦτα ῥητορικῷ γε ὄντι, καὶ μετ' εὐγενοῦς ἀμέλει τῆς γλώττης κατὰ τῆς ῥητορικῆς καὶ λέγοντι, καὶ πάντα τρόπον αἱρουμένῳ καὶ πράττοντι πρὸς αὐτὴν τἀναντιώτατα, καθὼς εἴρηται. Καὶ οἱ τοῦ ἀνδρὸς διάλογοι πιστοῦνται, καὶ πολύ γε μηδὲν ἧττον, ὅτι μὴ καὶ μᾶλλον ὡς ἀληθῶς τὸ κατὰ τοῦ Πλάτωνος καὶ λόγοις πᾶσι, καὶ τρόποις πᾶσι, καὶ χρήσει πολέμιον Ἀριστοτέλους, ὅς γε καὶ μὴ [2]) πεφυκὼς περὶ τὴν γλῶτταν εὖ, μήδ', ὡς ἔοικεν, ἀσκήσας εὐστομίας

1) φιλόν. C. Aug. φιλόνικον.

2) καὶ μή, C. Mon. καὶ μήν.

ἐνέργειαν ῥητορικός τις εἶναι βούλεται, καὶ περὶ ῥητορικῆς εὖ μάλ' ὡς βελτίστου κατὰ τὸν βίον χρήματος, αὐτόθεν ἀξιοῖ διδάσκαλος εἶναι, καὶ βιβλία τῇ τῶν λόγων τέχνῃ συντάττει. Καὶ ὅπως ἔστιν [3]) αὐτῇ χρῆσθαι νομοθετεῖ, μηδὲν δέον, μήδ' ἐξὸν ἴσως αὐτῷ κάλλιστ' ἐνταῦθα σπουδάζειν καὶ δείκνυσθαι, ἀλλ' ἢ μόνον δι' ἐναντιότητα καὶ πόλεμον πρὸς Πλάτωνα· καὶ τὸ μὴ χάριεν ἐκεῖνος μὲν κατὰ ῥητορικῆς εὐγενῶς τῇ φωνῇ χρώμενος καὶ συγγράφων, οὗτος δ' [4]) ὑπὲρ τῆς ῥητορικῆς διὰ πάντων ἀῤῥητόρευτος τὴν γλῶτταν καὶ τοῦ λέγειν ἀνάσκητος. Καὶ ἴσως μὲν ἑκών γε εἶναι χρώμενος οὕτως ἀποιήτως τε καὶ ἀκόσμως, καὶ τοῦτο διὰ τὸν πρὸς Πλάτωνα πόλεμον καὶ τὴν μάχην τἀναντία κἀνταῦθα πράττων ἐπίτηδ' ἴσως δ' οὔ, ἀλλ' ἄκων γε ὄντως τοῦτ' ἐκεῖνος, καὶ μὴ δυνάμενος ἄλλως ὁπηοῦν χρῆσθαι, φιλονεικῶν δ' ὅμως; καὶ ἅπαντ' ἀντιπράττων Πλάτωνι δῆλος ἐστὶν ὁ ἀνήρ· [καὶ τοῦτ' ἔστιν ἡ πρόθεσις αὐτῷ, ἐν οἷς ἐστὶν ὁ ἀνὴρ,] καὶ τοῦτ' ἐστὶν ἡ πρόθεσις αὐτῷ [5]), ἐν οἷς περὶ ῥητορικῆς βιβλία συντάττει, καὶ τεχνιτεύει τὰ κατ' αὐτὴν, ὡς ἂν κἀνταῦθα τἀναντία πράττων ὁρῷτο. Τί μὲν ἔξω τοῦ καιροῦ, τί δ' οὐ παντάπασιν αὐτῷ Πλάτωνι, καὶ

---

5) ὅπως ἔστιν, C. Mon. ὅπως ἐστίν.

4) δ' ὑπὲρ, Cdd. Aug. et Mon. δ' omittunt.

5) ἐν οἷς — πρόθεσις αὐτῷ, omissa in Cdd. Aug. et Mon. Aberrarunt librarii ab ἐν οἷς ad ἐν οἷς, quod mox sequitur.

μάλιστα ἐναντίως ἔτι κἀνταῦθα χρώμενος, ἣ κατ' ἐκεῖνον ἀλλοτριωτάτη πάσης ἐπιμελείας τῇ φωνῇ, καὶ ἀπλάστῳ πάσης κατ' αὐτὸν ἀστειότητος, τὰ μὲν, ὡς ἔοικε, φύσει, τὰ δ' ἐπίτηδες, ὡς εἴρηται, οὕτω πολὺ φιλονείκως ἐχρήσαντ' [6]) ἀμφότεροι καὶ τοῦ δικαίου καὶ προςήκοντος ἀλογίστως, ὁ μὲν κατὰ τῆς ῥητορικῆς καὶ τοῦ λογοειδοῦς μηδὲν φειδόμενος τά τε ἄλλα καὶ τῇ διόλου τῶν διαλόγων χρήσει, Ἀριστοτέλης δὲ κατὰ Πλάτωνος [7]) μὲν, ἀλλ' ὅμως ὑπὲρ ῥητορικῆς, καὶ οὐδὲν ὅ τί ποτ' ἐν διαλόγοις φθεγξάμενος. Καὶ ταῦτα πλεῖσθ' ὅσα συγγεγραφώς, καὶ φιλαυτίᾳ μὲν ἄμφω τὼ ἄνδρε τὸ νικῆσαν εἰς ταῦτ' ἐστὶν οὐκ ἀσύγγνωστον πρᾶγμα καθάπαξ, εἰ δὲ καὶ ἀσύγγνωστον αὖθις, ἀλλ' Ἀριστοτέλει πλέον ἢ Πλάτωνι. Ὁ μὲν γὰρ ἀδικῶν μὲν ἴσως, προςποιεῖται δ' ὅμως κατολιγωρεῖν, περὶ ἃ μάλιστ' ἐσπούδακεν, ὁ δὲ μηδὲν ἧττον ἀδικῶν τἀληθὲς, ἑαυτοῦ ποιεῖται καὶ σοφίζεται, πῶς ἂν ἐπιεικῶς εἴποιμι; ὧν αὐτῷ μὴ μέτεστι· καὶ ὁ μὲν ἠλόγηκεν, ἃ κέκτηται προδήλως, καὶ ὧν μὴ πολλοῦ τινος ἀξίαν τὴν ζημίαν ὡς ἀληθῶς ἥγηται, ὁ δ' ἀντιποιεῖται τῶν αὐτῷ μὴ προςηκόντων, καὶ ἀξιοῖ θαυμάζειν, ἃ ξύνοιδεν ἑαυτῷ μὴ [8]) περὶ πλείονος ἄγοντι· καὶ ὁ μὲν, οἷς οὐδέν τι κοινὸν ἔχειν νομίζει, τἀναντία [9]) αἱρεῖται, ἄδικα μὲν,

6) ἐχρήσ. C. Mon. ἐχρήσατ'.

7) Πλάτ. Cdd. Aug. et Mon. Πλάτωνα.

8) μὴ, Cod. Mon. καί.

9) τἀναντία, C. Mon. τἀναντί'.

ἀλλ' οὐ καθάπαξ συγγνώμης ἔξω, ὁ δὲ τοῖς φιλτάτοις ἐκ τῶν δικαίων, καὶ οἷς πλεῖστα οἱ κοινὰ καὶ βίου καὶ σοφίας μετ' ἀληθείας κοινὴ πρόθεσις, καὶ οἷς ἀναγκαῖα τιμῆς πάσης ὀφλήματ' ἔχει, πᾶσι τρόποις ἐπανίσταται, καὶ τἀναντία ἐπείγεται πολιτεύεσθαι διὰ πάντων πραγμάτων.

ΚΕΦ. κς'.

Ὅτι τῷ ἁπλῷ καὶ ἀτημελήτῳ τῆς φωνῆς φιλοσοφία οἰκείως ἔχει.

Τό γέ τοι κατὰ φιλοσοφίαν οἰκεῖον ἐν τῷ λέγειν ἁπλοϊκόν τέ ἐστι κατὰ φύσιν καὶ ἄκομψον, καὶ οὐδὲν μή ποτ' ἐπιμελὲς ἠθῶν τε καὶ σχημάτων, καὶ τῆς κατὰ τὰ ῥήματα συνθέσεως ὅλως, κἀνταῦθα δὴ πρῶτον τὸ γενναῖον αὐτίκα φιλοσοφίας ὁρᾶται καὶ ἐλευθέριον, καὶ μή τισιν ἐπίτηδες κόσμοις ἔξωθεν καλλυνόμενον. Οὐ γὰρ μέλει τῆς γλώττης τῷ φιλοσόφῳ καὶ ὁπηοῦν ἄλλως, ἢ ὥστε καὶ φέρειν ἔξω μόνον τοῖς πολλοῖς τὰς τοῦ λογικοῦ κατὰ φύσιν ἀνθρώποις ἐνεργείας, καὶ διαγγέλλειν νοῦ καὶ διανοίας, τοῦτο μὲν προβλήματα θεωρίας, τοῦτο δὲ συμπεράσματα καὶ καρπούς. Ἡ δὲ περὶ τὴν φωνὴν ἐπιμέλεια περίεργον εἶναι φιλοσόφοις μάλιστα δοκεῖ, καὶ πᾶν, ὃ μή ποτ' ἀναγκαῖον, ἐν δευτέρῳ τίθενται, καὶ τοῦ σκοποῦ μόνου τ' εἰσὶ καὶ τοῦ πόθου περὶ τὴν τῶν ὄντων θεωρίαν καὶ ἐπίσκεψιν, καὶ τὴν τοῦ λέγειν ἀνεπίδεικτον χρῆ-

σιν ἐξ ἀνάγκης [1]) προςλαμβάνουσι διακονικῶς κατὰ χρείαν ἀπαραίτητον. Οὐ γάρ ἐστιν [2]) ἄλλως ἀγγέλλειν τἄνδον, οὐδὲ ψυχαῖς μόναις καὶ διανοίαις συνεῖναι καὶ κοινωνεῖν ἀλλήλοις, ὡς ἄρ᾽ ἴσως τὰ θειότερα κατ᾽ οὐσίαν καὶ ὅλως ἐλεύθερα τοῦ σωματοειδοῦς ἡμῖν τε καὶ τοῖς ἔξω σοφοῖς δοκεῖ, ἀλλ᾽ ἀνάγκη μέχρις ἂν καὶ ζῶμεν μετὰ [3]) τοῦ σώματος, καὶ ἀνάγκη [4]) μέχρις ἂν καὶ ζῶμεν μετὰ τοῦ σώματος, καὶ [5]) ἀλλήλοις συζῆν καὶ συνεῖναι, καὶ συνεῖναί γε σωματικῶς. Ταῦτ᾽ ἄρα καὶ χρηστέον γέ ἐστιν, ὅτι δὴ πᾶσα ἀνάγκη τοῖς κατὰ τὸ σῶμα, ἄλλοις τέ φημι πᾶσι πράγμασι, καὶ μηδὲν ἧττον αὐτῇ τῇ [6]) φωνῇ μηδὲν ἐπιποιοῦντας, μηδὲ πράγματ᾽ ἔχοντας, ἐν οἷς μὴ δεῖ. Ἀλλ᾽ ὥςπερ ἐν τῇ κατὰ τόπον κινήσει καὶ κατ᾽ ἀνάγκην ἑκάστοτε χρείᾳ προςχρώμεθα τῇ πονηρείᾳ καὶ τοῖς ποσὶν ἁπλῶς, οὑτωσί πως καὶ οὐδὲν προςπεριεργαζόμεθα τῇ ἀπαραιτήτῳ χρήσει σχήματά τινα καὶ ὑποκρίσεις· ὡσαύτως δῆτ᾽ ἀμέλει καὶ περὶ τὸ λέγειν ἀξιοῖ φιλοσοφία κινεῖσθαι, ἁπλοϊκῶς οὑτωσὶ καὶ κατὰ φύσιν,

1) ἐξ ἀνάγκ. C. Mon. ἐξαναγκῆς, et mox cum Aug. καταχρείαν, iunctim.

2) οὐ γάρ ἐστιν, C. Mon. οὐ γὰρ ἔστιν.

3) μετὰ, C. Mon. κατά. Saepe hae praepositiones confunduntur.

4) καὶ ἀνάγκη — σώματος, desunt in Cdd. Aug. et Mon. Librarius a primo σώματος aberrauit ad alterum σώματος.

5) καὶ, non agnoscit C. Aug.

6) τῇ, Cdd. Aug. et Mon. non habent.

μηδὲν ἔπειτα περινοοῦντας ἐπὶ τῇ φωνῇ καὶ πόνον τινὰ καὶ φροντίδα τῇ κατὰ τὴν ἑρμηνείαν χρήσει προστιθέντας. Καὶ ὁρῶμεν γὰρ οὕτω πάντας, πλὴν ὀλίγων πάνυ τοι τῶν τῇ φιλοσόφῳ προθέσει καθάπαξ ἑαυτοὺς δεδωκότων, οὕτω χρωμένους τῷ λέγειν, καὶ περὶ τὸν νοῦν ὅλως ὄντας, καὶ τὴν τῶν ὄντων πολυπραγμοσύνην, κατασκόπησιν, καὶ κατάληψιν μόνον ἔργον ἔχοντας, καὶ μηδὲν ἐπιστρεφομένους τῆς κατὰ τὴν γλῶτταν χάριτος, καὶ τοῦ κατακοσμεῖν κἀντεῦθεν τοῖς ἔξωθεν τῶν νοημάτων περιβλήμασιν αὐτὰ τὰ νοήματα, καὶ ὡς ἔτυχεν οὑτωσί πως ἁπλοϊκῶς ἐκφέροντας ῥήμασιν οἷςτισι δὴ τὰ ἐκ φιλοσοφίας [7]) καὶ ἀποιήτως κάλλους καὶ χρώματος παντός. Ἐπεὶ καὶ ἴσως ἐργῶδες ἂν εἴη κατ' ἄμφω μερίζεσθαι καὶ ἐπιμελῶς ἔχειν, καὶ κατ' ἄμφω. [8]) γὰρ ἂν εἴη μὴ παντὸς τοῦ προςήκοντος τυγχάνειν, μήδ' ἀνυσίμως χρῆσθαι, ἀλλ' ὥςτε καὶ ἑκατέρου διὰ θάτερον ἀπολείπεσθαι. Καὶ τοῖς φίλοις γὰρ δόγμασιν οὐκ εὐφυῶς ἔχει προςαρμόζειν διάθεσις εὐστομίας ὑπερηρμένη καὶ κρατυνομένη δι' ἐπιμελείας καὶ κομμωτικῆς κομψείας, ἀλλ' ἀπλαστία καὶ κατὰ φύσιν ἀνεπιτήδευτος χρῆσις ἐνεργήματα [9]) προϊόντα καὶ πηγάζοντα οὐκ ἔχει πως οἰκείως πρὸς τὴν ἐν τῷ λέ-

---

7) ἐκ φιλ. Cdd. Aug. et Mon. iunctim ἐκφιλοσοφίας.

8) καὶ — ἄμφω, absunt a C. Aug.

9) χρῆσις ἐνεργ. Inter haec duo verba Cdd. Aug. et Mon. ponunt: ἐπιτρέπει· καὶ τὰ παρὰ φιλοσόφοις (Aug. φιλοσόφης) ἕξεως.

γειν ἁβρότητα, ἀλλ' ἀσυνδύαστα, καὶ ἀσύνδετα ταῦθ' ὡς ἐπὶ πλεῖστον [10])· τὸ μὲν γὰρ αὐτοφυὲς, τὸ δι' ἐπιποίητον, καὶ τὸ μὲν ἐνούσιόν τι χρῆμα, τὸ δὲ δόξης τὲ καὶ φαντάσματος ἤρτηται καὶ ὅλως ἐπιπόλαιον χρωματίζεται [11]). Καὶ τὸ συνάπτειν τἀλλοτριώτατα παντάπασιν οὕτω πειρᾶσθαι, οὔτ' ἐῤῥαστωνευμένον καὶ φθείρειν ἔστιν [12]) ἀμφότερα, καὶ ἀναξίως καὶ ἀνικάνως ἀποδιδόναι τῆς προσηκούσης ἀρετῆς ἑκατέρῳ. Καὶ ἴσως μὲν ἂν εἴη τοῦτο κατὰ τὴν παροιμίαν τὰ ἀσύγκλωστα συνδεῖν, οὐ μὴν φαίη [13]) τὶς ἂν αὖθις ἐξ ἄμμων πλέκειν, καὶ τοῦτο κατὰ τὸν λόγον, σχοίνια. Οὐ γὰρ εἰκάσειε [14]) τὶς τῇ ἀτοπίᾳ τῆς παροιμίας ταύτης κατὰ καιρὸν, εἴ τις πειρῷτο συνάπτειν τὰ ἐκ φιλοσοφίας κραταιὰ καὶ σεμνὰ λεκτῇ δῆθεν συντονίᾳ τὲ καὶ ἐπιμελείᾳ, ἀλλ' ὥςπερ ἂν εἴ τις τὴν τοῦ χρυσοῦ κατὰ φύσιν εὐγένειαν ἐπικοσμεῖν ἀξιοίη γραφικοῖς τισιν ἐκ βαφῶν ἐπανθίσμασιν [15]).

10) ἐπὶ πλ. C. Aug. iunctim: ἐπιπλεῖστον.

11) χρωμ. C. Mon. χρωματίζεσθαι.

12) φθ. ἔστιν, C. Mon. φθ. ἐστίν.

13) φαίη, C. Aug. φαίει.

14) εἰκάσ. C. Mon. εἰκάσεις, in quo etiam desunt: τῇ ἀτοπίᾳ.

15) ἐπανθ. C. Mon. ἐπαθίσμασιν: corrupte.

ΚΕΦ. κζ'.

Θρῆνοι ἐπὶ τῷ [1]) τῶν ἀνθρώπων βίῳ.

Αἴ, αἴ κακῶν ἁπάντων, βίε [2]), παμπλῆρες χρῆμα, κακῶν γόνιμε, κακῶν θέατρον καὶ μάλιστα πάντων ἀστασίας, ὡς ἐντεῦθεν μηδὲν ἡμῖν ἐγγίνεσθαι μὴ τ' αὐτῶν γε τῶν χαλεπῶν, ὥςπερ δὴ καὶ τῶν χρηστῶν μόνιμόν τε καὶ βέβαιον, μήδ' ἀδόκητον, ἀλλὰ πάντ' ἐν προςδοκίᾳ κεῖσθαι τοῖς ξυνορᾷν βουλομένοις, καὶ τούς γε βέλτιστα πειρωμένους τύχης, οὐκ ἀπροςδόκητα ζῆν τῶν χειρόνων ἑκάστοτε, καὶ ἀεὶ τὸν τῆς ζωῆς χρόνον, καὶ μη τῶν δεινῶν ἀπηλλάχθαι λογισμῶν δι' οὐδένα [3]) τῶν ἁπάντων τρόπον, τούς τε δυσχερέσι παλαίοντας πράγμασι καθ' ὁτιοῦν ξυγκύρημα [4]) μὴ ζῆν αὖθις καθάπαξ ἀνέλπιστα τῶν χρηστῶν, ἢν ἄρα καὶ ἀμφότεροι σωφρονεῖν βούλοιντο. Καὶ πρὸς ἄλλα πλεῖστα ὅσαι ἡμέραι καὶ ὅσαι ὧραι δύναιντο βλέπειν παραδείγματ' ἀπ' ἀμφοτέρων, ὧν εἰ μὴ παραπλήσια περὶ ἑαυτῶν ἕκαστος οἷοί τ' εἰσὶ συλλογίζεσθαι, καὶ μὴ δοκεῖν ἀτρέπτως τῶν ἐνόντων ἔχειν, μανία τοῦτο σαφὴς, καὶ βίοτος κτηνῶν ὄντως [5]) ἀλογίστως τοῦ μέλλοντος καθάπαξ ζώντων, καὶ οὐδὲν μή ποτε ξυνορᾷν ἐχόντων, ἢ τὸ παρὸν ἑκά-

1) τῷ, abest a C. Aug.

2) βίε, C. Mon. omittit.

3) δι' οὐδ. C. Mon. δ' οὐδένα.

4) ξυγκύρ. C. Mon. ξυγκήρυκα.

5) ὄντως, Cdd. Aug. et Mon. ὄντος.

στοτε νῦν τῆς ζωῆς. Τίς γὰρ ἀσφάλεια, τίς ἐγγύη καὶ πεποίθησις ἄτρεπτος τῷ λίαν εὐεκτοῦντι μὴ μεταβάλλειν[6]) εἰς νόσον; τίς τῷ βαθεῖ πλούτῳ καὶ ταῖς μακραῖς οὐσίαις μὴ πρὸς πενίαν ἐσχάτην; ὡς δὴ καὶ αὐτὸς ἔγωγ᾽, ὧν προὔλεγον, οὕτω πεπείραμαι. Τίς [7]) τῷ πάντ᾽ εὐπραγοῦντι καὶ περιόπτῳ πρὸς τοὐναντίον ἅπαν, καὶ τῷ τόνδε τινὰ τὸν τρόπον εὐδαίμονι εἰς τὸν ἐναντίον αὐτῷ, ἢ ἄλλον γέ τιν᾽ ὅμως ἐργώδη καὶ βαρυδαίμονα, κἂν εἰ ἐν πλείστῳ χρόνῳ τοῖς καλλίστοις τῆς τύχης ἐνέπαιξέ τις, κἂν εἰ ἐν ὀλίγῳ, πάντως δ᾽ ἐν ὀλίγῳ; τί γὰρ τὸ τῆς ζωῆς μῆκος; Καὶ ὁ μὲν θαυμαστὸς Ἱπποκράτης [8]) τὸν μὲν βίον ἔφησεν εἶναι βραχὺν, τὴν δὲ τέχνην μακράν. Ἀλλ᾽ ὡς ἀληθῶς ἔστι καὶ οὕτως ἐρεῖν· ὡς ὁ βίος μὲν ἅπας βραχὺς, αἱ δ᾽ ἐν αὐτῷ μεταβολαὶ καὶ τοὺς πάμπαν ἀμαθεστάτους οἷαί τ᾽ ἂν εἶεν εὐμαθεῖς ποιεῖν, τοῦ μὴ θαῤῥεῖν ὁτῳοῦν τῶν [9]) ξυντυγχανόντων ὡς ἀξίῳ προσέχειν τὸν νοῦν, ἀλλ᾽ ἀνιδρύτῳ καὶ ἀεὶ πρὸς τἀναντιώτατα πεφυκότι τρέπεσθαι. Καὶ δῆτ᾽ ἐντεῦθεν ἔτι βραχὺς ὁ βίος ἀνθρώποις δοκεῖ, καὶ μάλιστ᾽ ἐξ εὐετηρίας μεταβάλλουσιν ἡςτινοςοῦν καὶ χρονίου γ᾽ ἴσως εἰς δυςπραγίαν, καὶ τύχην τιν᾽ ἐργώδη, ὃ ῥᾷστα πέφυκε γίνεσθαι, καὶ οὐ-

---

6) μεταβ. C. Aug. μεταβάλλων.

7) ἐσχάτην usque ad τίς omnia desunt in C. Aug.

8) Ἱπποκρ. C. Mon. Ἰώσηππος, in ora γρ. Ἱπποκράτης.

9) τῶν, abest a C. Mon.

δὲν ἀντιπαλαμᾶται, οὐδ' ἵστασθαι καρτερὸν καὶ ἄσειστον ἰσχύει πρὸς πᾶσαν μεταβολὴν, ἀλλ' εὐχερῶς εἴκει καὶ μετατίθεται. Καὶ παλαιὸς μὲν λόγος, ὡς ἕνεκεν θανάτου πόλιν ἀτείχιστον οἰκοῦμεν, καὶ ἀστείως μὲν οὗτος εἴρηται καὶ ἀληθῶς ἕνεκεν τῆς ἑτοιμότητος τοῦ θανάτου καὶ ἀδηλίας, καὶ τῆς μὴ δυςκαταγωνίστου ζωῆς ἐν παντὶ τῷ [10]) παραστάντι τοῦ καιροῦ. Καὶ ὁρῶμεν γὰρ ἑκάστοτε τὸ τοῦ θανάτου καθ' ἡμῶν ἔφοδον διὰ τῆς τυχούσης προςβολῆς, καὶ ἀνύσιμον εὖ μάλα τάχιστα καταπολιορκῆσαι καὶ καθελεῖν τὸν ἡμέτερον ἐν τῷ σώματι βίοτον. Ἀτὰρ δὴ παραπλησίως καὶ ἕνεκεν δυςπραγίας ἐκ τῶν βελτίστων, καὶ ἕνεκεν νόσων ἐξ ὑγιείας [11]) ἀκράτου, καὶ ἕνεκεν πάσης κακοδαιμονίας καθάπαξ μετὰ πᾶσαν εὐδαιμονίαν, ἀτείχιστον πόλιν οἰκοῦσιν ἐοίκαμεν, καὶ οὐδὲν ἄρα προςίσταται οὐδ' ἀντιπράττειν πέφυκεν ἀήττητον [12]) πρὸς ἅπασαν κατὰ τὸν βίον ἐπήρειαν. Αἶ αἶ πῶς οὔρια [13]) πλέοντες αὐτίκα αὐτόθεν νῦν μὲν καταπαύομεν, ἀπολιπούσης ἡμᾶς τῆς ἀμείνονος τύχης, νῦν δὲ καὶ δυςπλοοῦμεν καὶ χειμαζόμεθα καὶ ναυαγοῦμεν καὶ ὑποβρύχιοι καταδυόμεθα; Καὶ ἄλλος μὲν ἄν τις ἐρεῖ παν-

---

10) τῷ, C. Mon. non exhibet.

11) ὑγ. Cdd. Aug. et Mon. ὑγιείας.

12) ἀήττ. C. Mon. ἀήττητον καί.

13) οὔρια, nonne οὐρίᾳ; Sed c. 111. dic. οὔρια τρέχειν, et c. 50. iterum οὔρια πλέουσι.

τάπασιν αἴφνης καὶ ἀπροςδόκητα· ἀλλ' ἔγωγε μάλιστα φημὶ, πάλαι δὴ καὶ ἐξ ἀρχῆς ἣν ἀμέλει σωφρονῶμεν ἐν προςδοκίᾳ τῆς ἀβουλήτου τροπῆς ταύτης[14]) βιοῦντες, καὶ λογισμοὺς μετα παντὸς τοῦ εἰκότος καὶ πολλῶν τῶν πειθόντων ὑποδειγμάτων περὶ ταύτης στρέφοντες. Τίς γὰρ κἂν ὀλίγῳ πάνυ τοι τῷ τῆς ζωῆς ἴσως χρόνῳ οὐκ ἐπ' ἄλλων παμπλείστων, εἰ καὶ μὴ πρῶτον μάλιστ' ἐφ' ἑαυτοῦ; καίτοιγε τῶν σπανίων τοῦτ' ἂν εἴη κομιδῇ. Ὅμως δ' οὖν οὐκ εἶδεν ἐπ' ἄλλων, οὐ πεπείραται περὶ τῶν εἰρημένων μεταβολῶν, καὶ τῆς ἀστάτου περιφορᾶς ἐκ τῶν βελτιόνων εἰς τἀναντιώτατα. Καὶ οἷός τ' ἂν εἴη λοιπὸν ἔπειτ' ἐντεῦθεν νοῦν ὅλως[15]) ἔχων τὰ καθ' ἑαυτὸν συλλογίζεσθαι, καὶ οὐκ ἀδοκήτως τῶν ἐκ βελτιόνων χειρίστων, καὶ ἐκ τούτων εἰς τὰ βελτίονα βιοῦν. Αἲ αἴ, πῶς τὸν χθὲς ἄρα καὶ πρὸ τρίτης, καὶ οὐ μᾶλλον πρὸ τρίτης ἡμέρας ἢ ὥρας ἐνίοτε ἔμψυχον καὶ κινούμενον ὁρῶμεν ἄψυχον, ἄπνουν κείμενον κατ' οὐδὲν ἀπεοικότα τοῖς ἐκ λίθων, ἢ χαλκῶν, ἢ ξύλων, ἤ τινος ὅλως ὕλης ἀνθρωποειδέσι τεχνικοῖς εἰδώλοις, μὴ διαίρειν ὀφθαλμοὺς, μὴ χεῖρας, μὴ πόδας παραπλησίως κατ' ἐκεῖνα κινεῖν ἔχοντα, μεμυκότα χείλη, γλῶτταν παντελείῳ σιγῇ κάτοχα, ἃ πρὸ βραχέος ἐφθέγγετο, μὴ καθάπαξ ἐπαΐοντα λόγων, ἢ ψόφων, ἢ ἐπᾳσμάτων, ἢ κρότων, ἢ θρήνων τῶν

14) ταύτης, C. Mon. ταύτας.

15) ὅλως, abest a C. Aug.

κατ' αὐτοῦ. Τὸν πρὸ ὀλίγου, πῶς ἂν εἴποι τις, εὐαισθητότατον, καὶ ἴσως γε δεινὸν ἐντυχεῖν καὶ χρῆσθαι δύσκολον μηδὲν εὐωδίας, μὴ δυσμοδίας τὸν πάνυ τοι πλεῖστον τούτοις ἁλώσιμον, τὸν εὐπάρυφον, τὸν πάσῃ βλακείᾳ θρυπτόμενον, τὸν μικροῦ καὶ ἀτεχνῶς εἰπεῖν ἄαπτόν τε καὶ ἄψαυστον, πᾶσιν αὐτόθεν εὐπεριφρόνητον, καταλειπόμενον ὑπὸ πάντων ἐπιτηδείων τε καὶ φιλτάτων συνήθων, δεσποτῶν, οἰκετῶν, ἐχθροῖς ἴσως γέλωτα μὴ τὰ οἰκεῖα καθορῶσιν ἐν ἐκείνῳ, ἀλλ' ἀβλεπτοῦσιν ὑπὸ πάθους εἰς ἑαυτοὺς καὶ τὴν φύσιν. Καὶ ὡς ἄρα δείσει μετ' ὀλίγον παραπλησίως καὶ αὐτοὺς κεῖσθαι, καὶ τὰς αὐτὰς διδόναι τοῖς διαφόροις χλεύης ἀφορμὰς καὶ ὀλιγωρίας, καὶ οὐδὲν μήποτ' αὐτοῖς [16]) μονῆς ἐχέγγυον, καὶ οὐ καθάπαξ, ἐρεῖ τις, ἢ μέχρι καὶ εἰς μήκιστόν τι ζωῆς καὶ βιώσεως, ἀλλ' ἢ μέχρι καὶ εἰς μήκιστόν τι ζωῆς καὶ βιώσεως [17]), ἀλλ' ἢ μέχρι καὶ τῆς αὐτῆς ἡμέρας, καὶ ἕωθεν εἰς νύκτα φημί. Αἴ αἴ, ὅςτις δὴ ταῦτα συνορῶν βιοῖ καὶ συλλογιζόμενος· αἴ αἴ μάλισθ' ὅςτις μὴ ὁρῶν ὅλως ταῦτα, μὴ δὲ συλλογιζόμενος. Καὶ τί τούτου γένοιτ' ἂν ἀθλιώτερον ἄλλο; τίς δυςτυχία τοσαύτη, τίς ἀμαθία, τίνων ἀλόγων ἧττον δὴ ζώων; τίνων ἀνδρεικέλων καὶ μορφαῖς μόνον ἀνθρώπων ἐξ ὕλης δή τινος, ὡς ἔφην, καὶ πάσης ἐκτὸς συναισθήσεως, καὶ ἴσως [18]) ἐπὶ

16) αὐτοῖς, Cdd. Aug. et Mon. αὐτῆς.

17) ἀλλ' ἢ — βιώσεως, desunt in Cdd. Aug. et Mon.

18) ἴσως, non agnoscit C. Mon. deinde habet iunctim καταπλέον.

πλέον διαρκεστέρας, ἢ κατὰ τὴν αὐτῶν οὐσίαν τῶν μὴ ξυνιέντων οὕτω, τῶν ἔτι βιούντων, ὡς εἰπεῖν, νεκρῶν, ἢ κατ' αὐτοὺς τοὺς τῶν [19]) *προτέρων ζώντων νεκροὺς, καὶ οὐ μετὰ πολὺ κεισομένων νεκρῶν; ὅσῳ τὰ μὲν ἐπιμήκιστον ὡς τὰ πολλὰ παραμένει, καὶ οἷά τε καθυπερτερεῖν μέχρι πολλοῦ λώβης ἁπάσης, καὶ ζημίας καὶ σήψεως, οἱ δ' ἐκείνων νεκροὶ μετα βραχὺ σκωλήκων* [20]) *ὑπὸ σήψεως καὶ διαφορᾶς ἀφορμὴ ζωῆς καὶ βιώσεως, καὶ πάσης ἀηδίας καὶ δυςχρηστίας, καὶ αὖ οὐ μετὰ πολὺ* [21]) *χοῦς ἀδιάρθρωτος καὶ ἀσήμαντος παντὸς εἴδους, καὶ πατούμενος, καὶ φυρόμενος, καὶ πρὸς σκέπην ἄλλων καὶ χρείαν ἡντιναοῦν* [22]) *συμπλαττόμενος καὶ καταδημιουργούμενος. Ταῦτα καὶ παραπλήσι' ἕτερα πλεῖστα* [23]) *ἔξεστι λέγειν, καὶ εἴρηταί γε πλεῖστα καὶ πλείστοις παλαιοῖς τε καὶ νέοις τοῖς καθ' ἡμᾶς τε καὶ τοῖς ἐκτὸς, καὶ εἰρήσεταί γε τὸν ἀεὶ χρόνον ὡσαύτως. Ἀλλ' ὅσα γε καὶ εἴρηται καὶ εἰρήσεται περὶ τούτου, βραχία πάντα πρὸς τὸν σκοπὸν, καὶ οὐχ ἱκανὰ τῷ πράγματι. Καὶ πάντες οἷοί τε λόγοις φιλοσοφεῖν ἐν τούτοις, καὶ πάντες ἐν τοῖς αὐτοῖς τρίβειν καὶ λέγειν ἴσως*

---

19) *τῶν*, abest a C. Mon.

20) *σκωλήκων*, falso C. Mon. *σκωλύκων*.

21) *μετὰ πολὺ*, Cdd. Aug. et Mon. *μεταπολύ*.

22) *καὶ χρ. ἡντ.* Cdd. Aug. et Mon. *ἡνβ(τ)ιναοῦν καὶ χρεία*. In C. Ciz. primum erat scriptum *ἡντ. καὶ χρείαν*, sed a librario super *χρ.* erat positum *α* et super *ἡντ.* *β*.

23) *πλεῖστα*, C. Mon. *πλεῖστ'*.

εὔποροι περὶ τούτου, καινὰ τῶν ξυμπιπτόντων ἑκάστοτε διδασκόντων καὶ κινούντων ἅπαντας εἰς τοὺς αὐτοὺς λογισμοὺς, ἢ καὶ νέους ἴσως ἐπιλογισμούς. Καὶ μὴν ἅπαντα βραχέ', ὡς ἔφην, ἢ πρὸς τὸ δίκαιον τοῦ πράγματος, καὶ ξυνορᾷν μὲν ἔχομεν οὕτω, καὶ λέγειν ἴσως, εἰ καὶ μὴ διαρκῶς, λέγειν δ' ὅμως ἐνταῦθα πλεῖστα· ἐχόμεθα δὲ καὶ αὖθις οὕτω τοῖς παροῦσι καθάπαξ, καὶ ὡς ἀτρέπτων αὐτῶν ἕκαστος ἐχόμεθα, καὶ πράττομεν ἐναντί' ἢ φρονοῦμεν καὶ λέγομεν, καὶ ὧν κατελέγχειν τὸ σαθρὸν ἀξιοῦμεν. Καὶ οἷοί τ' ἐσμὲν συνορᾷν καὶ παρορᾷν [24]) καὶ παρατρέχειν τὰ μηδὲν ὑγιὲς μήδ' ἀσφαλὲς ἔχοντα, ἀλλὰ καθάπαξ ἐπίνοσα, καὶ περιφρονεῖσθαι, λυπηρῶς μὲν ἴσως [25]), περιφρονεῖσθαι δ' ὅμως δίκαια, ὡς ἑστώτων ἀντιποιούμεθα, καὶ περὶ αὐτὰ πάνυ τοι σπουδάζομεν, ἑκόντες ὄντες εἴτ' ἄκοντες, οὐκ οἶδ' ὅ, τι πότ' ἐρῶ, καὶ δι' ὧν πράττομεν, ἀπιστοῦμεν, οἷς ξυλλογιζόμεθα καὶ ξυνορῶμεν εὖ ἐφ' ἡμῖν αὐτοῖς, καὶ ἄλλως ἡμῖν, ἐξ ὧν ὁρώμεθα προσηρτημένοι τῷ βίῳ καὶ τῇ ζωῇ ταῦτ' ἔχειν, ὡς εἰπεῖν, δοκοῦμεν. Καὶ καλῶς ἴσως φρονοῦντες καὶ ὑπὲρ τοὺς πολλοὺς, κατὰ τοὺς πολλοὺς ἅπαντες ξυνεχόμεθα τοῖς αὐτοῖς καὶ παραπλησίως χρώμεθα, καὶ κρίνοντες, ὡς τῷ παντὶ νοσοῦμεν βιοῦντες, καὶ κατ' οὐδὲν ἀξιολόγοις σύνεσμεν. Εἶτα δῆτα ὀγκούμεθα,

---

24) καὶ παρ. omisit C. Aug.

25) ἴσως, C. Aug. ἴσως καί.

φησὶν ἡ ποίησις. Αἲ αἲ τί τούτου γένοιτ' ἂν ἄλλο θέαμα θαυμάζειν μᾶλλον ἄξιον, ἢ μᾶλλον ἐρεῖν οἰκειότερον, χλεύης μᾶλλον καὶ γέλωτος ἄξιον;

ΚΕΦ. κή.

Περὶ τοῦ ῥητοῦ τοῦ λέγοντος· οὐκ ἔστιν εὑρεῖν βίον ἄλυπον ἐν οὐδενὶ, καὶ περὶ τῶν κατὰ τὸν βίον μεταβολῶν, καὶ περὶ τῶν κατ' αὐτὸν τὸν 1) συγγράφοντα.

Ποτέρῳ τὶς ἂν νείμαι μάλιστα τὸ περιφερόμενον τόδε ῥησείδιον 2)· οὐκ ἔστιν εὑρεῖν βίον ἄλυπον ἐν οὐδενὶ πάντοθεν ἐφορωμένῳ παναληθὲς τῷ τοῦ σώματος εὐολίσθῳ τὲ καὶ σφόδρ' εὐτρόπῳ 3) πρὸς πᾶν ἀργαλέον ἐκ παντὸς τοῦ ξυμπίπτοντος, ἢ ταῖς ἐκ τῆς τύχης ἐπιβουλαῖς, καὶ τῷ ῥᾴστῳ πρὸς μεταβολὰς ἐκ βελτιόνων εἰς χείρονα, ᾧ διαπαντὸς 4) ἄνω καὶ κάτω στεφόμεθα, καὶ ἀνιαρῶς ὡς μάλιστα συμφερόμεθα, ἢ καὶ κατ' ἄμφω προσήκειν οἰητέον 5) ἡμῖν ἐστὶ μάλιστα τὸ λόγιον. Καὶ γὰρ ἐξ αὐτῆς τῆς εἰς τὸν βίον ἀρχῆς καὶ προόδου ταῖς κατ' ἀμφότερα δυσχερείαις τὲ καὶ μεταβολαῖς παλαίομεν παραμέρος τὲ καὶ ἅμα, καὶ νῦν μὲν ἔνθεν μᾶλλον,

---

1) τὸν, C. Aug. ignorat. Caeterum Th. Reinesius margini adscripsit: *vide infra c.* 117.

2) ῥησειδ. sic Cdd. nostri, alii ῥησίδιον. cf. Zonarae Lex. ad v.

3) εὐτρ. C. Mon. ἐντρόπῳ, et mox ἐκπαντὸς, iunctim.

4) διαπ. C. Mon. διὰ παντός.

5) οἰητ. C. Aug. οἰκτέον: η et κ saepe confusa sunt.

νῦν δὲ ἔνθεν ἐκ θατέρου, καὶ οὐκ οἶδ' ὅστις ἂν κάλλιστ' ἐν βίῳ τῷ παντὶ καὶ ἀπόνως παντάπασιν ἀπήλλαξε τῆς ἑνός γε, καὶ ὁτουοῦν ἀμφοῖν προσβολῆς [6]), ἢ πάντων ἐῤῥωμενέστατος γενόμενος καὶ δόξας, ἢ πάντων εὐδαιμονέστατος, καὶ ταῖς εὐπραγίαις τῆς τύχης τῷ βίῳ συνακμάσας ἄσειστος. Τίνι γὰρ καὶ ξυνέτυχε τῶν ἀπὸ τοῦ παντὸς αἰῶνος ἀνθρώπων τὸν ἅπαντα τῆς ζωῆς χρόνον ἐν ἀστασιάστῳ [7]) γαλήνῃ βιῶσαι τοῦ σώματος, καὶ μὴ καθάπαξ πεῖραν ἡντιναοῦν ἐπίνοσον αὐτοῦ σχεῖν, κἂν εἰ ἐπὶ πλεῖστον εὐεκτῶν ἔσχε κατ' αὐτὸ, καὶ ῥώμῃ προέχων, ἢ φύσει, ἢ ἀσκήσει τινὶ, ἢ καὶ ἀμφοτέροις μάλιστα; Τίνι δὲ τῶν ἀπὸ τοῦ παντὸς αἰῶνος αὖθις ἀνθρώπων πᾶσα τύχης ξυνέλαχε κατὰ τὸν βίον εὐμάρεια, καὶ ἀδιάδοχος τῆς εἰς τἀναντία μεταβολῆς ἐκ τῶν ἡδίστων τε καὶ χρηστῶν, καὶ παρέμεινεν εἰς τέλος ἀζήμιος; πάντα τρόπον ὡς ἔστιν εὖ χρῆσθαι καὶ πάντα πράγματα, ἢ τοῦτο, καὶ μανία γε ὅλως ἐν νῷ θέσθαι καὶ προσδοκῆσαι τύχης εὐφορίαν καὶ δρόμον ἄτρεπτον, ἢ μήδ' ὁπηοῦν ὀκλάσαντα καὶ πάλιν νοστήσαντα πρὸς τἀναντία, καθάπερ ἀπὸ νύσσης τινὸς, ἢ κράτος [8]) ὑγείας ἀκάματον πάσης ἐπηρείας διαρκέστατα περιγενόμενον. Ἀλλ' ὁρῶμέν γε καὶ τοὺς ῥωμαλεωτάτους αὐτοὺς καὶ τοὺς εὐγενεῖς

6) προσβ. C. Mon. προσβολοῖς, male.

7) ἐν ἀστασ. C. Mon. ἀναστασιάστῳ, corrupte.

8) κράτος, ex correct. Cdd. Aug. et Mon. κράτους.

ἅπασαν κομιδῇ τὴν τοῦ σώματος ἕξιν ἀποβάλλοντας ῥᾷστα, τὴν φυσικὴν ἀκμὴν καὶ τὸ θάῤῥος, καὶ ἡττωμένους τοῦ προςτυχόντος ἐνίοτε, καὶ οὓ παρέδραμον ἄλλοι, καὶ ἴσως οὐ παραπλησίως εὖ τῆς σωματικῆς ἐντονίας ἔχοντες. Καὶ ὁρῶμέν γε τὸν χθὲς ἀκράδαντον ἑστῶτα, μάλιστα δὲ καὶ πολλῶν τῶν χρόνων πάσης ἀήττητον συμφορᾶς τοῦ σώματος, νῦν κατακείμενον καὶ κάμνοντά 9) γε ὁτιοῦν τῶν τοῦ σώματος, ὃ τέως ἐῤῥωμενέστατον ἑαυτῷ, ἢ καὶ πᾶσαν τὴν τοῦ σώματος ἕξιν ἀλλάξαντα, καὶ μυρίαν διαμειψάμενον ἐργώδη τροπὴν, καὶ πάντ᾽ ἐπίνοσα βιοῦντα τὸν πάντ᾽ ἀπαθῆ τὰ τοῦ σώματος δυςχερῆ πόλλ᾽ ἔτη συνεχῶς δόξαντα· καὶ μὴν ἔτι τὸν χθὲς ἐσχάτῃ πενίᾳ συζῶντα, καὶ τῶν εἰς τὴν πρώτην καὶ ἀναγκαστὴν τροφὴν ἐνδεῆ, ἀθρόον ὀλβιώτατον ἔκ τινος ἀδοκήτου τύχης καὶ συμβάματος, ἢ κλήρων, ἢ ἐμπορίας, ἢ αὐτοματισμοῦ καθ᾽ εὕρησιν, ἢ δεσποτικῆς χορηγίας, ἢ ὁπηοῦν ὅλως, καὶ ἄλλοις 10) αὐτὸν ἐπαρκοῦντα μετ᾽ ἐπιδείξεως, καὶ ἁβρῶς ἀγόμενον τρυφαῖς καὶ περιβολαῖς καὶ πομπείαις, καὶ κόλαξι, καὶ καθυπουργοῦσι πλείστοις, καὶ δεδιόσιν ἔτι πλείστοις, καὶ τἀκείνου σεμνύνουσι· καὶ τὸν χθὲς ἄτιμον καὶ ἐν καρὸς αἴσῃ 11) περιφρονούμενον,

---

9) κάμνοντα, sic et Aug. sed Monac. κάμνητα, mendose.

10) ἄλλοις, Cdd. Aug. et Mon. ἄλλος.

11) αἴσῃ, C. Mon. male ἴσῃ. De ἐν καρὸς αἴσῃ vid. Hemsterhus. ad Aristoph. Plut. p. 6. ed. Lips. et Heyn. ad Hom. Il. IX, 378.

καὶ οὐδὲ τριῶν ὀβολῶν ἀξιούμενον, σήμερον περικλέϊστον καὶ περιβλεπόμενον, καὶ τὴν ὀφρὺν μετὰ τῆς τύχης [12]) αἴροντα, καὶ τοὺς πρὸ τρίτης κοινωνοὺς τῆς μικρᾶς τύχης οὐδ' ἀξιοῦντα προςβλέπειν, οὐδὲ προςφθέγγεσθαι. Ἀτὰρ δὴ καὶ ἀνάπαλιν ἔτι τὸν εὐδαιμονέστατον ἀνθρώπων ἐν πολλοῖς ἴσως ἔτεσι καὶ συμβιώσαντα πᾶσιν ἀγαθοῖς ἀνθρωπίνοις, καὶ πλούτῳ, καὶ δυναστείᾳ, καὶ πᾶσιν εὐεκτηρίας πράγμασιν, αἴφνης εἰς ἅπαν τοὐναντίον μεταβαλόντα, καὶ πᾶσαν βίου δυςχέρειαν. Καὶ οὐδὲν ἐν τούτοις ἑστὼς, οὐδ' ἀδόκητον τοὐναντίον ἔχον, ἀλλὰ πάντα μεταπίπτει τοῖς ἀνθρώποις, καὶ εἰς τἀναντία μεταβάλλει καὶ μεταφέρεται· καὶ τὰ μὲν ξὺν λόγῳ μὴν ἔστιν οὔ, τὰ δ' οὔ, καὶ μετ' ἀλογίας κρατούσης ὡς μὴ ὤφελε, καὶ φαῦλα ἐκ χρηστῶν [13]), καὶ τἀναντία ἐκ φαύλων. Καὶ ὥςπερ ἐν κύβοις ἄλλοτ' ἄλλως ἔχει, καὶ πρὸς τἀναντία ῥᾷστα τρέπεται, τοῖς μὲν μετρίως μεταβάλλοντα καὶ κούφως, καὶ, ὡς εἰπεῖν, ἀσημάντως, ὡς μὴ δὲ τοὺς ἐκ γειτόνων σχεδὸν αἰσθέσθαι, τοῖς δὲ καὶ ἐπιδηλότατα, καὶ μετὰ κρότων παμπλείστων σαλπίζοντα πᾶσιν ἀτεχνῶς ἀνθρώποις ἐπ' ἀμφότερα. Καὶ καινῶν ἐστι δραμάτων ὁ χρόνος χορηγὸς, καὶ προβάλλεται παντοίαν σκηνὴν καὶ χρῆσιν ἐφ' ἡμῖν, νῦν μὲν τὰ, νῦν δὲ τὰ φέρων εὖ τε

---

12) τύχης, scriptor C. Aug. a τύχης vsque ad seq. τύχης aberrans omnia interposita omisit.

13) ἐκ χρηστῶν, Cdd. Aug. et Mon. iunctim ἐκχρηστῶν, item mox ἐκφαύλων, et postea ἐκγειτόνων.

καὶ μὴ, καὶ δικαίως ἴσως καὶ μὴ, εἰ δ' ὅμως ἐντὸς τῶν τῆς προνοίας ἅπαντα λόγων, καὶ πολὺ τοῖς ἄνωθεν ψηφίσμασι καὶ σκοποῖς ὁμαλῶς, εἰ καὶ ἡμῖν ἀγνοεῖται λόγος τοῦτ' ἄλλος. Κἀγώ γε οὐκ ἄλλως λέγειν ἔχοιμ' ἂν ἀμηγέπη σωφρονῶν ἐνταῦθα, καὶ μὴν καὶ [14]) πεπείραμαί γ' αὐτὸς ἔγωγ' ἐπ' ἐμαυτοῦ χρησάμενος οὕτως, ἠμὲν καὶ χερείοσι τύχης, ἠδὲ καὶ ἐσθλοῖς, καὶ οὐκ ἀκύμαντά γέ μοι καὶ κατὰ γαλήνην ὁμαλῶς ἐξ ἔτι [15]) παιδὸς ὁ πλοῦς ὁ αὐτὸς τοῦ βίου, οὐδ' ἐξ ουρίου τὴν ἀρχὴν εὐθὺς, ἀλλὰ πονήρως μὲν ἔσχον ἐκ προοιμίων ὅμως ἄρα, καὶ τεταλαιπώρηκα τῇ παιδείᾳ τὲ καὶ τῷ λόγῳ [16]) εἴκοσι γενομένος ἔτη, καὶ πρὸς τὰ μὲν ἑκὼν, καὶ ὁ πόθος ἦγε εὖ μάλα, τὰ δὲ καὶ ἄκων οὐκ ἔχων ὅ, τι [17]) καὶ χρῴμην [18]) ἄλλως· καί μοι τῷ πόθῳ γίγνεται, πῶς ἂν εἴποι τις; ἕρμαιον τὰχ τῆς τύχης, καὶ συνὼν τηνικαῦτα ἔγωγε λογισμοῖς πλείστοις δύςελπις περὶ τῶν κατὰ τὸν βίον κἀντεῦθεν [19]) ὅλως ἐφερόμην, καὶ προςεῖχον εὖ μάλα τοῖς λόγοις, καὶ τῇ περὶ τούτους ἐπιμελείᾳ τὰ λυποῦντα ἐκούφι-

14) καὶ, omittit Bloch. p. 109 et addit, ea, quae Theodorus hic de sua ipsius vita narret, aptissime congruere cum iis, quae commemoret Niceph. Gregoras L. 7.

15) ἐξ ἔτι, Cdd. Aug. et Mon. ἐξέτι, vti deinde ἐξουρίου et ἐκπροοιμίων.

16) λόγῳ, C. Aug. λέγω: Bl. λέγειν.

17) ὅ, τι, Bl. ὅτου.

18) χρῴμην, sic et Bl. verum C. Germ. χρῶμαι.

19) κάντ. Bl. ἐντεῦθεν.

ζον, εἰωθὸς οὕτω γίγνεσθαι καὶ πείθεσθαι πᾶς ἕτοιμος, ὅςτις ἄρα πεπείραται, καὶ χρηστοτέρων[20] *ἐγιγνόμην ἐλπίδων ὅπως ἄρα*[21]*, καὶ μάλιστ᾽ ἀνύτων ὅτι δήποτε περὶ τὴν σπουδὴν ταύτην, ἧς ἄρα γεννικῶς εἰχόμην, καὶ μετ᾽ οὐ πολλοὺς τοὺς*[22] *χρόνους οὐκ ἀπόνως τὲ καὶ ἀλύπως σταδιοδρομήσας τῷ βίῳ τὲ καὶ τῇ παιδείᾳ παρὰ δόκησιν ἴσως αὐτίκα μεταβάλλω τὰ τοῦ βίου δυςχερῆ, καὶ τὸ δὴ θαυμάσιον ὑπὸ τῷ αὐτῷ*[23] *δεσπότῃ*[24]*, καὶ μηδὲν μήποτ᾽ ἐπαλλάξας*[25]*, οἷα γίγνεσθαι κατ᾽ ἀνθρώπους εἴωθεν ὑπ᾽ ἀντιπάλων*[26] *ἀλλήλοις δεσποτῶν τοὺς ἀρχομένους, ὡς τὰ πολλὰ νῦν μὲν πράττειν εὖ, νῦν δὲ τοὐναντίον, ἢ καὶ ἀνάπαλιν πᾶσα ἀνάγκη ἐκ χαλεπῶν ὥντινων εἰς τὰ ἐναντία ἀγόντων πνευμάτων*[27]*. Καὶ ὁρῶμέν*[28] *γε οὕτω μάλιστ᾽ ἐπὶ τῶν ἀνθρωπίνων καὶ τἀναντία πάντως*[29] *ἐναντίως*

20) *χρηστοτ.* Bl. *χρηστότερος.*

21) *ὅπως ἄρα — εἰχόμην*, desunt ap. Bloch.

22) *τοὺς*, Bl. non agnoscit.

23) *αὐτῷ*, sic et Bl. sed Cdd. Aug. et Mon. omittunt.

24) *δεσπ.* *imperatore Andronico Palaeologo.* Bl.

25) *ἐπαλλ.* Bl. *ἐναλλάξας.*

26) *ὑπ᾽ ἀντ.* C. Mon. *ὑπαντιπάλλων*, male: Aug. iunctim *ὑπαντιπάλων.*

27) *ὥντινων — πνευμάτων:* omisso *ὥντ.* exhibet Bl. cum Cdd. Aug. et Mon. *ἄρα πρὸς εὐετηρίαν* (Mon. et Aug. *εὐετηρίας*) *μεταπείθεσθαι τῶν ἐναντίων, εἰς τὰ ἐναντία ἀγ. πνευμάτων.*

28) *καὶ ὁρῶμεν* vsque ad *καὶ μὴ* desunt ap. Bl.

29) *πάντως*, C. Aug. *πάντων.*

πέφυκε δρᾶν, καὶ ἀφορμὰς εὐπλοίας διδόναι, καὶ μή. Ἀλλ' ἔμοιγε κἂν τούτοις ὁ χρόνος καινουργὸς ἔτι, καὶ τοῦτο γὰρ εἴθισται τῇ φορᾷ τῶν πραγμάτων, καὶ ταῖς τῆς τύχης εἰς πάντα μετακλίσεσι. Καὶ κατὰ τὸν αὐτὸν δεσπότην ἐν προοιμίοις οὐχ ἡδέως ἀψάμενος τοῦ βίου, καὶ τρίψας οὕτω πρὸς βραχὺ, καὶ κατ' ὀλίγον ἐτῶν ἀριθμῶν [30]), ἔπειτα προςλαμβάνομαί γε αὐτῷ δόξας ὅ τι πότ' ἠνυκέναι περὶ [31]) τοὺς λόγους, καὶ πλεῖν ἴσως ἢ [32]) κατὰ πολλοὺς ἔτ' ἐλπίδας ἐν τούτοις ὑποτείνων, ἐξ ὧν φθάσας ἐμαυτοῦ πεῖραν δέδωκα. Καὶ τὸ μὲν πρῶτον ἦν ἐμοὶ λόγων κλέος αἴτιον εὐμαρείας τινὸς [33]) εἰς τὸν βίον ὑπ' ἄκρας φιλοκαλίας δεσποτικῆς καὶ προθέσεως εὐγενοῦς περὶ τὴν σοφίαν καὶ τοὺς ἐραστὰς τῆς σοφίας, καὶ οὐ πολὺ λειπομένους [34]) τῶν κατ' αὐτὴν ἀγαθῶν, τὰ δ' ἑξῆς οὐκ ἔχω λέγειν ἴσως ῥᾷστα εὐλαβούμενος καὶ φεύγων, ὡς εἰκὸς, ἀδραστείαν, ὡς πεῖραν ἐμαυτοῦ δέδωκα περὶ τὰ κοινὰ τῷ δεσπότῃ, ὅπως ἐπεδίδου μοι τὰ τῆς ἀγαθῆς τύχης συνεχῶς ἐκεῖθεν ὁσημέραι καὶ προὐχώρει πάντα τρόπον εἰς τἄμεινον [35]) μέχρι

30) ἀριθμῶν, sic nostri Cdd. sed Bl. ἀριθμόν, rectius.

31) περὶ, sic et Bl. verum C. Mon. πρός.

32) ἴσως ἢ, C. Mon. tantum ἴσως.

33) τινὸς, deest ap. Bloch.

34) λειπομ. Cdd. Aug. Mon. et Bl. λειπομένου, qui vero omittit οὐ.

35) τἄμειν. Bl. εἰς ἄμεινον: C. Aug. τέμεινον.

καὶ νῦν· θεὸς δ' εἴη μοι καὶ περὶ τοῦ μέλλοντος εὐμενής τε καὶ ἵλεως, καὶ πομπεία δόξης καὶ πλούτου ῥοαὶ πάντοθεν, καὶ κοινωνία γένους τῷ δεσπότῃ περὶ τἀμὰ φίλτατα, καὶ κήδη σεμνὰ καὶ πλεῖστα, καὶ κοινωνία μάλιστα περὶ τὰ πρακτέα, καὶ ὅλως ἐν ἀγαθοῖς τε καὶ δυσχερέσι, καὶ κατ' ἄμφω γὰρ συνῆν καὶ συνελάγχανον [36]) τῶν ἀπὸ τῆς τύχης καὶ τῶν πραγμάτων πᾶσα ἀνάγκη. Καί μοι ἔδωκεν ὁ θεὸς ἀπολαῦσαι φιλανθρώπου καὶ φιλοκάλου δεσπότου, καὶ δόξαι κοινὰ πρὸς αὐτὸν ἔχειν κατά τε [37]) γνώμην καὶ βίου πρόθεσιν, καὶ ἀεὶ πεῖραν διδοὺς ἀεὶ πλεῖον εἶχον εἰς δεῦρο, καὶ ἀπεφερόμην ἐκ βελτίστων βελτίω. Τοιγαροῦν ἐπὶ τῶν κοινῶν ὑπ' αὐτοῦ προβληθεὶς, εἰ δή τις καὶ ἄλλος ὑπ' ἄλλου δεσπότου ποτὲ, καὶ λεγόντων ἄλλοι καὶ λέγουσιν ἴσως καὶ λέξουσι, κἀμοὶ φείδεσθαί γε πάντως εὔλογον, καὶ μάλιστα περὶ τῶν οὑτωσὶ δήλων. Οὕτω δ' οὖν ἔχων ἀνάγκην πᾶσαν εἶχον εὖ τε πράττοντος τοῦ δεσπότου κοινῶς καὶ αὐτὸς πράττειν εὖ, καὶ δυσχερείᾳ πραγμάτων χρωμένου καὶ αὐτὸς ἀηδῶς ἔχειν, καὶ βιοῦν ἐν κινδύνῳ. Καὶ ξυμβέβηκε γὰρ τὰ Ῥωμαίων πράγματα κομιδῇ νοσῆσαι καὶ δυσχερέσι τύχαις πάντοθεν τῶν ἐκ γειτόνων ἐχθρῶν, καὶ πόῤῥω γε μὴν [38]) καὶ οἴκοι φαύλων καὶ ἀλιτηρίων ἀνθρώπων ἐν

36) συνελάγχ. Bl. mendose ξυνελαγχάνειν.

37) τε, Bl. non habet.

38) μὴν, Bl. μέν.

κλύδωσι μεγάλοις γενέσθαι, τοῖς νέοις τούτοις καθ' ἡμᾶς χρόνοις καὶ πολλοῖς συνεχῶς ἑξῆς χρόνοις ἐκ διαδοχῆς [39]) ἄλλων ἐπ' ἄλλοις ἐπανισταμένων κυμάτων καὶ χαλεπῶν ξυμφορῶν, ὥςτε καὶ μικροῦ πρὸς τοῖς ἐσχάτοις γενέσθαι δίς που καὶ τρὶς, ἢ καὶ [40]) πλεῖν ἔτι, καὶ προδηλότατα ἀπογνώσεως ἀμέλει τελείας ἔγγιστα γενέσθαι τὴν ἡγεμονίαν ταύτην, πρώτην τῶν ἐν οἰκουμένῃ καὶ πᾶσιν ἀνθρώποις, καὶ πολὺ τὸ διὰ πάντων εὐγενὲς ἔχουσαν, καὶ πᾶσι πράγμασι κρατοῦσαν, καὶ ἀρχαιότητι σεμνὴν ἐκ μακροῦ, εἰ μὴ χεὶρ θεοῦ διέσχεν ὡς ἀληθῶς ἐν τοῖς ἐσχάτοις πολλάκις ἐκ τῶν ἐμφανεστάτων κινδύνων καὶ τελευταίων αὐτήν τε ῥυσαμένη καὶ τὸν ἐπ' αὐτῆς ἄρχοντα τοῦτον ἐμὸν δεσπότην, οὐκ οἶδ' ὡς εἴ ποτε καὶ ἄλλοτέ τις ἄλλος πρὸς θεὸν ὅλον ἑαυτὸν καὶ τὰ [41]) κατὰ τὴν ἀρχὴν ἀναθέμενον, καὶ πάντα ἐν πᾶσιν ἐκεῖθεν ἐξηρτημένον, καὶ θεοσεβείᾳ καὶ χρηστοῖς τρόποις χαίροντα, καὶ σοφῇ καὶ γαληνῇ διοικήσει πᾶν τὸ γιγνόμενον ἐπιμελῶς ἀποδιδόντα, καὶ τὴν ἡγεμονίαν ἄγονθ' οὕτω τῇ τοσαύτῃ τῶν δυςχερῶν ξυντυχίᾳ πόλλ' ἑξῆς ἔτη συνεχῶς μὴ κατασεισθέντα καθάπαξ ταῖς προςβολαῖς καὶ πολιορκίαις τῆς τύχης, ἔξωθέν τε, ὡς ἔφην, καὶ τῶν οἴκοι μάλιστα. Ἀλλ', ὅπερ ἔλεγον, κἀμοί γε πᾶσα ἀνάγκη

39) ἐκ διαδ. Cdd. Mon. et Aug. iunctim, vt fere semper, ἐκδιαδοχῆς.

40) καὶ, C. Mon. non habet.

41) τὰ, deest in C. Aug.

συγκινδυνεύειν ἐν τούτοις ἦν, καὶ τἄσχατα 42) προςδοκᾶν κατ' ἐμαυτοῦ καὶ τῶν φιλτάτων, καὶ πολλάκις ἔγωγ' ἐμαυτῷ ξύνοιδα τῶν τελευταίων ἐν χρῷ γενέσθαι κινδύνων ἐντεῦθεν, ἢ πῶς γὰρ οὔ; τῇ τε τῶν κοινῶν ἐπιστασίᾳ καὶ γνώμης πάσῃ 43) προθέσει, τῆς ἀντιπνοίας τῶν πραγμάτων τῷ δεσπότῃ συμμετέχων, καὶ ὅλος ὑπ' αὐτῶν ἐχόμενος 44), καὶ ὅλος αὐτὸς οἴκοθεν αἱρούμενος ἑκὼν γε εἶναι, καὶ λίαν ἐσκευασμένος οὕτω, καὶ ἀποδιδοὺς πάντα δίκαια ὀφλήματα τῇ τοσαύτῃ περὶ ἐμὲ δεσποτικῇ πίστει, καὶ οὐδὲν ἧττον ἔμοιγ' αὐτῷ καὶ τῇ ἐμῇ τὸ 45) ἐξ ἀρχῆς τοῦ βίου προθέσει. Καὶ τοίνυν ἐπὶ τοσαύτης ἄρα τῆς τῶν πραγμάτων κινδυνώδους καὶ χαλεπῆς ἐπιφορᾶς καὶ δυςχρηστίας τὰ κοινὰ πολιτευόμενος καὶ τὰ ἴδια ἔγωγε πᾶσα ἀνάγκη συνέπασχον καὶ ξυνεφερόμην δύςελπις καὶ κακοῖς λογισμοῖς ἀγχόμενος, ὡς ἄρα τὸν περὶ ψυχῆς τρέχων, οὐ μᾶλλον ἐπὶ τῶν ἰδίων ἐμαυτοῦ κατὰ τὸν βίον, ἢ τῶν κοινῶν αὐτῶν, ἃ συνδιαφέρειν ἠξιούμην. Καί μοι κομιδῇ πάντων ἀνιαρώτατον ἐμφαίνετο ξυντυχεῖν οὕτω τοῖς χαλεπωτάτοις τῶν ἐκ μακροῦ χρόνου πραγμάτων, καὶ τὰ ναυάγια τῆς Ῥωμαίων ἡγεμονίας καιρὸν ἔχειν αὐτὸς πολιτεύεσθαι καὶ διοικεῖν ὅπῃ ἄρα· καὶ πολλάκις ἀπηυ-

42) τἄσχ. C. Aug. τὰ ἔσχατα.

43) πάσῃ, C. Mon. πάσης.

44) καὶ ὅλος — ἐχόμενος, absunt a C. Mon.

45) τὸ, C. Aug. τῷ.

χόμην [46]) ἐμαυτοῦ τοῖς λογισμοῖς ἀπορούμενος, καὶ πάσης ἐκπίπτων ἐλπίδος χρηστῆς, μὴ ξυλλαχεῖν μοι τὸν [47]) φαινόμενον τόνδε μακαρισμὸν, καὶ τὸ περίοπτον τῆς τύχης, ὡς βέλτιον ἔμοιγε μάλιστ' ὂν κατ' ἄλλους ἴσως τοὺς καιροὺς ἐν ὀλίγῳ πνεύματι τῆς τύχης ἀκύμαντα καὶ γαληνῶς διαπλεῦσαι τὸ δεδομένον μοι τῆς ζωῆς ὁπόσον δὴ, ἤδ' ἐμφανοῦς [48]) οὕτω καὶ μακαρίας καὶ πολυζήλου τόγε δοκεῖν καὶ πολὺ μάλιστ' ἐπιφθόνου τῆς βιώσεως ἐν τοῖς ἐσχάτοις ἑκάστοτε παραβάλλεσθαι κινδύνοις, καὶ τοσούτῳ πλέον ἢ κατὰ πολλοὺς ἄλλους [49]), ὅσῳ καὶ πλέον ἀπολαύειν εἶχον τῆς τύχης, ἢ κατ' αὐτούς. Καὶ ἡ λειτουργία τῆς ἐπιστασίας πλεῖστον πρὸς τοῖς ἰδίᾳ ἐμοὶ διαφέρουσιν [50]) ἠνία, καὶ δικαίως ἴσως· οἷς γὰρ εὖ ἔχουσιν ἠξίουν αὐτὸς εὖ μάλα χρῆσθαι τῶν ἄλλων προέχων, τούτοις καὶ φερόμενος ἐπικινδυνότατα βαρυδαίμονα μάλιστ' ἐμαυτὸν ᾤμην, καὶ πλεῖν [51]) ἢ κατὰ πολλοὺς ἄλλους ἐμοὶ τῶν δεινῶν ἐνόμιζον μετεῖναι, ὢ ποσάκις ἄλλους τῶν συμβιούντων καὶ συμπολιτευομένων, καὶ θαυμαζόντων, καὶ μακαριζόντων τἀμὰ βέλτιον ἢ κατ' ἐμὲ ξυνεώρων ἐν τούτοις δὴ τοῖς καιροῖς καὶ τοῖς πράγμασι καὶ ἀλυπώτερον τὸν βίον ἔλ-

46) ἀπηυχ. C. Mon. ἀπεσχόμην.

47) τὸν, C. Mon. τό.

48) ἤδ' ἐμφ. C. Mon. ἤδιαμαφανοῦς: leg. ἢ δι' ἐμφανοῦς.

49) ἄλλους, Cdd. Aug. et Mon. ἄλλος: male.

50) διαφέρ. C. Aug. διαφόροισιν.

51) πλεῖν, Cdd. Mon. et Aug. πλήν.

κοντας· ὢ ποσάκις τοῦθ᾽ ὁ λογισμὸς ἐπέστρεφεν [52]), ὡς ἄρ᾽ ἄμεινον ἂν εἶχον, εἴ γέ μοι κατα τὸν πάλαι λόγον οὐ προςῆν οὔτ᾽ ὄγκος οὔτε πράγματα, καὶ κατὰ τῆς εἰς προῦπτον εὐετηρίας μοι τοῦ βίου, καὶ τῆς ζηλουμένης τύχης εἰς νοῦν ἐλάμβανον αὐτόθεν ἐπὶ τοῖς πράγμασιν. Ὃ πρότερον εἴρηται, ὡς οὐκ ἔστιν ὅλως βίον ἄλυπον εὑρεῖν ἐν οὐδενὶ, καὶ μάρτυρα παρειχόμην τῷ λόγῳ πρὸς τοῖς ἄλλοις αὐτὸς ἐμαυτὸν, καὶ εἴθε μέχρι τοσούτου εἰς τὸ νῦν γε εἶναι, καὶ περὶ τοῦ μέλλοντος, ὅσον ἄρ᾽ ἐμοί γε καὶ [53]) ὁτιοῦν, θεὸς εὐμενὴς εἴη μοι τῷ βίῳ, καὶ καθόλου τοῖς Ῥωμαίων μάλιστα πράγμασιν.

ΚΕΦ. κθ'.

Περὶ τοῦ εὐμεταβλήτου πάντων τῶν κατ᾽ [1]) ἀνθρώπους.

Χαλεπὸν ἐσθλὸν ἔμμεναι [2]), φησὶ τὸ ἔπος, καὶ ὁ τοῦ Πλάτωνος Σωκράτης [3]) ἐπεξηγούμενος τὴν ἐν τῷ καλῷ μόνην [4]) φησὶ, καὶ τὸ διαρκῶς εἶναι κατ᾽ αὐτὸ τἀγαθὸν τῶν χαλεπῶν τίθε-

---

52) ἐπέστρ. Cdd. Aug. et Mon. ἔστρεφεν.

53) καὶ, deest in C. Aug.

1) κατ᾽, Cod. Aug. κατά.

2) ἔμμ. C. Aug. ἔμεναι. Diog. Laert. 1, 4, 4. Pittaci dictum fuisse dicit et Erasm. Adag. p. 168.

3) ὁ τοῦ — Σωκράτης: Diog. l. l. μέμνηται αὐτοῦ καὶ Πλάτων ἐν Πρωταγόρᾳ (fol. 294. ed. gr. Oporini Basil. fol. 205. ed. Lugd.)

4) μόνην, nonne μονὴν?

ται, καὶ λίαν ἐργῶδες, πάντα γὰρ ὡς ἐν εὐρίποις ῥᾶστα μετατίθεται. Καὶ τοῦτό γε ὁρᾶν ἐστὶ [5]) καθάπαξ, ὡς πᾶν ὅτι ποτ' ἄρα κατ' ἀνθρώπους οὐχ οἷόν τε σχεδὸν μένειν, οὐδ' ἡτισοῦν περὶ πάντων δόξα τὸ ἄτρεπτον ἔχειν, οὐδ' ἕξις μὲν οὖν· ἀλλ' ἃ [6]) νῦν γε εἶναι δοκεῖ, καὶ καθάπαξ ὁτῳοῦν ὡς βέλτιστ' ἔργοις κρατύνεται, μετ' ὀλίγον ὕστερον ὑπὸ μάρτυσι τοῖς αὐτοῖς ἐναντίως δοκεῖ καὶ κομιδῇ προβέβληται, καὶ φευκτέα παντὶ σθένει κρίνεται, καὶ προτιμότερα τῶν φθασάντων ἄλλα, καὶ τούτων αὖ μετ' οὐ πολὺν τὸν χρόνον ἕτερα, καὶ τούτων μάλ' αὖθις ἕτερα, καὶ τοῦτ' ἐκ διαδοχῆς ἐπ' ἄπειρον, ὡς εἰπεῖν. Καὶ στασιάζομεν οὐ πρὸς ἀλλήλους μόνον, καὶ τοῦτο μὲν γὰρ ὅτι πλεῖστον, καὶ οὐκ ἔστι περὶ πάντων ἀνθρώποις ὁμοφροσύνη καὶ γνώμης κοινὰ, ἢ καὶ εἰ ἔστιν, ἀλλ' ἐλέγχεται χρόνῳ τινὶ, ἀλλὰ διατέμνεται [7]) καὶ περιχωρεῖ, ἀλλὰ καὶ πρὸς ἡμᾶς αὐτοὺς στασιάζομεν, καὶ τἀναντία πράττομεν [8]), καὶ τἀναντία λέγομεν ἢ πρότερον, καὶ οὐκ ἔστιν ἀτεχνῶς ἡμῖν αὐτοῖς πρὸς ἡμᾶς αὐτοὺς εἰς τέλος περὶ τῶν αὐτῶν ὁμοφροσύνη, οὐδ' ἡ αὐτὴ παραμένει δόξα καὶ τῆς γνώμης ἕξις, ἀλλ' ἃ [9]) πρότερον ἑτέρως, νῦν ἄρ'

5) ὁρᾶν ἐστὶ, C. Mon. ὁρᾶν ἐστι.

6) ἀλλ' ἃ, C. Mon. ἀλλά.

7) διατέμν. C. Aug. male διατείνεται.

8) καὶ τἀν. πράττομεν, desunt in C. Mon.

9) ἀλλ' ἃ, Cdd. Aug. et Mon. ἀλλά.

ἑκάστοτε βέλτιον οἰόμεθα κρίνειν ἐναντίως ἢ πρότερον δοξάζοντες· καὶ τὸ μὲν ἴσως καὶ δι' ἡμᾶς αὐτοὺς ἀστατοῦντας τῇ φύσει καὶ ῥέοντας ταῖς ὑπολήψεσι, μάλιστα δὲ δι' αὐτὰ, περὶ ὧν αἱ ψῆφοι ἐπ' ἀμφότερα λαβὴν διδόντα καὶ ἀνίδρυτα καὶ ἀόριστα καθάπαξ φύσει πως ὄντα, καὶ ἄνω καὶ κάτω φερόμενα, καὶ διαφόρων ἕξεων ἀφορμὰς εἰς τὸ κρίνειν περὶ αὐτῶν ἐμπαρέχοντα. Καὶ δοκοῦσί γε λοιπὸν οἱ τῶν σοφῶν ἐφεκτικοὶ κληθέντες οὐ πόῤῥω τῶν εἰκότων, οὐδὲ τῶν ἀληθῶν ἐντεῦθεν πλανᾶσθαι. Περὶ τῶν αὐτῶν γὰρ τἀναντία λέγειν ἔξεστι, καὶ οὐ λέγειν μόνον, ἀλλὰ καὶ φρονεῖν ἴσως χώρα δέδοται, καὶ οὐκ ἔξω παντάπασι τοῦ καιροῦ. Ταῦτ' ἄρα καὶ Ἡράκλειτος ὁ Ἴων, εὐδοκιμήσας ἐν φιλοσόφοις πάλαι, τἀναντία περὶ τῶν αὐτῶν λέγει, καὶ πάνθ' ὅσα τίθεται δογματίζων, μετ' ἀντιφάσεως τίθεται, πρὸς τὸ ῥέον ἀεὶ καὶ μεταβάλλον ἀεὶ τῶν πραγμάτων ὁρῶν, καὶ οὐκ ἀξιῶν ὁρίζεσθαι καὶ ἱστᾶν καὶ συνέχειν ἀμέλει καὶ δεσμεῖν ἀσείστοις ἀποφάνσεσι τὰ μὴ μένειν ἄτρεπτα φύσιν ἔχοντα. Καὶ τοίνυν οὐκ ἄλλων πρὸς ἄλλους δόξαι περὶ πάντων διάφοροι, καὶ πλεῖστον ἔστιν ὅτε πρὸς ἀλλήλας μαχόμεναι, ἀλλὰ καὶ αὐτῶν ἑκάστων πρὸς ἑαυτοὺς, καὶ οὐκ ἐφ' ὧν μόνον ἔχουσι θεωρεῖν, καὶ κατὰ νοῦν περαίνειν, ἀλλὰ καὶ περὶ ὧν κρίνουσι πράττειν, καὶ νῦν μὲν ἐπαινοῦσι ταύτας δὴ [10]) τὰς ἕξεις, καὶ δοκιμάζου-

10) δὴ, C. Mon. δὴ καὶ, et ἀνύττοντες pro ἀνύτοντες.

σιν εὖ μάλ' ἀνύτοντες, νῦν δ' αὖθις τὰς ἐναντίας ἐφ' ἑαυτῶν τε καὶ τῶν ἄλλων ὁρῶντες καὶ χρώμενοι, καὶ οὐδὲν τῶν ἀνθρωπίνων ἄτρεπτον παντάπασιν. Ἀλλὰ τὰ μὲν νοσοῦμεν καὶ πράττομεν, ἐναντία νοοῦμεν, καὶ ἀσυμφώνως πρὸς ἡμᾶς αὐτοὺς ἔχομεν, τὰ δὲ καὶ μετατιθέμεθα ταῖς γνώμαις ἐναντί' αἱρούμενοι πράττειν ἢ πρότερον, καὶ οὐκ ἔχομεν ταῖς ἐξ ἀρχῆς κρίσεσι πείθεσθαι καὶ παραμένειν. Καὶ πολλάκις μὲν ἐξ ἀπραγμοσύνης ποθοῦμεν ὑπερβαλλόντως [11]) *πράγματα, πολλάκις δ' ἐναντίως ἐκ τῶν πραγμάτων ζητοῦμεν γαλήνην ἀπραξίας, καὶ βίον νηπιάχοις προσήκοντα, οἷς οὐ μέλει πολεμήϊα, κατὰ τὸ ἔπος, ἔργα* [12]), *οὐδ' ἄλεσι μεμιγμένον εἶδαρ ἔδουσι, καὶ φεύγομεν ὅλαις τῶν λογισμῶν ψήφοις τὰ πράγματα, ἢ καθόλου πάντα, ἢ ἅττα δὴ φεύγομεν, καὶ οὐ χαίρομεν νῦν γε εἶναι κατὰ τὸ παρὸν τῆς χρήσεως, οἷς χθές τε καὶ πρὸ τρίτης ἠδόμεθα, οὐδ' ὡσαύτως τὰ βέλτισθ' ἡμῖν, καὶ μὴ τὸν ἀεὶ τῆς ζωῆς χρόνον πολλάκις καὶ βραχὺν ὄντα δοκοῦμεν καὶ προτιθέμεθα. Καὶ μὴν παλαιὸς μέν φησι λόγος ἀστείως εἰρημένος, ὡς ἄρα τυφλὸν* [13]) *τοῦ μέλλοντος ἄνθρωπος. Καὶ*

---

11) *ὑπερβαλλ.* C. Mon. *ὑπερβαλλόντων.*

12) *οἷς οὐ — ἔργα*, Hom. Il. *β.* 538. et *οὐδ' — ἔδουσι*, Hom. Odyss. *λ*, 122. et *ψ*, 270.

13) *τυφλὸν*, sc. *τί*, ap. Plut. in Solone *τυφλός*. Similiter Pind. Ol. 12, 13. *τῶν μελλόντων τετύφλωνται φραδαί.* Infra c. 38. *τυφλὸν περὶ τοῦ μέλλοντος πᾶς ἄνθρωπος, ὁ παλαιός φησι λόγος.*

τοῦτο μὲν οὖν ὡς ἀληθέσταθ' οὕτως εἴρηται· τίς γὰρ καὶ οἶδεν, ἢ παρὰ τίνος σοφίαν[14]) λαβὼν περὶ τῶν μελλόντων οὐχ ἥκιστά γε ἑαυτῷ τε καὶ ἄλλοις ὁρίσασθαι, καὶ προειπεῖν ἰδίᾳ τε καὶ κοινῇ ἅττα ποτ' ἔσται βέλτιστα[15]), καὶ ἃ μὴ, ἢ καθάπαξ γε τί ποτ' ἔσται. Ἀλλ' ἔστιν, ἔμοιγε δοκεῖ, μηδὲν ἧττον καὶ περὶ πάντων, ὡς ἐρεῖν, καθόλου τῶν ἐν βίῳ τυφλὸν ἄνθρωπος[16]), καὶ οὐκ ἀπλανῶς οὐδ' ἀστείως ἔχει δοξάζειν, οὐδὲ χρῆσθαι. Καὶ δίκαιος ἂν εἴη πᾶσιν ἀπιστεῖν ὑπ' αὐτοῦ γιγνομένοις ἢ λεγομένοις[17])· οὐδὲν γὰρ ἄτρεπτον οἶδεν, οὐδ' αἱρεῖται, οὐδ' ὥςτε μὴ καὶ τἀναντία περὶ αὐτοῦ δόξαι, μήδ' ἑλέσθαί τιν' ἄλλον χώραν εἶναι, μήδ' αὐτὸν μὲν οὖν ἕκαστον τὸν τέως δόξαντα καὶ ἑλόμενον. Ἀλλ' ὥςπερ ἂν εἴ τινες ἐξ αὐτομάτου δή τινος ἐν χώρῳ τινὶ παντάπασι σκοτώδει συνέλθοιεν, ἢ τυφλοὶ δή τινες πλεῖστοι ἐν τῷ αὐτῷ γένοιντο, οὐκ ἔχουσιν, ὅ τι χρήσονται, ἀλλὰ πάντοθεν περιπίπτειν αὐτοὺς ἑαυτοῖς ἀνάγκη, καὶ πάντα κινούμενοι, πάνθ' ὅμως ἀβεβαίως φέροιντ' ἂν, καὶ ἄλλο τ' ἄλλως[18]) ἄγοιτ' ἂν ἐν πολλῷ τῷ πλάνῳ καὶ πάσῃ τῇ δυςχερείᾳ· τὸν αὐτὸν ἄρα τρόπον ἔχει καθόλου περὶ πάντα τἀνθρώπινα, καὶ πάσαις δόξαις καὶ πά-

---

14) **σοφίαν, Cdd. Aug. et Mon. σοφίας.**

15) **καὶ προειπεῖν vsque ad βέλτιστα desunt in C. Aug.**

16) **ἄνθρ. C. Mon. male ἄνθρωπον.**

17) **ἢ λεγ. absunt a C. Aug.**

18) **ἄλλο τ' ἄλλ. Cdd. Aug. et Mon. ἄλλοτ' ἄλλως.**

σαις κινήσεσι καὶ χρήσεσιν ἀστατοῦμεν καὶ πλανώμεθα, καὶ περιπίπτομεν οὐκ ἀλλήλοις μόνον, ἀλλὰ καὶ ἡμῖν αὐτοῖς, καὶ οὐκ ἔχομεν ἀσφαλῶς, καθ᾽ ὅτι δήποτ᾽ ἄρα χρῆσθαι καὶ μένειν καθάπαξ, ἢ φέρεσθαι τὴν αὐτὴν τοῖς λογισμοῖς, ἀλλ᾽ ἃ τέως ἔγνωσται καὶ ἡμῖν ἐκ παντὸς τρόπου στέργεται. Καὶ πλεῖστον ἐνταῦθα τρίβειν ἀξιοῦμεν τὲ καὶ ποθοῦμεν, ἄλλοις ἀποτρόπαια ταῦτα καὶ κάκισθ᾽ ὁρᾶν τε καὶ χρῆσθαι, καὶ οὐ τοῦτο μᾶλλον, ἢ καὶ ἡμῖν [19]) αὐτοῖς περὶ αὐτῶν ἑξῆς ἔπειτα μεταμέλει, καὶ ταῖς γνώμαις τρεπόμεθα καὶ ἄλλῃ φερόμεθα καὶ χρώμεθα προδήλως ἢ πρότερον, καὶ οὐκ αἰσχυνόμεθα οὐδ᾽ ἡμᾶς αὐτοὺς ἄλλην τρέχοντες, ἄλλην ἔπειτα βαδίζοντες· οὔτε μὴν ἂν ἕτερός τις καθορῶν οὐκ ἀγνοεῖν οἷός τ᾽ εἴη. Δοκοῦντες [20]) δὲ πλέον ἔχειν, ἢ κατὰ τἄλλα [21]) τῶν ἀλόγων ζώων, καὶ αὐτοὶ [22]) καταὐτὰ τοῦ παρόντος ἀεὶ γιγνόμεθα, καὶ οὐδὲν ἔπειθ᾽ ὁρᾶν ἔχομεν ἑξῆς, ἀλλ᾽ εἰ ἄρ᾽ ἐνσχεθείημεν ἑκάστοτε προσπεσόντι τέως ὁτῳοῦν ἤδει [23]), τρόπον ὅντιν᾽ [24]) ἀμέλει ξυμβαίη ἄν, ὅλοι τοῦδε γιγνόμεθα, καὶ αὖθις ἐν ὀστράκου μετατροπῇ ἄλλον, καὶ τοῦθ᾽ ὁσάκις ἂν ξυλλαχόντος αὖ γιγνόμεθα, καὶ αὖθις αὖ ἄλλου, καὶ

19) ἢ καὶ ἡμῖν, C. Aug. ἦθ᾽ ἡμῖν.
20) δοκοῦντες, C. Aug. δοκοῦν.
21) κατὰ τἄλλ. C. Mon. κατ᾽ ἄλλα; in ora γρ. κατὰ τ᾽ ἄλλα.
22) αὐτοὶ, C. Mon. αὐτός.
23) ἠδ. C. Aug. ἤδει.
24) ὅντ. C. Mon. οὕτιν᾽.

τοῦθ' ὁσάκις ἂν [25]) ξυμπίπτοι· καὶ τοῦτο μηδὲν ἧττον ἐν τοῖς λόγοις ἢ ἐν οἷς πράττομεν, καὶ ἐν οἷς ἐσμέν. Καὶ λέγομεν γὰρ [26]) ἄλλου νῦν ἢ πρότερον καὶ νοοῦμεν, καὶ οὐδεμία κατάληψις ἄσειστός τε καὶ ἔμμονος ἀνθρώποις, οὔκουν γ' ἔοικεν οὐδ' ἀπλανής, ἀλλὰ πᾶσα ἐλέγχεται καὶ παροράσθαι κρίνεται. Καὶ τϋ [27])

οὐ τὰ περὶ τῶν ἀλλοτρίων, ἢ προσώπων, ἢ πράξεων, ἔριδι, φθόνῳ, μάχῃ προδήλῳ, μάχῃ κλεπτούσῃ, στοργῇ τοὐναντίον, προςπαθείαις καθόλου πάσαις [28]), ἀλλὰ καὶ τὰ περὶ ἡμῶν αὐτῶν μάλιστα τυφλώττομεν, καὶ ἀγνοοῦμεν, καὶ πλανώμεθα, καὶ σφόδρα κολακεύομεν, καὶ ἀπατῶμεν ἑαυτοὺς πάντ' [29]) ἔχειν τὰ καθ' ἡμᾶς εὖ ἀξιοῦντες, καὶ τελες φόδρα [30]) πάντων τῶν καλλίστων τιθέμενοι. Καὶ ὃς ἂν εὐμενὴς πείθοιτο, νουνεχὴς οὗτος καὶ χρηστὸς ἐπόπτης καὶ δίκαιος, ὃς δ' ἂν μὴ οὕτω, βάσκανος οὗτος καὶ πάντων ἀνούστατος. Καὶ μὴν ἐπὶ τούτοις ἐλπίδες ἄπαυστοι καὶ ἀπέραντοι, καὶ οὐδεὶς κόρος εὐπραγίας,

---

25) *καὶ τοῦθ' ὁσ. ἂν*, omissa in Cdd. Aug. et Mon.

26) *γάρ*, deest in Cdd. Mon. et Aug.

27) *καὶ τϋ* — haec lacuna etiam in Cdd. Aug. et Mon. et Pariss. Germ. et Reg. qui vero sic: *τϋ* *ττομεν*. *Verum in ττομεν vltima tantum syllaba est perspicua.* *ττο* *est fere erasum. Primae litterae sunt omnino erasae.* Boissonade. Supplendum videtur: *τυφλώττομεν*, vt e sqq. patet, *καὶ ἀγνοοῦμεν*.

28) *πάσαις*, C. Mon. *πάσας*, in marg. *πάσαις*.

29) *πάντ'*, C. Aug. *πάντες*.

30) *τελ.* leg. *τελεσφόρα*.

οὐδ' ὅρος ὁςτισοῦν· ἔνθα δὴ γενομένους ἠρεμῆσαι δεῖ καὶ καταλῦσαι [31]) τὸν δίαυλον τῶν ἐλπίδων, καὶ πολλάκις ἐπὶ τούτοις ὁ θάνατος ἀωρίᾳ ταχὺς ἀποτέμων καθάπαξ αὐτῶν τῶν ἐν λογισμοῖς καὶ προςδοκίαις ἀγαθῶν. Καὶ κρίνομεν, οἱ τῶν πολλῶν ἔχειν ἄμεινόν τι δοκοῦντες, καλῶς ἴσως περὶ τούτων, ἡττώμεθα [32]) δὲ κοινῶς ἅπαντες ταῖς ἀορίστοις ἐλπίσι καὶ παντὸς μέτρου καὶ πάσης ὑπεραλλομέναις [33]) ζωῆς. Αἲ αἲ, τίς ἂν οἷός τε γένοιτο βιοῦν, ὡς ἄρ' ἐνίοτε νοεῖ, καὶ μὴ χεῖρον πολὺ [34]) τῶν αὐτοῦ λογισμῶν;

ΚΕΦ. λ'.

Περὶ τῆς κατ' ἀνθρώπους ἀμαθίας τῶν βελτίστων.

Ὥςπερ δ' [1]) ἐπὶ πάντων πραγμάτων ἀμαθία κατακέχυται τῶν ἀνθρώπων, καὶ πολὺς τῷ νῷ τῇ θεωρίᾳ ζόφος εἰς τὸ διοπτεύειν τὰ προςήκονθ' ἑκάστοις, καὶ ὡς ἔχει κατὰ φύσιν καὶ οὐσίωται. Καὶ δὴ καὶ [2]) περὶ τῶν οἰκείων αὐτῷ τινί γε ἡμῶν ἑκάστῳ συνοισόντων οὐχ ἥκιστ' ἀγνοοῦμεν, καὶ ζῶμεν ἀσυνέτως τῶν ἐν βίῳ διαφερόντων ἡμῖν κατὰ τἄλογα τῶν ζώων, ὡς εἰ-

---

31) καταλ. C. Aug. κατὰ λῦσαι.

32) ἡττώμεθα, C. Aug. ἡττόμεθα.

33) ὑπεραλλ. C. Mon. ὑπὲρ ἀναλλομένης.

34) πολὺ, C. Mon. πολεῖ: male.

1) δ', abest a C. Mon.

2) καὶ δὴ καὶ, C. Mon. καὶ δή.

πεῖν, καὶ αὐτοὶ τῷ προςπίπτοντι νῦν ἑκάστοτ' ἀγόμενοι, καὶ πολλάκις τὰ κάκισθ' ἡμῖν πολιτευόμεθα, τὰ μὲν ἀναγκαστῶς, τὰ δὲ καὶ ἑκόντες γε ὄντες αὐτοὶ μάλισθ' αἱρούμενοι. Εἰσὶ μὲν γὰρ, οἳ καὶ, παρ' ἃ νοοῦσι βέλτιστα σφίσιν αὐτοῖς, πράττουσι βίας τινὸς ἡττώμενοι καὶ οὐκ ἔχοντες ἄλλως δρᾷν, εἰσὶ δ' οἳ μάλιστα καὶ νοοῦσι καὶ βούλονται καὶ δρῶσιν οὐκ ἀηδῶς, ἃ κομιδῇ λυμαίνεται[3]), καὶ φέρει κινδύνους ἔπειθ' ὕστερον καὶ τέλη καθάπαξ ἀργαλεώτατα, καὶ τοῦθ' ἑκάστοτε ἑκάστοις, καὶ δι' ἑαυτοὺς νοσοῦντας ἴσως ἐπὶ ταῖς κρίσεσι, καὶ οὐκ ὀρθὰ βλέποντας, ἀλλ' ἀποτυγχάνοντας τῶν ἀμεινών, μάλιστα δὲ διὰ τὸ τῶν πραγμάτων αὐτῶν εὔτροπον καὶ ἀνίδρυτον ἐπὶ πάσης ἕξεως καὶ φύσει τοιοῦτον, ὥςτε καὶ πρὸς τἀναντία χώραν ἔχειν, καὶ νῦν μὲν μετὰ τῆς ἀγαθῆς μοίρας ξυνεῖναι, νῦν δ' ὡς ἑτέρως ἔχειν, καὶ τοῖς μὲν βέλτιστ' εὖ, τοῖς δὲ πᾶν τοὐναντίον, καὶ τοῖς μὲν πλεῖον καθ' ἑκαστέραν γε τὴν ἕξιν, τοῖς δ' ἧττον, καὶ τοῖς μὲν ξὺν ῥαστώνῃ καὶ οὔρια πλέουσι, τοῖς δὲ σὺν ὅτι πλείστῳ τῷ πόνῳ, καὶ μετ' ἐπικινδύνου τῆς ἐπιχειρήσεως. Τοιγαροῦν αἱ αὐταὶ πράξεις τοῦ βίου καὶ χρήσεις τοὺς μὲν ὤνησαν, τοὺς δὲ τὰ μέγιστ' ἠνίασαν, καὶ οὐκ ἀζημίως ἀπαλλάττουσιν αὐτῶν, καὶ καθ' ἑκάτερον, τοῖς μὲν μᾶλλον, τοῖς δ' ἧττον, καὶ τοῖς αὐτοῖς νῦν μὲν εὖ φέρουσιν ὅτι μάλιστα, νῦν δ' αἱ αὐταὶ

3) λυμαίν. Cdd. Aug. et Mon. λιμαίνεται.

πρὸς πικρὰν ἀποτελευτῶσι τὴν τύχην, καὶ ἀμφότερ᾽ αὖθις, ἔλαττόν τε καὶ πλεῖον, καὶ οὐκ ἄλλοις μόνον καὶ ἄλλοις, ἀλλὰ καὶ τοῖς αὐτοῖς ἀνθρώποις ταυτὰ [4]) πράττουσιν. Οὕτω πολλὴ πλάνη τοῖς ἀνθρώποις περὶ τὴν τῶν βελτίστων αἵρεσιν ἀληθῆ τε καὶ ἀεὶ τὴν αὐτήν· καὶ οὐδὲν ἔχομεν περὶ τῶν κατὰ τὸν βίον ἔργων τε καὶ πολιτευμάτων ἀσφαλέστατα συνιδεῖν καὶ κρατῦναι [5]) τοῖς λογισμοῖς, ὡς ἀεὶ τοῦτ᾽ ἀγαθὸν ἐσόμενον καὶ διαρκὲς ἐν παντὶ τοῦ καιροῦ τῷ παραστάντι, καὶ πάσῃ πραγμάτων τύχῃ, ἀλλ᾽ ἐπ᾽ ἀμφότερα περὶ ὁτουοῦν [6]) τοῖς λογισμοῖς ταλαντευόμεθα, καὶ νῦν μὲν κρίνομεν, ἅττα δὴ παντὶ τρόπῳ σπουδαστέα, καὶ πάντων ἄλλων ἐπίπροσθεν ξυνορῶμεν, καὶ ὅλῃ ῥύμῃ πρὸς αὐτὰ φερόμεθα, νῦν δὲ μετανοοῦμεν καὶ ἄλλως ξυλλογιζόμεθα [7]), καὶ κατ᾽ ἀμφότερα πίστεων εὐποροῦμεν τοῖς ἐννοήμασι, καὶ ταῖς ψήφοις ἐξ αὐτῶν τῶν [8]) πραγμάτων, καὶ πᾶς λόγος καὶ πᾶν, ὡς εἰπεῖν, διανόημα περὶ ὁτουοῦν τῶν καθ᾽ ἡμᾶς, καὶ ὧν ἀνάγκη πράττειν καὶ συνεῖναι καὶ στέργειν, οὐχ ἥδρασται καθάπαξ ἐν βεβαίῳ τε καὶ ἀσείστως, ἀλλὰ καὶ ὑπὸ τῶν ἐναντίων ἐκπολιορκεῖται λόγων τε καὶ διανοημάτων, καὶ πολὺ

---

4) ταυτὰ, C. Mon. ταῦτα.

5) κρατ. Cdd. Aug. et Mon. κρατῆναι.

6) ὁτουοῦν, C. Aug. ὅτου οὖν.

7) ξυλλογ. C. Aug. ξυνολογιζόμεθα.

8) τῶν, ignorant Cdd. Aug. et Mon.

τὸ φάμιλλον [9]) ταῖς ἐναντίαις ψήφοις καὶ κρίσεσι, καὶ πολλὴ κατ' ἀμφότερα πάντως ἡ ἀπιστία, ὥςτε μὴ καθάπαξ ἀνενδοιάστως εἰδέναι καὶ καθαῤῥεῖν ὅπως ἄν τις χρήσαιτο. Καὶ μὴν πράττομεν ταῦτ' ἐνίοτε, ὧν [10]) κατολιγωροῦμεν ἐπ' ἄλλοις ταῦθ' ὁρῶντες, καὶ καταμωκώμεθα, ἢ τῶν [11]) νῦν ὄντων ἑκάστοτε, καὶ συμβιούντων, ἢ τῶν πρότερον, καὶ αὖ [12]) ἔτι περὶ ὧν ἐπαινοῦμεν ἄλλους, ἢ νῦν σὺν ἡμῖν ὄντας καὶ βιοτεύοντας, ἢ καὶ φθάσαντας τῷ χρόνῳ, ὡς ἄρα καλῶς ἀνύσαντας, αὐτοὶ τῶν ἐπαινουμένων οὐ γιγνόμεθα σπουδασταί· καὶ οὐδ' αὐτὸ ξυνιδεῖν ἔχομεν πολλάκις, ὡς [13]) ἃ μὴ καλῶς ἔχειν οἰόμεθα, δρῶμεν αὐτοὶ, οὔθ' ὡς τἀναντία, ὧν ἐπαινοῦμεν, αὐτοὶ μεταχειρίζομεν, καὶ ταῦτ' οὐ μᾶλλον φιλαυτίας γε καὶ προςπαθείας ἧςτινος ἄρα κρατούσης, ἢ καὶ ἀγνοίας καθόλου τῶν καλλίστων τε καὶ βελτίστων ἀνθρώποις χρῆσθαι, ὅτι δὲ καὶ φιλαυτίας τὸ μὴ καθορᾷν εὖ καὶ προςπαθείας ἐπιπροσθούσης ὡς τὰ πολλὰ σημεῖον, ὡς ἐπὶ μὲν τῶν ἄλλων ὁρῶμεν, ἃ πράττεται, κρίνοντες κατὰ καιρὸν [14]), ὡς ἔχει, καὶ οἷά ποτ' ἐστὶ, καὶ θαυμάζοντες καὶ καταιτιώ-

---

9) τὸ φάμ. C. Mon. τὸ φάμιλον: leg. vt c. 40. τ' ἐφάμιλλον.

10) ὧν, Cdd. Aug. et Mon. ω.

11) ἢ τῶν, C. Aug. ἡττῶν: mendose.

12) αὖ, C. Mon. αὖθις.

13) ὡς, Cdd. Aug. et Mon. ᾧ.

14) κατὰ καιρ. C. Mon. iunctim κατακαιρόν.

μενοι, ἐφ' ἡμῶν δ' οὒ, ἀλλ' ὡς βέλτιστ' ἔχουσιν, ἀξιοῦμεν προσέχειν ἡμῖν τὸν νοῦν ἅπαντας, μᾶλλον δ' ὡς ἀληθῶς ἀβλεπτεῖν, καὶ τῶν ὄντωκ πόῤῥω δοκεῖν. Καὶ πολλάκις μὲν καὶ αὐτοὶ πρῶτοι μάλιστ' ἀβλεπτοῦντες [15]) περὶ ἡμῶν αὐτῶν, καὶ τὰ μὴ ὄντα καθάπαξ δοκοῦντες, πολλάκις δὲ καὶ νοσοῦντες [16]) ἅττα δὴ σοφιζόμεθα τοὺς ἄλλους, καὶ ἀπατᾶν περὶ ἡμῶν πειρώμεθα, καὶ οἷοί τ' ἐσμὲν ἐπιχειρεῖν οὕτω καθ' ἡμῶν καὶ ξυνέλκειν, ἐς ἃ μὴ θέμις, καὶ ἃ μὴ παντάπασιν ἀγνοοῦμεν περὶ ἡμῶν, ἄλλους [17]) οἰκονομεῖν, ἀγνοεῖν καὶ νομίζειν ἔκτοπα τῶν ὄντων τὲ καὶ τῆς ἀληθείας, ἀλλὰ καὶ περὶ τῶν ἄλλων, ἣν [18]) ἄρ' αὐτοῖς ἀηδῶς ἔχοιμεν, τὰ μὲν ἀγνοοῦμεν πραττόμενα παρ' αὐτῶν φαῦλα νομίζοντες ὑπὸ πάθους καὶ τῷ βούλεσθαι ταῦθ' οὕτως ἔχειν, τὰ δὲ καὶ ξυνορῶντες [19]) ὅμως ὁπηοῦν ἐνίοτε μὴ καθάπαξ ἔχονθ' ὡς βουλόμεθα [20]). Βουλόμεθα καὶ οὕτω δοκεῖν δυςτυχῆ τινὰ καὶ φαύλως ἔχοντα, καὶ πράττομεν, ὡς ἂν οἷοί τ' ὦμεν, καὶ κατεπειγόμεθα ὅλως εἰς τοῦτο, καὶ χαίρομεν, πῶς ἂν εἴποι τὶς, ἀηδέστατα παρ' αὐτοῖς ἔχοντα, καὶ ἀηδέστατ' ἀκούοντα, καὶ τυφλοὺς εἶναι ποθοῦμεν τῆς ἀληθείας ἡμῖν τὲ καὶ τοῖς ἄλλοις,

---

15) μάλιστ' ἀβλ. C. Aug. μάλιστα βλεποῦντες: falso.

16) νοσ. C. Aug. νοοῦντες.

17) ἄλλους, C. Mon. ἄλλως.

18) ἣν, Cdd. Aug. et Mon. ἦν.

19) ξυνορ. C. Aug. ξυνορῶντε, et mox ὁποιοῦν pro ὁπηοῦν.

20) βουλ. alterum βουλόμεθα deest in C. Mon.

ὅσοι καὶ ὁρῶσιν ἔξωθεν ἄνθρωποι, ἢ τυφλοί γε ὄντως τοῖς τε ἄλλοις καὶ ἡμῖν αὐτοῖς καὶ ἐσμὲν καὶ ὁρώμεθα τοῖς καλῶς βλέπουσιν.

ΚΕΦ. λά.

Ὅτι οὐκ ἔστι τοῖς ἐν τῷ σώματι τελεία κατάληψις περὶ τῶν ὄντων, καὶ ὑπόδειγμα πρὸς τοῦτο ἀπὸ τῶν τῇ μέθῃ μὴ τελείως καταβαπτισθέντων.

Περὶ τὰς καταλήψεις δὲ[1]) τῶν ἀνθρωπίνων πραγμάτων, μᾶλλον δὲ καθόλου περὶ τὴν τῶν ὄντων ἀπλανῆ θεωρίαν μέγα δὴ προςίσταται καὶ ἐπιπροςθεῖ τὰ σωματικὰ τάδε καὶ τῆς ὕλης ὁ δεσμὸς, ὅτι δὴ μὴ καθάπαξ ὁ νοῦς ἀσυνδύαστος ἐνεργεῖ καθ᾽ ἑαυτὸν ἀπόλυτος· ἀλλ᾽ ἐν δεσμοῖς ἀμέλει τοῖςδε τοῦ σώματος καὶ τῆς αἰσθήσεως οὐκ ἔχει τέμνεσθαι, ἂν ὃς ἐπείγοιτο[2]), καὶ τῆς ἐπ᾽ αὐτῇ καὶ μετ᾽ αὐτὴν φαντασίας θαυματοποιοῦ τινος, ὡς ἐρεῖν, ἀΰλου μέν πως καὶ ἰδίας ζωῆς, οὐκ ἔξω δὲ τῆς ὕλης αὐτῆς. Ζῶμεν γὰρ κατ᾽ αὐτὴν ἰδίᾳ πως[3]) τοῦ σώματος καὶ τῆς κατ᾽ αὐτὸ χρήσεως[4]), οὐκ ἔξω δὲ καθάπαξ τῶν σωματικῶν ὁ νοῦς[5]) ἐνεργεῖ, ὅσα κατ᾽ αὐτὴν ἐνερ-

1) δὲ, C. Aug. δή.

2) ἐπείγ. C. Mon. ἐπείγειτο.

3) κατ᾽ — πως. C. Mon. κατ᾽ αὐτὴν τὴν ἰδίαν πῶς: Aug. κατ᾽ αὐτὴν τὴν ἰδία πῶς.

4) κατ᾽ αὐτὸ χρ. C. Mon. καταχρήσεως, omisso αὐτό.

5) νοῦς, in C. Mon. omnia desunt a νοῦς vsque ad οὗτος, incuria librarii, qui a voc. priore νοῦς ad alterum νοῦς aberrauit.

γεῖ. Ταῦτ' ἄρα καὶ νοῦς οὗτος καὶ ἐστὶ καὶ καλεῖται [6]) παθητικὸς διὰ τὸ κοινωνεῖν τῷ σώματι καὶ τοῖς τοῦ σώματος, ἐν οἷς ἔχει δρᾷν, καὶ οὐκ ἀμιγῶς [7]) τῶν ἐκ τοῦ σώματος παθῶν καὶ τῆς ἐνύλου [8]) ἐπαφῆς ταῖς ἐνεργείαις χρῆσθαι. Ὅτε [9]) δὲ ταῦθ' οὕτως ἔχει, καὶ νοερῶς κινούμενοι πρὸς ἐνέργειαν καὶ θεωρίαν ἥντινα δὴ πάντως ἔτ' ἐν τῷ [10]) σώματι μένοντες οὐκ ἔχομεν ἀνύτειν οὐδ' ἄλλως [11]) χρῆσθαι, ὅτι μὴ μετὰ φαντασίας ἰόντες καὶ, ὡς ἔπος εἰπεῖν, τῆς ἐνσωμάτου χρήσεως καὶ ζωῆς, πῶς ἂν εἴη λοιπὸν ἔπειτ' [12]) ἀπλανὴς εἴτουν ἀσφαλὴς καὶ ἀπρόςκοπος ἡ [13]) ἐνέργεια, καὶ ἄνοσον τὸ τῆς θεωρίας χρῆμα; Καὶ τοίνυν οὐκ ἔστι νοὸς κίνησις κατ' ἀνθρώπους παντάπασιν ἐπιτυχὴς, οὐδ' ὁ νοῦς ἔχει περαίνειν ἡμῖν τελεςφόρος τῆς ἀληθείας, καὶ τῶν ὄντων γνώμων ἠκριβωμένος, ἀλλ' ἐνεργεῖ μὲν διανιστάμενος ἑκάστοτε καὶ περιγίνεται κατὰ πρόθεσιν [14]) ἥντινα δή. Ἐνεργεῖ δ' ὅμως

---

6) καλεῖται, Cdd. Aug. et Mon. τελεῖται. Vterque etiam κοινωνεῖ pro κοινωνεῖν.

7) ἀμιγῶς, Cdd. Mon. et Aug. ἀμιγνῶς.

8) ἐνύλου, Cdd. Mon. et Aug. ἐν ὕλου.

9) ὅτε, Cdd. Mon. et Aug. ὅτι.

10) τῷ, abest a C. Mon.

11) ἄλλως, C. Mon. ἄλλος: Aug. ἄλως: vitiose.

12) ἔπειτ', Cdd. Aug. et Mon. ἔπειτα.

13) ἡ ἐνέργ. Cdd. Aug. et Mon. εἴη ἐνέργεια.

14) κατὰ πρ. C. Mon. καταπρόθεσιν iungit, vt postea κατανοῦν pro κατὰ νοῦν.

βίᾳ καὶ προςκόπτων συχνὰ [15]) τῷ σώματι, καὶ συμπίπτων κατεχόμενος ἄφυκτα, καὶ οὐκ ἀζήμιος ἐστὶν ὑπὸ τῆς σωματικῆς ἐπηρείας καὶ δυναστείας. Ἀλλ' ὥςπερ οἱ πλεῖστον οἰνισμένοι καὶ βεβρεγμένοι καὶ βαρυνθέντες κραιπάλῃ τὸ λογικὸν τὸ πλεῖστον μὲν νοσοῦσι, καὶ οὐχ οἷοί τ' εἰσὶ κατὰ νοῦν χρῆσθαι, καθ' ὅσον ἄρ' ἐξῆν ἂν σφίσι, καὶ ἴσως βέλτιστα διὰ κράτος φύσεως, εἰ μὴ κατεῖχε καὶ συμπίπτειν ἐτυράννει δυςτυχῶς ὁ πολὺς ἄκρατος· ὅμως δ' οὖν καὶ οὕτω κακῶς ἔχοντες ἀναφέρουσιν ἀμηγέπη, καί τινα δὴ καὶ προφέρουσιν ἀμηγέπη, καί τινα δὴ καὶ προφέρουσι λογισμοῦ καὶ νοὸς, συμπεφυρμένα μὲν καὶ ἀτέλεστα [16]), προφέρουσι δ' οὖν ἔκγονα μὴ παντάπασιν εὐπεριφρόνητα, καὶ πάσχουσιν οὕτω διὰ τὴν ἐπιπρόςθεσιν καὶ τὸ βάρος καὶ τὴν ἐκ τῆς μέθης συμφοράν. Τὸν αὐτὸν δὴ τρόπον ἔοικε οὐκ ἐῤῥαστωνευμένως [17]), ἀλλ' ἐπισφαλῶς ἔχουσι περὶ πᾶσαν θεωρίαν καὶ κατάληψιν, καὶ ὅλως νοερὰν ἐνέργειαν, οἱ μετὰ σώματος βιοῦντες καὶ τῆς αὐτοῦ συζυγίας οὐκ ἐλευθέρως κινούμενοι, κἂν εἰ μάλα τὰ κατὰ νοῦν σφίσιν ἔῤῥωται καὶ πόθος ὑπερβαλλόντως αἱρεῖ τῷ πόνῳ μὴ κάμνειν, μήδ' ἀναχωρεῖν τῆς προθέσεως ἑκάστοτε. Τὰ γὰρ τοῦ σώματος ἐμποδὼν ἐπικόπτει [18]) καὶ συμπίπτειν κομιδῇ βιάζεται, καὶ

---

15) συχνὰ, C. Mon. συχνῷ.

16) ἀτέλ. C. Mon. ἀτελέστατα; in margine: γρ. ἀτέλεστα.

17) ἐῤῥαστ. Cdd. Aug. et Mon. ἐραστωνευμένος.

18) ἐπικόπτει: Cdd. Aug. et Mon. ἐπικόπτειν.

ἐᾷ χωρεῖν εὐθυβόλως καὶ πειρᾶσθαι, καὶ ἀνύτειν ἴσως ἐπιτυχῶς κατὰ καιρόν. Ἐνοχλεῖ γὰρ ἑκάστοτε διὰ τὴν ἄτμητον κοινωνίαν, καὶ τοὺς ἀῤῥήκτους ὑπὸ παντὸς τρόπου [19]) καὶ ἀφύκτους δεσμοὺς, καὶ οὓς οὐκ ἔστιν ὅλως ὑπεραναβῆναι καὶ ἀποθέσθαι καὶ παρελθεῖν· καὶ τὸ τῆς σαρκὸς τόδ' ἐπιτείχισμα [20]) μάλιστα ἐπέχει τὴν τοῦ νοῦ καὶ τῆς ἐποπτείας πρόοδον. Καὶ τοίνυν πολὺς ὁ κάματος ἐνταῦθα, καὶ περαίνειν οὐκ ἔστιν εὐκολία καὶ συνέχεια τῆς χρήσεως εἰς τὰ προκείμενα κατὰ σκοπὸν [21]) ὁμαλῶς χωροῦντα. Ἀλλὰ νῦν μὲν τυγχάνουσιν εὖ μάλα διανιστάμενοι καὶ κατὰ φύσιν καὶ ἀπρόσκοποι φερόμενοι, καὶ οὐ παντάπασιν ἐπιλείπει σφᾶς τὸ τοῦ νοῦ κράτος, καὶ ἡ κατ' αὐτὸν ἐνέργεια, ὥςπερ οὐδ' ἐκείνους καθάπαξ τοὺς οἰνισθέντας καὶ βαπτισθέντας ἀκράτῳ τὸν λογισμὸν, νῦν δ' ἔξω φέρονται, μᾶλλον δὲ συμπίπτουσι φύρδην μετὰ τοῦ σώματος καὶ τῆς αἰσθήσεως κινούμενοι, καὶ οὐκ ἔχοντες ἀμιγῶς, οὐδ' ἀσφαλῶς, οὐδ' ἀνόσως ἐπιβάλλειν ὅπως ἄρα, καὶ χρῆσθαι, καὶ πολλὴ ἀηδία λοιπὸν, καὶ γελοίως ἀπαλλάττουσι. Τί μὲν ξυνορῶντες ὁπηοῦν ἴσως, ὡς ἄρα νοσοῦσι, κἂν τούτῳ μόνῳ τὴν τοῦ νοῦ σωτηρίαν δεικνύντες [22]); τί δ' ἀγνοοῦντες καθάπαξ οἳ φέρονται;

---

19) τρόπου, C. Mon. τρόπους.

20) ἐπιτ. C. Mon. ἐπιτύχισμα.

21) κατὰ σκ. C. Mon. iunctim κατασκοπὸν, et postea καταφύσιν pro κατὰ φύσιν.

22) δεικν. C. Mon. δεικνύντος.

ΚΕΦ. λβ'.

Ὅτι ἡδὺ κατ' [1]) ἀνθρώπους, ᾧ τὶς ἂν χρόνιος συνεθισθείη [2]).

Δοκοῦσιν ἄνθρωποι [3]) μάλιστα χαίρειν, οἷς χρονίως σύνεισι, καὶ τὸ ἔθος σφόδρα κρατεῖ κατὰ τῆς ἡμῶν φύσεως, κἂν ὁπηοῦν ἐκκλίνειν ὑπ' ἀνάγκης τινὸς ξυμβαίη τῶν εἰθισμένων αὐτίκα καὶ ξυναίσθησις μετ' ἄλγους καὶ ἀηδῶς φέρομεν. Μᾶλλον μὲν οὖν ἐνίοτ' οὐδὲ φέρειν ἔξεστι, φίλα γὰρ ἐπιεικῶς, οἷς ὁ χρόνος ἡμᾶς εἴθισεν ὅπως ἄρα, καὶ δοκοῦμεν ἄνοσοι μένειν ἐν ἑαυτῶν κατ' ἔθος ἐκ μακροῦ βιοῦντες· ἂν δ' ἐκτρεποίμεθα [4]) καὶ μεταβάλλοιμεν, στάσις αὐτίκα καὶ καινότης, καὶ τῆς φυσικῆς γαλήνης τὲ καὶ ῥαστώνης, εἴτουν ἕξεως, ἐντεῦθεν ἐπήρεια καὶ νόσος καὶ ἀνία πάντως τῇ ζωῇ καὶ διάθεσις [5]) ἐργώδης, καὶ πόνου καὶ χρόνου δεῖ πάλιν εἰς εἰρηνικὴν [6]) κατάστασιν, καὶ βίοτον ἐῤῥαστωνευμένον, καὶ ὁμαλῶς ἡδὺν [7]), ἐπεὶ καὶ νοῦς τοῖς κατ' ἔθος ἥδεται καὶ ἄλυπος βιοῖ, καὶ ψυχὴ παραπλησίως ἄλογος τοῖς κατ' ἔθος καὶ τοῦ σώματος ἄτμητος χαίρει. Τοιγαροῦν

---

1) κατ' ἀνθρ. Cdd. Aug. et Mon. κατὰ ἀνθρ.

2) συνεθ. C. Mon. συνεθισθίει: Aug. συνεσθίη.

3) ἄνθρ. C. Mon. οἱ ἄνθρωποι.

4) ἐκτρεπ. Cdd. Aug. et Mon. ἐκτεποίμεθα.

5) διάθ. C. Mon. διάθεσιν, male.

6) εἰρηνικ. C. Mon. εἰρήνην, in margine: γρ. εἰρηνικήν.

7) ἡδὺν, Cdd. Aug. et Mon. ἡδὴν.

καὶ βίων αἱρέσεσιν ἐθίμοις καὶ πολιτεύμασι [8]) *καὶ διαίταις* [9]) *σώματος, αἷς χρόνος ᾠκείωσεν ἡμᾶς, εἰ δὲ βούλεταί τις ἐρεῖν, οὐσίωσε, μεθ' ἡδονῆς ἡμεῖς ἐχόμεθα, καὶ πάντων καμάτων καὶ ἀλγηδόνων ἐκτὸς, ὥστ' ἐντεῦθεν ἄλλους* [10]) *ἄλλοις ἥδεσθαι, καὶ ἴσως γ' ἐνίοτε καὶ τοῖς ἐναντιωτάτοις τοὺς τῆς* [11]) *ξυλλαχόντας φύσεως διὰ τὴν κατ' ἔθος καὶ χρόνιον τῆς ζωῆς ἀγωγὴν, καὶ τοῖς μὲν ἐκ ταύτης ἔπειτα τῆς αἰτίας τὸ ἄπραγμον ἥδιστον, τοῖς δὲ τοὐναντίον. Καὶ ῥαστώνη μάλιστα πράγματ' ἔχειν διὰ τὸν αὐτὸν τρόπον, ὅτι δῆτα πάλαι πρότερον οὕτω τὸν βίον ἤσκησαν, καὶ οὕτως ἐκ νέων* [12]) *ἤχθησαν κομιδῇ, καὶ τοῖς μὲν οἰκουρίαι, καὶ μηδὲ τῶν ἐκ γειτόνων ξυναίσθησις, τοῖς δὲ πλάναι τινὲς καὶ περίοδοι, καὶ πολλῶν ἀνδρῶν ἰδεῖν ἄστεα καὶ νόον γνῶναι, καὶ πόθος ἀλλοτρίων ἐποπτείας, καὶ τόπων καὶ ἐθῶν καὶ πολιτευμάτων, καὶ τοῖς μὲν ὑπὸ δεσπότας τάττεσθαι, καὶ τιμῶν ἐνταῦθα τυγχάνειν, τοῖς δὲ κοινοπολιτεία καὶ ἄνετα προςτάττοντος πολιτεύματα, καὶ τοῖς μὲν σὺν πόνοις καὶ πραγμάτων ὄγκῳ δόξης ἐπιμέλεια, καὶ κράτος ἐν πολλοῖς καὶ φιλοπρωτεία* [13]) *καὶ*

---

8) **πολιτ.** Cdd. Aug. et Mon. **πολιτεύμασιν**, non sequente vocali. Sic saepe.

9) **διαίταις**, C. Mon. **διαίτᾳ**.

10) **ἄλλους**, omissum in C. Mon.

11) **τῆς**, Cdd. Aug. et Mon. **τῆς αὐτῆς**.

12) **ἐκ νέων**, Cdd. Aug. et Mon. **ἐκνέων**, et mox **ἐκγειτόνων** pro **ἐκ γειτόνων**.

13) **φιλοπρ.** Cdd. Aug. et Mon. **φιλοπρωτία**.

φιλαρχία, τοῖς δ' ἀπραγμάτευτος[14]) καθάπαξ τρυφὴ καὶ ἁβρότης τὶς μόνον, καὶ κορδακισμοὶ, καὶ λιχνεῖαι σώματος, καὶ τοῖς μὲν ἀπόλυτος βίοτος πάντων φροντισμάτων, καὶ πάσης[15]) γνωστικῆς ἐπιμελείας, τοῖς δ' ἐπὶ λόγοις καὶ σοφίας κτήσει[16]) πᾶσα σπουδὴ, κἂν εἰ σὺν πόνοις πάνυ τοι πλείστοις καὶ μελέτης ταλαιπωρίᾳ καὶ ἰσχνότητι ζωῆς οὐκ ἀηδῶς, καὶ τοῖς μὲν γεωργίαι, τοῖς δὲ θρεμμάτων ἀγέλαι καὶ συνόμια, τοῖς δὲ τεχνῶν παντοίων ἀσκήσεις· ἄλλαι δῆτ' ἄλλοις τὸ μέρος, καὶ ὅσαι πονήρως χρῶνται, καὶ ὅσαι ῥᾶστα κατ' ἔθιμον ἀγωγὴν οὐκ ἀηδῶς ἅπασαι συνέλκουσαι· τοῖς δ' ἐμπορεῖαι καὶ καπηλεῖαι καὶ συναλλάγματα, καὶ σοφίσματα κατ' ἀλλήλων εὑρημένα, ὡς μηδὲν ἧττον ἔχειν ἥδεσθαι καὶ ζῆν ἐν ἕξει γαλήνης, καὶ κατὰ φύσιν, ὡς εἰπεῖν, ἐῤῥαστωνευμένως τὸν ἐν ἐρημίᾳ δόξης, πλούτου καὶ τύχης βιοῦντα, καὶ τῶν περὶ τὴν γῆν πόνων ἀποφερόμενον τὰς τοῦ ζῆν ἀφορμὰς, τῶν ἐν πόλεσι καὶ σπουδαρχίαις, καὶ πομπείαις, καὶ πᾶσιν ὄγκοις[17]) τῆς εὐπραγίας καὶ μακραῖς ταῖς οἰκίαις μέγιστα φυσώντων[18]) καὶ βακχευόντων ἄσχετα, καὶ φερομένων ἅπασι πνεύμασι τῆς τύχης οὔρια, καὶ ἴσως γε ναυαγίων οὐ πόῤῥω,

---

14) δ' ἀπραγ. C. Mon. δ' ἐπραγμάτευτος. Aug. δὲ πραγμ.

15) πάσης, C. Mon. πᾶσι.

16) κτήσει, Cod. Mon. κτίσει, et εἰσὶν πόνοις pro σὺν πόνοις, corrupte.

17) ὄγκοις, Cdd. Aug. et Mon. ὄγκης.

18) φυσ. C. Mon. φυσσόντων: Aug. φυσσώντων.

καὶ τῶν ἐσχάτων κινδύνων· καὶ τοσούτῳ [19]) δὴ μάλιστα, ὅσῳπερ ἂν μετ' εὐετηρίας ἀκμαζούσης κομιδῇ καὶ ἀσχολίας εὖ μάλ' ἐπιφθόνου. Καὶ ταῦτα δὴ πάντα τῇ χρονίῳ ξυνουσίᾳ καὶ συμβιώσει κατ' ἔθος ἐκ μακροῦ διαφόρως ἔχοντα καὶ ὑπεναντίως ὅμως τὰ πλεῖστα, πάντα δ' οὖν ἄλλ' ἄλλοις ἥδιστ' ἔχει [20]) κατὰ βίοτον [21]) ἀνύττουσι, τὰ γὰρ ἔθιμα τῇ χρήσει καὶ ψυχαῖς καὶ σώμασιν οὐκ ἀνιᾶν ἔχει [22]), ἀλλ' ἀζημίως ἄγειν δι' οἰκειότητά τινα, καὶ νόμιμον γενομένην, ὡσανεὶ κατὰ φύσιν διάθεσιν, ὥςπερ τοῖς πτηνοῖς τῶν ζώων ἡ πτῆσις ἔχει, καὶ τοῖς ἐνύγροις τὸ νήχεσθαι, καὶ οὐκ ἂν οἷά τ' εἴη, οὐδ' ἥδιστ' ἂν τἀλλήλων ἀντὶ τῶν εἰθισμένων ἀλλάξαιντο.

ΚΕΦ. λγ'.

Ὅτι πολλοὶ τῶν ἀνθρώπων ἀηδῶς σύνεισι τῷ κατ' ἔθος μακρὸν ὁτῳοῦν βίῳ.

Ἀλλὰ μὴν καὶ τοὐναντίον ἔστιν αὖθις ὁρᾶν ἐπ' ἀνθρώπων· δυσχεραίνουσιν οἱ πλείους σχεδὸν, οἷς συνέλαχον ἔθεσι καὶ πράγμασι, καὶ ὅλως βιώσει, καὶ βαρυδαίμονας ἑαυτοὺς ἥγηνται τῇ κακῇ ξυντυχίᾳ καὶ χρήσει τῆς ζωῆς, ἣ φέρων αὐτοὺς ὁ καιρὸς συνέδησε, καὶ ἴσως ἄφυκτα,

---

19) τοσούτῳ, C. Mon. τοσούτου.

20) ἥδιστ' ἔχ. C. Mon. ἥδιστα ἔχει.

21) κατὰ βίοτ. Cdd. Aug. et Mon. iungunt καταβίοτον, vt antea ἐκμακροῦ et deinde καταφύσιν.

22) ἔχει, Cdd. Mon. et Aug. ἔχειν.

καὶ ποθοῦσιν ἤθη καὶ καιρὸν βίοτον ἀηδέστατα φέροντες, οἷς ἂν ἔχοιντο φθάσαντες, ἢ καθ' αἵρεσίν [1]) τινα πρότερον, ἢ κατὰ κλήρου διαδοχὴν καὶ ἀσκήσεως ἐκ νέων, ἢ βίᾳ τινὶ συσχεθέντες, ἢ πολιτείας ἀγωγῇ γένους ἐγχωρίῳ πάλαι τῶν χρόνων συνεχείᾳ κρατούσῃ συντυχόντες, καὶ μένειν ἐθισθέντες [2]) καὶ μένοντες ἀνάγκῃ πάσῃ. Τούτοις δὴ πολλοὺς τῶν ἀνθρώπων ἔξεστι καθορᾶν ἀχθομένους καὶ ἀπευχομένους τὰ συνήθη τοῦ βίου δράματα, καὶ οἷς ἐκ μακροῦ προςέσχον, καὶ διὰ τὰ φύσει μὲν παντὸς εἶναι κόρον πράγματος, καὶ τῶν ἡδίστων τὴν ἀρχὴν καὶ ποθεινῶν [3]) κομιδῇ, μάλιστα δὲ διὰ τὸ τῆς γνώμης ἀνθρώποις ἀβέβαιον, ὡς τὰ πολλὰ, καὶ μάλ' εὔτροπον, καὶ μεταῤῥέον ἀεὶ τοῖς πράγμασιν ἐξ ἄλλων εἰς παντοῖ' ἄλλα. Καὶ πρὸς μεγίστας γὰρ εὐπραγίας δοκούσας πολλάκις ἄνθρωποι σφόδρ' ἀηδῶς ἔχουσι, καὶ διαβέβληται σφίσιν, ἃ νομίζεται τοῖς ἄλλοις κατ' αὐτοὺς ἀγαθὰ δι' ἄλλ' ἄττα πάντως κατ' ἀνάγκην ἐφελκόμενα πράγματ' ἐργώδη· καὶ δοκοῦντες δὴ τοῖς ἄλλοις εὐδαιμονεῖν, καὶ τῶν πολλῶν ὑπέρτεροί τινες εἶναι, τἀναντία δοκοῦσιν αὐτοὶ περὶ ἑαυτῶν, καὶ δυςκόλοις συνεῖναι πράγμασι, καὶ οἷα μεθ' ἡδονῆς ἠλλάξαντ' ἂν εὖ μάλα καὶ ἀπέ-

---

1) καθ' αἵρ. C. Mon. iunctim καθαίρεσιν, item κατακλήρου et ἐκνέων.

2) ἐθισθ. C. Mon. ἐσθέντες, in marg. ἐθιαθέντες.

3) ποθειν. C. Mon. ποθινῶν.

θειτ' ἂν καὶ ὑπεξῆλθον, εἴπερ οἷόν τ' ἦν, κινδύνου τινὸς ἔξω καὶ[4] *δοκοῦντες οἷστισιν ἄρα βίοις ἢ πολιτεύμασιν, ἢ τύχαις, καὶ ὅλως ἀγωγῇ τινι ζωῆς συνεῖναι καὶ συμβιοῦν ὅλῃ ψυχῆς ῥοπῇ τε καὶ διαθέσει, καὶ πράττειν ἀεὶ πρὸς ταύτην ἀπ' εὐτόνου παρασκευῆς, καὶ κομιδῇ μετ' ἔρωτος*[5]. *Οἱ δὲ μάλ' ἀπεστραμμένως πρὸς ταῦθ' ἕκαστ' ἔχουσιν εἴσω τοῖς λογισμοῖς, καὶ διαδρᾶναι ποθοῦσι, καὶ τυχόντες ἴσως ὡς ἄρα καθ' ἑαυτοὺς ποθοῦσιν, ἥδιστ' ἀπαλλάττονται καὶ ἄλλως*[6] *ἐδόκουν. Δημοσθένης, ὁ ῥήτωρ, φιλοπράγμων ἀνὴρ, εἰ δή τις καὶ ἄλλος, δοκεῖ γεγονέναι καὶ τὰ κοινὰ, καὶ τὴν πολιτείαν, καὶ τὸν δῆμον ἐν πάσῃ σπουδῇ ποιούμενος, καὶ τοῦ ζῆν ἐν πράγμασι καὶ τῷ πλήθει, καὶ μηδόλως ἑαυτῷ, καὶ τῆς τῶν πολιτικῶν καὶ κοινῶν περιπλανήσεως, καὶ τῶν ὄχλων τῆς πατρίδος ἐκτὸς, ἀλλ' ἀσχολίᾳ πάσῃ καὶ πᾶσι πράγμασιν ἐν δευτέρῳ πάντα ποιούμενος. Καὶ δῆλον ἔκ τε πάσης τῆς αὐτοῦ βιοτῆς καὶ τῶν κατ' αὐτὸν πραγμάτων, οὐ μόνον γε τῶν Ἀθήνησιν, ἀλλὰ καὶ τῶν*[7] *ἐν ἅπασιν, ὡς εἰπεῖν, ἀνθρώποις, εἰ οἷόν τ' ἦν, οἷς*[8] *ἑκών γε εἶναι διὰ παντὸς συνεφύετο καὶ παρεβάλλετο, καὶ τῶν λόγων δ' αὐ-*

---

4) *καὶ*, omissum in C. Mon.

5) *μετ' ἔρ.* C. Mon. *μετ' ἔρωτα.*

6) *ἄλλως*, Cdd. Aug. et Mon. *ἄλλως ἢ τέως.*

7) *καὶ τῶν*, Cdd. Aug. et Mon. *καὶ τὸν.*

8) *οἷς*, Cdd. Aug. et Mon. *εἷς*: confusa.

τῶν οὐχ ἧττον, οἳ [9]) δὴ μάλιστα καὶ νῦν ἔτι [10]) τὴν πρόθεσιν αὐτῷ τοῦ βίου, καὶ τὸ φιλόπατρι καὶ τὸ φιλόπραγμον, ὡς εἴρηται, δεικνύουσιν. Οὗτος δὴ τύχῃ τινὶ τῆς πατρίδος ἐκπίπτων τἀλλότρια δὴ πάνυ τοι τῆς τοιαύτης αἱρέσεως καὶ βιοτῆς, καὶ τῆς [11]) τῶν πολλῶν περὶ αὐτοῦ δόξης φθέγξασθαι [12]) μνημονεύεται. Καὶ πρῶτόν γε φασὶ πρὸς τὴν ἀκρόπολιν αὐτὸν ἀπιδόντα [13]) καὶ τὴν Ἀθηνᾶν, ταύτῃ γε [13b]) βοᾶν μὴ φειδόμενον, καὶ τὴν ἐντὸς φλέγουσαν γνώμην ἀμηγέπῃ προφαίνοντα· ὦ δέσποινα Πολιὰς, τί δὴ τρισὶ τοῖς χαλεπωτάτοις χαίρεις θηρίοις, γλαυκὶ καὶ δράκοντι καὶ δήμῳ; καὶ οὕτως εἰκάζειν τε καὶ συναριθμεῖσθαι καὶ συμπαραβάλλειν τὸν ὑπ᾽ αὐτοῦ σπουδαζόμενον τῶν Ἀθηναίων δῆμον, καὶ οὗ [14]) πάντων μᾶλλον τῶν ἄλλων ἐν βίῳ, καὶ τῶν καθ᾽ αὐτὸν ἐδείκνυεν ἑαυτὸν, οἷς ἔπραττεν, οἷς ἔλεγεν ἑκάστοτε, καὶ μέχρι νῦν λέγει [15]) κομιδῇ μαινόμενον, ὡς εἰπεῖν, ἐραστὴν εἶναι. Τὸν αὐτὸν δέ φασιν ἔτι πρὸς τοὺς συνδιατρίβοντας τηνικαῦτα τῶν νέων λέγειν ἀποστρέφοντα τῶν κατὰ τὴν πολιτείαν καὶ τὰ

---

9) οἳ, C. Aug. οἱ.
10) ἔτι, Cdd. Aug. et Mon. ἐπί.
11) καὶ τῆς, in C. Aug. deest.
12) φθέγξ. Cdd. Aug. et Mon. corrupte φθέξασθαι.
13) ἀπιδ. C. Mon. ἀποδιδόντα: male.
13b) ταύτῃ γε, Cdd. Aug. et Mon. ταύτην γε.
14) οὗ, C. Mon. οὐ.
15) λέγει, C. Mon. λέγειν.

κοινὰ τῶν Ἀθηναίων πράγματα, ὡς ἐκ δυοῖν αὐτῷ προὔκειτο τὴν ἀρχὴν ὁδῶν αἵρεσις, ἢ πάροδος εἰς τὰ κοινὰ, καὶ τὸ βῆμα καὶ τὴν ἐκκλησίαν, ἢ θάνατος ἄντικρυς καὶ τῆς ζωῆς πανώλεια[16]), εἴπερ ἔφθασεν ἂν εἰδέναι τὰν πολιτείᾳ δυςχερῆ, φόνους καὶ φόβους καὶ διαβολὰς καὶ φιλονεικίας καὶ δυςνοίας, καὶ πάνθ' ὁμοῦ τἄλλα, αὐτίκα ἂν αὐτόθεν μηδὲν ἀναβαλλόμενον ἐπὶ ταύτην ἂν ὅλῃ φορᾷ[17]) τὴν ὁδὸν ὁρμῆσαι, τὴν ἀντικρὺς ἐπὶ τὴν ὄλεθρον ἄγουσαν. Οὕτω πολύ γ', ὡς ἔοικε, δυςχεραίνων ἦν, καὶ μάλ' ἀπήχθητο τῷ βίῳ καὶ τοῖς πράγμασιν ἀνὴρ, οἷς συνεῖναι, πῶς ἂν εἴποι τις, ἐπιμελῶς καὶ ἡδέως ἐδόκει, καὶ τἀναντιώτατα τῶν κατὰ βούλησιν καὶ κρίσιν εὖ μάλ' ἐσπούδαζε, καὶ σπουδάζειν ἐνομίζετο, καὶ οὐκ ἄν ποτε τὶς αὐτὸν ᾠήθη περὶ τῆς Ἀθήνησι πολιτείας καὶ τοῦ δήμου τοιαῦτα φρονεῖν, ἢ ὅλως φθέγξασθαι. Καὶ πολλοῖς μὲν οὖν[18]) οὐχ ἥκιστα τῶν ἀνθρώπων, καὶ ἄλλοις πάλαι τε καὶ ἀεὶ μέχρι νῦν ἀηδῶς ἐστι πράττειν, ἃ πράττουσι καὶ οἷς ξυνέλαχον, καὶ δοκοῦσιν ὡς μάλιστα προςέχειν αὐτοῖς, καὶ κατὰ θεῖον[19]) τὶ συμβὰν αὐτοῖς ἴσως ἂν ἄλλως[20]) χρῆσθαι καὶ μεταβάλλειν, ἢ, κα-

---

16) πανώλ. C. Aug. πανδλια.

17) ὅλῃ φ. C. Mon. ὅλη φορά,

18) οὖν deest in C. Mon.

19) κατὰ θ. C. Mon. καταθεῖον, iunctim.

20) ἄλλως, C. Mon. ἄλλος.

θῶς βιοῦσιν, ἥδιστ' ἀλλάξαιτ' ἂν, καὶ οὐχ ὡς ἄρα τοῖς ἔξωθεν ἐφορωμένοις [21]) κρίνεται, στέργουσιν οἷς χρῶνται, οἷς εἰσὶν, ἀλλ' ἀνιῶνται μάλιστα βιοῦντες κατ' ἔθος, ἢ μᾶλλον, ὡς δοκοῦσιν, ἴσως εὐδαιμονέστατα. Καὶ ὁ πράττων ἄττα πότ' ἄρα, οἷς πράττει, δυςχερῶς ἔχει, καὶ μὴ πράττειν ὡσαύτως εὔξαιτ' ἂν, καὶ ὁ μὴ πράττων ἄττα δὴ καὶ βιοτεύων ἄφροντις, καὶ πάντων πόνων [22]) ἀνώτερος ποθεῖ πράγματα καὶ πόνων ἀφορμὰς, καὶ ἄχθεται τῇ ποθεινῇ ταύτῃ τισὶν ἄλλοις γαλήνῃ τὲ καὶ ῥαστώνῃ καὶ τῶν πόνων ἐλευθερίᾳ, καὶ κάμνειν ἀνήνυτα μάλισθ' ἀνθαιρεῖται καὶ προτίθεται. Καὶ ὁ περίδοξος καὶ τύχης εὐφορίᾳ μακαριζόμενος ἀπατᾶσθαι περὶ ἑαυτοῦ ψηφίζεται [23]) τοὺς πολλοὺς, καὶ τἀληθὲς ὅμως ἀγνοεῖν, καὶ ὅσοις ἀδήλως ἀνιαρῶς παλαίει, ὧν οὐ μήποτε πᾶσαν φαινομένην εὐπραγίαν ἀλλάξαιτ' ἂν ἑκών γε εἶναι, καὶ πολλοῦ πρίαιτ' ἂν, εἴπερ οἷόν τ' εἴη, μεταθέσθαι [24]) τὰ παρόντα, καὶ ἀντιλαβεῖν ἕτερα τῆς δοκούσης ἀγαθῆς ἕξεως. Καὶ κομιδῇ σπάνιον ἐν ἀνθρώποις καὶ οὐκ οἶδ', εἰ καὶ ὅλως ἐστὶν, ὃς ἂν ἱκανῶς ἑαυτὸν ἔχειν εἰς εὐζωΐαν δόξαι· καὶ μὴ ποτέ τιν' εὔξαιτο καὶ ποθῆσαι βίου μεταλλαγὴν, ἢ προςθήκην ὁπῃοῦν ἀμεί-

21) ἐφορ. C. Mon. ἐφερωμένοις.

22) πόνων, C. Mon. πόνος.

23) ψηφίζ. Cdd. Aug. et Mon. ψηφίζεται καί.

24) μεταθ. C. Mon. μετατίθεσθαι.

νονα, κἂν ἄρα δὴ πρότερον ἡδέως ἔμενεν εὖ μάλα τοῖς αὐτοῖς, κἂν ἄρα πᾶσιν ἀνθρώποις ὡς εὐδαιμονέστατ' ἔχειν δοκοίη.

ΚΕΦ. λδ'.

Ὅτι τινὲς τῶν φαύλων καὶ ἀνοήτων οὐδὲν ἧττον, ἢ κατὰ τοὺς πεπαιδευμένους ἥδιστα βιοῦσι, μεγάλα περὶ ἑαυτῶν οἰόμενοι.

Ξυνορᾶν ἐπῆλθέ μοι πολλάκις, καὶ οὐχ ἥκιστα ἀνιᾶσθαι, ὅτι δὴ καὶ οἱ βέλτιστ' ἀνύσαντες ὅ τι ποτ' ἄρα περὶ πᾶσαν ἀρετὴν καὶ σοφίαν καὶ σύνεσιν, καὶ οἱ πάντων ἀνθρώπων ἀβελτερώτατοι καὶ συζῶντες ἀμαθίᾳ καθάπαξ ἐσχάτῃ, ἣν ἄρα περὶ αὑτῶν οἰηθῶσι τὰ κάλλιστα καὶ μέγιστα, καὶ ὅτι πανδέξιοί τινες εἰσὶ καὶ πάνσοφοι καὶ πολὺ προέχουσιν ἢ κατὰ τοὺς πολλοὺς σοφίᾳ καὶ ἐπιστήμῃ, καὶ δοκιμώτατα δρῶσιν ὅ τι ποτ' ἂν δρῶσι καὶ ἄμεινον, ἢ κατ' ἄλλους παλαιούς τε ἴσως καὶ νέους. Ῥᾴδιον δὲ τοῦτο κομιδῇ, καὶ κατ' ἔθος ἅπασιν ἀνθρώποις, περὶ ἑαυτῶν ἀπατᾶσθαι, καὶ τὰ μὴ ὄντα δοκεῖν καὶ πεπεῖσθαι. Καὶ οὗτοι μὲν οὖν ἐν ἡδονῇ πάσῃ κατ' ἐκείνους τοὺς εὐγενεῖς καὶ ἀστείως ἔχοντας βιοῦσι, καὶ σφόδρα ἐν δόξῃ τε καὶ ἐλπίδι περὶ ἑαυτῶν μεγίστῃ καὶ μεγίστοις πρεπούσῃ, καὶ οὐδὲν ἧττον φρονοῦσιν ἐφ' ἑαυτοῖς ὡς ἀρτιουργοῖς παντὸς τοῦ καλοῦ, καὶ παντελείοις ἅπασαν ἄσκησιν καὶ παιδείαν, ἥστινος ἂν ἥψαντο [25]), καὶ

25) ἂν ἥψ. C. Mon. ἀνήψαντο.

οὐδ' ἧττον ὁπηοῦν, ὅπερ ἔφην, φρονοῦσιν, εἰ μὴ καὶ μᾶλλον ἴσως ἥδονται τῶν ἐξαιρέτων ἐν τοῖς καλοῖς ἀνδρῶν, καὶ τελεσφύρων ὡς ἀληθῶς ἀρετῆς πάσης, περὶ ἣν ἐσπούδασαν, ἐν παιδείᾳ τινὶ καὶ σοφίας εἴδει. Τί γὰρ εἰς εὐθυμίαν πλέον ἀποφέρονται, καὶ καθ' ἡδονὴν ἔχουσι πλέον, οἷς ἀληθὴς ἡδονὴ, καὶ περὶ ἀληθινῆς προκοπῆς καὶ ἐλπίδος τῶν ἐν ματαίᾳ δόξῃ περὶ ἑαυτῶν οἰομένων τὰ βέλτιστα, καὶ ἴσως ἐνίοτε καὶ ἄλλους τινὰς παραπλήσια βουκολοῦντας κατὰ τὸν λόγον τὰ αὐτὰ περὶ αὐτων φρονοῦντας ἐχόντων, εἰ δὲ μὴ πλείστους οἰομένων ἐκτόπων [26]) τε καὶ ματαίως ἔχειν τοὺς κατ' αὐτοὺς [27]) ὡς ὑπερφυῆ τινὰ καὶ πόῤῥω σοφίας θαυμάζοντας; Ὅση γὰρ ἐκείνοις πάρεστι τοῖς σπουδαίοις ἐκ παρασκευῆς [28]) ἀληθοῦς τε καὶ ἀπλανοῦς ἀγλαΐα καὶ τέρψις, καὶ ἡδίστη διάθεσις, ἐφ' οἷς κάλλιστα συνοίδασιν ἑαυτοῖς, καὶ τετυχήκασι τινὸς ἀξίου θαυμάζειν, καὶ σφόδρα ἡδύνοντος τέλους ἐπὶ τοῖς πόνοις αὐτῶν οἷστισιν ἄρα, ἡ αὐτὴ καὶ τοῖς λήροις ἐκείνοις κατέχει τὰς ψυχὰς, καὶ ἥδιστα παρὰ σφίσιν αὐτοῖς ἑλλανοδίκαις καὶ ἐπόπταις ἀνοηταίνουσι· καὶ οὐδὲν ἧττον ἧπερ οἱ μετ' ἀληθείας τὰ κατ' αὐτοὺς ἀγαθὰ συνορῶντες, καὶ αὐτοὶ τὰ σφέτερ' αὐτῶν πεποίθασιν ὑπερβαλλόντως [29]) εὖ

26) ἐκτόπ. Cdd. Aug. et Mon. ἐκτόπως.

27) αὐτοὺς, C. Mon. αὐτοῦ.

28) ἐκ παρ. C. Mon. iungit ἐκπαρασκευῆς.

29) ὑπερβαλλ. C. Mon. ὑπερβαλλόντος.

ἔχειν. Εἰ δὲ τοῖς μὲν ἀσφαλῶς ἐστι δοξάζειν, οἱ δὲ κατὰ τὸν Πλάτωνος λόγον περὶ αὐτῶν δὴ τῶν γε τοιούτων βιοτεύουσιν ἀνοήτων δοξῶν καὶ ἐλπίδων μεστοί. Τί μᾶλλον πρὸς τὸ βιοῦν εὐθύμως τὲ καὶ καθ' ἡδονὴν ἀφορμὰς ἔχουσιν οἱ γεννικοὶ καὶ τὸν νοῦν ἐκεῖνοί γε ἐῤῥωμένοι τῶν φαύλων αὐτῶν καὶ παρακεκομμένων τοὺς λογισμοὺς, καὶ καταφλυαρούντων τῆς ἀληθινῆς εὐδαιμονίας καὶ ἀρετῆς; Καὶ ὁρῶμέν γε ὡς ἀληθῶς πολλάκις καὶ πλείστους τῶν ἀνθρώπων σεμνοπρεποῦντας [30] *ἐπὶ λαμπρᾶς ἀμαθίας καὶ ἥδιστα βιοτεύοντας, καὶ πάντ' ἔχειν εὖ μάλ' οἰομένους, καὶ πάντ' εἰδέναι τά τ' ὄντα* [31] *τά τ' ἐσόμενα πρό τ' ἐόντα* [32]*, καὶ ἣν οἱ* [33] *εὐγενεῖς ἡδονὴν καρποῦνται σφόδρα πρὸς ἑαυτῶν ποιουμένους, καὶ ἴσως γε καὶ πλεῖν, ἢ κατ' ἐκείνους. Ὅσῳ τοῖς μὲν καὶ ξυναίσθησις γίγνοιτ' ἂν, ὧν αὐτοῖς δεῖ πρὸς τὸ τοῦ καλοῦ τέλειον, ποῦ γὰρ ἢ παρά τίσι* [34] *τὸ διὰ πάντων τέλειον ἢ γέγονεν ἢ γενήσεται; καὶ ἀνιᾷ λοιπὸν πᾶσα ἀνάγκη τὰ λειπόμενα, τοῖς δ' οὐκ ἔστιν ὅλως ἐπαΐειν οὐδὲ συλλογίζεσθαι, ποῖ φέρονται, καὶ τίνων ἐνδεεῖς εἰσίν· ἀλλὰ νοσοῦσιν ὥσπερ οἱ με-*

30) *σεμνοπρ.* C. Mon. *σεμνοπρεποῦντα.*

31) *τά τ' ὄντα,* Cdd. Aug. et Mon. *τά τε ὄντα.* leg. *τά τ' ἐόντα.*

32) *πρό τ' ἐόντα*, Cdd. Mon. *πρῶτ' ἐόντα.*

33) *οἱ* deest in Aug.

34) *παρά τίσι*, Cdd. Aug. et Mon. *παρατίσι*, et *διαπάντων* iungunt.

λαγχολῶντες παντάπασιν ἀσύνετοι τῆς οἰκείας νόσου, καὶ πλουσιωτάτους ἑαυτοὺς ἥγηνται τῶν καλῶν ὑπ' ἄκρας ἀμαθίας [35]) καὶ δυστυχίας τοσαύτης, καὶ σφόδρα ἥδονται ὥςπερ κἀκεῖνοι τῇ μελαγχολίᾳ καὶ τῇ δυςχερεστάτῃ πλάνῃ πάντα ἀγαθὰ σφίσι προσεῖναι δοκοῦσι, καὶ πλουτοῦσιν εὖ μάλ' ἐνίοτε καὶ ἄρχουσι, καὶ πάντα πράττουσιν ἐν ἡδονῇ πλείστῃ. Καὶ τοίνυν πότερον ἄν τις περὶ αὐτῶν δόξαι, ἢ ποίους ἂν τούς γε τοιούτους λογίσαιτο εὐδαιμονεστάτους, ἥδιστα σφίσιν αὐτοῖς ἀνοηταίνοντας καὶ βιοῦντας οὕτως ἀνεπαισθήτως τῆς ἑαυτῶν συμφορᾶς, ἢ παντάπασιν ἀθλιωτάτους οὕτω παντάπασιν ἀνεπαισθήτως βιοῦντας τῆς ἑαυτῶν συμφορᾶς;

ΚΕΦ. λέ.

Ὅτι πολλοὶ διὰ φιλαυτίαν ἐπὶ μικροῖς [1]), οἷς ἔχουσιν, ἀπειροκάλως ἐπιδείκνυνται.

Μάλιστα μὲν οἱ φιλαυτοῦντες πάσης ἀπληστίας εἰσὶν ὑπεύθυνοι, καὶ πάνθ' ἑαυτῶν ποιοῦνται, καὶ προσήκειν ἥγηνται σφίσι, καὶ οὐδὲν ἂν οὐδενὶ συγχωρήσαιεν ἑκόντες γε ὄντες, οὐδὲ κόρος τὶς αὐτοῖς οὐδέποτε πάντων πραγμάτων, καὶ πάσης τύχης καὶ δόξης, καὶ ἀγαθῶν ἁπάντων, ὥςπερ οὐδὲ τοῖς ὑδέρῳ [2]) κατεχο-

---

35) ἀμαθ. Cdd. Aug. et Mon. ἀμαθείας.

1) ἐπὶ μικροῖς, C. Aug. ἐπιμικροῖς, et mox ἀπειροκάλλος, male.

2) ὑδέρῳ, C. Mon. οὐδ' ἔρωτι, non apte, seq. πάσης πόσεως.

μένοις πάσης πόσεως. Ἔνιοι δέ μοι [3]) *δοκοῦσι καί τινα τρόπον ἄλλον καινότερον φιλαυτεῖν· καὶ ἀπὸ μικρῶν* [4]) *γάρ ἐστιν ὅτε καὶ οὐδενὸς ἀξίων ἐοίκασιν ἀρκεῖσθαι* [5a]), *καὶ οἴεσθαι λοιπὸν ἔπειτ᾽ αὐτόθεν παμπλήρεις εἶναι, καὶ ἀπόπλεω* [5b]) *πάσης εὐδαιμονίας καὶ πάσης ἀγαθῶν ἕξεως καὶ χάριτος καὶ ἀρετῆς. Καὶ οὕτω γε σφόδρα ἥδονται τοῖς εὐτελεστάτοις, οἷς ἂν ἔχωσιν, οἷς ἂν κτήσαιντο, ὥςπερ ἂν οἱ βέλτιστοι καὶ μάλ᾽ ἁβροὶ* [6]), *καὶ τῆς τύχης καὶ πάντων ἀγαθῶν βαθύπλουτοι ταῖς μεγίσταις ἀφορμαῖς τῶν ἐπιδείξεων καὶ τιμιωτάταις, καὶ ἃς ἄρα δὴ πάντων πραγμάτων πρίαιτ᾽* [7]) *ἄν τις, εἴπερ οἷόν τέ ἐστι. Καὶ γὰρ δὴ πολλάκις τινὲς, ἣν ῥησείδιά τιν᾽ ἐκμελετήσωσι, πάντ᾽ ἔχειν τὰ σοφίας πράγματα, καὶ κομιδῇ πλουτεῖν αὐτοὶ τῆς παιδείας ἥγηνται, καὶ βιοῦσιν, οἶμαι, καθάπαξ ἥδιστα καὶ* [8]) *κατ᾽ ἔφεσιν ὡς ἐπιτυχεῖς, ὧν εὔξαιντ᾽ ἂν, καὶ βραχέα τινὰ* [9]) *ῥήματα εἰ συν-*

---

3) *δέ μοι*, ignorat C. Aug.

4) *ἀπὸ μικρ.* C. Aug. *ἀπομικρῶν*.

5a) *ἐοίκ. ἀρκ.* absunt a C. Mon. margini tamen eadem manus adscripsit.

5b) *ἀπόπλεω*, fors. *ἐπίπλεω*.

6) *μάλ᾽ ἁβροὶ*, C. Mon. *μαλαβροτοὶ*, in marg. *γρ. μαλαυροί*. Sic etiam saepe *λαῦρον* pro *λάβρον*.

7) *πρίαιτ᾽*, Cdd. Aug. et Mon. *πρίατ᾽*.

8) *καὶ*, omittit C. Mon.

9) *βραχ. τινά*, C. Aug. *βραχέά τινα*: sic Ciz. in Cap. sq.

θήσουσί τινες, καὶ οὐ πάνυ συν ἄρα τινὶ κόσμῳ καὶ τάξει καὶ διοικήσει νομίμῳ, καὶ στοιχίδι᾽[10]) ἀποτάδην, ἢ καὶ ξὺν μέτρῳ δή τινι. Βαβαὶ τῆς ὀφρύος, βαβαὶ τῆς εὐφορίας καὶ τῆς εὐπραξίας, καὶ τῆς εὐτοκίας, ἧς καθ᾽ ἑαυτῶν ψηφίζονται, καὶ ἥδονται πάνυ τοι πλεῖν ἴσως, ἢ τῷ Τιμαίῳ Πλάτων[11]), καὶ Δημοσθένης τὸν περὶ τοῦ[12]) στεφάνου καὶ Κτησιφῶντος Ἀθήνησιν ἀγωνισάμενος καὶ νικήσας, καὶ Ἀριστείδης τοὺς ὑπὲρ τῶν τεσσάρων ἐπιδειξάμενος, καὶ μέγας ἀκούσας καὶ θαυμαζόμενος ἐξ ἐκείνου[13]) μέχρι καὶ νῦν ἐν Ἕλλησιν. Οὕτω νομίζουσιν ἑαυτοὺς ἐπὶ μικροῖς τισι, καὶ δυοῖν ἢ τριῶν ὀβολῶν ἀξίοις, ἔνιοι μεγάλους τε καὶ θαυμαστοὺς, καὶ ἀποχρώντως ἔχειν οἴονται πρὸς εὐδοξίαν καὶ εὐθυμίας ἀφορμὴν, καὶ χρῶνται δῆτ᾽ εὖ μάλα καὶ καλλωπίζονται, καὶ μέγα φρονοῦσιν, οἷς ἤνυσαν ὅπως ἄρα, καθάπερ οἱ τῶν μεγίστων καὶ καλλίστων[14]) ἐπιδεικτικῶς χρώμενοι, ὥςπερ ἐνίους τῶν εὐτελεστέρων ὁρῶμεν καὶ πενιχρᾷ συζώντων τύχῃ ἐν ταῖς πανηγύρεσι καὶ ταῖς ἑορτασίμοις καὶ περιωνύμοις τῶν ἡμερῶν ἐκ μικρῶν δή τινων καὶ οὐκ ἀξιολόγων κοσμοῦντας

10) στοιχίδι᾽, alias dic. στιχίδιον.

11) Πλάτων, C. Mon. Πλατων.

12) τοῦ, Cdd. Aug. et Mon. τόν. Mon. στεφάνους, Aug. στεφάνου.

13) ἐξ ἐκ. C. Mon. iunctim ἐξεκείνου, et postea ἐπιμικροῖς.

14) οἱ τῶν — καλλίστων, verum super ων - ων scriptum οις - οις: Cdd. Mon. et Aug. οἱ τοῖς μεγίστοις καὶ καλλίστοις.

ἑαυτους καὶ καλλωπιζομένους ἥδιστα, καὶ θεατρικῶς καὶ παραπλησίως τοῖς ἐκ περιλάμπρων[15]) δή τινων ἐπιδεικνυμένοις καὶ πομπεύουσιν εἰς πᾶσαν ἀγλαΐαν. Καὶ γένοιτ' ἂν ἀνδρὶ ταπεινὰ πράττοντι πολλάκις εἰς ἀφορμήν τινα καλλωπισμοῦ κατακαιρὸν καὶ τέρψεως ες ἐρίων δή τινων, ἢ λίνων ὑφαντόν τι τῶν εὐώνων τὲ καὶ ῥαδίων πορίσασθαι· ἴσα καὶ ἄλλό τι[16]) τῶν καλλίστων τὲ καὶ χρυσοπάστων, καὶ τιμιωτάτων ἐπιβλημάτων ἄλλῳ τῳ τῶν εὐπραγούντων μακραῖς οὐσίαις καὶ θεατρικῶς ἐσκευασμένων. Καὶ τὸν αὐτὸν ἄρα τρόπον ἐοίκασιν, ὡς ἔφην, διὰ φιλαυτίαν τινὰ ταύτην εἴτουν ἀπειροκαλίαν ἔνιοι τῶν οὐχ ἱκανῶς ἐχόντων μεγάλοις συνεξετάζεσθαι ἐπὶ μικροῖς δή σθαι[17]) πρὸς ἡδονήν τινα, κἂν εἴπου τὶ φθέγξαιντο νηπιῶδες καὶ γενναίας καθάπαξ φύσεως ἀλλότριον, ἢ καὶ ὁπηοῦν τῶν τῆς παιδείας ἐπαΐειν οἷοί τε γένοιντο, ἃ κἂν βοῦς, κἂν ὗς, κἂν ὁτιοῦν θρέμμα, πῶς ἂν εἴποιμι, συνορᾷν ἰσχύοι, ἱκανῶς ἔχειν ἔπειτα λοιπὸν οἴονται πρὸς τὴν ἐκ σοφίας[18]) δόξαν, καὶ τὴν ἐντεῦθεν ἡδονὴν, καὶ καθ' ὥραν ἀξιοῦσι βιοῦν καὶ χρῆσθαι.

---

15) ἐκ περ. C. Mon. ἐκπεριλάμπρων.

16) ἴσα καὶ ἄλλό τι, C. Mon. sic: ἴσα καὶ ἄλλό τι τῶν εὐώνων τε καὶ ῥαδίων πορίσασθαι, ἴσα καὶ ἄλλά τι τῶν καλλίστων etc.

17) δή σθαι, mendose, Cdd. Aug. et Mon. δή τισι καὶ δικαίως ἂν πάσης ἀξίοις ὀλιγορίας ἔρεσθαι.

18) ἐκ σοφ. C. Mon. ἐκσοφίας.

ΚΕΦ. λϛ′.

Ὅτι καὶ [1]) ἐν μικροῖς τινὲς ἀγαθοῖς εὐγνώμονές εἰσι, καὶ περὶ τοῦ βασιλέως ἐνταῦθα.

Ἀλλὰ μὴν καὶ τοῦτ᾽ αὖθις ἐνίοτε ὁρῶμεν, ὡς ἄρα δή τινι [2]) ἀπ᾽ εὐγνώμονος καὶ χρηστοῦ τοῦ τρόπου εὖνοι δὴ καὶ πρόθυμοι κομιδῇ χαίρειν εἰσὶ, καὶ χάριν ὁμολογεῖν ἐπὶ πᾶσιν, οἷς ξυνέλαχον, καὶ ἡ τύχη καὶ ὁ ξυμπίπτων χρόνος ἔνειμε σφίσιν εὖ ἔχουσιν ἀμηγέπη, καὶ εἰ βραχέα τινὰ τὰ ξυλλαχόντα, μηδὲν ἧττον, ἢ εἰ τὰ μέγιστα καὶ ἁπάντων πᾶσαν εὐγνωμοσύνην πρόδηλον πράττεται. Ὥςπερ δὴ καὶ Πλάτωνα φασὶν ἐν τῷ τελευτᾷν πλείστην ἀποδιδόντα τῇ περὶ αὐτὸν προνοίᾳ τὴν εὐγνωμοσύνην καὶ εὔνοιαν, ἥδεσθαί τε καὶ εὐχαρίστως ἔχειν, ὅτι δὴ πρῶτον μὲν ἄνθρωπος γέγονε [3]), καὶ οὐ τῶν ἀλόγων τὶ ζώων, εἶθ᾽ ὅτιπερ Ἕλλην καὶ οὐ βάρβαρος, εἶθ᾽ ὅτι Ἀθήνησιν, ἀλλ᾽ οὐκ ἄλλοθί πη τῆς Ἑλλάδος, ἐν αὐτῇ δὲ τῇ πασῶν τῶν ἄλλων πόλεων ἐν Ἕλλησι φιλολογωτάτῃ, καὶ πάσης μὲν ἀρετῆς καὶ ἀστειότητος εὐτοκούσῃ, καὶ οὐχ ἥκιστά γε τῇ περὶ αὐτὴν τὴν παιδείαν ἅπασαν εὐφορίᾳ, καὶ ζεούσῃ σπουδῇ καὶ ἐπιμελείᾳ μεγίστῃ κλεϊζομένῃ καὶ περιωνύμῳ τῆς γῆς ἁπάσης, καὶ τῆς οἰκουμένης οὐκ οἶδ᾽ ὅπῃ μὴ, καὶ ὅτι

1) καὶ deest in C. Mon.

2) τινι, an τινὲς vel τισὶ?

3) γέγονε, C. Mon. γέγονεν: sic etiam aliis locis.

ἐν τοῖς αὐτοῦ Σωκράτους τοῦ θαυμασίου χρόνοις δὴ γέγονε· καὶ πλεῖσθ᾽ ὅσα καταλέγοντα φασὶ, μείζω τὲ καὶ ἥττω, οἷς κατα τὸν βίον ἀνὴρ εὖ ἐχρήσατο, τελευτῶντα προςτιθέναι, καὶ τὸν ἀπ᾽ Ἀθηνῶν εἰς Αἴγιναν ὁσάκις ἔπλευσε πλοῦν, ὡς ἀκινδύνως ἔπλευσε [4]), καὶ καταριθμεῖσθαι ταῖς ἀπὸ τῆς τύχης χάρισι. Καὶ οἶδ᾽ ἔγωγε ἐνίους ἀμέλει καὶ νῦν γε εἶναι, μάλιστα τὸν ἐμὸν θαυμαστὸν αὐτὸν [5]) βασιλέα εὐγνωμοσύνης ἀφορμὰς τῷ Θεῷ κατὰ τὸν βίοτον, καὶ διὰ τῶν βραχυτάτων, καὶ ὧν οἱ πολλοὶ μὴ ῥᾳδίως ξυλλογίσαιντ᾽ ἂν, ἀντιμετροῦντ᾽ εὖ μάλα προθύμως, καὶ παρορῶντα μηδὲν, μηδὲ παρατρέχοντα ἀνεπαισθήτως, ὡς εἰπεῖν· πόθεν; ὅςγε μὴ τοῖς ἀγαθοῖς, καὶ ὅσα γε μέτριά οἱ ξυνέτυχον, καὶ ὅσα θαυμάσια οἷα χάριν ἔχει, καὶ παῤῥησίᾳ τρανοῖ τὴν εὐγνωμοσύνην τῷ χορηγοῦντι δεσπότῃ, ἀλλὰ καὶ τὰ τῶν ἄλλων λωβήματα καὶ τὰς συμφορὰς ἐπιλογιζόμενος ἐφ᾽ ἑαυτοῦ, μάλιστ᾽ ἀνθομολογεῖται χάριτας τὰς μεγίστας, καὶ ἀποτιννύει, ὅτι δὴ μὴ τοιούτοις αὐτὸς συμπέπτωκε δυςτυχήμασι, καὶ κατενόσησε, καὶ κατεταλαιπωρήθη, ὅτι ποτ᾽ ἄρα καὶ πονήρως ἔσχεν ἢ τῆς κατὰ σῶμα, ἢ τῆς κατὰ ψυχὴν [6]) ἀγαθῆς ἕξεως. Καὶ γὰρ δὴ καὶ ὡς ἀληθῶς κατ᾽ ἄμφω θαυμαστῶς ὅπως ἀρτιουργὸς

---

4) ἔπλευσε, Cdd. Aug. et Mon. ἔπλᾳσε.

5) αὐτὸν, ex Cdd. Aug. et Mon. exulat.

6) κατὰ ψ. C. Mon. vti semper, καταψυχήν.

αὐμὸς οὑτοσὶ [7]) βασιλεὺς δείκνυται φορᾷ [8]) τῆς φύσεως. Ἀλλ' ὅπερ ἔλεγον, καὶ αὐτὸς, καὶ τινὲς ἴσως ἄλλοι, εἰ καὶ μὴ παραπλησίως, φαίνονται δ' ὅμως εὐγνώμονες ἐπόπται καὶ συνετοὶ, καὶ τῶν βραχυτάτων αὐτῶν τῆς περὶ αὐτοὺς θείας προνοίας ἀγαθῶν, καὶ ἥδονται πάνυ τοι, καὶ χάριτας ἀναβοῶνται καὶ κηρύττουσι· κἂν εἴπου τὶ καὶ χαλεπὸν ἐπισυμβαίνοι, οἷα δὴ τἀνθρώπινα καὶ πάντες πειρῶνται, καὶ οὐκ ἔστιν ὅστις οὐ τῶν κατὰ τὸν βίον δεινῶν ὁποιοῦν μειζόνων τὲ καὶ ἡττόνων, οἱ δὲ [8b]) φέρονται τῷ νῷ καὶ στρέφονται περὶ τὰ μείνονα [9]) νουνεχεῖς ὡς ἀληθῶς καὶ βέλτιστοι, καὶ οὐδὲν μήποτε τῇ προνοίᾳ [10]) μεμφόμενοι καὶ διώκοντες αὐτὴν ἀλογίας ἀκαίρως ἢ ἀδικίας, καὶ χάριν ἔχουσιν ὑπὲρ τῶν βελτίστων, καὶ ἀντανιστῶσι ταῦτα τῇ πονηρᾷ τύχῃ, καὶ ἀνισοῦσι ταῖς κακοπραγίαις τὰ λῷονα, καὶ τῆς ἑτέρας μοίρας, καὶ οὐκ ἀτυχήματα μόνον ὁρῶσιν, ἀλλὰ καὶ πρὸς τὰ καλῶς ἔχοντα ἢ φθάσαντα ἐν καλοῖς ὅπως ἄρα. Αὐτίκα αὐτόθεν ταῖς γνώμαις ἔπειτα μεταφέρονται [11]), καὶ ζητοῦσιν εὐγνωμοσύνης ἀφορμὰς, καὶ μὴν οὐδ' ἀποτυγχάνουσί γε, ὅπως ἂν ἔχωσιν, οὐδ' ἐπιλείπει σφᾶς εὑρήματα

7) οὑτοσὶ, C. Mon. οὑτωσί.

8) φορᾷ, Cdd. Aug. et Mon. φορά.

8b) οἱ δὲ, C. Mon. οὐδέ.

9) τὰ μείνονα, C. Aug. τ' ἀμείνονα, recte.

10) τῇ πρ. C. Mon. τὰ προνοία.

11) μεταφ. Cdd. Aug. et Mon. μεταφέροντα, male.

πρὸς τὴν πρόθεσιν. Ἂν ὅστις πενέστατος, ἂν ὅστις ἀθλιώτατος δοκοίη τὴν τύχην, καὶ τὸ σῶμα ἀνάπηρος, ἀλλὰ βουλόμενος χρηστὸς εἶναι καὶ μὴ δύσκολος τοὺς τρόπους, καὶ βαρὺς καὶ ἀναιδὴς τῇ προνοίᾳ, ἔχει πορίζεσθαι καὶ συνορᾷν δίκαια εὐγνωμοσύνης ὀφλήματα, καὶ οὐ παντάπασιν οὐδὲ πάντων ἀγαθῶν ὀρφανός ἐστιν. Οἱ δὲ καὶ αὐτὸ τοῦτο κάλλιστ' ἐν τοῖς δεινοῖς ξυνορᾷν ἔχουσιν, ὡς ὁποῖά ποτ' ἂν ᾖ [12]) τὰ χαλεπὰ, ἔστιν ὅμως [13]) καὶ χαλεπώτερα [14]) καὶ πλείω ξυμπεσεῖν, καὶ χάριν ἀξιοῦσιν ἔχειν, ὅτι δὴ χερείοσι καὶ βαρυτέροις ξυντετυχήκασιν, ἀλλὰ [15]) μετριώτερον ὅπως ἄρα, ἢ κατὰ σώματος [16]) τινὰ συμφορὰν, ἢ πικράν τινα τύχης ἔξωθεν ἐπήρειαν κακῶς πράττουσιν.

ΚΕΦ. λζ΄.

Θρῆνοι ἐπὶ τῇ τῶν Ῥωμαϊκῶν πραγμάτων ἐλαττώσει καὶ μεταβολῇ τῆς μεγάλης ἐκείνης εὐδαιμονίας.

Οὔτε λέγειν ἱκανῶς ἔχοι τὶς ἂν, καὶ θρήνους ἄρα συντιθέναι περὶ τῶν Ῥωμαϊκῶν αὐ-

---

12) ᾖ, Cdd. Aug. et Mon. falso ἦ.

13) ὅμως, C. Mon. νόμος, vitiose.

14) χαλεπ. Vterque C. Aug. et Mon. χαλεπότερα, male. Praeterea sq. καὶ omittit C. Mon.

15) ἀλλά, Cdd. Aug. et Mon. ἀλλὰ καί.

16) κατὰ σ. C. Mon. iunctim κατασώματος.

τῶν πραγμάτων, ὅσ᾽ ἤδη [1]) κακῶς πέπραχε, καὶ πάνυ τοι δυστυχῶς ἔσχεν, οὔτε σιωπᾷν ἔξεστιν, ὅτῳ [2]) καὶ μετρίως οἷόν τέ ἐστιν αἰσθάνεσθαι καὶ προςκλάειν [3]) ὅπως ἄρα· ὢ τῆς προτέρας ἐκείνης [4]) τῶν ἀγαθῶν φορᾶς, καὶ τοῦ μεγίστου κράτους ἐκείνου καὶ κλέους ἐπὶ πάσης οἰκουμένης, καὶ πάντων, ὡς εἰπεῖν, ἀνθρώπων, καὶ κλέους ἀμέλει περὶ πάντων πραγμάτων, καὶ πάσης ἀρετῆς τε καὶ εὐδαιμονίας, σοφίας, ἀνδρίας, μεγαλοφυΐας, εὐαρμοστίας πάσῃ τῶν καλῶν μοίρᾳ, πολιτικῆς πάσης χάριτος, καθόλου πάσης εὐγενοῦς ἕξεως, καὶ νομίμων ἀνθρωπίνων, καὶ κόσμων πάντων μεγάλοις πρεπόντων ἀνθρώποις, καὶ πράγμασιν εὐετηρίας· οἴχεται τὰ πλεῖστα, προδήλως οἴχεται, καὶ κατ᾽ ὀλίγον ἐκ μακροῦ [5]) φθίνοντα, καὶ τῆς οὐσίας καὶ τῆς ἀκμῆς μᾶλλον ὑποῤῥέοντα νόμοις, ὡς ἔοικε, φύσεως ἐπὶ πάντων οὕτως ἰούσης, κεχώρηκεν [6]) οὕτω δὴ πονήρως, ᾗ [7]) κεχώρηκε, καὶ δεδίττεται πλεῖν [8]) ἔτι περὶ τοῦ μέλλοντος, ὅστις ἐπαΐειν

---

1) ὅσ᾽ ἤδη, sed super ὅσ᾽ scriptum est ὡς, vti exhibent Cdd. Aug. et Mon.

2) ὅτῳ, C. Aug. οὕτῳ.

3) προςκλάειν, C. Mon. προςκλάιειν: Aug. πρόςκλάειν.

4) ἐκείνης, deest in C. Mon.

5) ἐκ μ. Cdd. Mon. et Aug. ἐκμακροῦ.

6) κεχ. C. Aug. καὶ χώρηκεν, male.

7) ᾗ, C. Mon. ἧ.

8) πλεῖν, Cdd. Aug. et Mon. vti etiam alias, πλήν.

οἷός τέ ἐστι, καὶ ὁτιοῦν συνορᾷν. Ἄμεινον μέν τ' ἂν εἴη μὴ ξυνορᾷν ἴσως, ὁτῳοῦν [9]) πρὸς τὸ βιοῦν ἀναλγήτως [10]), ἐπειδὴ βιοῦν οὕτως ἐκληρώθημεν ἐκ διαδοχῆς [11]) τῶν ἄνω βελτίστων ἡμεῖς· ἄμεινον μέν τ' ἂν, ὅστις ἔτι μὴ τῶν φθασάντων ἐξ ἱστοριῶν ἔστιν ἐν μνήμῃ, καὶ ζῇ τὰ παρόντα πατρικῆς ἐκείνης πάλαι τῶν χρόνων, καὶ διὰ πολλῶν τῶν χρόνων εὐπραγίας καὶ δόξης ἀμαθῶς τοσαύτης. Τίς δ' ἂν ἀμαθὴς εἴη τοσούτου πράγματος; τίς δ' οὕτως ἀναίσθητος ἐκ τῶν παλαιῶν λειψάνων, ἃ χρόνος ἀεὶ θησαυρίζει, καὶ τῆς ἐθίμου μέχρι νῦν ἀγωγῆς καὶ καταστάσεως μὴ συλλογίζεσθαι τὰ φθάσαντα μέγιστα τῆς τύχης καὶ τῆς ἀρετῆς, καὶ παντοίας εὐεξίας μέγιστα; Βρεττανικαὶ νῆσοι πρὸς ἑσπέραν, καὶ ὑπὲρ Εὐφράτην τὴν [12]) πρὸς ἕω, καὶ ὑπὲρ Ἴστρον καὶ Γερμανοὺς καὶ Κελτίβηρας, καὶ Τάναϊς, καὶ Καύκασος, καὶ Κασπία θάλασσα πρὸς βοῤῥᾶν, καὶ πρὸς νότον ὑπὲρ Αἰθείοπας [13]) εἴσω, καὶ τὴν Ἀῤῥάβων εὐδαιμονίαν [14]), καὶ κατὰ Λιβύην ὅσον οἰκούμενον, τὰ Ῥωμαίων ὡρίζοντο μέτρα καὶ μήκη, καὶ θάλασσα πᾶσα [15]), καὶ ὅση κατὰ θάλασ-

---

9) ὁτῳοῦν, C. Mon. ὁτεοῦν: Aug. ὁτιοῦν.

10) ἀναλγ. C. Aug. ἀναλήτως: male.

11) ἐκ διαδ. Cdd. Aug. et Mon. iungunt ἐκδιαδοχῆς.

12) Εὐφρ. τὴν, C. Aug. Εὐφράντην: Mon. omittit τήν.

13) Αἰθείοπ. C. Mon. rectius Αἰθίοπας.

14) εὐδαιμ. C. Aug. εὐδαιμονία: Aug. εὐδαιμονίᾳ.

15) πᾶσα, C. Mon. πάσης.

σαν[16]) ἐν νήσοις οἴκησις ἐν μέσῳ τῆς καθ᾽ ἡμᾶς ταύτης ἡγεμονίας, ὅσα καὶ ποταμῶν ῥοαί τινὲς ἐν μέσῳ χώρας ἡστινοσοῦν, καὶ ἃ πόνοι πολλοὶ κατεκτήσαντο, στάσεις ἐκεῖθεν, καὶ φθόνοι καὶ βλακεῖαι, καὶ τρυφῆς ἀσχολία πᾶσα πρὸς φθορὰν[17]) ἦγον κάτ᾽ ὀλίγον ἑξῆς, μᾶλλον δὲ καὶ κατὰ πλεῖστα διέτεμον ἐπ᾽ ὀλέθρῳ τῆς ὅλης συνεχείας καὶ τοῦ μεγέθους τῆς ἀρχῆς, μέχρις οὗ κατέστη τὰ τῆς ἀρχῆς τῆς πολυμήκους ταύτης, καὶ τίς ἂν ἔξω δακρύων φαίη; κατέστη δ᾽ οὖν καὶ καθ᾽ ἕω καὶ πρὸς δυσμὰς[18]), ὅσον ἔγνωμεν, βραχύ τε καὶ πολύνοσον, καὶ ῥᾶστ᾽ ἐκκείμενον εἰς πᾶσαν ἐπήρειαν τῆς [19]) ἐγγειτόνων βασκανίας καὶ βδελλυρίας, καὶ ὧν οὐδεὶς πρότερον λόγος ἦν. Ἀλλ᾽ ἔδει γε πάντως αὐτοὺς ἀγαπᾷν, εἰ μὴ κακῶς πάσχοιεν, καὶ δέος αὐτοὺς πάσης ἐπιχειρήσεως ἀπεῖργεν[20]), εἰ δὲ μὴ, κακῶς ἀπήλλαττον ἀξιοῦντες ὁπηοῦν[21]) πειρᾶσθαι. Ἀλλ᾽ οἱ πρότερον εὐπεριφρόνητοι καθάπαξ, καὶ οὐδὲν ἀλλ᾽ ἤ[22]) συγχωρούντων ὑπὸ φιλανθρωπίας Ῥωμαίων βιοῦντες, θρασεῖς, καὶ μάλ᾽ ἔντονοι, καὶ κρατοῦντες καθ᾽ ἡμῶν τε καὶ τῆς ἡμῶν ἐκ-

---

16) κατὰ θάλ. C. Mon. καταθάλασσαν, et postea κατακλεῖστα pro κατὰ πλεῖστα.

17) φθορὰν, C. Mon. φοράν.

18) πρὸς δ. C. Aug. πρὸς δυσμᾶς.

19) ἐπ. τῆς, C. Mon. ἐπήριαν αὐτῆς: Aug. ἐπήρει αὐτῆς.

20) ἀπεῖργ. Cdd. Aug. et Mon. ἀπῆργεν.

21) ὁπ. C. Aug. ἐπιοῦν, male.

22) ἤ, C. Aug. ἦ.

λύσεως [23]) καὶ ὑγρᾶς βιοτῆς, καὶ βλακώδους, καὶ μάλιστ' ἀτημελήτου [24]) τῶν προσηκόντων, καὶ τῆς ἑκάστοτ' ἀναγησίας [25]) πρὸς τὰ προεμπίπτοντα [26]) τοῖς κινδύνοις. Ὦ τῆς τοσαύτης ὀλιγωρίας, καὶ τοῦ πρὸς ὥραν ἀπατῶντος πρὸς ἄνεσιν κέρδους· ὢ τῆς τοσαύτης βραδυτῆτος· ἢ πάντας ἐπιτρέχειν εὖ μάλα καθ' ἡμῶν ἦρε [27]), πρὸς οὐδὲν ἰσχυρῶς ἀντιπράττον ἅπαντας εὐθαρσεῖς καὶ ἀλλήλοις τὸ καθ' ἡμῶν πρόθυμον παραθήγοντας, καὶ ἀνιστάντας εἰς τὰ παραπλήσια σὺν ἔριδι [28]) καὶ ζήλῳ ἐπὶ τὰ πρόδηλα κέρδη, καὶ τὴν ῥᾶστ' εὔωνον καὶ μηδενὶ ξὺν πόνῳ καθ' ἡμῶν εὐετηρίαν, καὶ οὐ Μυσῶν λείαν, ὡς ἡ παροιμία, ἀλλὰ τὸ δρυὸς πεσούσης ἀκαμάτως, καὶ τοῦτο κατὰ τὴν παροιμίαν, ξυλίζεσθαι. Τοιγαροῦν μικρὰ τὰ λειφθέντα μέρη τῆς πάντοθεν κακουργίας ἡμῖν [29]) · καὶ γεγόναμεν ἐν στενῷ κομιδῇ τῆς τύχης καὶ τῶν πραγμάτων, καὶ τῆς πολυμήκους ἐκείνης ἀρχῆς [30]) κύκλῳ πάντοθεν, ἐν στενοτάτῳ μάλιστα τῷ παλαιῷ κλέει μόνῳ μέγα φρονεῖν ἀξιοῦντες. Τἄλ-

23) ἐκλ. C. Mon. ἐκχήσεως: Aug. ἐκλέσεως: vterque mendose.

24) ἀτημελ. Cdd. Mon. et Aug. ἀτημελέτου, vitiose.

25) ἀναγ. C. Mon. recte ἀναλγησίας: Aug. ἀναγλησίας.

26) προεμπ. C. Mon. πίπτοντα.

27) ἦρε, C. Aug. ἦρε.

28) σὺν ἔρ. Cdd. Aug. et Mon. συνέριδι.

29) ἡμῖν, C. Mon. ἡμῶν, et mox στονῷ pro στενῷ.

30) ἀρχῆς, Cdd. Aug. et Mon. ἄρ' ἀρχῆς.

λα δὲ τίνων οὐκ ἀθλιώτεροι, καὶ ταπεινωθέντες ἐκτόπως καὶ τἀνθρώπινα, καὶ ὅσα τῆς κατὰ κόσμον εὐδαιμονίας, καὶ τὰ θεῖα μάλιστα, καὶ ὅσα τῆς χριστιανικῆς εὐγενείας ἐκείνης τῆς μεγαλωνύμου καὶ θριαμβευούσης ἐπὶ πάσης τῆς οἰκουμένης; Καὶ σβέννυται μὲν ὑπὸ τῶν ἀσεβούντων ἐχθρῶν ἔξω τὰ Χριστοῦ δόγματα καὶ μυστήρια, καὶ καταπατεῖται καὶ βεβηλοῦται, καὶ οἱ [31]) τοῦ μεγάλου καὶ περιδόξου καὶ παντίμου καὶ περιφανοῦς ἐκεῖθεν ὀνόματος ἐπώνυμοι θέαμα ἐλεεινὸν βραχὺ καὶ ἄτιμον πνέοντες [32]), καὶ ἀεὶ τῶν δεινῶν κάκιστα προχωροῦντες εἰς ἔσχατον ἤδη τὸν κίνδυνον. Νοσεῖ δ' ἔνδον ἐν ἡμῖν τὰ τῆς θεοσεβοῦς ἀγωγῆς, καὶ ἀρετὴ πᾶσα, καὶ κοσμιότητος [32b]) ἡμᾶς ἀπέλιπε, καὶ ἀπιστεῖται, ὅσα καὶ ἐκ τῶν ὁρωμένων, εἴποτε [33]) καὶ ἦν καὶ ἔσται, ἢ καὶ ὅλως ἐν ἀνθρώποις ἔχει φύσιν ἐμπολιτεύεσθαι. Ἀλλὰ μὴ λόγος μόνον ἐστὶ καὶ διανοίας ἀστεῖον ἀνάπλασμα, καὶ σφόδρ' ὀλίγον τὸ ὑγιαῖνον, καὶ τοῦθ' ἁλώσιμον ταῖς αὐταῖς νόσοις, καὶ πρὸς ἀλλήλους ἔριδες, καὶ πάντων καταδρομαὶ κατὰ πάντων [34]), καὶ πάντων ἐπιτιμήσεις, καὶ οὐδὲν

---

31) οἱ, C. Mon. ἡ.

32) πνέοντες, Cdd. Aug. et Mon. πλέοντες: confunduntur λ̄ et ν̄.

32b) κοσμιότ. fors. κοσμιότης.

33) εἴποτε, C. Mon. male εἴπατε, omisso καὶ post ἦν: Aug. νῦν pro ἦν.

34) κατὰ π. C. Mon. iunctim καταπάντων.

μήποτ' ἀνεύθυνον, ἢ ταῖς ἀληθείαις, ἢ τῷ παρ' ἀλλήλων φθόνῳ, οὔθ' ὧν πράττομεν, οὔθ' ὧν ἄρα λέγομεν, οὔτε μὴν ἀτεκτοῦν[34b]) συμψηφιζομένων ἀκροατῶν. Ἱερωσύνης δὲ καὶ βήματος θειότης καὶ τοῖς μετειληχόσιν αὐτῆς οὐ πολλοῦ λόγου, ἀλλ' ἐν ὀλιγωρίᾳ πλείστῃ τῶν αὐτῇ προσηκόντων, καὶ τῷ λεῷ πάσης αἰδοῦς ἔξω, καὶ τοῦ νομίμου σεβασμοῦ καὶ τῆς δεδομένης σεμνότητος, καὶ πολλῶν δεῖ τῶν λόγων, καὶ πολλῶν μάλιστα τῶν θρήνων, εἰ μέλει τὶς ἀξίως τῶν τοσούτων χαλεπῶν ἀπαντᾷν, καὶ τῆς τοσαύτης συμφορᾶς καὶ κακοδαιμονίας δοκεῖν αἰσθάνεσθαι. Καὶ ὅσην ἀντὶ τῆς προτέρας εὐκλείας διὰ πάντων αἰσχύνην ἠλλαξάμεθα, καὶ ταπεινῶς ὡς μάλιστα πράττομεν, καὶ οὐκ ἀσεβέσι[35]) μόνον ἐπ' ὀνείδει καὶ γέλωτι καὶ τοῖς πολεμίοις τῆς πίστεως, ἀλλὰ καὶ ὅσοι κοινωνοῦσιν ἡμῖν τῆς περὶ τοῦ σωτῆρος Χριστοῦ θεοσεβείας, καὶ τῶν τῆς ἀληθοῦς δόξης νομίμων τὲ καὶ δογμάτων, οἳ τοῖς προτέροις χρόνοις φιλοτιμίας τὶ μέρος ἑαυτοῖς εἶχον, καὶ τὸ πάντων τῶν κατ' αὐτοὺς μέγιστον ἐν κοινῷ μεθ' ἡμῶν τετάχθαι τῆς πίστεως, καὶ πάντων ἄλλων καλῶν, καὶ παρ' ἡμῶν ἀναδιδαχθῆναι καὶ μεταμαθεῖν τὰ θεσπέσια, καὶ ἄλλην δὴ πᾶσαν εὐαγῆ κατάστασιν, καὶ πολιτείας εὐγένειαν, καὶ

34b) ἀτεκτοῦν, leg. ἀτευκτοῦν, vt c. 67. ἀτευκτοῦντες εὐετηρίας, et c. 111. ἀτευκτεῖν κοινωνίας.

35) ἀσεβ. C. Aug. ἀσέβι, male.

σύνεσιν πρακτέων, καὶ βίου χρῆσιν, καὶ εἰρηνικὴν εὐαρμοστίαν, καὶ πολέμια ἔργα καὶ μάχης ὁπλισμοὺς κατὰ πᾶν τὸ γιγνόμενον εἰς πᾶσαν τὴν χρείαν[36]). Καὶ τίνα ποτ' ἂν ἔχοιμι λέγειν, ἢ πλείω τραγῳδεῖν ἔτι πρὸς τὴν τοσαύτην ἡμῶν εἰς τὰ χείρω τροπὴν πάντα τὰ πράγματα καὶ τύχης καὶ διεργασίας, καὶ διοικήσεως ἀνθρωπίνης, ἐν οἷς ἅπασιν αὐτοὶ πάντων ἀνθρώπων τὰ πρῶτ' ἐκδηλότατα φερόμενοι; οὐκ οἶδ' ὅπως ἂν ἐρῶ· ποῦ[37]) νῦν γε εἶναι μετέστημεν καὶ ἀριθμούμεθα;

ΚΕΦ. λή.

Θρῆνοι τῶν κατὰ τὴν ἕω τῆς Ῥωμαίων ἀρχῆς κακῶς πραξάντων.

Ἐμὲ δὲ λυπεῖ μὲν καθόλου μάλιστα τὰ φθάσαντά γε καὶ ἐξ ἱστοριῶν καὶ μνήμης χαλεπὰ, καὶ δυσπραγήματα τοῦ γένους καὶ τῆς ῥωμαϊκῆς ἐκείνης ἀκμῆς τῶν ἀγαθῶν ἐπὶ τῆς καθ' ἡμᾶς ταύτης ἡγεμονίας· λυπεῖ δὲ τὰ[1]) κατ' ὄψιν ἐπισυμβάντα, καὶ τὰ χθὲς δὴ καὶ πρὸ τρίτης[2]) τῶν καθ' ἕω πραγμάτων, μᾶλλον δὲ τῶν λειψάνων ὁπόσων δή τινων οὐκ ἔστι ῥᾷστα ἐρεῖν ἐκ τῶν ἄρα τόσων καὶ πόσων[3]) μεγάλων

36) τ. χρ. omittit C. Mon.

37) ποῦ, C. Mon. τοῦ.

1) τὰ, abest a C. Mon.

2) πρὸ τρ. C. Mon. προτρίτης, iunctim.

3) πόσων, ignorat C. Mon.

ἐκείνων πραγμάτων καὶ τῆς παμμήκους τύχης ἐπιπεσόντα δυσχερῆ καὶ τελευτῶντα ναυάγια. Ὥσπερ δὴ μάλιστ' ἀνθρώπους πέφυκεν ἀνιᾷν φιλτάτων ἐν ταῖς αὐτῶν χερσὶ καὶ ὁρώμενοι θάνατοι, ἢ πόῤῥω γε ὄντων, καὶ ἴσως γε φθάσαντες τῷ χρόνῳ μεθ' ὕστερον ἀκουόμενοι· ἡ γὰρ ἔγγισθ' οὕτω δὴ πεῖρα καὶ συνδιαγωγὴ, καὶ τὰ συνήθη[4]) πλεῖστον ἀμέλει χρόνον, καὶ ἥδιστ' ἐντεῦθεν, καὶ πολυπόθητα πρὸς χρῆσιν[5]) καὶ κοινωνίαν, καὶ, ὡς ἔπος εἰπεῖν, συμβιώσαντα. Ὢ[6]) πῶς μεμνημένος καὶ λέγων φέρω· ὢ πῶς ἄρα νῦν ἐκλιπόντα μέσην πλήττει[7]) μου τὴν καρδίαν, καὶ καταδαπανᾷ καὶ καταβαπτίζει βυθοῖς ἀθυμίας τοὺς λογισμούς· ὢ φίλταται διατριβαὶ, φίλτατα θεάματα χρόνῳ κατ' ἔθος, καὶ πείρᾳ κατὰ φύσιν βέλτιστ' ἔχοντα, καὶ ὧν οὐκ ἔστιν ὡς ἀληθῶς ἄρα βελτίω προσορᾷν[8]), ἢ χρῆσθαι, ἢ παραπλησίως καί πως[9]) ἔγγιστ' ἔτι πᾶσαν εὐγένειαν καὶ χάριν· ὢ κάλλιστ'[10]) ἐν Ἰωνίᾳ, κάλλιστ' ἐν Λυδίᾳ, κάλλιστ' ἐν Αἰολίδι, καὶ περὶ Φρυγίαν[11]), καὶ καθ' Ἑλλήσποντον,

---

4) καὶ τὰ συν. C. Mon. κατασυνήθειαν.
5) πρὸς χρ. C. Aug. προσχρῆσιν.
6) Ὢ, C. Aug. ὦ, bis, item infra.
7) πλήττει, C. Mon. male πλήττειν.
8) προσορᾷν, C. Mon. πρὸς ὁρᾷν, Aug. προσωρᾷν.
9) πως, C. Aug. πῶς.
10) ὢ κάλλ. C. Mon. ὢ κάλιστ', sic et postea κάλιστ': Aug. ὦ κάλιστ'.
11) περὶ Φρ. C. Aug. περιφρυγίαν, et deinde ἰωνίας pro ἐν νίας.

οἷς ἐκ νέας ἔθ᾽ ἡλικίας ἔγωγε μάλιστ᾽ οἰκειώσας ἐμαυτὸν καὶ παντὶ τρόπῳ συμβιώσας ἥδιστα, νῦν ἐξόριστος θρηνῳδὸς ἐλείφθην [12]), καὶ οἰμωγῶν καὶ δακρύων ἐκ μακροῦ ἐπισπένδων, ὡς εἰπεῖν, κατὰ τύμβια καλλιερήματα· ὢ [13]) πολυέραστοι πόλεις· ὢ πολυέραστοί μοι πεδιάδες καὶ ὄρη καὶ νάπαι καὶ ποτάμια ῥεύματα, καὶ ἄλση, καὶ λειμῶνες, καὶ πάσης γλυκυθυμίας ἀφορμαὶ τοῖς συνοῦσι, τοῖς ἐποπτεύουσι, τοῖς ὁπηοῦν χρωμένοις, ὡς ἄρ᾽ ἔγωγ᾽ ἄθλιος ἐπὶ πλεῖστον ὑμῖν τρίψας, καὶ πλεῖστον ὑμῖν ταῖς ἐθίμοις ἐπιδημίαις καὶ ἀγωγαῖς ἐνηδυνθεὶς, πᾶσαν ἐῤῥαστωνευμένην καὶ ἐπιεικῶς εὐσύμβλητον διάθεσιν τῇ ψυχῇ δημιουργούσαις, πλεῖστον δὴ καὶ ἀλγεῖν νῦν ἔχω, καὶ μεμνημένος αὐτίκα λύομαι τὴν καρδίαν, καὶ τοὺς λογισμοὺς αὐτοὺς λύομαι, καὶ δυσπνοῶ καὶ στενοῦμαι τὸ ζῆν, καὶ μικροῦ κινδυνεύω [14]) μὴ μένειν αὐτόθεν ἐμαυτοῦ· ὢ φιλτάτη μοι βιοτῆς ἐκείνης καὶ πολιτευμάτων ἀνθρωπίνων ἁρμονία καὶ διοίκησις, τά τε κοινὰ πρὸς ἀλλήλους, καὶ ἴδι᾽ ἑκάστου πράγματα, καὶ χάρις ἀνθρώποις κοινωνικὴ, καὶ πάντων ἐθίμων εὐγένεια, καὶ ὅσα [15]) σπουδάζεται, καὶ ὅσα ἐν τρυφῆς καὶ ἀνέσεως οὐκ ἀμούσου χρήσει, καὶ πάντα γε μὴν τὰ [16]) τοῦ σεμνοῦ προσηνῶς κο-

---

12) ἐλείφθ. C. Aug. ἐλήφθην.

13) ὢ, C. Mon. iterum ὦ et Aug. ὦ: hic et postea.

14) κινδ. C. Mon. mendose κινδυνεύῃ.

15) καὶ ὅσα, omittunt Cdd. Aug. et Mon.

16) τὰ, Cdd. Aug. et Mon. μετά.

σμούμενα, μᾶλλον δὲ πᾶσα βιώσεως ἑορτὴ, καὶ οὐδὲν ἀποτρόπαιον οὐδ' ἀναιδὲς ἢ προσορᾶν ἢ χρῆσθαι· ὢ παντοίων τεχνῶν περίνοιαι· ὢ παντοίων ἀσκήσεις ἐπιμελεῖς καὶ τελεσφόροι παντὸς τοῦ γιγνομένου [17])· ὢ γῆς ἀρόσεις, καὶ τέχναι τίμιαι, καὶ πάσης εὐφορίας κατὰ φύσιν καὶ πᾶσαν ἐπιτήδευσιν, καὶ εὐετηρίας, καὶ πορισμῶν πάντων ἀφορμαὶ κάλλιστ' ἀνύτουσαι· ὢ νεὼ καὶ μοναὶ, καὶ συνοικήσεις θεοσεβείας ἁπάσης καὶ νόμιμα πίστεως καὶ ἱερωσύνης, καὶ κόσμοι, καὶ πάνπα πᾶσι καὶ ἀλλήλοις πρέποντα. Καὶ παραπλήσια οὐκ ἦν ἄλλῃ πῃ καθορᾶν· καὶ οὐ λέγω νῦν τῶν ἄλλων ἐθνῶν τε καὶ ἀρχῶν, ἀλλ' οὐδ' ἡμῶν αὐτῶν καὶ τῶν [18]) ἄλλων τῆς Ῥωμαϊκῆς ἡγεμονίας καὶ τοῦ γένους χώρων. Τὸ γάρ τοι κάλλιστον ἐξ ἀρχῆς τὸν ἅπαντα αἰῶνα καὶ τελειότατον πρὸς ἀνθρωπίνης βιοτῆς ἀρετὴν καὶ εὐδαιμονίαν, καὶ τὸ κάλλιστον ἐν τοῖς χριστιανικοῖς αὐτοῖς πράγμασι, καὶ τὸ κάλλιστον ἐν τῇ καθ' ἡμᾶς τῶν Ῥωμαίων ἀρχῇ, καὶ διαπρέπον ἐπ' αὐτῆς, τίνων ἄλλων ὡς ἀληθῶς ἀνθρώπων, ἢ ὅσοι τὰς εἰρημένας γῆς μοίρας καὶ νομὰς ᾤκησαν πάλαι τε καὶ νῦν ἔγγιστα; καὶ οἴχεται φεῦ τοῖς νῦν ἡμῖν λειφθεῖσιν ἐκ τῆς Ῥωμαίων ἀρχῆς, ὅσοις δή τις λειφθεῖσιν. Ὢ τῆς ἐρημίας ταύτης· ὢ τῆς ζημίας· καὶ ζῶμεν γὰρ ἐν ὀλίγοις κομιδῇ τοῖς λειψάνοις καὶ μέ-

17) γιγν. C. Mon. γινομένου.

18) καὶ τῶν, absunt a C. Mon.

λεσι τῆς ζωῆς καὶ τοῦ σώματος οὕτω μεγίστου τὲ καὶ καλλίστου τῆς ἀρχῆς, ὥσπερ οἱ τὰ πλεῖστα καὶ καιριώτατα μᾶλλον ἀποκεκομμένοι, καὶ ξὺν αἰσχύνῃ καὶ γέλωτι βιοῦντες ἔτι, καὶ παντάπασιν ἀνικάνως ἔχοντες πρὸς τὰς τοῦ εἶναι καὶ τοῦ ζῇν ἀφορμὰς, καὶ βραχείας τινὸς προσβολῆς καὶ ἐπηρείας παρανάλωμα ῥᾶστ' εὐεπιχειρήτως λειφθέντες, οἱ πάντ' οἴμοι πρότερον κάλλιστα πᾶσαν ὥραν, καὶ κράτιστα πᾶσαν εὐτονίαν ἔχοντες, καὶ ὥσπερ ἐν κοινῷ θεάτρῳ τῷ παντὶ κόσμῳ πάντως [19]) ἡμεῖς τῶν ἄλλων ἐπίσημοι καὶ περιβλεπόμενοι πάντοθεν, καὶ πάντα θαυμαζόμενοι. Καὶ τοσούτῳ νῦν αἴσχιστα καὶ ἀτίμως πράττοντες, ὅσῳ καὶ μάλιστα προδείκνυσιν ἡμᾶς ἅπασιν [20]) ὁ τόπος, ἐφ' οὗ καὶ τὰ φθάσαντα πομπικὰ καὶ περίοπτα τῆς δόξης, ἧς ἐκπεπτώκαμεν [21]), καὶ τοσούτῳ [22]) μάλιστ' ἐπικινδυνότατα μένοντες ἔτι πω, ὅσῳπερ μέγιστ' ἀπεβαλόμεθα [23]) πᾶσιν εἰς τοὐφανὲς [24]). Καὶ δῆλοί γε [25]) ὄντες τέως βιοῦντες ἐπιφθόνως [26]) καὶ περιφανῶς ἐκ μακροῦ, λαθεῖν οὐκ ἔχομεν, ὡς

---

19) πάντως, C. Aug. πάντων.

20) ἡμᾶς ἅπ. non habet C. Aug.

21) ἐκπεπτ. C. Mon. ἐπιπτώκαμεν.

22) τοσούτῳ, C. Aug. τοσούτων.

23) ἀπεβαλ. C. Mon. ἀπεβαλλόμεθα: Aug. ἀπεβαλλιόμεθα.

24) τοὐφ. C. Mon. τ' οὐμφανές.

25) δῆλοί γε, Cdd. Aug. et Mon. δῆλοί τε.

26) ἐπιφθ. Cdd. Mon. et Aug. male ἐφθόνως.

ἄρα κάκιστα πράττομεν· οὐ γὰρ ἐν ἀφανεῖ πρότερον τὸν βίον ἕλκοντες, ὅσον δή ποτ' ἄρα, ἔπειτα ἐσβέσθημεν μικροῦ, καὶ τοῖς ἐγγειτόνων ἀγνοούμενοι, οὐδ' ὀλιγομήκη τινὰ δυναστείαν καὶ εὔκλειαν [27]) περικρημένοι, ζῶμεν ὅλως λανθάνειν δυνάμενοι, ἢ ζῆν γε ὅλως, ὡς ἔπος εἰπεῖν, δυνάμενοι. Ἀλλ' ἡμῖν γε ὄντως ἀναγκαῖον ζῆν [28]) ἐν μεγάλοις συνεξεταζομένοις πράγμασι, καὶ ὡς βέλτιστα πράττουσιν· ἄλλως δ' οὐκ ἔστι ζῆν, οὐδ' ἀμέλει μετρίως, ἀλλ' ὡς ἄρα καὶ δοτέον σιωπῶντας λοιπὸν τῇ προνοίᾳ τακτοῖς ὅροις τὰ πάντ' ἀγούσῃ, κἂν εἰ πᾶσιν ἡμῖν ἀδήλοις, ἀλλ' ὡς οὐκ ἂν εἴη πάντως ἄμεινον, καὶ τὸ φέρειν τὰς ἐκεῖθεν ψήφους ἀπαραίτητον ὄφλημα, καὶ ἴσως μὲν ἐπαινετῶς, ἣν [29]) εὐγνωμόνως, ἴσως δὲ μὴ κάμνοντας μάλιστα καὶ ἀνιωμένους [30])· ὡς ἄρα καὶ ἡμεῖς ἀνεπαισθήτως βιοῦν οὐχ οἷοί τε πάντως ἐσμὲν, καὶ σωφρονούντων ἂν εἴη πως [31]) ἀνθρώπων, καὶ μὴ παντάπασι δυστυχῶς ἐχόντων ἐπαΐειν ὁπηοῦν, ἐξ οἵων οἷοι γεγόναμεν, ἀλγεῖν δ' ὅμως κομιδῇ καὶ δε-

27) καὶ εὔκλειαν, Cdd. Aug. et Mon. non agnoscunt, attamen περικρημένοι, cum C. Paris. Germ. fors. leg. περικεκτημένοι, vel περιηρημένοι s. περιῃρμένοι, vel περικεκριμημένοι. Coniecturam nostram περιῃρημένοι, vt postea nos docuit Boissonade, Cod. Regius Paris. confirmat.

28) ζῆν, C. Mon. omittit.

29) ἣν, C. Mon. ἢν, Aug. ἦν.

30) ἀνιωμ. C. Mon. ἀνιωμένως.

31) πως, C. Mon. πῶς.

διέναι μάλιστα λοιπὸν ἔπειτα τοῖς φθάσασι τοὺς ἐσχάτους κινδύνους ἀνάγκη πᾶσα [32]). *Καὶ τοσούτῳ μάλιστ' ἄλλος ἄλλου, ὅσῳπερ ποσάκις* [33]) *ἐμαυτοῦ, καὶ τῶν νῦν πραγμάτων γιγνόμενος, καὶ κλέπτων ἐμαυτὸν τῆς περὶ ἐμὲ πολλάκις ἀσχολίας, πάσης ἐλπίδος αὐτόθεν ἀποχωρῶ, καὶ θανάτου μάλιστ' ἐρῶ τέως, πρὶν ἢ κατιδεῖν, ἃ κατιδεῖν ἀνάγκην εἶναι πᾶσαν οἶμαι τοὺς ἐπ' ὀλίγον ἐν τοῖς ζῶσιν ἀρκέσοντας. Ἴσως δ' ἂν καὶ τοῦτ' ἀγνοεῖν εἴη· καὶ τυφλὸν γὰρ περὶ τοῦ μέλλοντος πᾶς ἄνθρωπος, ὁ παλαιὸς φησὶ λόγος, καὶ ἅπερ νοοῦμεν ἐκ τῶν εἰκότων, ἄλλως ἀπαντᾷν εἴωθεν ὡς τὰ πολλὰ, καὶ γίγνεται μάλιστ' ἐνίοτε τὰ παντάπασιν ἀδόκητα* [34]). *Καὶ τοίνυν οὐδὲν μή ποτ' ἀνέλπιστον μᾶλλον ἐν ἀνθρώποις δικαίως ἂν εἴη, καὶ ἐκ τῶν βελτίστων τὰ πάντων ἀθλιώτατα καὶ ἀνιαρώτατα, καὶ ἐκ τῶνδ' αὖθις τὰ πάσης εὐδαιμονίας ἀντάξια, καὶ ὧν οὐκ εἴη* [35]) *τῶν παρ' ἡμῖν λογισμῶν ἔκ γε τῶν εἰκότων τοῖς ὁρωμένοις καὶ φθάσασι βελτιόνων, ὡς ἂν δὴ καὶ μὴ καθάπαξ ἀλογίας τῆς ἐσχάτης εἴημεν ὑπεύθυνοι. Περὶ ἃ δοκοῦ–*

---

32) *πᾶσα* deest in C. Mon.

33) *ὅσῳπερ ποσ.* Cdd. Aug. et Mon. sic: *ὅσῳπερ καὶ λογίζεσθαι δύναιτ' ἂν ἄλλος ἄλλου βέλτιον· ὦ ποσάκις.*

34) *ἄλλως ἀπαντᾷν — ἀδόκητα*, Cdd. Aug. et Mon. *ἀλλ' ὡς ἁπαντάπασιν* (Aug. *ἀπαντάπασιν*) *ἀδόκητα*, omissis reliquis verbis: corrupte.

35) *ὧν οὐκ εἴη*, Cdd. Aug. et Mon. *ὧν οὐκ ἄν τις εὔξαιτο βελτίω θεὸς δὲ καὶ ἡμῖν χορηγὸς εἴη.*

μεν καὶ κρίνομεν πάσης ἐλπίδος ἔξω, περὶ ταῦθ᾽ ὅλῃ ῥύμῃ στρεφόμενοι, καὶ προσέχοντες εὖ μάλα οὐκ οἶδ᾽ ὑφ᾽ ἥστινος ἀνάγκης, ὡς ἂν ἐκ παντὸς[36]) λογισμοῦ μέγιστα καὶ κάλλιστα περὶ αὐτῶν ἐλπίζειν ἔχοντες.

ΚΕΦ. λθ'.

Θρῆνοι ἔτι περὶ τῶν αὐτῶν, καὶ ὅτι οὐκ ἔνι παραβάλλειν τὰ ἐκεῖ πάντα τοῖς ἀλλαχοῦ Ῥωμαϊκοῖς.

Οὐκ οἶδ᾽ ὁπότερον ἂν εἴη μοι βέλτιον, ἢ τοῦθ᾽, ὅτι ξυνέτυχον ἄρα καὶ ξυνεβίωσα κομιδῇ πλεῖστον καὶ πεῖραν ἔσχον μάλιστ᾽[1]), οὐκ οἶδ᾽ ὡς εἴ τινων[2]) ἄλλων πλέον, ἢ παραπλησίως τῶν καθ᾽ ἕω τῆς Ῥωμαϊκῆς ἡγεμονίας τόπων ἐκείνων φιλτάτων ἐμοὶ, καὶ τἀκεῖσε κάλλιστ᾽ εἶδον, ὧν ἁπάντων εἶδον, εἶδον δὲ πλεῖστα τῶν τε ἡμετέρων καὶ τῶν ἀλλοτρίων, εἰ δή τις καὶ ἄλλος, καὶ ξυνέμιξα[3]) τῶν οἴκοι μάλιστ᾽ ἀπόδημος ἐν πρεσβείαις, ἀλλοτρίοις γένεσι, καὶ βίοις ἀνθρώπων, καὶ νομίμοις, καὶ πολιτεύμασι, καὶ ὁμόφροσι τὴν περὶ θεοῦ πίστιν, καὶ παντάπασιν ἀλλοτριωτάτοις, ἢ εἰ μὴ ξυνέτυχον ἀμέλει καὶ ξυνεβίωσα χρόνοις ἐκείνοις· ὡς μή ποτ᾽ ἄρα καὶ βαρυτέραν μοι τοῦτο τὴν ἀπο-

---

56) ἐκ παντὸς, C. Mon. iunctim ἐκπαντός.

1) μάλιστ᾽, Cdd. Aug. et Mon. μάλιστα.

2) εἴ τινων, C. Mon. ἔκτινων: Aug. ἔτινων.

5) ξυνέμ. C. Aug. ξυνέμιξε, male.

βολήν τε καὶ τὴν ὀρφανίαν ἐκείνων ἐμποιεῖ, καὶ τὴν μετὰ τοσαύτην πεῖραν ζημίαν, καὶ τὰ τύχημα [4] πλεῖον καὶ μείζονας ἀθλιότητος καὶ δυσχερείας καὶ θρήνων ἀφορμὰς δίδωσι, καὶ μήποτ' ὄφελον ἰδεῖν, μήδ' ἐντυχεῖν οὕτω βέλτιστ' ἔχουσιν, ὧν ἀπέκειθ', ὧν ἔμελλον ἔτι ζῶν κατιδεῖν ὄλεθρον. Ἔγωγέ τοι τἀκεῖ λαμβάνων εἰς νοῦν ἑκάστοτε, λαμβάνω δ' εἰς νοῦν συνεχῶς, οὐ γὰρ ἔχω λήθην, τρόπῳ γέ τινι, καὶ ἴσως ἐρῶν καὶ βουλόμενος αὐτῶν, καὶ πρὸς βραχὺ παθεῖν, καὶ τῆς τοσαύτης συμφορᾶς ἀποστῆσαι τους λογισμοὺς, αὐτίκα αὐτόθεν λύομαι τὸ ζωτικὸν τῆς καρδίας πνεῦμα, καὶ τὸν νοῦν ζοφοῦμαι, καὶ οὐκ ἔτ' εἰμὶ παρὰ τὸν καιρὸν τῆς μνήμης ἐν ἐμαυτοῦ [5]. Καὶ τί γε οὐκ ἔμελλον οὕτω μάλιστα μὲν τῆς ἐθίμου γιγνόμενος πόλλ' ἔτη βιώσεως ἐν ἐκείνοις καὶ ἀγωγῆς, ἧς ἡ παντελὴς ἀπόγνωσις πῶς ἂν φορητὸν εἴη; ποίας λιθώδους ἢ σιδηρᾶς καρδίας οὐκ ἂν ἅψαιτο κομιδῇ κατατήκουσα, ὡς [6] οὐκέτ' ὂν ἀνδρὶ βιωτὸν τῶν ἡδίστων κατ' ἔθος ἐκ μακροῦ καθάπαξ τοῖς λογισμοῖς ἐκτεμνομένῳ; τί γὰρ ἰσχυρότερον ἔθους; τί δ' ὁλκὸν οὕτω κατέχειν πᾶσαν ψυχὴν ἀῤῥήκτοις δεσμοῖς,

---

4) τὰ τύχημα, sic Cdd. nostri: legendum τἀτύχημα.

5) ἐν ἐμαυτοῦ, fors. ἐμαυτοῦ, vt c. 46. ἑαυτοῦ ὤν, et 59. ἑαυτῶν ὄντες. Sed c. 67. dic. quoque ἐν ἑαυτῶν, et c. 5. ἐν ἑαυτοῦ φέρειν. cf. Hermann. ad Viger. p. 749. et 858.

6) ὡς, abest a C. Aug. et deinde ἐκμακροῦ pro ἐκ μακροῦ.

οὓς οὐκ ἔστιν ἄλλως, ἢ σὺν ὅτι πλείσταις ἀλγηδόσι διατέμνεσθαι; καὶ τοῦτο μὲν οὕτω σφόδρ᾽[7]) ἐργῶδες καὶ δυσαπάλλακτον τὸ τῆς ἐθίμου συνουσιώσεως, ὡς ἔπος εἰπεῖν, ἐπὶ πάντων πραγμάτων, ἐπὶ πάντων ἀνθρώπων, καὶ τῶν πάντα[8]) γεννικῶν δή τινων καὶ καρτερωτάτων, καί με μάλιστα δαπανᾷ καὶ κατασπᾷ τῇ μνήμῃ κατασεῖον τοὺς λογισμοὺς αὐτόθεν. Ἀλλὰ μὴν[9]) ἔπειθ᾽, ὅταν ἄρα καὶ τὴν ἐν[10]) ἐκείνοις τοῖς χώροις, ἢ ἀνθρώποις, ἢ πράγμασιν ἐννοήσω διὰ πάντων[11]) εὐγενεστάτην ἕξιν, οὐκ ἔχω, τίς ἂν γένωμαι, οὐδ᾽ ὅτι ποτ᾽ ἐρῶ, καθάπερ οἱ θρηνῳδοῦντες μετ᾽ ἐγκωμίων δή τινων ἐπὶ τοῖς οἰχομένοις ἐκείνων ὁπηοῦν ἄξιον. Τί γὰρ τὰ[12]) τῶν ἄλλων ἁπάντων, ὥστε καὶ παραβάλλειν ἅπαντα τῶν ἐκ τοῦ αὐτοῦ γένους, οὐ τῶν ἀλλοτρίων νῦν εἶναι, φημὶ τῶν τῆς αὐτῆς ἡγεμονίας ἐν τοῖς ἐπὶ θάτερα[13]) καὶ δυόμενον ἥλιον μέρεσι πρὸς τὰ ἐκείνων ἅπαντα; ἢ ποῦ ταῦτ᾽ ἐκείνων συγγενῆ, ἢ ποῦ ταῦτ᾽ ἔγγιστα πᾶσαν ἀστειότητα καὶ εὐγένειαν πᾶσαν ἀνθρωπίνην εὐαρμοστίαν περὶ τὰ θεῖα, περὶ τάν-

---

7) σφόδρ᾽, C. Mon. σφόδρα.

8) πάντα γενν. C. Mon. πάντων γεννικῶν.

9) ἀλλὰ μὴν, C. Mon. ἀλλ᾽ ἃ μὴν.

10) ἐν, C. Aug. non habet.

11) διὰ π. C. Mon. vti semper: διαπάντων.

12) τὰ, C. Mon. non exhibet.

13) ἐπὶ θάτ. C. Mon. ἐπιθάτερα: sic etiam postea.

θρώπινα, οἷον δὴ τὸ κοινωνικὸν ἀλλήλοις, καὶ πρὸς τοὺς ἑτέρωθεν ἐπιδήμους τὰ τῇ χρήσει τῆς τροφῆς ἔθιμα; Ἁβρότητας ἔτι λέγω καὶ κόσμους, παντοίων τεχνῶν πορισμοὺς, καὶ ἀσκήσεις εὖ μάλα κατὰ πᾶν τὸ γιγνόμενον, ἐμπορικὴν χρείαν ἅπασαν πάντοθεν ἥκουσαν πρὸς τοὺς ποθοῦντας πάντως καὶ χρωμένους μάλιστα, ἢ ἀναγκαστῶς ὅσα δηλαδὴ τῆς φύσεως ἀπαραίτητα, ἢ ἐλευθερίως ὑπὲρ τὴν χρείαν, ὥςπερ τοῖς πάντ' εὐδαιμονοῦσι προσήκει κατὰ πᾶσαν [14]) εὐζωΐαν, κατὰ πᾶσαν εὐπραγίαν καὶ βίου ῥαστώνην, ὡς μήδ' ὁτιοῦν ἐλλείπειν, ὅσα δῆτ' ἄρα [15]) πέφυκεν ὅλως ἐγχωρίως γίγνεσθαι, καὶ ὅσα δι' ἐμπορίας πάντοθεν ἥκειν νόμιμα βιώσεως ἀνθρωπίνης καὶ χρήσεως ἐν ἀνάγκῃ [16]), καὶ χρήσεως ἐν τρυφῇ. Καὶ ταῦτα μηδὲν ἧττον τοῖς ἐν ἀγροῖς καὶ συνοικίαις κατὰ γειτονίαν βιοῦσιν, ἢ τοῖς ἐν πολίσμασιν ἀστικοῖς πρεπόντως τῇ τῆς ζωῆς ἀγωγῇ χρωμένοις, ὡς μᾶλλον ἐκεῖ βιοῦν εὐδαιμόνως ἀγροίκους ἄνδρας, καὶ περὶ γεωργίας, καὶ περὶ φυτηκομίας, καὶ περὶ ζωοτροφίας [17]) ὅλως ἔχοντας, ἢ παρ' ἄλλοις γένεσιν ἀνθρώπων, ἢ μᾶλλον ἐρεῖν, παρ' αὐτοῖς ἐπὶ θάτερα τῶν ὁμοφύλων, καὶ τὰς κατὰ δύσιν λαχοῦσιν

---

14) κατὰ π. C. Mon. καταπᾶσαν, bis.

15) ὅσα δῆτ' ἄρα, C. Mon. ὅσα τ' ἄρα.

16) ἐν ἀνάγ. C. Aug. ἐν ἀνάγκης. C. Mon. sine praepositione ἐν: ἀνάγκης.

17) ζωοτρ. C. Mon. ζωοτροφίαν.

οἰκήσεις ἀστικοῖς δή τισι, καὶ πειρωμένοις ἀμείνονος ἢ κατὰ τοὺς πολλοὺς τῆς τύχης. Οὔκουν γέ ἐστι παραθεῖναι [18]) τοῖς ἐκείνων τὰ αὐτῶν, οὐκ οἰκίας οἰκίαις, οὐ τὰ κατ' οἴκους [19]) ἐκείνοις τοῖς κατ' οἴκους τῶν ἄλλων [20]), οὐ πᾶσαν χρῆσιν ζωῆς, οὐ πᾶσαν ἐπιμέλειαν, οὐ παντ' ἔθιμα. Τοῦτο μὲν χρείας ἀπαραιτήτου, τοῦτο δὲ ῥαστώνης, ἧ προείρηται, οὐ τεχνῶν ἀσκήσεις ἐν χρείᾳ καὶ ὑπὲρ τὴν χρείαν, οὐ γῆς ἀρόσεις, καὶ τὰς κατ' αὐτῆς πάσας τέχνας, οὐ παντοίαν τῶν συνεισφερόντων ἄλλων ζώων ἀνθρώποις τῆς φορᾶς ἐπιτήδευσιν πρὸς τροφήν [21]) τε καὶ τὴν ἄλλην χρῆσιν, οὐ τούτων πάντων καθ' ἕκαστον, οὐ κατὰ πάνθ' ὁμοῦ, ἀλλ' ὑπερβαίνει πολὺ τὸ φάμιλλον [22]) τἀκεῖ τοῖς ἄλλοθί πη [23]). Τί μὲν τῇ καλλίονι χρήσει; τί δὲ τῇ πλείονι καὶ μὴ σπανιζούσῃ; καὶ τί μὲν τῇ καθ' ἕκαστον ὁτιοῦν βελτίονι, εἰ δὲ μή, τῇ πάντων ὁμοῦ ξυντυχίᾳ καὶ συνδιαθέσει τῆς ἀνθρωπίνης εὐετηρίας καὶ εὐζωΐας; Καὶ τὰ μὲν κατὰ βίοτον, οὕτως ἀνθρώπινον καὶ πρὸς τὸ παρὸν μόνον βλέποντα,

---

18) παραθ. C. Aug. παραθῆναι.

19) ἐκείνων usque ad ἐκείνοις desunt in Cdd. Aug. et Mon.

20) ἄλλων, C. Mon. ἑλλήνων praebet.

21) πρὸς τρ. C. Mon. iungit προστροφήν. Mox καταπάνθ' pro κατὰ πάνθ'.

22) τὸ φάμιλλον, sic Cdd. nostri: leg. τὸ ἐφάμιλλον l. τ' ἐφάμιλλον, c. 40. c. 49. c. 59.

23) πη, cum C. Aug. sed Mon. που.

οὕτω βέλτιον ἐκείνοις, ἢ ἄλλοις οἱςτισινοῦν[24]) ἄλλῃ πῃ. Τί δ' ἄν τις ἔπειτα χρῷτο[25]); τί δ' ἄν τις ἔχοι λέγειν περὶ τῶν ἱερῶν καὶ θείων, καὶ ὅσα προσήκει τοῖς μετὰ τῆς ἐν Χριστῷ θεοσεβείας βιοῦσι, καὶ πρὸς ἄλλην ἔπειτα ζωὴν βλέπουσι μετὰ τὸ θανεῖν, καὶ οὐ πολιτευομένοις τὰ παρόντα μόνον, καὶ ὅσα τῆς κατὰ σῶμα[26]) ζωῆς; ἀλλ' ὁδοῦ φασὶ πάρεργον καὶ πρὸς καιρὸν ἐμπορίαν εἰς ἄλλην μὴ τέλος ἔχουσαν κατάστασιν, τὸν παρόντα[27]) βίοτον διδαχθεῖσι, καὶ τακτοῖς ὅροις θεοσεβείας, νόμιμον ἀληθοῦς εὐζωΐας ἀσφάλειαν συντηρεῖν ἀνάγκην ἔχουσι. Ποῦ τοσαύτη σεμνότης ἱερωσύνης; ποῦ τοσοῦτοι νεὼ, καὶ κάλλη, καὶ κόσμοι νεῶν[28]), καὶ τελετῶν σπουδὴ θείων, καὶ δρόμοι πάσης ὑπέρτεροι χρείας περὶ τὰς ἱερὰς συναυλίας, καὶ ἡμέρας καὶ νυκτὸς, οὐδὲν ἧττον, ὡς ἐν ἀπαραλογίστῳ, καὶ ἀπαραιτήτῳ πρὸ πάσης ἄλλης βιώσεως εἰσπράξει[29]), καὶ μυστηρίων ἱερῶν ἑορταὶ, καὶ θέατρα πάνδημά τε καὶ πάντιμα, καὶ καρποφορίαι πάντων τοῖς ἱεροῖς ἅττ' ἐπίχρεια, καὶ ἅττα κόσμων ἀφορμαὶ, καὶ φιλοκαλίας ἀπά-

---

24) οἱςτ. C. Mon. οἷςτισιν οὖν.

25) χρῷτο, C. Mon. χρῶντο, et Aug. χρῶνον: mendose.

26) κατὰ σ. C. Mon. κατασῶμα, et deinde κατακαιρὸν, iunctim.

27) τὸν παρ. C. Mon. παρόντων: Aug. τὸν παρὸν τὸν βιοτ. διδαχθεῖσα: C. Mon. διδαχθεῖσιν.

28) νεῶν, C. Mon. νεών.

29) εἰσπράξει, C. Mon. εἰς πρᾶξιν, sed in margine εἰσπράξει quoque.

σης ἐπίδειξις; Τίς ἂν περὶ τῶν τοιούτων ἐν μνήμῃ γενόμενος, καὶ ὡς ἄρ' ἐξέλιπεν ἐκεῖθεν, μᾶλλον δ' ὡς ἀληθῶς ἐρεῖν, ἐξέλιπε τοῦ παντὸς ἐκεῖνα βίου; ὦ [30]) πῶς καὶ λέγων καὶ μεμνημένος ζῆν ὅλως οἷός τέ εἰμι, καὶ οὐκ αὐτόθεν αὐτίκα τὸ ζῆν ἐκλείπω; τίς δ' οὖν ὅλως μεμνημένος ἐξ ἐκείνων [31]) εἰς ἄλλ' ὁρῶν οἰηθείη ποτ' ἂν ἔτι βιωτὸν εἶναί οἱ, καὶ μὴ ὥςπερ ἐν ὕπνοις, ἢ ἐν δράμασιν οἷςτισιν [32]) ἄρα τὰ παρόνθ' ἑκάστοτε ἄττα δῆθ' ὁρᾶν πολὺ πόῤῥω τῶν ὄντων, καὶ τῶν δικαίων τῆς ἀληθείας ἐκτός; Καὶ τί ἂν ἔτι λέγειν ἔχοιμι πρὸς τοσοῦτο τῆς ζημίας μέγεθος, καὶ τῆς συμφορᾶς καθόλου γ', ὡς εἰπεῖν, ἐπὶ τοῦ βίου καὶ τῆς ἀνθρωπίνης ζωῆς;

ΚΕΦ. μ'.

Θρῆνοι ἔτι περὶ τῶν αὐτῶν, καὶ ὅτι καὶ τὰ τῶν μοναχῶν ἐκεῖσε βέλτιον εἶχεν, ἢ ἄλλοθί πῃ [1]).

Τὸ δέ γε κάλλιστον τῶν [2]) κατὰ τὴν ἀνθρωπίνην φύσιν καὶ ἡ παρ' αὐτῆς ἀπαρχὴ, καὶ ἀφιέρωσις καὶ καρποφορία τῷ δεσπότῃ, καὶ πάντων αἰτίῳ Θεῷ, τὸ ἄνθος ὄντως τοῦ βίου παν-

30) ὦ, Cdd. Aug. et Mon. ὃ.

31) ἐξ ἐκείνων, C. Mon. ἐξεκείνων iungit.

32) οἷςτ. omittunt Cdd. Aug. et Mon.

1) ἄλλοθί πῃ, C. Mon. ἀλλῆθί πῃ.

2) τῶν, Cdd. Aug. et Mon. τόν.

τὸς, καὶ κατ᾽ ἀνθρώπους τῆς οὐσίας ἐξαίρετον εἰς εὐγένειαν, καὶ καθαρώτατον καὶ τελεώτατον [4]) καὶ ἀκριβέστατον τῆς κατ᾽ αὐτὴν φορᾶς, καὶ ἀκρότης τῆς φύσεως, τὰ κατὰ τοὺς μοναχοὺς φημὶ πράγματα, καὶ ἡ ἀπόμοιρα τῆς ζωῆς αὕτη, καὶ ὁ βίοτος, καὶ τὰ ἐκ τοῦ κόσμου ταῦτ᾽ [5]) ἐπίλεκτα συστήματα τοῦ παντὸς ὑπεράνω [6]) πολιτευόμενα κόσμου. Αἶ αἶ, τί ποτέ τις ἐρεῖ; τίς δ᾽ ἂν μᾶλλον ἐρεῖν οἷός τ᾽ εἴη, ὅπως ἐν ἐκείνοις ἀμέλει τοῖς χώροις, ἢ κατὰ τοὺς ἄλλους τῆς τῶν Ῥωμαίων ἡγεμονίας ἐκράτει [7]) πλέον, ἅπαντα τρόπον ἤνθει, ἤκμαζεν ὑπερβαλλόντως ἀνδρῶν τε πλήθει, καὶ πᾶσι τοῖς τοῦ πολιτεύματος καὶ τῆς αἱρέσεως νομίμοις, καὶ τοῦτ᾽ ἐξ ἀρχῆς ἀμέλει μέχρι καὶ εἰς τὸ [8]) νῦν συνεχῶς χρόνον; Ἀλλ᾽ οὐ χθὲς δὴ [9]) καὶ πρὸ τρίτης, ὡς εἰπεῖν, ἔγγιστ᾽ ἀναδειχθὲν, οἷα δὴ τὰ κατὰ τὸν βίον καὶ τὰ ἀνθρώπινα [10]) ἅπαντα, τὰ μὲν νῦν ἄρχεται, τὰ δὲ φθάσαντα, καὶ τὰ μὲν ἤδη φθίνει καὶ παρέρχεται, τα δ᾽ ἀκμάζει καὶ προήκει νῦν ἑκάστοτε βέλτιον, καὶ ἄλλα παρ᾽ ἄλλοις ἐναλλάττει, καὶ βέλτιον ἔχει

4) τελεώτ. C. Mon. τελεώτατα.

5) ταῦτ᾽, Cdd. Aug. et Mon. ταῦτα.

6) ὑπεράνω, C. Mon. ὑπὲρ ἄνω.

7) ἐκράτει, C. Mon. ἀκράτει.

8) εἰς τὸ, C. Mon. εἰς τόν.

9) δὴ, C. Mon. δέ.

10) ἀνθρ. C. Mon. τ᾽ ἀνῖνα, compendio scripturae. C. Aug. male τ᾽ ἀνῖναν.

καὶ μὴ νῦν τε καὶ πρότερον, καὶ πάντ' ἐν μυρίᾳ [11]) τροπῇ καὶ μεταβολαῖς ἀεί. Ἀτὰρ δὴ πάρ' ἐκείνοις [12]) ἄρ' ἀπὸ πάσης τῆς οἰκουμένης τοῖς μέρεσι τὰ μοναχῶν πολιτεύματα τὸν ἀεὶ [13]) χρόνον πάλαι τὲ καὶ νῦν ἐν ἀκμῇ, ὡς οὐκ ἄλλοθί πῃ· εἰ δὲ καὶ ἄλλοθί πῃ [14]), ἀλλ' ἧττόν γε καὶ πολύ γ' ἐν δευτέρῳ, καὶ ὡς οὐκ εἶναι παραβαλεῖν τοῖς ἐκεῖ. Καὶ ποῦ γὰρ δὴ τοσαῦτα τῆς ὅλης γῆς, ὡς ἐν ἐκείνοις τοῖς τόποις μοναστῶν συστήματα; Τοῦτο μὲν ἐν κοινωνικοῖς συντάγμασι καὶ θείοις οἴκοις οὕτω συχνοῖς, οὕτω κοσμίοις, οὕτω πλήθουσιν ἀνδρῶν, ὡς ἀποχρώντως ἀτεχνῶς ἔχειν εἰς οἴκησιν ἔθνους, καὶ χώρας ἀντὶ πάντων [15]) οἰκητόρων καταλογιζομένους [16]), ἀλλ' οὐκ ἐν οἰκητόρων χώρας μέρει ταττομένους αὐτούς. Τοῦτο δὲ καὶ ἰδίᾳ καθ' ἑκάστους, πλείστους γε μὴν, ὅσους καὶ τούςδε τὴν μεγαλόφρονα ταύτην σπουδὴν αἱρουμένους, καὶ Θεῷ μόνῳ καὶ ἑαυτοῖς ζῶντας ἔξω τοῦ βίου παντὸς, ὡς εἰπεῖν, ἔτ' ἐν τῷ βίῳ μένοντας, ὑπὲρ τὴν γῆν ἐν οὐρανοῖς ἄνω ἔτ' ἐν τῇ γῇ κατεχομένους τὸ σῶμα Θεοῦ λατρευτὰς, καὶ Θεοῦ πρόσφυγας [17]) ἐπ'

---

11) ἐν μυρ. Cdd. Aug. et Mon. ἐς μυρία.

12) παρ' ἐκ. C. Mon. vti assolet, παρεκείνοις.

13) ἀεὶ, C. Mon. vti fere semper, sic: ᾀεὶ, cum jota subscripto pro αἰεὶ.

14) εἰ δὲ — πῃ, non agnoscit C. Mon.

15) ἀντὶ π. C. Mon. ἀντιπάντων, iunctim.

16) καταλογ. Cdd. Aug. et Mon. καταλογιζόμενος.

17) πρόσφυγ. Cdd. Aug. et Mon. πρόσφυρας, et mox ἐπερημίας pro ἐπ' ἐρημίας.

ἐρημίας καὶ τοῦ βίου, καὶ τῆς ὕλης πάσης φυγάδας, καὶ τῆς ἀληθινῆς εὐδαιμονίας καὶ μακαριότητος ἐπόπτας, καὶ πρὸ πάντων [18]) *καὶ ἀντὶ πάντων ἐραστὰς Θεοῦ, καὶ πρὸς μόνον ἐκεῖνον ἐνασχολεῖσθαι καὶ προσέχειν ὅλῃ κατοχῇ ψυχῆς ἄτρεπτον πρόθεσιν ἔχοντας. Ὄρη τούτους εἶχε τοὺς καλλίστους τῆς γῆς οἰκιστὰς καὶ φάραγγες* [19]) *καὶ σπήλαια καὶ πετρῶν ῥήγματα, ἃ δὴ μετὰ τῆς θείας κοινωνίας συνοικεῖν εἶχον* [20]) *ἥδιστα· ἀλλὰ δὴ καὶ τοὺς μετ' ἀλλήλων κοινωνικοὺς καὶ τὴν καλλίστην τῶν ἀνθρωπίνων* [21]) *ταύτην ἔνστασιν* [22]) *καὶ πολιτείαν συνασπίζοντα* [23]) *καὶ κατὰ συντάγματα* [24]) *καὶ συνοικίας ἱερὰς βιοῦντας, καὶ τὸ ἀκινώνητον* [25]) *τοῦ κόσμου τῇ μετ' ἀλλήλων κοινωνίᾳ σεμνῶς ὑπαλλάττοντας, ὡσαύτως εἶχον ἐρημίαι καὶ ὀρῶν ἄκρα, οἷ πάντως ἐνεχώρει, καὶ οἷόν τ' ἦν διὰ τὰς απαραιτήτους τῆς σωματικῆς λέγω χρείας ἀφορμάς. Ἀλλὰ καὶ συνοικήσεις τοῖς ἄλλοις τῶν ἀνθρώπων ἐγγειτόνων ἔστιν οὗ, τούςδ' εἶχον καὶ τοὺς αὐτῶν παντίμους καὶ ἱεροὺς οἴκους, καὶ ἴσως*

---

18) *πρὸ π.* C. Mon. vt semper, *προπάντων*, et deinde *ἀντιπάντων* et *προςμόνον*.

19) *φάραγ.* C. Mon. *φάραγκας*.

20) *εἶχον*, Cdd. Aug. et Mon. *ἦχον*.

21) *ἀνθρωπ.* C. Mon. *ἀνῶν*, in margine *γρ. ἀνίνων*, vt supra *ἀνίνα*.

22) *ἔνστ.* C. Mon. *ἔκστασιν*.

23) *συνασπ.* leg. *συνασπίζοντας*.

24) *κατὰ συντ.* C. Aug. iungit: *κατασυντάγματα*.

25) *ἀκινων.* sic etiam C. Aug. leg. *ἀκοινώνητον*.

γε τοῦθ' ὑπόμνησιν [26]) ἀρετῆς καὶ παράκλησιν αὐτόθεν εἰς τἀγαθὸν, καὶ σπουδὴν σώφρονος βίου, καὶ Θεῷ φίλην [27]) ἀγωγὴν, καὶ λιμένας ἔγγιστα πρὸς τοὺς ἐν τῇ [28]) τοῦ βίου θαλάττῃ κλύδωνας. Καὶ πολλά γε καὶ πολλαχοῦ τῆς [29]) ἑώας· ἁπάσης Ῥωμαϊκῆς ἡγεμονίας τοιαῦτα μοναστῶν φροντιστήρια κοσμιώτατ' ἔχοντα, καὶ μάλ' ἐμπρέποντα τοῖς οἰκείοις ἔθεσι καὶ νομίμοις καὶ ἡρμοσμένα, καὶ σεμνότατα τὴν μεγαλόφρονα ταύτην αἵρεσιν ἀγόμενα ἐπιθειασμοῖς [30]) καὶ πᾶσιν ἤθεσι καὶ τρόποις εὐσχήμοσι. Καὶ ταῦτ', οἴμοι, πάντα δέσποτα Θεὲ, πάντων ἐπόπτα, νῦν ἡ καλλίστη σοι μοῖρα τῶν ἀνθρώπων ἁπάντων οἴχεται, καὶ πατεῖ σου βεβηλοῖ [31]) τοὺς ἱεροὺς οἴκους καὶ τὰς σὰς ἁγιστείας, καὶ τὰ πάνσεμνα τῶν σῶν μυστηρίων καὶ τελετῶν οἰκητήρια μιαρωτάτων καὶ δυσσεβεστάτων ἀνδρῶν καὶ ἀλιτηρίων τῆς ἀνθρωπίνης φύσεως καὶ τῆς περὶ Θεοῦ θεοσεβείας πλήθη. Ὦ θείων οἴκων ἐκεῖναι λαμπρότητες καὶ κόσμοι, παντὸς [32])

---

26) ὑπόμνησ. C. Aug. ὑπομνήμασιν.

27) φίλην, recte; at Cdd. Mon. et Aug. φίλον.

28) ἐν τῇ, C. Mon. ἐν τῇδε.

29) πολλ. τῆς, C. Mon. πολλαχοῦ τὸ τῆς.

30) ἐπιθειασ. C. Mon. male: ἐθειασμοῖς.

31) πατεῖ σου βεβ. fors. excidit voc. e. g. δόξαν, et καί. Sic c. 37. iunguntur δόγματα καταπατεῖται καὶ βεβηλοῦται. Verum Cdd. Aug. et Mon. praebent lectionem veram: πατεῖ σου καὶ βεβηλοῖ.

32) παντός, C. Mon. καὶ παντός.

σεβασμοῦ, πάσης αἰδοῦς ἀξιούμενοι, καὶ μόνον ὁρώμενοι· ὢ θείων εἰκόνων φιλοκαλίαι[33])· ὢ κειμηλίων[34]) ἱερῶν ἀστραπαί, καὶ πάντιμος αἴγλη καὶ πάναγνα κάλλη· ὢ βίβλων θεοσόφων[35]) θησαυροὶ, καὶ χρήσεις νόμιμοι, καὶ κατὰ καιρὸν ἐν παντὶ τῷ τῆς χρείας· ὢ πάντ'[36]) ἀλλήλων πολὺ τὸ φάμιλλον[37]) ἔχοντα τοῖς ἄνω, τὰν μέσοις[38]), τὰ κάτω, καὶ πάντα πᾶσι[39]), καὶ ἀντιστίλβοντ' ἐπιμελείᾳ πάσῃ τα κατ' ἔδαφος τοῖς ἄνω καὶ πέριξ μικροῦ, καὶ κατεῖσθαι δέος ἐμποιοῦντα· ὢ τάξις ἱεροτελεστίας ἁπάσης, καὶ τύποι, καὶ διατάγματα τελεσφόρα πάσης ἀρετῆς, πάσης σεμνότητος, πάσης εὐαρμοστίας[40]) καὶ πάσης θεουργοῦ διαθέσεως, καὶ θειασμοῦ δημιουργὰ μετὰ ῥαστώνης οἵας ἀῤῥήτου καὶ γαλήνης, καὶ γλυκυθυμίας ταῖς ψυχαῖς, καὶ θεολήπτου κράσεως αὐτόθεν πᾶσι τοῖς χρωμένοις, πᾶσι τοῖς ὁρῶσι, πᾶσι τοῖς ἐντυγχάνουσιν· ὢ θείων ὕμνων κρότοι καὶ χορεῖαι πάνσεμνοι, καὶ παντὸς ἐνθουσιασμοῦ περὶ τὰ θεῖα χορηγοί[41])·

---

33) φιλοκ. Cdd. Aug. et Mon. φιλοκαλία.

34) κειμηλ. C. Mon. κειμιλείων, male.

35) θεοσ. Cdd. Aug. et Mon. vitiose: θεοσόφρων.

36) πάντ', C. Mon. πάντα.

37) τὸ φάμιλ. leg. τὸ ἐφαμ. vel τ' ἐφάμιλλον.

38) τὰν μέσοις usque ad ἔδαφος τοῖς ἄνω incuria librarii in C. Mon. exciderunt.

39) πάντα πᾶσι, C. Aug. παντάπασι.

40) εὐαρμ. C. Aug. ἐναρμοστίας, et mox θεουργὸν pro θεουργοῦ, mendose.

41) χορηγοί, sic C. Aug. Mon. χορηγεῖ, non bene.

ὢ μέλη χαριστήρια Θεοῦ καὶ τῶν θείων, καὶ δοξαστήρια καὶ ἱκετήρια τοῖς ἀγγελικοῖς καὶ ἐπουρανίοις, ὡς εἰπεῖν, πρέποντά τε καὶ σύμφωνα τακτοῖς τῆς [42]) ἡμέρας ὅροις, καὶ σχεδὸν διὰ πάσης αὐτῆς, τακτοῖς τῆς νυκτὸς, καὶ μὴν ἔτι πάννυχα καθάπερ ἀΰλων τινῶν καὶ ἀσωμάτων ὑπερφρονοῦντα τὴν φύσιν φιλοπονήματα· ὢ τῶν ἀντιφθόγγων καὶ ἀντιφώνων ᾀσμάτων τοῖς ἑκατέρωθεν θιασώταις, καὶ λατρευταῖς τῆς θείας ἐν κρότοις μεγαλειότητος· ὢ συνόδων αὐτοῖς κοινῶν, οἳ δεῖ [43]) καὶ νομίζεται τοῖς ὕμνοις· ὢ διαστάσεων, ὡσαύτως οἳ δεῖ· ὢ σιωπηλῆς ἐν γαλήνῃ τῶν λογισμῶν τῆς ἀνθομολογήσεως τῷ δεσπότῃ· ὢ μεγαλοφώνου δοξολογίας καὶ βακχείας εὐήχου, καὶ τὸ σύντονον σὺν τῷ σεμνῷ γε μὴν αὖθις καὶ πάνυ τοι κοσμίῳ· ὢ πρόοδοι καὶ φωταυγεῖαι πλούσιαι καὶ λαμπρότητες· ὢ συστολαὶ καθάπαξ εὐσχήμονες, καὶ μετριότης ἅπασα τῷ πρὸς Θεὸν δέει, πᾶν ἀποδιδοῦσα τῷ δεσπότῃ ξὺν τῷ ταπεινῷ καὶ τῷ δυσωπητικῷ τίμιον· ὢ πάντα πᾶσι πρέποντα. Ταῦτα δ' οὖν ἅπαντα, καὶ τίς γε δή ποτ' ἂν καθ' ἕκαστ' ἐξειπεῖν οἷός τ' εἴη καὶ διηγήσασθαι; ταῦτα δ' οὖν ἄμεινον εἶχεν ἀπὸ τῆς ὅλης οἰκουμένης ἐν ἐκείνοις ἄρα τοῖς τόποις, καὶ αὐτῆς ἀπὸ πάσης τῆς Ῥωμαϊκῆς ἄλλης ἡγεμονίας, κἀντεῦθεν ἀμέλει καὶ τοῖς ἄλλοις ἂν καὶ ἄλλοθί πη [44]) τῆς τοι-

42) τῆς, C. Aug. omittit.

43) οἱ δεῖ, C. Mon. εἰ δεῖ; sic et postea.

44) ἀλλοθί πη, Cdd. Mon. et Aug. iunctim ἀλλοθίπη.

αὐτῆς εὐαγοῦς τῶν μοναχῶν βιώσεως ἦσαν ὑποδείγματα καὶ τύποι, ὅπως ἄρ' ἐστὶ κάλλιστα καὶ κοσμιώτατα, καὶ πάντα τρόπον ὡς τελεώτατα τῆσδε τῆς πανσέμνου πολιτείας καὶ αἱρέσεως εἶναι τοῦ βίου. Κἀντεῦθεν ἦσαν ἑκάστοτε καὶ τὸν ἀεὶ χρόνον τῆς τοιαύτης ἁπανταχοῦ βιοτῆς ἀποικίαι, καὶ παρ' ἄλλοις ταῦτα φιλοσοφεῖν ἑλομένοις σπέρματά τινα καλλίστης εὐζωΐας, καὶ τῶν βελτίστων ἀφορμαί. Καὶ νῦν γε, μὴν ὡς ἐκεῖθεν οἱ ἄνδρες ὠστρακίσθησαν τῆς κατασχούσης [45]) τῶν ἀσεβῶν συμφορᾶς, ὅσοι δὴ καὶ ἐλείφθησαν, οἵδ' ἐν ἄλλοις ὅποι ποτ' ἂν γενόμενοι, κοσμοῦσι τοὺς δεξαμένους τόπους τὲ καὶ ἀνθρώπους, παρ' οἷς ἐγένοντο, καὶ κέρδος αὐτοί γ' ἕκαστοι τούτους ἔχουσι τῆς πικρᾶς ἄλλοις, μᾶλλον δὲ τῷ κοινῷ Ῥωμαίων τύχης, καὶ τροπὴν ἢ ῥοπὴν εὐγενῶς κρατοῦσαν εἰς τἄμεινον καὶ βέλτιστ' εὖ μάλ' ὅρους τοῦ καλοῦ, καὶ τὰς ἀποικίας ταύτας εὐγενείας τοῦ βίου καὶ εὐδαιμονίας ὑπόθεσιν, ὡς μή ποτ' ὄφελον. Ἀλγεινότατα μὲν τῷ παντὶ τῶν Ῥωμαίων γένει, ἀλγεινότατα δὲ καὶ ὅστις ἐκεῖ πεπείραται, καὶ ξυνεγένετο τοῖς ἀνδράσι, καὶ ξυνεβίωσεν ἀμηγέπη. Ὡς ἄρα ξὺν πολλοῖς ἔγωγ' ἄθλιος ἄλλοις πλεῖστον [46]) ξυντετυχηκὼς τούτων πλείστοις [47]):

45) κατασχ. C. Mon. κατεχούσης.

46) πλεῖστον. Post hoc voc. habent Cdd. Mon. et Aug. δὴ τοῖς ἐκεῖσε τρίψας τόποις, καί μάλιστα τοῖς κατὰ λυδίαν καὶ ἰωνίαν (sic vterque: leg Ἰωνίαν) καὶ πλεῖστων ξυντετυχηκώς.

47) πλείστοις, C. Mon. πλεῖστα.

ἔνθα δὴ καὶ μᾶλλον καὶ ὡς βέλτιστ' ἐσπουδάζετο τὰ κατ' αὐτοὺς, καὶ οὔ ποτ' ἂν μεμνημένος παυσαίμην [48]), ἕς τ' ἂν ᾖ μοι τὸν ἀέρα πνεῖν ὁπηοῦν ἐν αἰσθήσει, καὶ κατολοφυρόμενος τὰς κοινὰς συμφορὰς, καὶ ἰδίᾳ γε μὴν τὴν πανώλειαν, ὧν ἐν τῇ ζωῇ καλλίστων εἶδον καὶ πεπείραμαι, καὶ οἷς ὡς ἥδιστα χρόνιος ξυνεβίωσα, οὐκ οἶδ' ὡς εἴ τῳ καὶ ἄλλῳ [49]) τῶν ἁπάντων, οἷς τῷ βίῳ ξυνέλαχον.

ΚΕΦ. μά.

Ὅτι ἔθος ἀνθρώποις τὰ παρελθόντα τοῦ βίου ποθεῖν, κἀκείνων ἥδιστα μεμνῆσθαι.

Ἔθος ἄρα τοῦτο, μᾶλλον δ' ὡςπερεὶ φύσει πολὺ παρ' ἀνθρώποις κρατεῖ, τὰ παρελθόντα ποθοῦσιν ἀεὶ, καὶ οἷς ἐχρήσαντο κατὰ τὸν βίον πρότερον, καὶ μάλιστ' ἐκ παίδων χρόνῳ τρίψαντες ἥδονταί πως μεμνημένοι, καὶ βούλοιντ' [1]) ἂν, εἴπερ οἷοί τ' εἶεν ἐν ἐκείνοις, ὥςπερ ἐπανακάμψαντες παλινοστῆσαι τοῦ βίου, καὶ γενέσθαι τῶν παρόντων ἐκτὸς, πολλάκις γε καὶ βελτιόνων ἀμέλει καὶ τύχης ἀμείνονος ἢ πρὶν, καὶ ὧν ἥδονται μεμνημένοι. Καὶ πολλάκις ἔγωγε τοῦτ' αὐτὸ παθὼν [2]) οἶδα, καὶ πολλῶν οὕτω δια-

---

48) παυσ. C. Mon. παυσάμην.

49) ἄλλῳ, C. Mon. ἄλλων.

1) βούλοιντ', Cdd. Aug. et Mon. male βούλοιτ'.

2) παθὼν, Cdd. Mon. et Aug. παθῶν, mendose.

τιθεμένων ἥσθημαι, καὶ πολλοὺς ἂν οἶμαι συμφῆσαί[3]) μοι, καὶ τοῖς νῦν ὑπ' ἐμοῦ λεγομένοις εὖ μάλα συνθέσθαι, καὶ παρ' ἑαυτῶν μηδὲν ἧττον καὶ τῆς αὐτῶν γνώμης, ἢ παρ' ἄλλων ὡντινωνοῦν πίστεις ὡςπερεί τινας ἐπιμαρτύρασθαί μοι τῷ λόγῳ. Καὶ μήποτ' ἄρ' ἴσως ἐντεῦθεν καὶ τὸ τῆς παροιμίας, ὡς ἀεὶ βελτίω τὰ πέρυσιν, ὡς ἥδιόν γε, ἧπερ εἴρηται, προσανακειμένων τῶν πλείστων ἀνθρώπων τοῖς φθάσασι τοῦ βίου καὶ προςανεχόντων, ἢ οἷς νῦν ἑκάστοτ' εἰσὶ, καὶ μετά τινος ῥαστώνης καὶ πάθους ἐρωτικοῦ μεμνημένων, αἷς πάλαι συνειθίσθησαν διατριβαῖς, καὶ τόποις καὶ οἰκήσεσιν ἔστιν οὗ, καὶ βιοτῆς ὅλως ἀγωγῇ, τοῦτο μὲν ἐν σπουδαῖς αἷστισιν ἄρα, τοῦτο δὲ καὶ μηδὲν ἧττον ἐν παιδιαῖς κατὰ γῆς[4]), κατὰ θαλάττης ἴσως, ἐν πράγμασιν, ἐν ὁμηλικίαις ἐρατειναῖς κατὰ τὴν ποίησιν[5]). Καὶ μέμνηνταί γ' ἐκείνων ὡς ἥδιστ' ἄνθρωποι, καὶ φέρονται τοῖς λογισμοῖς εἰς ἐκεῖνα, καὶ τὰς ψυχὰς αὐτίκα πασχούσας ἐπ' ἐκείνοις καὶ διάθεσιν λαμβανούσας ἐρωτικὴν, ὥςπερ ἐπίληπτοί τινες αὐτόθεν καὶ κάτοχοι τῶν πρότερον ἐκείνων ἐπιεικῶς ἔχουσι, καὶ ἅμα τὲ ἥδεσθαι τῇ μνήμῃ, καὶ ἅμα ἀλγεῖν, ὡς ἄρ' ἀφήρηνται[6]) τῶν ἐν μνήμῃ, καὶ ξύμμικτόν τι πάθος τοιού-

---

3) συμφῆσαί, Cdd. Aug. et Mon. συμφῦσαι, male.

4) κατὰ γῆς, C. Mon. καταγῆς et καταθαλάττης.

5) ἐν ὁμηλικίαις — ποίησιν, Hom. Il. γ', 175.

6) ἀφηρ. Cdd. Aug. et Mon. ἀφειρηνται.

των ἐξ ἐναντίων [7]) ἕξεων πάσχουσιν ἐοίκασιν, οἱ μὲν καὶ μάλισθ᾽ ὡς ἀληθῶς, οἱ δ᾽ ἴσως καὶ πλεῖν ἢ κατὰ τἀληθὲς ἐν τοῖς λογισμοῖς πλαττόμενοι καὶ φεύγοντες τὰ παρόντα, καὶ ποθοῦντες τὰ φθάσαντα, καὶ οἱ μὲν ξὺν ἀπλαστίᾳ τινὶ φυσικῇ καὶ ἤθους εὐκολίᾳ, οἱ δὲ καὶ σκηνῆς οὐκ ἔξω τὰ μὴ ὄντα προςποιούμενοι, καὶ βούλοιντ᾽ [8]) ἂν εἶναι μὲν, ἐν οἷς εἰσὶν, ἥδοιντο [9]) δ᾽ ἂν ἀμέλει τῇ μνήμῃ τοῖς πρὶν ἀμηγέπῃ, καὶ νομίζοντες ἴσως εὐδαιμονεῖν ἐνίοτε τὰ παρόντα καὶ δοκοῦντες τοῖς ἄλλοις οὕτω χρῆσθαι τῇ τύχῃ βέλτιστα, οἱ δ᾽ οὐ ξυγχωροῦσι μὲν ἑαυτοῖς αὐτοί τε κρίνοντες, καὶ τοῖς ἄλλοις ἐπόπταις οἶμαι πειθόμενοι προλιπεῖν τὰ παρόντα, καταπροδοῦναι τὴν τύχην καὶ τὰς τῶν ἑξῆς χρόνων [10]) τῆς βιοτῆς ἀχαριστεῖν εὐπραγίας. Ποθοῦσι δὲ καὶ ὅμως τὰ φθάσαντ᾽ αὖθις [11]), καὶ ἀνακάμπτουσιν ἐκείνοις τῇ μνήμῃ, καὶ καταριθμοῦνται μεθ᾽ ἡδονῆς τὰ καὶ τὰ [12]) τῶν παλαιῶν τότε λόγων, τὰ καὶ τὰ τῶν τότε πράξεων καὶ διατριβῶν, σπουδαίων τε καὶ μὴ, καί

7) ἐξ ἐναντ. Cdd. Aug. et Mon. iunctim ἐξεναντίων.

8) βούλοιντ᾽, vt supra Cdd. Aug. et Mon. βούλοιτ᾽.

9) ἥδοιντο, Cdd. Mon. et Aug. ἥδοντο.

10) χρόνων, deest in C. Mon.

11) αὖθις, καί, Cdd. Aug. et Mon. deleto commate post αὖθις omittunt καί.

12) τὰ καὶ τὰ, Cdd. Aug. et Mon. τὰ τῶν παλ. et τὰ τῶν τότε πρ. pro τὰ καὶ τὰ τῶν παλ. et τὰ καὶ τὰ τῶν τότε πρ. De τὰ καὶ τὰ vid. Viger. de Idiotism. Gr. dict. p. 21. ed. Herm. 1813. et supra c. 4. n. 7.

τίνος ἐνίοτ᾽ ἐκείνης ἐλευθεριότητος ἐν πάσῃ ῥαστώνῃ. Καὶ γίγνονται μάλ᾽ ἐκείνων ὡς ῥᾷστα καὶ ἥδιστα, ἀπρὶξ δ᾽ ἔχονται τῶν παρόντων, καὶ οὐκ ἀποχωρεῖν βούλονται, ὅσοις τοι ξυνέλαχεν εὐπραγίας τὶς ὄγκος, βέλτιον ἔχων ἢ δοκῶν ὅμως ἢ σφίσι τότε, δεδιότες ὡςπερεὶ μή που τὶς ἂν φθάσας ἁρπάσῃ τὰ παρόντα πράγματα καὶ τὴν ἀγαθὴν τύχην, καὶ τὰς μακρὰς ἴσως οὐσίας τῶν ἐφέδρων βασκάνων καὶ πάλαι καθημένων καὶ προσορώντων ἐκ παρασκευῆς[13]) ἐχθρώδους ἐπ᾽ αὐτούς. Ἔνιοι δέ μοι δοκοῦσιν ὡς ἀληθῶς καὶ δι᾽ ἔθος φύσεως ὑπ᾽ ἀπληστίας ἀχάριστον τὰ παρόντα φεύγειν, οὐχ ἑκόντες ὄντες, οὐδ᾽ ἀληθεύοντες τοῖς λόγοις τὲ καὶ ταῖς γνώμαις πρὸς τὰ φθάσαντα καὶ παρελθόντ᾽ ἄρ᾽ ὡς βελτίω, ὧν μὴ πολλοὺς ἔχουσι μάρτυρας, καὶ ἀνταλλαττόμενοι τὰ κατ᾽ αὐτοὺς νῦν κακοήθεις καὶ πικροὶ τῇ τύχῃ τῶν πρότερον ἐκείνων, ἐν οἷς ἂν τέως γε βιοῦντες, ἐν εὐχῆς εἶχον μέρει τῶν νῦν ὄντων τυχεῖν καὶ λαβέσθαι, ἢ καὶ ἴσως ἡττόνων ὁτιοῦν, κἂν εἰ ἔγγιστ᾽ αὐτῶν, εὖ μάλα κατ᾽ ἔφεσιν ὄν, καὶ πάντως εὐκταῖον. Καὶ ὄντως πολλοῦ γε δῆτ᾽ ἐν ἐκείνοις ἄρ᾽ ὄντες ἐπρίαιντ᾽[14]) ἄν, εἰ[15]) οἷόν τ᾽ ἦν, καί τις ὑπέβαλεν[16]) ἂν ἐλπὶς, τὰν χερσὶ καὶ πα-

---

13) ἐκ παρ. C. Mon. ἐκπαρασκευῆς, et deinde ὑπαπληστίας.

14) ἐπρίαιντ᾽, Cdd. Mon. et Aug. ἐπρίαντ᾽.

15) εἰ, deest in Cdd. Aug. et Mon.

16) ὑπέβ. C. Mon. ὑπέρβαλεν.

ρόντα νῦν, ἃ φέρουσιν ἀηδῶς, καὶ φεύγειν ἀξιοῦσιν, ὥς γε δόξαιεν ἄν.

ΚΕΦ. μβʹ.

Ὅτι σφόδρα ἡδὺ τοῖς ἀνθρώποις ἐποπτεία τῆς κτίσεως[1]).

Ἥδιστον, εἰ δή τι καὶ ἄλλο τῶν θεαμάτων, ἡ τῆς κτίσεως ἐποπτεία, καὶ τὸ τοῖς ὀφθαλμοῖς διϊέναι τῶν ὁρωμένων ἁπάντων, καὶ ὥςπερ ἐν ἑκάστων τάχιστ' ἐπιδημεῖν, καὶ ἀπρόςκοπον[2]) τῇ πομπῇ ταύτῃ καὶ διόδῳ[3]) τῶν καλλίστων ὡς ἀληθῶς γίνεσθαι[4]), ῥᾳστώνην οἵαν ἐμποιεῖν πέφυκε καὶ διάθεσιν τρυφῆς κομιδῇ τῇ ψυχῇ. Φιλοθεάμων γὰρ εὖ μάλ' ἡ ψυχὴ φύσει καὶ πάσης ἐν ἔρωτι τῆς αἰσθητικῆς χρήσεως, καὶ μάλιστά γε τῆς κρείττονος καὶ τελεωτέρας αὐτῆς ἄρα τῆς[5]) ὀπτικῆς. Καὶ τοῦτο κατὰ πάντων ὁμοῦ τῶν ζώων, οὐκ ἀνθρώπων μόνων, ὡς ῥᾷστα ἔξεστι συλλογίζεσθαι, καὶ πρὸς ὁρατὰ βελτίω πάντως οὐκ ἂν εἴη τοῖς ὀφθαλμοῖς χρήσασθαι τῶν τῆς κτίσεως θεαμάτων. Ἀνθρώπῳ δὴ τοῦτό φημι, καὶ ᾧ γε μάλιστ' εὐγενῶς ἡ ψυχὴ πέφυκε, καὶ μὴ βίον ἀναίσθητον, ὡς εἰπεῖν, ἐν αὐταῖς

---

1) κτίσεως, C. Mon. κτήσεως: in sqq. vero κτίσεως.

2) ἀπρόςκοπον, C. Aug. ἀπρόσωπον.

3) διόδῳ, C. Mon. δίοδον.

4) γίνεσθαι, C. Mon. γίγνεσθαι.

5) ἄρα τῆς, C. Mon. ignorat.

ταῖς [6]) τῶν αἰσθήσεων χρήσεσι ζῇ, καὶ τὸν βοσκηματώδη τρόπον ἄγεται, ἀλλ' ἐμπορεύεταί τι καὶ τῇ λογικῇ ψυχῇ πρὸς χρῆσιν χρήσεως. Καὶ φύσει γὰρ ἄνθρωποι τοῦ εἰδέναι τὴν ἔφεσιν, Ἀριστοτέλης φησὶν, ἔχουσι, καὶ τούτου γε σημεῖον ποιεῖται τὴν τῶν αἰσθήσεων ἀγάπησιν καὶ ἐνέργειαν ἐν [7]) ἡδονῇ. Ὧν ἄρα δὴ καὶ πολὺ τοῦτο δῆλον, τὰ πρῶτα φέρεται καὶ κατὰ πάντων ἔστι βελτίων ὅρασις καὶ τελεωτέρα, τὴν οἰκείαν χρῆσιν καὶ τὰ κατ' αὐτὴν αἰσθητὰ, καὶ πρὸς ἀντίληψιν ὑποκείμενα πολὺ τῶν κατὰ τὰς ἄλλας τῶν αἰσθήσεων ἀμείνονος εἰσὶν ἕξεως. Καὶ τοῦτο μέν γε οὕτω, καὶ φέρει γε πάντως καὶ αὐτὸ [8]) πρὸς τὸν νῦν τοῦ λόγου σκοπόν. Μάλιστα δ' ὅπερ ἠβουλόμην, ὡς ἡδὺ πάνυ τοι, καὶ μεγάλην ἐνίησι καὶ φέρει τῇ καρδίᾳ ῥᾳστώνην αὐτίκα αὐτόθεν, ὁπότε τὶς τὸν ὀφθαλμὸν ἀπόλυτον ἐπόπτην ἀφίησιν ἐπὶ πάσης τῆς τῶν αἰσθητῶν καλλονῆς, καὶ πάντα τῇ ὄψει κατατρέχει τὰ τῆς κτίσεως θεάματα, ἄνω τε καὶ κατὰ γῆς [9]), καὶ κύκλῳ τὰ περὶ αὐτὸν, ἐκχεόμενος ὡς ῥᾷστα καὶ διαῤῥέων τὸν ἀπέραντον τόνδε τῶν ὀφθαλμῶν δρόμον ὡς τάχιστα, μὴ ξυμπίπτων ὁπηοῦν, μὴ κάμνων τὴν ἄπλεκτὸν [9b]) ταύτην κατὰ πάν-

---

6) ταῖς, deest in C. Aug.

7) ἐν, in C. Mon. omissum.

8) αὐτὸ, Cdd. Aug. et Mon. αὐτόν.

9) κατὰ γῆς, C. Mon. iunctim καταγῆς, et mox etiam καταπάντων.

9b) ἄπλεκτον, fors. ἄπληστον.

των ἐνέργειαν καὶ ἐπαφὴν, ἀλλ' ἅπασαν τὴν τῆς γενητῆς φύσεως ἑορτὴν καὶ θαυματοποιΐαν κάλλιστ' ἐμπανηγυρίζων, καὶ χρώμενος καθ' αἵρεσιν, καὶ μή ποθ' ὑπ' οὐδεμιᾶς ἀντιπράξεως καὶ τυραννίδος, τῆς αὐτοκρατορικῆς ταύτης ἀδείας αὐτοῦ, καὶ τῶν καλλίστων ἀπολαύσεως εἰργόμενος, καὶ ταῖς τελεταῖς ἐμβακχεύων τῆς δημιουργικῆς καὶ προνοητικῆς ἐπὶ τοῖς οὖσι θείας σοφίας, καὶ τέρπων ἀμυθήτῳ γλυκυθυμίᾳ, καὶ τρυφῆς ἀμέμπτῳ καὶ ἀκύμονι διαθέσει, τὸ παθητικὸν τῆς ψυχῆς καὶ ἄλογον, ᾧ πᾶσα ἀνάγκη χρῆσθαι, καὶ οὐκ ἐκκοπτέον ἡμῖν οὐδ' οἷόν τε, τῆς φύσεως, χρηστέον δὲ ἐν προσήκουσι, καὶ οἷς μὴ ζημία τὶς, μὴ νέμεσις ἕπεται. Εἰ δὲ καὶ τῷ λογικῷ τῆς ψυχῆς ἐντεῦθεν ἐστὶ τρυφᾷν [10]), καὶ κέρδη πορίζεσθαι, καὶ συμπεραίνειν εἰς σύνεσιν, καὶ ἔστι γε πάντως, οἷς ἄρ' ἐστὶ κατασυλλογίζεσθαι τοῖς παροῦσι τὰς περὶ θεὸν ἐννοίας, ἢ πάσχειν τοῖς αἰσθητοῖς τὴν τῶν νοητῶν καὶ θείων ἐπαφὴν, καὶ ἑνοποιὸν κοινωνίαν, καὶ συνδιάθεσιν, ἀγαπῴην ἄν· ἄλλος δ' οὖν τοῦτο λόγος, καὶ ἴσως ἐατέον νῦν γε εἶναι περὶ τούτων [11]).

ΚΕΦ. μγ'.

Ὅτι ἥδιστον ἡ τοῦ οὐρανοῦ καὶ τῶν κατ' οὐρανὸν ἐποπτεία.

Οὐρανὸς δ' αὐτὸς καὶ τὰ κατ' αὐτὸν ἀστράπτοντα αἴγλῃ πάσῃ κάλλη καὶ θεάματα, τίς

10) τρυφᾷν, C. Mon. τρυφᾶν.
11) περὶ τούτων, C. Mon. περιτούτων.

ἐρεῖ, ὅσην ἐμπαρέχεται [1]) τοῖς ἐφορωμένοις τὴν ἡδονὴν, καὶ ὅσην ἄρ' ἐν αἰθρίας ὥρᾳ τοῖς περιχορεύουσιν ὀφθαλμοῖς αὐτὰ πάνθ' ἕκαστα πάντοθεν σὺν τῷ θαύματι τὴν τέρψιν μετὰ τοῦ θειασμοῦ τὴν ἱλαρύνουσαν καὶ καταγλυκαίνουσαν τῇ καρδίᾳ διάθεσιν; Οὐ γὰρ ἀξιώματος μὲν καὶ θάμβους μέτεστι, καὶ πάνυ τοι πλεῖστον τοῖς φαινομένοις [2]), ὥρας δ' οὐ, οὐδ' ἀγάλλει μὲν τοὺς ὀφθαλμοὺς ὁρώμενα, καὶ τὴν ψυχὴν αὐτὴν μάλιστ' ἔσω, καὶ θέλγει καὶ διυγραίνει ταύτην εἰς ἡδονὴν οἵαν ἄῤῥητον, οὐκ ἐκπλήττει [3]) δέ γε τὸν νοῦν αὐτόθεν, καὶ σωφρόνως ἔχειν κατὰ πᾶσαν [4]) ἀνάγκην πείθει τοῖς ἐποπτεύουσιν ὑπὸ τοῦ θαύματος· ὡς ἄρ' ἔοικεν ἐπὶ τῶν μεγίστων καὶ ὑπερφυῶν δή τινων ἐμπρέπειν· καὶ τὰ μὲν ἄλλ' ἐῶ, καὶ ὅσην αὐτόθεν πράττεται τῶν ὁρώντων ξυναίσθησιν, καὶ λογισμῶν κίνησιν κατὰ πόθον τῆς αὐτῶν ζητήσεως, ἅττά ποτ' εἰσὶ καὶ ὅπως ἄγεται τῷ πάντ' ἔχοντι καὶ ἄγοντι [5]), καὶ κινοῦντι κατὰ χρείας [6]) δή τινας τῷ παντὶ συμφώνους, καὶ ἀῤῥήτους

---

1) ἐμπαρ. C. Mon. ἐμπανέχεται, male.

2) τοῖς φαιν. C. Mon. τῆς φαινομένης, Aug. τοῖς φαινομένης.

3) ἐκπλ. C. Mon. ἐμπλήττει.

4) κατὰ π. C. Mon. καταπᾶσαν, et deinde καταπόθον pro κατὰ πόθον.

5) καὶ ἄγοντι, omittunt Cdd. Aug. et Mon.

6) κατὰ χρείας, Cdd. Aug. et Mon. καταχρείας, et deinde ὑποφιλοπραγμοσύνης, et περιτούτων, et ἐξανάγκης.

αἰτίας καὶ ἁρμονίας τῷ πρώτῳ πάντων αἰτίῳ. Καὶ παρίημι νῦν γε εἶναι καὶ τὸν θαυμαστὸν Πλάτωνα, διδάσκαλον αὐτὸν οὐρανὸν καὶ τὰ κατ᾽ αὐτὸν ὁρώμενα, καὶ πάσης αὐτουργὸν σοφίας ἀνθρώποις ὑπὸ φιλοπραγμοσύνης ἐξ ἀνάγκης τῆς περὶ αὐτὸν κάλλιστ᾽ εἰρηκότα, καὶ καθ᾽ οὓς ἄρα τοὺς λόγους μανθάνειν ἔστιν ἐκ τῶν ἐκείνου. Ἀλλ᾽ ἔγωγ᾽, ὡς ἔφην, παρέρχομαι νῦν περὶ τούτων· ἀτάρ γε δῆθ᾽ ὡς ὀφθαλμοὺς ἅπαντας τὰ ἐν οὐρανοῖς πρὸς ἑαυτὰ μεθ᾽ ἡδονῆς ἀνέλκει, καὶ πολύ γε πάντες τῶν οὐρανοῦ θεαμάτων ἥδιστ᾽ αἰθριάζομεν ἐπόπται καὶ πομπεύομεν κατ᾽ ὄψιν ταῖς αὐτοῦ χάρισιν, ἡνίκ᾽ ἂν ἐξείη [7]) καὶ ὥρα δίδωσι. Τίς ἀγνοεῖ; τίς οὐ τῷ λόγῳ παραχρῆμα νῦν ἐν μνήμῃ γίνεται, καὶ ξυνίησιν εὖ μάλα καὶ αὐτὸς πάσχων ὁστισοῦν ἑκάστοθ᾽ [8]) οὕτω καὶ συντίθεται καὶ μαρτυρεῖ τοῖς λεγομένοις, ἣν [9]) ἄρα μὴ βούλοιτο πᾶσαν ἀπάθειαν καὶ πᾶσαν ἀναισθησίαν τῶν βελτίστων καθ᾽ ἑαυτοῦ πάντας συμπείθειν ἐπιψηφίζεσθαι, καὶ φύσεως, ὡς εἰπεῖν, ἀνθρωπίνης καθάπαξ ἀλλοτριότητα; Καὶ μόνος γὰρ τοῦτ᾽ ἄνθρωπος τῶν ἄλλων ζώων ἴδιον ἔχει τῇ φύσει, καὶ τοῖς πολλοῖς ἐντεῦθεν παρωνομάσθαι δοκεῖ τὸ βλέπειν ἄνω, καὶ τἀν οὐρανοῖς [10]) ἐπισκέπτεσθαι, καὶ

---

7) ἐξείη, C. Mon. ἐξῄει.

8) ἑκάστοθ᾽, Cdd. Mon. et Aug. ἑκάστου δ᾽.

9) ἣν, Cdd. Aug. et Mon. ἤ, et Aug. βούλοντο pro βούλοιτο.

10) καὶ τἀν οὐρ. C. Mon. τά τ᾽ ἐν οὐρανοῖς.

ἥδεται πᾶν ἕκαστον εὖ μάλα τῷ κατὰ φύσιν ἰδίῳ, καὶ ᾧ πλεονεκτεῖ τῶν ἄλλων. Καὶ τοίνυν ἀνατεινόμενος οὕτω δὴ τοῖς ὀφθαλμοῖς ἄνθρωπος ἄνω καὶ τῶν οὐρανίων ἐφαπτόμενος [11]), μάλιστα δῆλος ἐστὶν ἥδιστα τῇ τοιαύτῃ τῆς αἰσθήσεως ἐνεργείᾳ χρώμενος. Καὶ προσορῶμέν γε ἅπαντες ποθοῦντες ἐν τέρψει τοὺς οὐρανίους κόσμους, καὶ τὰς τῶν ἄστρων χορείας, καὶ τὰς ἀστραπτούσας ἐκεῖθεν χάριτας, καὶ μάλιστ᾽ ἔχοντες ταῖς νυξὶν ἀπροσκόπτως χρῆσθαι, καὶ δίχα παντὸς ἀχλυώδους καὶ ζοφώδους ἐπιτειχίσματος, τὰς ἐκ τῶν ὀμμάτων ἀναπέμπειν ἀκτῖνας [12]), καὶ ἀντιπέμπειν ταῖς φερομέναις ἄνωθεν ἡμᾶς ἐκ τῆς τῶν ἀστέρων καὶ τῆς τῶν οὐρανίων αἴγλης τε καὶ λαμπρότητος, καὶ τὴν ἐντεῦθεν ῥᾳστώνην τε καὶ τρυφὴν τῇ κατ᾽ ὀφθαλμοὺς χρήσει. Πάσχειν ἔστι μάλιστα καὶ ξυναισθάνεσθαι, οἷς ἄρα τῶν αἰσθήσεων ἡ χρῆσις εὐγενῶς ἔχει [13]), ἢ διηγεῖσθαι καὶ τρανοῦν ἐν λόγοις καὶ καταλογίζεσθαι, πρὸς οὓς ἄν τις βούλοιτο, ὅτι γε δὴ καὶ καθόλου τὰ τῶν αἰσθήσεων πάθη καὶ πεῖραι πεφύκασι παραδιδόναι ταῖς καρδίαις, ἢ λόγων ἀνεστορήσεις [14]) καὶ τύποι μὴ χαρακτηρίζειν πεφυκότες, καὶ προδεικνύειν εὖ μάλα τῷ νῷ, ἃ τῆς ὑλικῆς ἐστιν ἐπαφῆς, καὶ

---

11) ἐφαπτ. C. Mon. ἐφαπτόμενον, et δῆλον pro δῆλος.

12) ἀκτῖνας, Cdd. Aug. et Mon. ἀκτίνας.

15) ἔχει, C. Mon. ἔχεις.

14) ἀνεστορ. C. Mon. ἀνεστορήσεις; leg. ἀνιστορήσεις.

μετὰ τῆς ὕλης γνώριμα καὶ ταύτης καθάπαξ οὐκ ἔχει τέμνεσθαι.

ΚΕΦ. μδ΄.

Ὅτι ἥδιστον θέαμα ἡ θάλαττα [1]).

Ἀλλ' ἄρα δὴ καὶ τὸ τῆς θαλάττης [2]) ἥδιστον κομιδῇ θέαμα, ὅτε φρίττει [3]) γαληνιῶσα, καὶ ὑπτιάζουσα διαλλάττεται [4]) ταῖς ἀκταῖς καὶ μετ' εἰρήνης ἀσείστως τὲ καὶ ἀψοφητὶ προςφέρεται ἡ τέως βαρύβρομος [5]) ἐκ τῶν ποιητικῶν λόγων καὶ σφόδρα ἀγριοῦνουσα [6]), καὶ καταβροντῶσα ταῖς ἀκοαῖς, καὶ τοὺς ὀφθαλμοὺς ἐκτρέπουσα τῷ φοβερῷ, καὶ παντάπασιν ἀπέλαστός τε καὶ ἄαπτος σωφρονοῦσα, κεχυμένη χάριτος εἰρηνικῆς θέατρον, καὶ φιλάνθρωπα μεταλλάττουσα δράματα, μικροῦ γε ἀκινητοῦσα, καὶ προςπλεκομένη τοῖς αἰγιαλοῖς ἀτεχνῶς ἀνη-

1) θάλαττα, C. Mon. θάλασσα.

2) θαλάττης. *Sine dubio Theodorus hic respicit Bosporum Thracicum, quem eodem fere modo describit Gyllius l. 3. c. 10.* Bloch.

3) φρίττει, sic Cdd. nostri, vt etiam Bloch, sed C. Germ. σφίττει, male.

4) διαλλαττ. *annon* προςαράττεται? *sic Alciphr.* 1, 1. Bloch. p. 118. verum is quoque 1, 4. ἡ θάλαττα τῆς γῆς διαλλάττει. Infra dic. μεταλλάττειν δράματα.

5) βαρύβρομος — λόγων, sic ap. Eurip. Phoeniss. 190. βαρύβρομον κῦμ' ἅλιον.

6) ἀγριουν. male: Cdd. Mon. et Aug. cum Bl. ἀγριαίνουσα.

κόῳ φλοίσβῳ, καὶ ὥςπερ δή τισιν ἠπιώδεσιν[7]) ἀμυχαῖς ἐπιδραττομένη, καὶ κατὰ τῆς ἄμμου σιωπηλὰ[8]) κόπτουσα καὶ προςπαίζουσα, καὶ προςβάλλουσα σὺν ὥρᾳ δή τινι, καὶ παλιννοστοῦσα ἐρωτικαῖς δή τισι ταῖς κοινωνίαις πολὺ τὸ τέρπον ἐχούσαις, καὶ πολύν τινα[9]) τὸν πόθον τοῖς ὀφθαλμοῖς, ὡς ἂν δὴ καθορᾷν, καὶ τὴν ἡδονὴν αὐτόθεν ἐμποιοῦσα. Τίς γὰρ ἐξ ὑπερτέρων ὁρῶν[10]), τίς δ' ἐξ ἰσοπέδων οὐ μάλα τοι κηλεῖται καὶ διαχέεταί[11]) πως αὐτῇ, καὶ τοῖς ὀφθαλμοῖς ἐπιβαίνει καθάπαξ ἐῤῥαστωνευμένως, καὶ συμφύεται, καὶ πᾶσαν ἀκύμαντος ἔπεισι, πνεύματι καρδιακῆς[12]) εὐφορίας ἀλύπῳ καὶ γλυκυθυμίᾳ πομπεύων, καὶ στελλόμενος τοῖς ὄμμασιν οὔρια, καὶ δι' εὐπλοίας ἀνύτων οὐκ ἄπονα[13]) μόνον,

---

7) ἠπιώδεσιν, sic Codd. omnes, et Bl. sed in C. Ciz. verba τισιν ἠπ. sic videntur iuncta, vt legi possit τισι νηπιώδ. Contextui fauet lectio recepta. Lexica ignorant voc. ἠπιώδης.

8) σιωπηλὰ, recte. Bl. σιώπαλα cum C. Aug. σιωπολλὰ C. Mon.

9) πολύν τινα, Bl. vitiose πάλιν τινά.

10) ὁρῶν, sic Cdd. etiam Aug. et Mon. cum Bl. at C. Germ. ὀρῶν. *Quis cum vel de elatis montibus, vel ex planis campis (mare prospiciens) non valde gestiat: at lectio ὁρῶν multo sanior videtur.* Bloch.

11) διαχ. Bl. διαχεῖται.

12) καρδιακῆς. *Suspectum videtur, pro quo optarim legere γὰρ διὰ τῆς.* Bl. At in Theodoro non est, quod de hac lectionis insolentia dubites, quam Cdd. omnes praebent, nam reliqua, quae hic effundit, eadem laborant insolentia, et sqq. ἀλύπῳ et γλυκυθυμίᾳ ei fauent.

13) ἄπονα, Bl. ἄπονον.

ἀλλὰ καὶ πάσης ἐν ἀπολαύσει καὶ μετουσίᾳ τρυφῆς καὶ διαθέσεως εὐξυμβλήτου τῇ ψυχῇ; Καὶ μὴν κἂν ὅπως ἄρά ποτ' ἔχοι καὶ ἱλαρότητος δηλαδὴ καὶ ὀργῆς καὶ ταραχώδους ἡ θάλαττα φρυάγματος καὶ σεισμῶν οὐκ ἄμικτα τὰ κατὰ τὴν αὐτῆς[14]) ἐποπτείαν πρὸς τῇ ἡδονῇ, καὶ θάμβους δή τινος, καὶ τοῦ μεγάλοις δὴ πᾶσιν ἐπιπρέποντος[15]) σεμνοῦ. Καὶ εἴσω συστρέφει, καὶ τοῖς καθορῶσιν ἐν ἐκχύσει τρυφῆς τὸν νοῦν[16]) ὅμως βάθη κρύπτουσα τῆς φύσεως οὐκ εὔληπτά πως οὐδ' ἀνύποπτα[17]), οὐδ' οἷα[18]) μετ' εὐκολίας τῇ χρήσει τῶν ὀφθαλμῶν, καὶ τοῖς λογισμοῖς καθάπαξ ἐκκείμενα, ἀλλ' αἰδοῦς αὐτόθεν καὶ θαυμασμῶν ἀξιούμενα, καὶ μὴ ῥᾷστ' εὐπεριφρόνητα πρὸς τὴν ἐντυχίαν[19]), κἂν εἰ πάνυ τοι τὸ γαληνὸν ἐπανθῇ[20]) τῇ κινήσει ταύτης,

---

14) *κατὰ τὴν αὐτ.* Bl. *κατ' αὐτῆς.*

15) *ἐπιπρέπ.* sic et Bl. et C. Aug. verum Mon. *ἐπιτρέποντος.*

16) *τὸν νοῦν*, sc. *κατά.* Bl. mendum hic suspicatur, et vult legi *τὸν ῥοῦν*, *elemento vno mutato.*

17) *ἀνύπ.* Bl. *ἀνεύποπτα:* C. Reg. Germ. *ἀνεύποπτα*, fors. *ἀνύποπτα.*

18) *οὐδ' οἷα*, sic etiam C. Mon. et Bl. at C. Aug. *οὐδ' οἷστα*, vt C. Germ. ap. Bl. vitiose.

19) *ἐντυχ.* sic Cdd. nostri; verum Bl. *εὐτυχίαν*, quod omni caret sensu, ipsique etiam suspectum videtur: *nam non est*, addit, *quod contemnas mare propter vtilitatem, et vult legi: πρὸς τὴν εὐκολίαν, nec est, quod mare (licet mitis et facilis eius facies) vilipendas.*

20) *ἐπανθῇ*, sic nostri Cdd. vti etiam Paris. Reg. Bloch vero *ἐπανθεῖ.*

καὶ χάριτες ἑορτάσιμοι τοῖς ὀφθαλμοῖς ἀπ' αὐτῆς ἀπαντῶσιν, ἀλλὰ δεῖ καὶ οὕτω τοῖς [21]) ἐποπτεύουσιν αἰδοῦς αὐτῇ, δεῖ θάμβους, δεῖ λογισμῶν σωφρονικῶν [22]), ὡς ἐπὶ καλλίστου μετ' ὄγκου δή τινος καὶ μεγαλοφυΐας θεάματος.

ΚΕΦ. με΄.

Ὅτι εἰκάζειν ἂν εἴη τοὺς ἐν τῷ ἱλαρῷ συνόντας σεμνότητι τῷ τῆς θαλάττης ἐν γαλήνῃ θεάματι.

Ἔγωγέ τοι πολλάκις κατ' ἐμαυτὸν εἰκάσας μέμνημαι τοὺς ἐν μεγαλόφρονι καὶ σεμνῷ καὶ σεβασμοῦ πλήρει καταστήματι χαρίεντας καὶ γλυκαίνοντας [1]), καὶ ἠδεῖς καὶ ἀστείους τῷ κατὰ την θάλατταν αὐτῷ πράγματι, ἧς ἐπιπολάζει μὲν ἡ φαινομένη ῥαστώνη, καὶ ἀπαντᾷ ταῖς ὄψεσιν ἐνίοτε κάλλιστα προσηνὴς, ὑποφαίνει δ' ὅμως σύγκρατος αὐτῇ θάμβους ἀνάγκη, καὶ τοὺς ὁρῶντας πράττεται [2]) προσέχειν εὖ μάλα τὸν νοῦν, ὡς ἄρα δὴ μεγαλοφυεῖ τινὶ ξυντυγχάνοντας τῶν ὄντων [3]) χρήματι καὶ θαυμάζειν ἀξίῳ. Καὶ γὰρ οὐκ ἄν τις, ἐμοὶ δοκεῖν, ἔξω λόγου παραβάλλειν ἔχοι τοὺς εἰρημένους ἄν-

---

21) τοῖς deest in C. Mon.

22) σωφρ. Bl. male σοφρανικῶν, incuria operarum.

1) γλυκαίν. Bloch. p. 124. socordia operarum γλυκαίνοντες.

2) πράττ. Bl. πράττεσθαι.

3) τῶν ὄντων. τῶν πάντων s. rerum naturae. Bl.

δρας [4]) αὐτῇ, οἷς καταγαλλύνει [5]) μὲν ἡ φαινομένη καὶ πρόχειρος ἐντυχεῖν ὥρα [6]), καὶ τὸ μείλιχον, καὶ προσηνὲς, καὶ καθορᾷν εὐκοινώνητον καὶ χρῆσθαι, ὀγκοῖ δ' ὅμως καὶ μεγεθύνει συγκιρνάμενον [7]) τὸ μεγαλοφυὲς καὶ τίμιον καὶ αἰδοῖον, καὶ μηδόλως [8]) ὑπ' εὐκολίας εὐπεριφρόνητον. Καὶ τῆς ἀμφοτέρων συμπλοκῆς [9]) τελεώτατα τὸ πᾶν καθίσταται τῇ φύσει, ὥςπερ ἄρα [10]) τοῖς μουσικοῖς ἔχει, καὶ συντίθεται [11]) τὰ ἐκ βαρέων καὶ ὀξέων [12]) συμπλεκομένων [13]) ἐν λόγῳ σύμφωνα [14]) διαστήματα καὶ συστήματα· καὶ μὴν ἔτι καὶ τὸ τέλειον παρ' αὐτοῖς ἐπικληθὲν ὄντως σύστημα, καὶ ὃ πάντας φέρει καὶ συνάπτει τοὺς λόγους ἐν ταῖς κανονικαῖς τῆς ἐπιστήμης κατατομαῖς, ἐξ ἀμφοτέρων ἄρα τῶν ἄκρων ὅρων [15]) καὶ πρὸς ἀλλήλους γε πόῤῥω-

---

4) ἄνδρας, C. Mon. inepte ἄνδρα.

5) καταγ. vitiose; Bl. recte κατακαλλύνει: Cdd. Mon. Aug. et Paris. Reg. καταλλύνει.

6) πρόχ. — ὥρα, *idem ac alias:* κοινόν. Bl.

7) συγκιρν. C. Mon. συνκιρνάμενον: Aug. συρκιρνάμενον, male.

8) μηδόλως, iunctim, vt c. 75. et 79., cum Cdd. Mon. et Aug. sed Bl. μηδ' ὅλως.

9) συμπλ. sc. ἐκ, h. e. κράσεως. Bl.

10) ὥςπερ ἄρα, C. Mon. vitiose ὥςπερα.

11) συντίθ. ita etiam C. Mon. at Aug. σκοτίθεται, vti Cdd. Paris. ap. Bloch. qui vero iam emendauit συντίθεται.

12) καὶ ὀξέων, desiderantur in C. Mon.

13) συμπλεκ. C. Mon. συμπλεγομένων.

14) σύμφωνα, Bl. συμφώνῳ.

15) ἄκρ. ὅρων, i. e. λόγων ἐναντίων, *ab illis duabus vocibus,*

τάτω διὰ τῶν ἐν μέσῳ λόγων συντίθεται, συνδεσμοῖς εὐγενοῦς κράσεως, ὡς ἄῤ ἴσασιν, ὅσοις τοι περὶ τούτων ἐμέλησεν εἰδέναι, καὶ οἷοί[16]) τ' ἐν μεθέξει γενέσθαι τῶν τῆς ἐπιστήμης ταύτης ἀδύτων[17]) ἴσως καὶ τελετῶν. Ἀλλ' ὅπερ ἐλέγετο, πολὺ μάλιστα κατὰ τὸ τῆς θαλάττης ὑπόδειγμα, ὡς κοσμιώτατ' ἔχει[18]), ὥστε καὶ εἰκάζειν, ὥστε καὶ προσορᾷν, τῶν ἀνθρώπων[19]) ἐνίοις ἡ μετὰ χάριτος σεμνότης, καὶ τὸ βρύειν μὲν ἱλαρότητος, καὶ τὸ προσηνὲς ἐπανθοῦν ἔχειν, ἐναχμάζειν δ' αὖθις καὶ μεστῶς καὶ γεννικῶς εἶναι πάσης σεμνότητος, καὶ ὄγκου μεγάλαις ἐπιπρέποντος φύσεσιν. Ἡδύνει γὰρ τὸ ξὺν ὥρᾳ τῆς εὐκολίας καὶ ῥᾴδιον, καὶ θαυμάζειν ἀναγκάζει τὸ βαθὺ καὶ πλέον τοῦ φαινομένου, καὶ μὴ ῥᾴδιον χρῆσθαι· καὶ μὲν[20]) ἔτι μᾶλλον θαυμάζειν τὸ κατ' ἄμφω κρᾶμα, καὶ ἡ κοινωνία τῶν μὴ ξυνιόντων εὖ μάλα ῥᾷστα, ἀλλ' εἰς τὸ σπάνιον τῆς φυσικῆς εὐαρμοστίας καὶ τελειότητος.

---

quae extremae sonant, et sibi in Musica longissime distantes (scriptum erat πόῤῥωτάτω *pro* πόῤῥωτάτων (vt in Cdd. nostris) *quod etiam ferri potest), per voces sonosque intermedios concinnantur.* Bloch.

16) οἷοί τ', Bl. οἵ οἵτ', verum emendari vult: οἷς οἷόν τ', qua emendatione, lectione Cdd. nostrorum recepta, facile carere possumus.

17) ἀδύτων, C. Mon. εὐδύτων.

18) ἔχει, C. Mon. male ἔχειν.

19) ἀνθρώπων, sic Cdd. nostri: Bl. ἀνδρῶν, haud dubie e male intellecto scripturae compendio ἀνῶν.

20) καὶ μὲν, Cdd. Aug. et Mon. καὶ μὴν: Bl. καὶ μέν.

ΚΕΦ. μϛʹ.

Ὅτι πολλοῖς τῶν ἀνθρώπων ποθεινὸν τὸ ἄπραγμον τοῦ βίου.

Ἐνίοις γε τῶν ἀνθρώπων ἄμεινον εἶναι δοκεῖ κομιδῇ τὸ ἄπραγμον, καὶ πάσης τῶν ἐν τῷ κοινῷ φροντίδων ἀσχολίας ἔξω, ἢ τὸ ἐν πράγμασι τὸν ἀεὶ [1]) βίον ἔχειν, καὶ χωρεῖν ὁμόσε κινδύνοις τούτου γε ἕνεκα πᾶσι, καὶ πρὸς μηδὲν ὁτιοῦν ἀποκνεῖν, μήδ' ἀποστρέφεσθαι παραβαλλόμενον ἔρισι, καὶ διαμάχαις, καὶ ἀναιδείαις, καὶ βασκανίαις, καὶ πόνοις ἀτρύτοις, καὶ πᾶσιν, ὡς εἰπεῖν, καθάπαξ πράγμασι, καὶ οὐκ ἂν ἀλλάξαιντο τὸ κατὰ σφᾶς εἰρηναῖον, καὶ τὴν ἀπὸ πάντων ἀνθρώπων τὲ καὶ πράξεων ἀποχώρησιν πάσης κατ' ἀνθρώπους δοκούσης εὐδαιμονίας. Μᾶλλον δὲ καὶ τοῦτό γε ψηφίζονται τὴν ἀληθινὴν εὐδαιμονίαν καὶ τἀγαθὸν ὄντως ἀνθρώποις, ὡς ἄρα καὶ τὴν ἐντεῦθεκ ῥᾳστώνην ταύτην, ἀληθῆ ῥᾳστώνην οὖσαν, καὶ τὴν τῆς βιοτῆς ἐλευθεριότητα καὶ ἀκλόνητον εὐπραγίαν, καὶ ἄνοσον. καὶ πάσης ἀνωτέραν καὶ ἀήττητον ἀντιπράξεως καὶ μάχης προβαλλούσης ἀνέδην, καὶ κρύφα τὴν ἐκ τῆς οἴκοθεν εὐγενείας καὶ παρασκευῆς εὐψύχου πάντων ὑπερτέραν καὶ πάντων [2]) κρατοῦσαν. Ὅτι δὴ καὶ παρ' ἡμῶν αὐτῶν τἀλγεινὸν εἶναι πᾶν, καὶ μὴ, καὶ ὡς ἂν ἡμεῖς γνώμης ἔχωμεν, δυναίμεθ',

1) ἀεὶ, C. Mon., vti semper, ᾳεὶ.

2) ὑπερτ. — πάντων, desiderantur in C. Mon.

ἂν ἥδεσθαί τε καὶ ἀηδῶς ἔχειν, καὶ πρῶτοί γε αὐτοὶ τὰς καθ᾽ ἡμῶν ψήφους φερόμεθα εὐδαιμονίας καὶ τοῦ ἐναντίου, ὡς ἢν ἄρα μὴ βουλοίμεθ᾽ [3]) ἡμεῖς οὐδὲν ἔξωθεν ἀνιαρὸν ὅ τί ποτ᾽ ἂν, καὶ ὅπως ποτ᾽ ἄρ᾽ ἔχον πρᾶγμα γε ὄν. Καὶ μάλιστα μὲν οὖν ὁ τοιοῦτος οὐκ ἀνιάσεται οὐχ ὅ τί ποτ᾽ ἄρα παρά τινος, οὐκ ἀνιῶν ὅ τί ποτ᾽ ἄρα τινὰς, οὔτε μὴν μὴ πλήττων, οὔθ᾽ ἑκών γε εἶναι, οὔτ᾽ ἄκων, οὐκ ἀντιπληγήσεται [3a]). Τίς γὰρ τὸν μη παρόντα καταδραμεῖται; τίς διώξεται τὸν μὴ φεύγοντα; τίς κατὰ τοῦ μὴ πράγματ᾽ ἔχειν [4]) αὐτὸς αἱρήσεται, κατὰ σκιᾶς [5]) ἀνασπῶν λόγους, ὥς φησιν ἡ ποίησις, καὶ λίθους ἕψων [6]) τῆς παροιμίας, καὶ ἀνδριάσι προςδιαλεγόμενος; καὶ ὅλως τοῖς μηδὲν ἐπαΐειν προτεθειμένοις τίς μάτην αὐτὸς ἐπιθήσεται; εἰ δὲ καὶ ἐπιθήσεται [7]), καὶ ἀνιᾷν ὅστις ἄρα βουλήσεται, ἀλλ᾽ οὐκ ἀνιάσει τὸν πεφυκότα μὴ

3) βουλοίμ. C. Aug. βουλόμεθα.

3 a) ἀντιπλ. haud dubie leg. ἀντιπληκτίσεται, vel ἀντιπληττήσεται, quia praecedit πλήττων, nam voc. ἀντιπληγέω non reperitur.

4) πράγματ᾽ ἔχειν, Cdd. Mon. et Aug. πράγματ᾽ ἔχοντος μηδ᾽, αἱρουμένου πράγματ᾽ ἔχειν.

5) κατὰ σκιᾶς — ποίησις, h. e. Sophocles in Aiace v. 299. (cf. ibi Lobeck.) σκιᾷ τινὶ λόγους ἀνέσπα. Theodor. plerumque verba scriptorum laudatorum immutat, vt h. l. κατὰ σκιᾶς pro σκιᾷ τινι. Cf. Suid. ad v. ἀνέσπακε, et Eustath. in Hom. Il. p. 553.

6) ἕψων, leg. ἑψῶν.

7) εἰ δὲ — ἐπιθήσ. omissa sunt in C. Mon.

ἀνιᾶσθαι, οὐ κατασπάσει τὸν ἑστῶτα παντάπασιν ἄσειστον [8]), τὸν ἄνοσον, τὸν ἐκ παρασκευῆς οἴκοθεν ἀπαθῆ. Καὶ τίς ἄρα γε ῥᾷον ἁπάντων βιώσεται [9]) τοῦ πεφυκότος οὕτω πρὸς πάσας ἀλγηδόνας, πρὸς πάσας ἐπαναστάσεις, πρὸς πάντα πράγματα, μέχρις ἂν ἐν τοῖς αὐτοῖς εἴη, καὶ οὐ στασιάζοι πρὸς ἑαυτὸν, οὐδὲ τρέποιτο τὴν φύσιν ἢ τὴν αἵρεσιν, ὃς δ' ἂν ἑαυτοῦ καθάπαξ γε ὢν καὶ τοῖς οἰκείοις ἄτρεπτος λογισμοῖς τοῦ τὰ ἴδια πράττειν ἐραστὴς [10]) εἴη; Μᾶλλον δὲ φεύγει κατὰ φύσεως τινὰ ἰδιοπραγίαν ἢ κρίσιν λογισμῶν τὰ μετὰ πολλῶν καὶ κοινὰ πρὸς πλείστους, καὶ τὸ ξὺν πολλοῖς ἄρα τοῖς πράγμασι συνεῖναι μεγίσταις ἀσχολίαις φροντισμάτων καὶ περιπλανήσεσιν ἀπήχθηταί [11]) οἱ, κἀκ [12]) ψυχῆς ὅλης διαβέβληται πάντων, ὃ δ' ὡς ἀληθῶς ἥδιστα βιοῦν ἔχει, ὡς ἄρ' ἐνίοτε [13]) ἐνίους ὁρᾶν ἔστιν οὕτω δὴ χορηγοὺς ἑαυτοῖς [14]) ἐκ τῆς οἴκοθεν ταύτης ἐνστάσεως καὶ παρασκευῆς τοῦ βίου, πάσης εὐζωΐας καὶ ῥᾳστώνης ἐν τῇ βιοτῇ καὶ [15]) ἀλυπίας, πολλάκις δὴ καὶ πολλοὺς τῶν

---

8) ἄσειστ. C. Mon. male ἄσιστον.

9) βιώσ. C. Mon. βιάσεται.

10) ἐραστὴς, C. Aug. ἐραστήν.

11) ἀπήχθ. C. Mon. ἀπήχθη τε.

12) κἀκ ψ. C. Mon. κάμψυχῆς.

13) ἐνίοτε, omittunt Cdd. Aug. et Mon.

14) ἑαυτοῖς, C. Mon. ἑαυτούς.

15) καὶ, abest a C. Mon.

ἔξωθεν ἐφορώντων μάρτυρας τῆς κατὰ σφᾶς εὐπραγίας[16]) ἔχοντας, καὶ συντιθεμένους τῇ γνώμῃ, καὶ ποθοῦντας ἴσως ἂν ἐν τοῖς αὐτοῖς[17]) εἶναι, φθάσαντάς γε καὶ συνειλημμένους ἐν πράγμασιν, ἢ συνεχείᾳ τινὶ καὶ διαδοχῇ συνηθείας ἡλικιώτιδι τῆς ζωῆς, ἢ καὶ λογισμοῖς ἀπροόπτοις τὴν ἀρχὴν συναρπασθέντας, οἷς οὐκ ᾔδεσαν ἔτι[18]) πω τότε οὐδὲ προῄσθοντο, καὶ ἃ μὴ ῥᾶστ' ἐκλιπεῖν ἐστι καὶ ἀποδράναι[19]). Καὶ πολλοῦ γ' ἂν, καὶ πάντων ἴσως ἔνιοι μεθ' ἡδονῆς ἠλλάξαντ' ἂν τὸν γαληνὸν καὶ μέτριον βίον αὐτὸν, καὶ πάσης ἀνώτερον πολυπραγμοσύνης, καὶ πολυστρόφου, καὶ πολυκινδύνου δραστικῆς ἐργασίας καὶ περιφανείας ἁπάσης καὶ πάντων βιωτικῶν ὄγκων.

ΚΕΦ. μζ'.

Ὅτι πλείοσι[1]) περισπούδαστον ἡ περὶ το πράττειν ἀσχολία.

Οἵ δέ γε πλείους τῶν ἀνθρώπων, ἢν ἄρ' οἷοί τ' ὦσι[2]) πάντα πράττειν καὶ πάντων ἅπτεσθαι, κἂν τῷ κοινῷ τῶν πολλῶν εἶναι καὶ προέχειν,

16) εὐπρ. C. Mon. ἀπραγίας.

17) ἐν τ. αὐτοῖς, perperam C. Mon. ἐν τοῖς τοῖς.

18) ἔτι πω τ. C. Aug. ἔτι πωτέτι.

19) ἀποδρ. C. Mon. ἀποδρᾶναι.

1) πλείοσι, Cdd. Aug. et Mon. τοῖς πλείοσι; sic etiam Ciz. in Indice.

2) τ' ὦσι C. Mon. non habet.

σφόδρα ἐρῶσι καὶ περὶ τοῦτο κεχήνασι, καὶ πᾶσαν ἐνταῦθα φιλοπονίαν καὶ ἐπιμέλειαν ἀξιοῦσι· καὶ τό γε δῆτ' ἐπιτυχὲς ἐν τούτοις ὅπως ποτὲ [3]) ἄρα, καὶ διὰ πάντων πόνων, καὶ διὰ πάντων τρόπων καὶ λογισμῶν καὶ πράξεων. Εἰ δ' οὖν καὶ ῥᾶστ' εὐδρομίᾳ τινὶ καὶ χρόνων αὐτοματισμοῖς, καὶ τύχης χάρισιν οἷα δὴ γίγνεται, καὶ πολὺ δὴ τοῦτ' ἐν τοῖς ἀνθρωπίνοις, καὶ καθάπαξ ἐρεῖν τὴν κατὰ τὸν βίοτον εὐφορίαν, καὶ τὸ περίοπτον ἐν τοῖς ἀνθρωπίνοις ὅπως ποτ' ἄρ', ὡς ἔφην. Τοῦτο δὴ μόνον τὴν εὐδαιμονίαν τίθενται, καὶ τἀγαθὸν αὐτὸ, καὶ τέλος, ὡς εἰπεῖν, ἀνθρώποις, καὶ οὗ πάνθ' ἕνεκα. Καὶ τοίνυν οὐδ' ἀποκνοῦσιν, οὐδ' ἀποτρέπονται πρὸς πᾶσαν τοῦ σκοποῦ καὶ τῆς αἱρέσεως ἀντεπιχείρησιν καὶ ἀντίπραξιν, ἀλλ' ἀεὶ παραβάλλονται πρὸς πάντας καὶ πάντα πράγματα, καὶ ὁμόσε χωροῦσι πᾶσι καὶ συμφέρονται καὶ ἀντιφέρονται, καὶ τἀναντία πράττουσιν οὐχ ἧττον ἄλλοις, ἢ καὶ ἑαυτοῖς ἑκάστοτε κατὰ τὴν χρείαν, καὶ πρὸς τὸ ξυμπίπτον τοῦ καιροῦ σπουδάζοντες ἀεὶ περὶ τὴν πρόθεσιν, κἂν ἄρ' ἐπιτυχῶς ἀνύτωσι καὶ πανδέξιοί τινες δοκῶσι, καὶ δραστικοὶ τὴν φύσιν τε καὶ τὴν γνώμην, καὶ πάντ' εὔστροφοι πράγματα, καὶ βιωφελέστατοι σφίσι τε αὐτοῖς, καὶ φιλτάτοις, καὶ πᾶσιν ἐπιτηδείοις καὶ σπουδασταῖς τῆς ἐπιδόξου καὶ περιλάμπρου τύχης αὐτοῖς, καὶ, ὡς ἔπος εἰπεῖν,

---

3) ὅπως ποτὲ, C. Aug. ὁπώς ποτε, Mon. ὅπως ποτέ.

ἐν εὐπλοίᾳ τοῦ βίου καὶ πλησίστιοι φέρωνται τοῦ πνεύματος τῆς τύχης καὶ οὐριοδρομῶσι. Καὶ δοκοῦντές γε ἅμα ξὺν τέχνῃ καὶ αὐτοὶ πᾶν τὸ γιγνόμενον ἀποδιδόναι, καὶ ναυτίλλεσθαι παντὶ σὺν λόγῳ τῆς διοικήσεως, εὐδαιμονέστατοι παντάπασιν οὗτοι τῶν ἀνθρώπων ἄλλοις τε δοκοῦσι, καὶ οὐχ ἧττον ἑαυτοῖς πᾶσαν τὴν ἀνθρωπίνην εὐετηρίαν, ἧς ἡ πᾶσ᾽ ἔφεσις[4] καὶ σπουδὴ, καὶ μακαρίζονται καὶ θαυμάζονται τοῖς[5] βελτίστοις κατ᾽ ἀνθρώπους, γνώμῃ τὲ καὶ βουλήσει, καὶ τύχῃ, καὶ παντὶ κράτει φύσεως ἀνθρωπίνης ἐνευθηνοῦντες. Καὶ τοὐναντίον γε δοκοῦσι τοῖς τε ἄλλοις καὶ ἑαυτοῖς οὐχ ἥκιστα, οἱ τἀναντία τούτων πεπονθότες, καὶ ὄντως ἄθλιοι, καὶ βαρυδαίμονες, καὶ οὐ διαρκεῖς δή τινες τῇ τύχῃ τὲ καὶ τῇ φύσει πρὸς τἀγαθὸν, καὶ ὧν ἐρῶσι, καὶ ὧν δίκαιον ἐρᾷν, καὶ ὧν ἄρα τυχεῖν ὡς βέλτιστ᾽ ἔχει κατ᾽ ἀνθρώπους ἀνόνητοι[6], παντάπασιν αὐτοὶ, καὶ ἀνίκανοι[7]) τῶν χρησίμων, καὶ κάκιστα δυστυχεῖς λείπονται φαῦλοι φαύλως, πάσης ἀνδραγαθίας ἀλλότριοι, καὶ ἀνθρωπίνης ἁμαρτίας ὑποδείγματα.

ΚΕΦ. μή.

Ὅτι πλεῖστα δυσχερῆ καὶ ἀνιαρὰ τοῖς μετὰ τοῦ πολλὰ πράττειν βιοῦσι, κἂν εἰ δοκῶσιν εὖ πράττειν.

Καὶ μὴν, εἰ ξυνορῴη τὶς εὖ μάλα προσέχων τὸν νοῦν καὶ μάλιστ᾽ ἐπαΐων πείρᾳ καθ᾽ ὁτιοῦν

4) πᾶσ᾽ ἔφ. C. Aug. πᾶσα ἔφεσις. 5) τοῖς deest in C. Mon.
6) ἀνόνητοι, Cdd. Aug. et Mon. ἀνόητοι; sed ἀνόνητοι est lectio vera.
7) ἀνίκανοι, C. Mon. male ἀνίκαιοι.

σφόδρα ἐρῶσι καὶ περὶ τοῦτο κεχήνασι, καὶ πᾶσαν ἐνταῦθα φιλοπονίαν καὶ ἐπιμέλειαν ἀξιοῦσι· καὶ τό γε δῆτ' ἐπιτυχὲς ἐν τούτοις ὅπως ποτὲ [3]) ἄρα, καὶ διὰ πάντων πόνων, καὶ διὰ πάντων τρόπων καὶ λογισμῶν καὶ πράξεων. Εἰ δ' οὖν καὶ ῥᾶστ' εὐδρομίᾳ τινὶ καὶ χρόνων αὐτοματισμοῖς, καὶ τύχης χάρισιν οἷα δὴ γίγνεται, καὶ πολὺ δὴ τοῦτ' ἐν τοῖς ἀνθρωπίνοις, καὶ καθάπαξ ἐρεῖν τὴν κατὰ τὸν βίοτον εὐφορίαν, καὶ τὸ περίοπτον ἐν τοῖς ἀνθρωπίνοις ὅπως ποτ' ἄρ', ὡς ἔφην. Τοῦτο δὴ μόνον τὴν εὐδαιμονίαν τίθενται, καὶ τἀγαθὸν αὐτὸ, καὶ τέλος, ὡς εἰπεῖν, ἀνθρώποις, καὶ οὗ πάνθ' ἕνεκα. Καὶ τοίνυν οὐδ' ἀποκνοῦσιν, οὐδ' ἀποτρέπονται πρὸς πᾶσαν τοῦ σκοποῦ καὶ τῆς αἱρέσεως ἀντεπιχείρησιν καὶ ἀντίπραξιν, ἀλλ' ἀεὶ παραβάλλονται πρὸς πάντας καὶ πάντα πράγματα, καὶ ὁμόσε χωροῦσι πᾶσι καὶ συμφέρονται καὶ ἀντιφέρονται, καὶ τἀναντία πράττουσιν οὐχ ἧττον ἄλλοις, ἢ καὶ ἑαυτοῖς ἑκάστοτε κατὰ τὴν χρείαν, καὶ πρὸς τὸ ξυμπίπτον τοῦ καιροῦ σπουδάζοντες ἀεὶ περὶ τὴν πρόθεσιν, κἂν ἄρ' ἐπιτυχῶς ἀνύτωσι καὶ πανδέξιοί τινες δοκῶσι, καὶ δραστικοὶ τὴν φύσιν τε καὶ τὴν γνώμην, καὶ πάντ' εὔστροφοι πράγματα, καὶ βιωφελέστατοι σφίσι τε αὐτοῖς, καὶ φιλτάτοις, καὶ πᾶσιν ἐπιτηδείοις καὶ σπουδασταῖς τῆς ἐπιδόξου καὶ περιλάμπρου τύχης αὐτοῖς, καὶ, ὡς ἔπος εἰπεῖν,

---

3) ὅπως ποτὲ, C. Aug. ὁπώς ποτε, Mon. ὅπως ποτέ.

ἐν εὐπλοίᾳ τοῦ βίου καὶ πλησίστιοι φέρωνται τοῦ πνεύματος τῆς τύχης καὶ οὐριοδρομῶσι. Καὶ δοκοῦντές γε ἅμα ξὺν τέχνῃ καὶ αὐτοὶ πᾶν τὸ γιγνόμενον ἀποδιδόναι, καὶ ναυτίλλεσθαι παντὶ σὺν λόγῳ τῆς διοικήσεως, εὐδαιμονέστατοι παντάπασιν οὗτοι τῶν ἀνθρώπων ἄλλοις τε δοκοῦσι, καὶ οὐχ ἧττον ἑαυτοῖς πᾶσαν τὴν ἀνθρωπίνην εὐετηρίαν, ἧς ἡ πᾶσ᾽ ἔφεσις [4]) καὶ σπουδὴ, καὶ μακαρίζονται καὶ θαυμάζονται τοῖς [5]) βελτίστοις κατ᾽ ἀνθρώπους, γνώμῃ τὲ καὶ βουλήσει, καὶ τύχῃ, καὶ παντὶ κράτει φύσεως ἀνθρωπίνης ἐνευθηνοῦντες. Καὶ τοὐναντίον γε δοκοῦσι τοῖς τε ἄλλοις καὶ ἑαυτοῖς οὐχ ἥκιστα, οἱ τἀναντία τούτων πεπονθότες, καὶ ὄντως ἄθλιοι, καὶ βαρυδαίμονες, καὶ οὐ διαρκεῖς δή τινες τῇ τύχῃ τὲ καὶ τῇ φύσει πρὸς τἀγαθὸν, καὶ ὧν ἐρῶσι, καὶ ὧν δίκαιον ἐρᾷν, καὶ ὧν ἄρα τυχεῖν ὡς βέλτιστ᾽ ἔχει κατ᾽ ἀνθρώπους ἀνόνητοι [6]) παντάπασιν αὐτοὶ, καὶ ἀνίκανοι [7]) τῶν χρησίμων, καὶ κάκιστα δυστυχεῖς λείπονται φαῦλοι φαύλως, πάσης ἀνδραγαθίας ἀλλότριοι, καὶ ἀνθρωπίνης ἁμαρτίας ὑποδείγματα.

ΚΕΦ. μή.

Ὅτι πλεῖστα δυσχερῆ καὶ ἀνιαρὰ τοῖς μετὰ τοῦ πολλὰ πράττειν βιοῦσι, κἂν εἰ δοκῶσιν εὖ πράττειν.

Καὶ μὴν, εἰ ξυνορῴη τὶς εὖ μάλα [illegible] τὸν νοῦν καὶ μάλιστ᾽ ἐπαΐων πείρᾳ [illegible]

---

4) πᾶσ᾽ ἔφ. C. Aug. πᾶσα ἔφεσις [illegible]
6) ἀνόνητοι, Cdd [illegible]
7) ἀνίκανοι [illegible]

ἀμηγέπη, σφόδρ' ἐπίλυπον ἐστὶ καὶ καματηρὸν[1]), καὶ πάσης ἀηδίας μεμέστωται τὸ πολύπραγμον καὶ σπουδαστικὸν ἐν τῷ βίῳ οἷς δή τισιν ἄρα τῶν ἀνθρώπων ἐστὶ, καὶ οὐκ ἔστιν ἄλλως ἔχειν, κἂν εἰ κομιδῇ δοκῶσιν ἐπιτυχέσταθ' ἔχειν, καὶ κάλλιστ' ἐν βελτίστοις καὶ τύχην καὶ γνώμην καὶ δραστικὴν πᾶσαν ἐνέργειαν, καὶ κατευθύνωνται τοῖς πράγμασιν εὖ μάλα πάσης ἂν εὐδαιμονίας ἀνάπλεῳ καὶ μακαριότητος. Συμπαρομαρτεῖ γὰρ πᾶσα ἀνάγκη τῇ κατ' αὐτοὺς εὐφορίᾳ καὶ τῷ πολυπράγμονι τρόπῳ καὶ βίῳ πλεῖσθ' ὅσα τἀνιῶντα καὶ πλήττοντα, καὶ τοὺς λογισμοὺς καὶ τὴν ψυχὴν ἄγχονθ', ὡς εἰπεῖν, καὶ συνέχοντα βίᾳ, καὶ πλήττοντα κέντροις πάντοθεν, ἔρισι, φθόνοις, πόνοις πᾶσι[2]), καὶ συνεχείᾳ καμάτων ἀτρύτων, δυσνοίαις[3]) προδήλοις, δυσνοιῶν καὶ πολέμων ὑποψίαις, δυσελπιστίαις, δέει παρόντων, δέει προςδοκωμένων. Πρὸς τούτοις ἔτι εἰσὶ φιλτάτων κίνδυνοι, καὶ ἀδόκητοι θάνατοι, φιλτάτων ἐν τοῖς κατ' οἶκον ἀλλοτριότητες, φιλτάτων διαφοραὶ καὶ ἀντιπράξεις κατ' ἦθος καὶ γνώμην, καὶ πρόδηλοι πολλάκις ἐπαναστάσεις καὶ γνησίων καὶ ἐπιτηδείων, καὶ τῶν ὑπὸ χεῖρας ἔστιν ὅτε, καὶ ἔστιν ὧν, καὶ ἴσως γε τῶν πλείστων ἐπιβουλαὶ, βασκάνων κακεντρέχειαι, καὶ, καθόλου γ' ἐρεῖν, ἀτυχίαι

---

1) καματηρόν, Cdd. Aug. et Mon. καμηρόν, vitiose.

2) πᾶσι, omittit C. Aug.

3) δυσν. C. Aug. δυσνοίας.

πολλάκις τῶν κατὰ βούλησιν, καὶ πολυεράστων [4]), καὶ μετὰ τὴν παρουσίαν, καὶ ἴσως γε χρόνιον ἀνίδρυτοι, καὶ μηδὲν ἔχουσαι κατὰ φύσιν πιστὸν τοῖς περὶ ταῦθ' ὅλως ἐχομένοις, κἂν εἰ πάνυ τοι πλέον ἔσχον τῶν ἄλλων, κἂν εἰ πάνυ τοι τοῖς κατ' εὐχὴν ξυνέλαχον ἐν μέσῳ τῷ τοῦ βίου θεάτρῳ. Οὐ γὰρ δη πάντων ἄτρεπτος αὐτοῖς καθάπαξ ἡ μετουσία, ἀλλ' εἰ καὶ παρέμεινεν εἰς πλεῖστον, οὐκ ἀνύποπτον τὸ κατὰ φύσιν ἐπίνοσον αὐτῶν, οὐδ' ἀδόκητον, ἀλλ' ὅστις οὖν ὅλως ἔχει, δίκαιος ἂν εἴη ξυνορᾷν, μὴ κατέχων ἀκήρατά τινα, καὶ τροπῆς ἁπάσης ἀζήμια καὶ ἀνεύθυνα. Καὶ τοῦτο δὴ πρῶτον τῆς ἀνίας καὶ ἀηδίας τῷ κεκτημένῳ τὰς ἀφορμὰς ἐμποιεῖ, καὶ πλέον ὅσῳ γε μάλιστα νοῦν ἔχει, οἱ περὶ τῆς εἰς τἀναντία τροπῆς λογισμοὶ τῶν βελτίστων αὐτῷ καὶ πάσης τῆς ἀγαθῆς τύχης. Καὶ ὅτι γε βεβαίως ἴσασιν, ὡς οὐκ ἐν βεβαίοις ἵστανται, οὐδ' ἀκλόνητον ἐπικάθηνται τὴν εὐδαιμονίαν, καὶ μάλα τοι τὸ πιστὸν σφίσιν ἔχουσαν· καὶ τοῦτο μὲν οὕτω καὶ μάλιστ' ἀνιαρὸν λογισμοῖς αὐτοῖς μόνον, τοῖς γε λογισμοὺς [5]) ὁπηοῦν ἔχουσι, καὶ πάνυ τοι πλῆττον ἀεὶ καὶ δι' ἁπάσης, ὅση δήποτ' ἐστὶν αὐτοῖς ἡ ζωή. Ἀτὰρ δὴ κἂν τοῖς πράγμασιν αὐτοῖς, τίς ἄρ', ὅστις δὴ τῶν ἀπὸ τοῦ παντὸς αἰῶνος οὐ πεπείραται, πάνυ τοι καὶ πλείστων ὅσων τῶν κα-

4) πολυερ. C. Aug. πεpάστων, mendose.

5) λογισ. C. Mon. λογισμοῖς.

τὰ τοὺς εἰρημένους τρόπους, καὶ πολλούς γε μὴν ἔτι τοὺς λειφθέντας ἀνιαρῶν; Τίνα δ' οὐκ ἔχουσι τῶν ἐν εὐπραγίαις ταῖς μεγίσταις περιωδυνίαι μέγισται; τίνα δὲ τῶν ἐν μακραῖς συμβιούντων οὐσίαις οὐ κατατρέχουσι [6]) καὶ σπαράττουσι δή τινες κῆρες ὀλβοθρέμμονες, φησὶ Πίνδαρος, μεριμναμάτων ἀλεγεινῶν [7]); Καὶ τίνι γὰρ οὐ ξυνέλαχον ἐπιβουλαὶ κατὰ τῆς ἀγαθῆς αὐτῷ τύχης, καὶ τῶν αὐτῆς ἀποβολαὶ, ὅπως δήποτ' ἄρα, καὶ εἰ μὴ πάντων ὡντινων ἄρ' ὅμως καὶ τῶν πλείστων ἴσως; Καὶ τοίνυν ὅσῳ τὶς ἂν προςπεριβάλληται μεγαλοδοξίας καὶ περιουσιασμοῦ, καὶ πάσης τῆς ἐν βίῳ δοκούσης εὐπραγίας ἀφορμὰς καὶ πάντα πράγματα, τοσούτῳ δῆτ' ἄρα καὶ πλείονας ἀφορμὰς ἀνίας [8]) ἑαυτῷ πρυτανεύει. Καὶ πλείω γὰρ εἰς τὸ ζημιοῦσθαι παρεσκεύασταί [9]) οἱ καὶ τῶν πολλῶν ἄρα πᾶσα ἀνάγκη, καὶ ἀφαίρεσις ἂν εἴη ῥᾷσθ' ὁπόση δή τις, εἴτε καὶ πολλῶν αὖθις δηλαδὴ, εἴτε καὶ οὐ πολλῶν, πάντως [10]) δ' ἔσται, καὶ οὐ φύσιν ἔχει τα πάντ' ἀμείωτα μένειν καθάπαξ καὶ ἄσυλα· τῶν ὀλίγων δὲ καὶ λήθη τὶς ἴσως ἔσται τῇ φορᾷ τῆς τύχης. Καὶ παραδραμεῖται ταῦτα, πῶς ἂν εἴποι τὶς, ἀζημίως ἀδραστεία κα–

---

6) κατατρέχ. C. Mon. κατατρέπουσι: in margine γρ. χοῦ.

7) ἀλεγ. C. Mon. ἀλγεινῶν.

8) ἀνίας, Cdd. Aug. et Mon. ἀνίνας, h. e. ἀνθρωπίνας, quod vero contextus dissuadet.

9) παρεσκ. C. Mon. παρασκεύασται.

10) πάντως, C. Aug. πάντων.

τακρατοῦσα [11]) τοῦ βίου [12]), καὶ μάλιστ' ἐν εὐπραγίαις καὶ νέμεσις. Καὶ μὴν ἔτ' αὖθις ὅσῳ μάλιστά τις ἂν περὶ πλείω σπουδάζοι, καὶ πράγματ' ἔχειν αἱροῖτο συνεξετάζεσθαι καὶ συνεῖναι, καὶ συμβιοῦν, τοσούτῳ δὴ καὶ πολλῶν ἀτυχεῖν ἐστι, καὶ μὴ πάντων κατευστοχεῖν, μηδὲ πρὸς πάντ' αὐτὸν ἢ δραστικώτατον εἶναι καὶ τελειότατον καὶ ἀλώβητον καὶ ἀνεύθυνον παντάπασιν, ἢ τῆς τύχης εὐγνώμονος πειρᾶσθαι καὶ ἵλεω· οὐ γὰρ τοῦτ' ἔξεστι, καὶ ὁρᾶν ἐστιν οὕτω περὶ πάντας ἀτεχνῶς ἀνθρώπους τῶν ἀπὸ τοῦ παντὸς αἰῶνος. Καὶ πλεῖστα γὰρ τὰ μάχιμα πάντως, καὶ ἀντιτεταγμένα τοῖς ἐπὶ πλεῖστα παρασκευαζομένοις τὲ καὶ ἐπιχειροῦσι τόλμη δή τινι καὶ φρονήματι, καὶ πάντων περιγίνεσθαι καὶ τὴν νίκην ἀποφέρεσθαι, πῶς ἄν τις ἐξεῖναι φαίη; Ὅσοις δ' ἐν [13]) ὀλίγοις τὸ πράττειν καὶ ξυνέλαχον εἴθ' ἑκόντες ὄντες [14]), εἴτ' ἄκοντες ἐρημίᾳ τύχης, καὶ μικροῖς τοῖς ἐν τῷ βίῳ φροντίσμασι, ζῆν ἔχουσι μᾶλλον ἀδεῶς πρὸς πᾶσαν νέμεσιν καὶ βιωτικὴν ἀντίπνοιαν. Καὶ γὰρ ὀλίγας ἔχουσι πρὸς τὸ δυστυχῆσαι καὶ κακῶς πράξαι [15]) τὰς ἀφορμάς, καὶ βραχεῖαν τὴν ὕλην παρέχονται τῇ βασκάνῳ τύχῃ τῆς κατ'

---

11) κατακρ. C. Mon. κρατοῦσα.

12) τοῦ βίου, Cdd. Aug. et Mon. tantum βίου.

13) Ὅσοις δ' ἐν, C. Aug. ὅσοις δὲ ἐν.

14) ὄντες, in Cdd. Aug. et Mon. recte omittitur.

15) πράξαι, C. Aug. πρᾶξαι.

αὐτῶν κακουργίας, καὶ τόπους δή τινας αὐτῇ καὶ λαβὰς ἐπ᾽ αὐτοὺς ἐπιχειρεῖν, καὶ ῥᾶστα καὶ δραστικῶς[16]) ἀνύτειν· καὶ ὅλως ὀλίγα πεφύκασι ζημιοῦσθαι, κἀντεῦθεν ἀλγεῖν, ὥςπερ δὴ μάλισθ᾽ οἱ βαρεῖς ἐκεῖνοι, καὶ ἐπίφθονοι, καὶ πολυφορώτατοι τῇ κατ᾽ αὐτῶν ἐναντιώσει τῆς τύχης, κἀντεῦθεν πᾶσα ἀνάγκη καὶ ταῖς ἀλγηδόσι καὶ τοῖς ἀνιαροῖς ἐνευθηνοῦντες καὶ πλήθοντες, καὶ συχνὰ πταίοντες καὶ τῷ βίῳ προςκόπτοντες ἐκ πολλῶν τῶν τρόπων ῥᾶστα, καὶ μὴν ἐνίοτε καὶ ῥᾶστα ξυμπίπτοντες εἰς τοὺς ἐσχάτους κινδύνους, καὶ τὰς παλαμναιοτάτας ἀρὰς, καὶ τὴν τοῦ βίου καὶ ἑαυτῶν[17]) παντάπασιν ἀνεπίστροφον ὅλως ἀνίατον πανωλείαν. Ὥςπερ τὰ μέγιστα φορταγωγὰ σκάφη καὶ μετὰ πολλῶν τῶν ἀγωγίμων τέως οὐριοδρομοῦντα ταῖς ἑκάστοτε ξυμπιπτούσαις ἀντιπνοίαις αὐτίκα πολυζήμια βαπτίζονται, καὶ μεγίστων κινδύνων ἀφορμὰς[18]) ἐμποιοῦσι. Καὶ ὁ παλαιός φησι λόγος ὄντως ἐν καιρῷ καὶ μάλ᾽ εὐστόχως, τὰς μεγάλας τύχας[19]) χορηγεῖν τραγῳδοῖς τε[20]) καὶ τραγῳδίαις τὰ δράματα, ὡς τῶν ἐν μικρᾷ ξυμβιούντων τῇ τύχῃ, καὶ ταπεινοῖς καὶ ὀλίγοις

16) δραστικ. C. Aug. δραστικῶν.

17) ἑαυτῶν, C. Aug. αὐτῶν.

18) ἀφορμὰς, Cdd. Aug. et Mon. ἀφορμὰς ἐφορμὰς ἐμποιοῦσιν.

19) τύχας deest in Cdd. Aug. et Mon.

20) τραγῳδοῖς τε καί, ignorat C. Mon. Reliqui Cdd. habent cum Bloch. p. 129. qui hoc pulcherrimum dictum sumtum esse ex Synes. or. de Regno p. 3. existimat.

τοῖς πράγμασι· καὶ μάλιστ' οὐκ ἀηδῶς, ἀλλ' ἀγαπώντων οἷς ἔχουσιν, οὐδὲ μεγίστας χωρεῖν ἐχόντων κακοπραγίας, καὶ χορηγεῖν δακρύων αἰτίας ἑαυτοῖς, καὶ ἄλλοις γε δὴ θρηνῳδιῶν καὶ τραγικῆς μνήμης ἐπ' αὐτοῖς.

ΚΕΦ. μθ'.

Ὅτι ἔνιοι διὰ μικρογνωμοσύνην τινὰ, καὶ οὐ λογισμῶν κρίσιν ἀποτρέπονται τὰ πράγματα, καὶ τοῦτο πάντως οὐδ' ἐπαίνου τινὸς ἄξιον.

Δοκοῦσι δ' ἐνίοτε καὶ οἱ μικρογνώμονες ἐκεῖνοι, καὶ μὴ τῷ πλάνῳ τῆς τύχης αἱρόμενοι καὶ συμφερόμενοι καὶ τῷ ταπεινὰ πράττειν, μᾶλλον δ' ἀπολυπραγμόνως βιοῦν οὐκ ἀηδῶς ἔχοντες, ὀλίγοι δή τινες εἶναι τὴν φύσιν καὶ φαῦλοι [1]), καὶ ὑπ' οὐδενείας [2]) δὴ ταύτης καὶ ψυχρότητος τῇ ὀλιγωρίᾳ ταύτῃ χρῆσθαι, καὶ περὶ τὰ πράγματ' ἀκινησίᾳ καὶ τῷ ἀφροντίστως ζῆν. Καὶ ταυτον εἶναί πως ὥςπερ οὐδὲ τοῖς μύρμηξιν ἐγγίνεται περὶ ἀρχῆς βουλεύεσθαι, καὶ περὶ πολιτικῶν δή τινων, οὐδὲ περὶ τῶν κατὰ τὴν φιλοσοφίαν ὅλως ἐπισκέπτεσθαι καὶ πράγματ' ἔχειν αἱρεῖσθαι. Τὸ γὰρ μὴ διαρκὲς τῶν [3]) τοιούτων ἀνθρώπων καὶ ἀνοίκειον εἰς τὰ κατὰ τὸν βίον ἀποστρέφειν σφᾶς εἰς ἑαυτοὺς, καὶ τὴν ἀναχώ-

---

1) καὶ φαῦλοι, ignorant Cdd. Mon. et Aug.

2) οὐδενείας, Cdd. Mon. et Aug. οὐδενίας, quod idem est.

3) τῶν, deest in C. Mon.

ἀνιᾶσθαι, οὐ κατασπάσει τὸν ἑστῶτα παντάπασιν ἄσειστον [8]), τὸν ἄνοσον, τὸν ἐκ παρασκευῆς οἴκοθεν ἀπαθῆ. Καὶ τίς ἄρα γε ῥᾷον ἁπάντων βιώσεται [9]) τοῦ πεφυκότος οὕτω πρὸς πάσας ἀλγηδόνας, πρὸς πάσας ἐπαναστάσεις, πρὸς πάντα πράγματα, μέχρις ἂν ἐν τοῖς αὐτοῖς εἴη, καὶ οὐ στασιάζοι πρὸς ἑαυτὸν, οὐδὲ τρέποιτο τὴν φύσιν ἢ τὴν αἵρεσιν, ὃς δ' ἂν ἑαυτοῦ καθάπαξ γε ὢν καὶ τοῖς οἰκείοις ἄτρεπτος λογισμοῖς τοῦ τὰ ἴδια πράττειν ἐραστὴς [10]) εἴη; Μᾶλλον δὲ φεύγει κατὰ φύσεως τινὰ ἰδιοπραγίαν ἢ κρίσιν λογισμῶν τὰ μετὰ πολλῶν καὶ κοινὰ πρὸς πλείστους, καὶ τὸ ξὺν πολλοῖς ἄρα τοῖς πράγμασι συνεῖναι μεγίσταις ἀσχολίαις φροντισμάτων καὶ περιπλανήσεσιν ἀπήχθηταί [11]) οἱ, κἀκ [12]) ψυχῆς ὅλης διαβέβληται πάντων, ὃ δ' ὡς ἀληθῶς ἥδιστα βιοῦν ἔχει, ὡς ἄρ' ἐνίοτε [13]) ἐνίους ὁρᾶν ἐστιν οὕτω δὴ χορηγοὺς ἑαυτοῖς [14]) ἐκ τῆς οἴκοθεν ταύτης ἐνστάσεως καὶ παρασκευῆς τοῦ βίου, πάσης εὐζωΐας καὶ ῥαστώνης ἐν τῇ βιοτῇ καὶ [15]) ἀλυπίας, πολλάκις δὴ καὶ πολλοὺς τῶν

---

8) ἄσειστ. C. Mon. male ἄσιστον.

9) βιώσ. C. Mon. βιάσεται.

10) ἐραστὴς, C. Aug. ἐραστήν.

11) ἀπήχθ. C. Mon. ἀπήχθη τε.

12) κἀκ ψ. C. Mon. κάμψυχῆς.

13) ἐνίοτε, omittunt Cdd. Aug. et Mon.

14) ἑαυτοῖς, C. Mon. ἑαυτούς.

15) καὶ, abest a C. Mon.

ἔξωθεν ἐφορώντων μάρτυρας τῆς κατὰ σφᾶς εὐπραγίας [16]) ἔχοντας, καὶ συντιθεμένους τῇ γνώμῃ, καὶ ποθοῦντας ἴσως ἂν ἐν τοῖς αὐτοῖς [17]) εἶναι, φθάσαντάς γε καὶ συνειλημμένους ἐν πράγμασιν, ἢ συνεχείᾳ τινὶ καὶ διαδοχῇ συνηθείας ἡλικιώτιδι τῆς ζωῆς, ἢ καὶ λογισμοῖς ἀπροόπτοις τὴν ἀρχὴν συναρπασθέντας, οἷς οὐκ ᾔδεσαν ἔτι [18]) πω τότε οὐδὲ προήσθοντο, καὶ ἃ μὴ ῥᾷστ' ἐκλιπεῖν ἐστι καὶ ἀποδράναι [19]). Καὶ πολλοῦ γ' ἄν, καὶ πάντων ἴσως ἔνιοι μεθ' ἡδονῆς ἠλλάξαντ' ἂν τὸν γαληνὸν καὶ μέτριον βίον αὐτὸν, καὶ πάσης ἀνώτερον πολυπραγμοσύνης, καὶ πολυστρόφου, καὶ πολυκινδύνου δραστικῆς ἐργασίας καὶ περιφανείας ἁπάσης καὶ πάντων βιωτικῶν ὄγκων.

ΚΕΦ. μζ'.

Ὅτι πλείοσι [1]) περισπούδαστον ἡ περὶ το πράττειν ἀσχολία.

Οἱ δέ γε πλείους τῶν ἀνθρώπων, ἣν ἄρ' οἷοί τ' ὦσι [2]) πάντα πράττειν καὶ πάντων ἅπτεσθαι, κἂν τῷ κοινῷ τῶν πολλῶν εἶναι καὶ προέχειν,

---

16) εὐπρ. C. Mon. ἀπραγίας.

17) ἐν τ. αὐτοῖς, perperam C. Mon. ἐν τοῖς τοῖς.

18) ἔτι πω τ. C. Aug. ἔτι πωτέτι.

19) ἀποδρ. C. Mon. ἀποδρᾶναι.

1) πλείοσι, Cdd. Aug. et Mon. τοῖς πλείοσι; sic etiam Ciz. in Indice.

2) τ' ὦσι C. Mon. non habet.

σφόδρα ἐρῶσι καὶ περὶ τοῦτο κεχήνασι, καὶ πᾶσαν ἐνταῦθα φιλοπονίαν καὶ ἐπιμέλειαν ἀξιοῦσι· καὶ τό γε δῆτ' ἐπιτυχὲς ἐν τούτοις ὅπως ποτὲ [3]) ἄρα, καὶ διὰ πάντων πόνων, καὶ διὰ πάντων τρόπων καὶ λογισμῶν καὶ πράξεων. Εἰ δ' οὖν καὶ ῥᾷστ' εὐδρομίᾳ τινὶ καὶ χρόνων αὐτοματισμοῖς, καὶ τύχης χάρισιν οἷα δὴ γίγνεται, καὶ πολὺ δὴ τοῦτ' ἐν τοῖς ἀνθρωπίνοις, καὶ καθάπαξ ἐρεῖν τὴν κατὰ τὸν βίοτον εὐφορίαν, καὶ τὸ περίοπτον ἐν τοῖς ἀνθρωπίνοις ὅπως ποτ' ἄρ', ὡς ἔφην. Τοῦτο δὴ μόνον τὴν εὐδαιμονίαν τίθενται, καὶ τἀγαθὸν αὐτὸ, καὶ τέλος, ὡς εἰπεῖν, ἀνθρώποις, καὶ οὗ πάνθ' ἕνεκα. Καὶ τοίνυν οὐδ' ἀποκνοῦσιν, οὐδ' ἀποτρέπονται πρὸς πᾶσαν τοῦ σκοποῦ καὶ τῆς αἱρέσεως ἀντεπιχείρησιν καὶ ἀντίπραξιν, ἀλλ' ἀεὶ παραβάλλονται πρὸς πάντας καὶ πάντα πράγματα, καὶ ὁμόσε χωροῦσι πᾶσι καὶ συμφέρονται καὶ ἀντιφέρονται, καὶ τἀναντία πράττουσιν οὐχ ἧττον ἄλλοις, ἢ καὶ ἑαυτοῖς ἑκάστοτε κατὰ τὴν χρείαν, καὶ πρὸς τὸ ξυμπῖπτον τοῦ καιροῦ σπουδάζοντες ἀεὶ περὶ τὴν πρόθεσιν, κἂν ἄρ' ἐπιτυχῶς ἀνύτωσι καὶ πανδέξιοί τινες δοκῶσι, καὶ δραστικοὶ τὴν φύσιν τὲ καὶ τὴν γνώμην, καὶ πάντ' εὔστροφοι πράγματα, καὶ βιωφελέστατοι σφίσι τὲ αὐτοῖς, καὶ φιλτάτοις, καὶ πᾶσιν ἐπιτηδείοις καὶ σπουδασταῖς τῆς ἐπιδόξου καὶ περιλάμπρου τύχης αὐτοῖς, καὶ, ὡς ἔπος εἰπεῖν,

---

3) ὅπως ποτὲ, C. Aug. ὁπώς ποτε, Mon. ὅπως ποτέ.

ἐν εὐπλοίᾳ τοῦ βίου καὶ πλησίστιοι φέρωνται τοῦ πνεύματος τῆς τύχης καὶ οὐριοδρομῶσι. Καὶ δοκοῦντές γε ἅμα ξὺν τέχνῃ καὶ αὐτοὶ πᾶν τὸ γιγνόμενον ἀποδιδόναι, καὶ ναυτίλλεσθαι παντὶ σὺν λόγῳ τῆς διοικήσεως, εὐδαιμονέστατοι παντάπασιν οὗτοι τῶν ἀνθρώπων ἄλλοις τε δοκοῦσι, καὶ οὐχ ἧττον ἑαυτοῖς πᾶσαν τὴν ἀνθρωπίνην εὐετηρίαν, ἧς ἡ πᾶσ' ἔφεσις [4]) καὶ σπουδὴ, καὶ μακαρίζονται καὶ θαυμάζονται τοῖς [5]) βελτίστοις κατ' ἀνθρώπους, γνώμῃ τὲ καὶ βουλήσει, καὶ τύχῃ, καὶ παντὶ κράτει φύσεως ἀνθρωπίνης ἐνευθηνοῦντες. Καὶ τοὐναντίον γε δοκοῦσι τοῖς τε ἄλλοις καὶ ἑαυτοῖς οὐχ ἥκιστα, οἱ τἀναντία τούτων πεπονθότες, καὶ ὄντως ἄθλιοι, καὶ βαρυδαίμονες, καὶ οὐ διαρκεῖς δή τινες τῇ τύχῃ τὲ καὶ τῇ φύσει πρὸς τἀγαθὸν, καὶ ὧν ἐρῶσι, καὶ ὧν δίκαιον ἐρᾷν, καὶ ὧν ἄρα τυχεῖν ὡς βέλτιστ' ἔχει κατ' ἀνθρώπους ἀνόνητοι [6]), παντάπασιν αὐτοὶ, καὶ ἀνίκανοι [7]) τῶν χρησίμων, καὶ κάκιστα δυστυχεῖς λείπονται φαῦλοι φαύλως, πάσης ἀνδραγαθίας ἀλλότριοι, καὶ ἀνθρωπίνης ἁμαρτίας ὑποδείγματα.

ΚΕΦ. μή.

Ὅτι πλεῖστα δυσχερῆ καὶ ἀνιαρὰ τοῖς μετὰ τοῦ πολλὰ πράττειν βιοῦσι, κἂν εἰ δοκῶσιν εὖ πράττειν.

Καὶ μὴν, εἰ ξυνορῴη τὶς εὖ μάλα προσέχων τὸν νοῦν καὶ μάλιστ' ἐπαΐων πείρᾳ καθ' ὁτιοῦν

---

4) πᾶσ' ἔφ. C. Aug. πᾶσα ἔφεσις. 5) τοῖς deest in C. Mon.

6) ἀνόνητοι, Cdd. Aug. et Mon. ἀνόητοι; sed ἀνόνητοι est lectio vera.

7) ἀνίκανοι, C. Mon. male ἀνίκαιοι.

ἀμηγέπη, σφόδρ᾽ ἐπίλυπον ἐστὶ καὶ καματηρὸν[1]*), καὶ πάσης ἀηδίας μεμέστωται τὸ πολύπραγμον καὶ σπουδαστικὸν ἐν τῷ βίῳ οἷς δή τισιν ἄρα τῶν ἀνθρώπων ἐστὶ, καὶ οὐκ ἔστιν ἄλλως ἔχειν, κἂν εἰ κομιδῇ δοκῶσιν ἐπιτυχέστατ᾽ ἔχειν, καὶ κάλλιστ᾽ ἐν βελτίστοις καὶ τύχην καὶ γνώμην καὶ δραστικὴν πᾶσαν ἐνέργειαν, καὶ κατευθύνωνται τοῖς πράγμασιν εὖ μάλα πάσης ἂν εὐδαιμονίας ἀνάπλεω καὶ μακαριότητος. Συμπαρομαρτεῖ γὰρ πᾶσα ἀνάγκη τῇ κατ᾽ αὐτοὺς εὐφορίᾳ καὶ τῷ πολυπράγμονι τρόπῳ καὶ βίῳ πλεῖσθ᾽ ὅσα τἀνιῶντα καὶ πλήττοντα, καὶ τοὺς λογισμοὺς καὶ τὴν ψυχὴν ἄγχονθ᾽, ὡς εἰπεῖν, καὶ συνέχοντα βίᾳ, καὶ πλήττοντα κέντροις πάντοθεν, ἔρισι, φθόνοις, πόνοις πᾶσι*[2]*), καὶ συνεχείᾳ καμάτων ἀτρύτων, δυσνοίαις*[3]*) προδήλοις, δυσνοιῶν καὶ πολέμων ὑποψίαις, δυσελπιστίαις, δέει παρόντων, δέει προςδοκωμένων. Πρὸς τούτοις ἔτι εἰσὶ φιλτάτων κίνδυνοι, καὶ ἀδόκητοι θάνατοι, φιλτάτων ἐν τοῖς κατ᾽ οἶκον ἀλλοτριότητες, φιλτάτων διαφοραὶ καὶ ἀντιπράξεις κατ᾽ ἦθος καὶ γνώμην, καὶ πρόδηλοι πολλάκις ἐπαναστάσεις καὶ γνησίων καὶ ἐπιτηδείων, καὶ τῶν ὑπὸ χεῖρας ἔστιν ὅτε, καὶ ἔστιν ὧν, καὶ ἴσως γε τῶν πλείστων ἐπιβουλαὶ, βασκάνων κακεντρέχειαι, καὶ, καθόλου γ᾽ ἐρεῖν, ἀτυχίαι*

1) **καματηρὸν, Cdd. Aug. et Mon. καμηρὸν, vitiose.**
2) **πᾶσι, omittit C. Aug.**
3) **δυσν. C. Aug. δυσνοίας.**

πολλάκις τῶν κατὰ βούλησιν, καὶ πολυεράστων [4]), καὶ μετὰ τὴν παρουσίαν, καὶ ἴσως γε χρόνιον ἀνίδρυτοι, καὶ μηδὲν ἔχουσαι κατὰ φύσιν πιστὸν τοῖς περὶ ταῦθ' ὅλως ἐχομένοις, κἂν εἰ πάνυ τοι πλέον ἔσχον τῶν ἄλλων, κἂν εἰ πάνυ τοι τοῖς κατ' εὐχὴν ξυνέλαχον ἐν μέσῳ τῷ τοῦ βίου θεάτρῳ. Οὐ γὰρ δὴ πάντων ἄτρεπτος αὐτοῖς καθάπαξ ἡ μετουσία, ἀλλ' εἰ καὶ παρέμεινεν εἰς πλεῖστον, οὐκ ἀνύποπτον τὸ κατὰ φύσιν ἐπίνοσον αὐτῶν, οὐδ' ἀδόκητον, ἀλλ' ὅστις οὖν ὅλως ἔχει, δίκαιος ἂν εἴη ξυνορᾷν, μὴ κατέχων ἀκήρατά τινα, καὶ τροπῆς ἁπάσης ἀζήμια καὶ ἀνεύθυνα. Καὶ τοῦτο δὴ πρῶτον τῆς ἀνίας καὶ ἀηδίας τῷ κεκτημένῳ τὰς ἀφορμὰς ἐμποιεῖ, καὶ πλέον ὅσῳ γε μάλιστα νοῦν ἔχει, οἱ περὶ τῆς εἰς τἀναντία τροπῆς λογισμοὶ τῶν βελτίστων αὐτῷ καὶ πάσης τῆς ἀγαθῆς τύχης. Καὶ ὅτι γε βεβαίως ἴσασιν, ὡς οὐκ ἐν βεβαίοις ἵστανται, οὐδ' ἀκλόνητον ἐπικάθηνται τὴν εὐδαιμονίαν, καὶ μάλα τοι τὸ πιστὸν σφίσιν ἔχουσαν· καὶ τοῦτο μὲν οὕτω καὶ μάλιστ' ἀνιαρὸν λογισμοῖς αὐτοῖς μόνον, τοῖς γε λογισμοὺς [5]) ὁπηοῦν ἔχουσι, καὶ πάνυ τοι πλῆττον ἀεὶ καὶ δι' ἁπάσης, ὅση δήποτ' ἔστιν αὐτοῖς ἡ ζωή. Ἀτὰρ δὴ κἂν τοῖς πράγμασιν αὐτοῖς, τίς ἄρ', ὅστις δὴ τῶν ἀπὸ τοῦ παντὸς αἰῶνος οὐ πεπείραται, πάνυ τοι καὶ πλείστων ὅσων τῶν κα-

4) πολυερ. C. Aug. πεοάστων, mendose.

5) λογισ. C. Mon. λογισμοῖς.

τὰ τοὺς εἰρημένους τρόπους, καὶ πολλούς γε μὴν ἔτι τοὺς λειφθέντας ἀνιαρῶν; Τίνα δ' οὐκ ἔχουσι τῶν ἐν εὐπραγίαις ταῖς μεγίσταις περιωδυνίαι μέγισται; τίνα δὲ τῶν ἐν μακραῖς συμβιούντων οὐσίαις οὐ κατατρέχουσι [6]) καὶ σπαράττουσι δή τινες κῆρες ὀλβοθρέμμονες, φησὶ Πίνδαρος, μεριμναμάτων ἀλεγεινῶν [7]); Καὶ τίνι γὰρ οὐ ξυνέλαχον ἐπιβουλαὶ κατὰ τῆς ἀγαθῆς αὐτῷ τύχης, καὶ τῶν αὐτῆς ἀποβολαὶ, ὅπως δήποτ' ἄρα, καὶ εἰ μὴ πάντων ὡντινων ἄρ' ὅμως καὶ τῶν πλείστων ἴσως; Καὶ τοίνυν ὅσῳ τὶς ἂν προςπεριβάλληται μεγαλοδοξίας καὶ περιουσιασμοῦ, καὶ πάσης τῆς ἐν βίῳ δοκούσης εὐπραγίας ἀφορμὰς καὶ πάντα πράγματα, τοσούτῳ δῆτ' ἄρα καὶ πλείονας ἀφορμὰς ἀνίας [8]) ἑαυτῷ πρυτανεύει. Καὶ πλείω γὰρ εἰς τὸ ζημιοῦσθαι παρεσκεύασται [9]) οἱ καὶ τῶν πολλῶν ἄρα πᾶσα ἀνάγκη, καὶ ἀφαίρεσις ἂν εἴη ῥᾷσθ' ὁπόση δή τις, εἴτε καὶ πολλῶν αὖθις δηλαδὴ, εἴτε καὶ οὐ πολλῶν, πάντως [10]) δ' ἔσται, καὶ οὐ φύσιν ἔχει τα πάντ' ἀμείωτα μένειν καθάπαξ καὶ ἄσυλα· τῶν ὀλίγων δὲ καὶ λήθη τὶς ἴσως ἔσται τῇ φορᾷ τῆς τύχης. Καὶ παραδραμεῖται ταῦτα, πῶς ἂν εἴποι τὶς, ἀζημίως ἀδραστεία κα-

---

6) κατατρέχ. C. Mon. κατατρέπουσι: in margine γρ. χοῦ.

7) ἀλεγ. C. Mon. ἀλγεινῶν.

8) ἀνίας, Cdd. Aug. et Mon. ἀνινας, h. e. ἀνθρωπίνας, quod vero contextus dissuadet.

9) παρεσκ. C. Mon. παρασκεύασται.

10) πάντως, C. Aug. πάντων.

ταχρατοῦσα [11]) *τοῦ βίου* [12]), *καὶ μάλιστ' ἐν εὐπραγίαις καὶ νέμεσις. Καὶ μὴν ἔτ' αὖθις ὅσῳ μάλιστά τις ἂν περὶ πλείω σπουδάζοι, καὶ πράγματ' ἔχειν αἱροῖτο συνεξετάζεσθαι καὶ συνεῖναι, καὶ συμβιοῦν, τοσούτῳ δὴ καὶ πολλῶν ἀτυχεῖν ἔστι, καὶ μὴ πάντων κατευστοχεῖν, μηδὲ πρὸς πάντ' αὐτὸν ἢ δραστικώτατον εἶναι καὶ τελειότατον καὶ ἀλώβητον καὶ ἀνεύθυνον παντάπασιν, ἢ τῆς τύχης εὐγνώμονος πειρᾶσθαι καὶ ἵλεω· οὐ γὰρ τοῦτ' ἔξεστι, καὶ ὁρᾶν ἔστιν οὕτω περὶ πάντας ἀτεχνῶς ἀνθρώπους τῶν ἀπὸ τοῦ παντὸς αἰῶνος. Καὶ πλεῖστα γὰρ τὰ μάχιμα πάντως, καὶ ἀντιτεταγμένα τοῖς ἐπὶ πλεῖστα παρασκευαζομένοις τὲ καὶ ἐπιχειροῦσι τόλμῃ δή τινι καὶ φρονήματι, καὶ πάντων περιγίνεσθαι καὶ τὴν νίκην ἀποφέρεσθαι, πῶς ἄν τις ἐξεῖναι φαίη; Ὅσοις δ' ἐν* [13]) *ὀλίγοις τὸ πράττειν καὶ ξυνέλαχον εἴθ' ἑκόντες ὄντες* [14]), *εἴτ' ἄκοντες ἐρημίᾳ τύχης, καὶ μικροῖς τοῖς ἐν τῷ βίῳ φροντίσμασι, ζῆν ἔχουσι μᾶλλον ἀδεῶς πρὸς πᾶσαν νέμεσιν καὶ βιωτικὴν ἀντίπνοιαν. Καὶ γὰρ ὀλίγας ἔχουσι πρὸς τὸ δυστυχῆσαι καὶ κακῶς πράξαι* [15]) *τὰς ἀφορμάς, καὶ βραχεῖαν τὴν ὕλην παρέχονται τῇ βασκάνῳ τύχῃ τῆς κατ'*

---

11) *κατακρ.* C. Mon. *κρατοῦσα.*

12) *τοῦ βίου*, Cdd. Aug. et Mon. tantum *βίου.*

13) *Ὅσοις δ' ἐν*, C. Aug. *ὅσοις δὲ ἐν.*

14) *ὄντες*, in Cdd. Aug. et Mon. recte omittitur.

15) *πράξαι*, C. Aug. *πρᾶξαι.*

αὐτῶν κακουργίας, καὶ τόπους δή τινας αὐτῇ καὶ λαβὰς ἐπ' αὐτοὺς ἐπιχειρεῖν, καὶ ῥᾷστα καὶ δραστικῶς[16]) ἀνύτειν· καὶ ὅλως ὀλίγα πεφύκασι ζημιοῦσθαι, κἀντεῦθεν ἀλγεῖν, ὥςπερ δὴ μάλισθ' οἱ βαρεῖς ἐκεῖνοι, καὶ ἐπίφθονοι, καὶ πολυφορώτατοι τῇ κατ' αὐτῶν ἐναντιώσει τῆς τύχης, κἀντεῦθεν πᾶσα ἀνάγκη καὶ ταῖς ἀλγηδόσι καὶ τοῖς ἀνιαροῖς ἐνευθηνοῦντες καὶ πλήθοντες, καὶ συχνὰ πταίοντες καὶ τῷ βίῳ προςκόπτοντες ἐκ πολλῶν τῶν τρόπων ῥᾷστα, καὶ μὴν ἐνίοτε καὶ ῥᾷστα ξυμπίπτοντες εἰς τοὺς ἐσχάτους κινδύνους, καὶ τὰς παλαμναιοτάτας ἀρὰς, καὶ τὴν τοῦ βίου καὶ ἑαυτῶν[17]) παντάπασιν ἀνεπίστροφον ὅλως ἀνίατον πανωλεϊαν. Ὥςπερ τὰ μέγιστα φορταγωγὰ σκάφη καὶ μετὰ πολλῶν τῶν ἀγωγίμων τέως οὐριοδρομοῦντα ταῖς ἑκάστοτε ξυμπιπτούσαις ἀντιπνοίαις αὐτίκα πολυζήμια βαπτίζονται, καὶ μεγίστων κινδύνων ἀφορμὰς[18]) ἐμποιοῦσι. Καὶ ὁ παλαιός φησι λόγος ὄντως ἐν καιρῷ καὶ μάλ' εὐστόχως, τὰς μεγάλας τύχας[19]) χορηγεῖν τραγῳδοῖς τε[20]) καὶ τραγῳδίαις τὰ δράματα, ὡς τῶν ἐν μικρᾷ ξυμβιούντων τῇ τύχῃ, καὶ ταπεινοῖς καὶ ὀλίγοις

16) δραστικ. C. Aug. δραστικῶν.

17) ἑαυτῶν, C. Aug. αὐτῶν.

18) ἀφορμὰς, Cdd. Aug. et Mon. ἀφορμὰς ἐφορμὰς ἐμποιοῦσιν.

19) τύχας deest in Cdd. Aug. et Mon.

20) τραγῳδοῖς τε καὶ, ignorat C. Mon. Reliqui Cdd. habent cum Bloch. p. 129. qui hoc pulcherrimum dictum sumtum esse ex Synes. or. de Regno p. 3. existimat.

τοῖς πράγμασι· καὶ μάλιστ' οὐκ ἀηδῶς, ἀλλ' ἀγαπώντων οἷς ἔχουσιν, οὐδὲ μεγίστας χωρεῖν ἐχόντων κακοπραγίας, καὶ χορηγεῖν δακρύων αἰτίας ἑαυτοῖς, καὶ ἄλλοις γε δὴ θρηνῳδιῶν καὶ τραγικῆς μνήμης ἐπ' αὐτοῖς.

ΚΕΦ. μθ'.

Ὅτι ἔνιοι διὰ μικρογνωμοσύνην τινὰ, καὶ οὐ λογισμῶν κρίσιν ἀποτρέπονται τὰ πράγματα, καὶ τοῦτο πάντως οὐδ' ἐπαίνου τινὸς ἄξιον.

Δοκοῦσι δ' ἐνίοτε καὶ οἱ μικρογνώμονες ἐκεῖνοι, καὶ μὴ τῷ πλάνῳ τῆς τύχης αἱρόμενοι καὶ συμφερόμενοι καὶ τῷ ταπεινὰ πράττειν, μᾶλλον δ' ἀπολυπραγμόνως βιοῦν οὐκ ἀηδῶς ἔχοντες, ὀλίγοι δή τινες εἶναι τὴν φύσιν καὶ φαῦλοι [1]), καὶ ὑπ' οὐδενείας [2]) δὴ ταύτης καὶ ψυχρότητος τῇ ὀλιγωρίᾳ ταύτῃ χρῆσθαι, καὶ περὶ τὰ πράγματ' ἀκινησίᾳ καὶ τῷ ἀφροντίστως ζῆν. Καὶ ταυτον εἶναί πως ὥςπερ οὐδὲ τοῖς μύρμηξιν ἐγγίνεται περὶ ἀρχῆς βουλεύεσθαι, καὶ περὶ πολιτικῶν δή τινων, οὐδὲ περὶ τῶν κατὰ τὴν φιλοσοφίαν ὅλως ἐπισκέπτεσθαι καὶ πράγματ' ἔχειν αἱρεῖσθαι. Τὸ γὰρ μὴ διαρκὲς τῶν [3]) τοιούτων ἀνθρώπων καὶ ἀνοίκειον εἰς τὰ κατὰ τὸν βίον ἀποστρέφειν σφᾶς εἰς ἑαυτοὺς, καὶ τὴν ἀναχώ-

---

1) καὶ φαῦλοι, ignorant Cdd. Mon. et Aug.

2) οὐδενείας, Cdd. Mon. et Aug. οὐδενίας, quod idem est.

3) τῶν, deest in C. Mon.

ρησιν τῆς μετὰ τοῦ κοινοῦ καὶ τῶν πολλῶν συμβιώσεως καὶ ἀγωγῆς ἐπιμίκτου καὶ ἐφαμίλλου, ὡς ἄρα μήδ' ἐπαινεῖν δικαίως εἶναι τὸ κατὰ φύσιν ἄπλαστον αὐτοῖς καὶ ἀποίητον, μηδὲ μακαρίζειν ὡς εὐτυχὲς, μήδ' ἴσως αὖθις ἐπαιτιᾶσθαι, μήδ' ἀθλιότητά τινα κρίνειν, ὥςπερ οὐδ' ὅστις λευκὸς ἢ μέλας τὸ χρῶμα ξυνέλαχεν εἶναι, ἢ οὖλος τὴν κόμην, ἢ τετανόθριξ. Τὰς γὰρ ἁμαρτίας τῆς γνώμης, καὶ τὰς ἀδίκους αἰτιατέον εἶναι κρίσεις, καὶ αὖ οὐ μακαριστέον τὰς ξὺν ἀηδίᾳ μετὰ μικρᾶς ἢ μᾶλλον πικρᾶς τύχης βιώσεις. Οἷς δὲ μὴ ἔστι σκαιότης κατὰ βάθος τὶς ἐν τῷ ἤθει καὶ δύσνοια πρὸς τὸν βίον καὶ τἀνθρώπινα πράγματα, ἀλλὰ νωθρείᾳ [4]) φύσεως διαδιδράσκουσιν, οὐ κακουργοῦσι τὸν βίον, καὶ οἷς οὐκ ἀηδὲς [5]), ἀλλ' ἐῤῥαστωνευμένον μάλιστα καὶ κατ' εὐχὴν τὸ βιοῦν ἰσχνῶς. Καὶ πόῤῥω πάσης ἐντρεχείας καὶ λαμπρότητος τί τὶς ἂν ἐπιτιμᾷν δικαίως ἔχοι; ἢ πῶς ἄν τις ἀθλιότητ' ἐπ' αὐτοὺς ἐπιψηφίζοιτο, καὶ κλύδωνα ζωῆς τοῖς ἐν γαλήνῃ καὶ ἀπαθῶς ὁπηοῦν βιοῦσι, καὶ μήδ' ὁτιοῦν ὀχλουμένοις, ἢ πληττομένοις καὶ πλήττουσι; Τοιγαροῦν οὐδ' αὐτοῖς δὴ τούτοις ὅδ' εὐτέλειαν λογισμῶν καὶ φύσιν ἄκομψον, καὶ οὐκ εὐγενῆ καὶ δραστικῶς ἔχουσαν [6]) ἀπραγμοσύνῃ δή τινι τὸν βίοτον ἄ–

4) ἀλλὰ νωθρ. C. Mon. male ἀλλ' ἀνωθρείας.

5) ἀηδὲς, C. Mon. ἀηδῶς, in marg. γρ. δές. C. Aug. vt Cis. ἀηδές.

6) ἔχουσαν, C. Mon. ἔχουσα.

γονται, καὶ οὐδ' ἴσασι σχεδὸν, ὅτι ζῶσι. Τὸ ἄπραγμον δὴ τοῦτο καὶ κατεψυγμένον οὔτε μακαριστὸν ἂν εἴη, οὔτ' ἐπαινετὸν, οὔτε τὰ τούτων αὖ, ὡς ἔφην, ἐναντία, εἰ μή ποτ' ἄρα κρίσις ἐπιτυχὴς καὶ λογισμῶν μάλιστα κράτος εἰς τοῦτ' ἄγουσι καὶ ἀποτρέπουσιν αὐτοὺς τῶν παρόντων πρὸς ἄλλό τι βλέποντας, καὶ πλέον ἢ κατὰ τὰ 7) φαινόμενα ταῦτα μεταχειρίζειν ἀξιοῦντας καὶ πολιτευομένους, περὶ ὧν νῦν γε εἶναι πρόθεσις οὐκ ἔστι τῷ λόγῳ, ἀλλ' ὧν ἡ ἀπραγμοσύνη καὶ τὸ τῶν ἐν κοινῷ βιώσεων ἀπόλυτον, ἕξις δή τις ἐστὶ καὶ φύσεως ἰδιότης ἀλόγιστος, καὶ πάσης ἀκμῆς ἀλλοτρία καὶ γεννικοῦ λήμματος.

ΚΕΦ. ν'.

Ὅτι ἔστιν ὁμοίως ἥδεσθαι, καὶ δοκεῖν εὐπραγεῖν, καὶ ἐν μεγίσταις ὑποθέσεσι, καὶ ἐν ἥττοσι καὶ διαφόροις πολιτεύμασιν εὖ πράττοντας.

Ὥςπερ γε τοῖς κατὰ θάλατταν εὐπλοοῦσι 1) καὶ τῷ αὐτῷ χρωμένοις φορῷ πνεύματι ἐπὶ τὰ αὐτὰ πάντως ἀναγομένοις ξυμβαίνει παραπλησίως εὖ φέρεσθαί τε καὶ τοῦ σκοποῦ τυγχάνειν, κἀντεῦθεν ἥδιστ' ἔχειν μηδὲν πλέον, μηδὲν ἧττον ἄλλον ἄλλου, κἂν οἱ μὲν ἐπὶ μεγίστων ἀνάγοιντο τῶν νηῶν, οἱ δ' ἐπὶ βραχυτέρων, οἱ δ'

---

7) τὰ abest a C. Mon.

1) εὐπλ. Cod. Aug. εὖ πλοοῦσι.

ἐπὶ βραχυτάτων, καὶ πολλῷ γ' ἡττόνων τῶν σκαφῶν· ὡς ἄρ' ἔτυχεν ἕκαστος ἀρξάμενος τοῦ πλοῦ καὶ τῆς θαλάσσης[2]) ἁψάμενος, τὸν αὐτὸν ἔοικε τρόπον καὶ τοῖς ἐν τῷ πελάγει τοῦδε τοῦ βίου φερομένοις τὸν αὐτὸν τῆς ζωῆς πλοῦν[3]), καὶ πρὸς τὸν αὐτὸν σκοπὸν ὁρῶσι καὶ τὸ πέρας, πᾶσα ἀνάγκη τῆς τοῦ ζῆν τελευτῆς παραπλησίως τὰ τῆς εὐφορίας ἔχειν, εἴτουν τὰ τῆς εὐπραγίας, καὶ τῆς ἐν τῷ βίῳ ῥᾳστώνης, ἣν ἄρ' ἐξείη σφίσιν ἑκάστοις οἱςτισινοῦν εὖ χρῆσθαι τῇ τύχῃ, καὶ κατὰ σκοπὸν καὶ κατ' ἔφεσιν, καὶ κατ' εὐχὴν ἀνύτειν, ἐφ' οἷς ἂν ξυλλάχωσι πράγμασι τὲ καὶ πολιτεύμασι, καὶ τὰς κατὰ τὸν βίοτον ὁδοὺς εἴτουν εὐπλοίας ἄγωσιν εἰς τέλος[4]), καὶ παραπλησίως ἀξιοῦν ἑαυτοὺς ἑκάστους ἥδεσθαι καὶ ἐνευθηνεῖσθαι τῇ εὐδαιμονίᾳ καὶ τῇ τῆς ζωῆς ἀγαθῇ τύχῃ, καὶ μηδὲν πλέον, μηδὲν ἧττον ἔχειν ἄλλον ἄλλου πρὸς τὸν καθ' ἡδονὴν βίον, καὶ τὸ λογίζεσθαι καθάπαξ ἑαυτὸν εὐπραγοῦντα, κἂν ὁ μὲν ἄρ' ἐπί τινος μείζονος ὕλης εὐπραγοίη, καὶ ὡς βέλτιστ' αὐτῷ καὶ εὐκταιότατα[5]) φέροιτο, ὁ δ' ἐπὶ βραχυτέρας, ὁ δὲ βραχυτέρας ἔτι, ὁ δὲ καὶ ἔτ' αὖθις καὶ βραχυτάτης, ὡς εἰπεῖν, καλῶς γε μὴν ἕκαστος καὶ κατ' εὐχὴν, ἐφ' οἷς ξυνέλαχε, φέροιτο, καὶ πρὸς τὸν

---

2) θαλάσσης, Cdd. Mon. et Aug. θαλάττης.

3) πλοῦν, C. Mon. πλοῦ.

4) καὶ τὰς κατὰ usque ad εἰς τέλος desiderantur in C. Mon.

5) εὐκτ. C. Mon. εὐκταιότατον.

αὐτὸν σκοπὸν ἀνυσίμως καὶ περιφανῶς καὶ μακαρίως, οἷς ἂν ἀνθρώποις ξυνέλαχεν. Ἰσότης γὰρ τῆς ἐῤῥαστωνευμένης[6]) βιοτῆς καὶ ἕξεως ἐνηδόνου καὶ ἀγωγῆς, ὅστις τε ὑπὸ δεσπόταις καὶ ἄρχουσι μεγίστων ἡγεμονιῶν καὶ πολλοῦ τινος ἐθνῶν ἀριθμοῦ μάλιστ' εὐπραγεῖ, καὶ τοῖς συντεταγμένοις ἐνακμάζει, καὶ βιοτεύει κατ' ἔφεσιν, καὶ ὅστις ὡσαύτως ἔχει καὶ ἄγεται καθ' ἡδονὴν εὖ μάλα, καὶ ἀπρόςκοπος ὑπὸ δεσπόταις καὶ ἄρχουσιν ἡττόνων ἡγεμονιῶν καὶ ὀλίγου τοῦ τῶν[7]) ὑποτεταγμένων ἐθνῶν ἀριθμοῦ, ἢ καὶ γένους τινὸς, ἴσως ἑνός· καὶ οὐδὲν μᾶλλον ἐκεῖνος ἢ ὅδε, οὐδ' ἧττον ἡδονῇ τινι σύνεστι τῷ εὐπραγεῖν καὶ γλυκυθυμίᾳ ζωῆς. Καίτοι τί λέγω; οὐδ' ὅστις μὲν οὖν ἐν κοινωνικαῖς τισι πόλεων διοικήσεσι μείζοσί τε καὶ ἥττοσιν, ἢ δημοκρατικαῖς, ἢ ἀριστοκρατικαῖς, ὥςπερ δὴ πολλαὶ τοιαῦται τὸ ἀρχαῖον ἐν Ἕλλησι, καὶ νῦν παραπλησίως εἰσὶν ἐν Ἰταλίᾳ, ἄλλης ἄλλη πλέον ἔχουσα κατ' εὐνομίαν καὶ κράτος ὁτιοῦν, ἀλλ' ὅστις γοῦν ἐν τοιούτοις ἀμέλει τοῖς πολιτεύμασι τὴν ἐλευθεριότητα προτίθεται καὶ νομίζει, καὶ τὸ περὶ τὴν ἐλευθεριότητα προτίθεται καὶ νομίζει[8]), καὶ τὸ περιφανῶς ἔχειν ἐν πλείστοις, ὅσοις τοῖς ἰσονομουμένοις τὸ καθ' ἡδονὴν εἶναι καὶ βιοτεύειν, καλῶς πράττων καὶ χρώμενος

6) ἐῤῥαστ. Cdd. Aug. et Mon. ἐραστωνευμένης.

7) τοῦ τῶν, Cdd. Mon. et Aug. τούτων.

8) καὶ τὸ περὶ usque ad νομίζει in Cdd. Mon. et Aug. desunt.

εὐετηρίᾳ, ἐκείνων γε τῶν ἐν δυναστείαις δεσποτικαῖς ἁβρῶν τύχῃ δή τινι καὶ πολυδοξίᾳ, καὶ μακραῖς ταῖς[9]) οὐσίαις ἧττον ἔχει τῆς ἐῤῥαστωνευμένης βιοτῆς, καὶ καθ' ἡδονὴν ἕξεως. Τί γὰρ δὴ μᾶλλον εὐδαιμόνως ἔχει καὶ καθ' ἡδονὴν ἄγεται τῷ βίῳ Γωβρύας παρὰ τῷ μεγάλῳ βασιλεῖ τῶν Περσῶν, καὶ Μαρδόνιος, καὶ Ὦχος, καὶ ὁστισοῦν ἕτερος ἐν ἐκείνοις προέχων πολλῇ τῇ δόξῃ, καὶ βαθεῖ τῷ πλούτῳ, ἢ Περδίκκας[10]) καὶ Ἀντίπατρος, ὡσαύτως κατὰ χώραν ἐνευπραγοῦντες τοῖς Μακεδόνων μόνον βασιλεῦσι, καὶ πᾶν τὸ γιγνόμενον τοῖς ἐπιτηδείοις καὶ ὑπὸ χεῖρα δεσποτικῆς εὐγενείας καὶ χάριτος ἀπολαμβάνοντες; Τί δέ γε μᾶλλον καὶ ἀμφοῖν τούτοιν ἐστὶν, ἢ Κεφάλῳ παρ' Ἀθηναίοις, καὶ Νικίᾳ καὶ Μεγακλεῖ, καὶ Λυσάνδρῳ καὶ Καλλικρατίδᾳ παρὰ Λάκωσι, καὶ Ἀράτῳ ἐν Σικυῶνι, καὶ Φιλοποίμενι παρὰ τῇ μεγάλῃ πόλει, καὶ Τιμοκράτει παρα Κορινθίοις, καὶ Τιμολέοντι, καὶ Ἑρμοτίμῳ, καὶ Δίωνι παρὰ Συρακουσίοις, καὶ ἄλλοις παρ' ἄλλοις κοινωνικοῖς καὶ ἀνυποτάκτοις πολιτεύμασι, πάλαι τε ἴσως καὶ μηδὲν ἧττον νῦν; Τίς γὰρ εἰς εὐζωΐαν διαφορὰ, ἢ τί πλέον, ἢ καὶ ἧττον ἀμέλει τῆς ἐῤῥαστωνευμένης[11]) ἐν καρδίᾳ[12]) καὶ καθ' ἡδονὴν ἕξεως τῷ κατὰ τὴν

9) ταῖς, ignorat C. Mon.

10) Περδ. Cdd. Mon. et Aug. Παρδίκκας.

11) ἐῤῥαστ. vt supra, Cdd. Mon. et Aug. ἐρασт;

12) καρδίᾳ, C. Mon. καρδίας.

Ῥωμαίων περίβλεπτον καὶ μεγάλῳ πομπεύουσαν ὀνόματι κατὰ τῆς γῆς ἡγεμονίαν ὑπὸ δεσποτικῆς φιλοκάλου γνώμης τὲ καὶ ῥοπῆς, ἢ κατὰ τὴν ἐν Σκύθαις τὰ μέγιστα κρατοῦσαν[13]), ἢ κατὰ τὴν ἐπ' Αἰγύπτου, ἢ καὶ ἄλλοσέ πη, καθ' ἕω καὶ δυόμενον ἥλιον, ἢ τύχης εὐφορίᾳ, ἢ καὶ κατὰ χρείας δή τινα κρίσιν ἐνευπραγοῦντι τῇ βιώσει, καὶ θεατρικῶς εὐθηνουμένῳ πᾶσι τρόποις εὐδαιμονίας, καὶ πάσαις τοῦ πλούτου περιβολαῖς, καὶ τόσοις καὶ τόσοις[14]) τοῖς τῆς οὐσίας κειμηλίοις καὶ θησαυροῖς, καὶ χρυσῷ καὶ ἀργύρῳ, καὶ ἀρχῶν ἐπιστασίαις, καὶ χωρῶν κτήσεσι, καὶ οἰκίαις, καὶ ἀγροῖς, καὶ συνοικίαις καὶ βοσκημάτων μυριαρίθμων[15]) τροφαῖς, καὶ θεραπόντων πλήθει, καὶ φιλτάτων καὶ γένους ἑορτασίμῳ βιοτῇ καὶ πομπείᾳ, καὶ χρυσοπάστοις ἐσθήμασι, καὶ πᾶσι καλλωπίσμασι, καὶ περιλάμπρῳ θεατροκοπίᾳ, καί, ὡς ἔπος ἐρεῖν, πολλῇ τῇ κατὰ τῶν συντεταμένων ὑπεροχῇ καὶ τῷ κράτει, ἢ καὶ ὁτῳοῦν τῶν συμβιούντων ἐν κοινωνικαῖς πολιτείαις ἔν τινι τῶν κατὰ τὴν Ἰταλίαν πόλεων, κἂν ταύταις εὖ τῷ βίῳ χρωμένῳ καὶ πλουτοῦντι, καὶ τὰ κατ' οἶκον εὐθηνουμένῳ[16]) οἰκείως τὲ καὶ πρὸς λόγον εὖ μάλιστα τῇ τῆς πατρίδος τύχῃ, καὶ τῇ κατὰ τοὺς λογισμοὺς

13) ἢ κατὰ τὴν — κρατοῦσαν, absunt a C. Mon.

14) τόσοις non agnoscunt Cdd. Aug. et Mon.

15) μυριαρ. Cdd. Aug. et Mon. μυρίθμων. Vtrumque Lexica ignorant.

16) εὐθην. Cdd. Mon. et Aug. εὐθυνουμένῳ.

ἐλευθεριότητι, καὶ τῇ ἀκύμονι τῆς ψυχῆς διαθέσει ὡς ἥδιστα βιοτεύοντι, καὶ πᾶσαν ἑαυτῷ τὴν εὐδαιμονίαν ἐντεῦθεν ἐπιψηφιζομένῳ, καὶ κατὰ μηδὲν ἧττον ὁτουοῦν ἔχοντι τῇ τῆς γνώμης ἱλαρότητι, καὶ πάσης ἀνίας ἀπολύτῳ κρίσει καὶ εὐκολίᾳ, καὶ τῷ κατ' αὐτὸν ἔνδον διαρκεῖ πρὸς τὸν βίοτον φρονήματι· οὐδεὶς ἂν λόγος, οὐδεμία Πτολεμαίου καὶ μουσικῶν ὑπέρισχνος ἀναλογιῶν κατατομὴ, οὐδεμία τῶν Εὐκλείδου ῥητῶν καὶ ἀῤῥήτων γεωμετρικῇ στοιχειώσει διαίρεσις καὶ διαφορὰ, καὶ ἀριθμῶν καὶ μεγεθῶν οὐδεμία καθάπαξ περίνοια, οἵα ποτ' ἂν γένοιτο διελέσθαι καὶ συμμετρῆσαι πρὸς λόγον τὸ μεῖζον τὲ καὶ τοὔλαττον εἰς τὰς κατὰ γνώμην τὲ καὶ τύχην τῆς εὐδαιμονίας ἐνηδόνους ἕξεις ἐκείνοις τοῖς πρότερον εἰρημένοις, ἢ τοῖςδε τοῖς ταπεινότερον, ὅσα προχείρως οὑτωσὶ ξυνορᾷν, πράττουσι, καὶ δοῦναι τοῖς μὲν μᾶλλον, τοῖς δ' ἧττον τὸ τῆς ζωῆς ἀγαθὸν, καὶ τὴν κατὰ τὸν βίοτον εὐετηρίαν, καὶ μάλιστ' ἐν τοῖς λογισμοῖς εὐφορίαν, οἷς καὶ μάλιστα καὶ τῇ τῆς ψυχῆς καθάπαξ διαθέσει τὸ ἡδύ τε καὶ ἐῤῥαστωνευμένον, καὶ τἀναντία καταμετρεῖται καὶ κρίνεται.

ΚΕΦ. να'.

Ὅτι μέγας ἐπιτειχισμὸς τῇ ψυχῇ πρὸς τὴν οἰκείαν νοερὰν ἐνέργειαν τὸ σῶμα καὶ τὰ ἐξ αὐτοῦ.

Ὦ [1]), ποσάκις ἐθαύμασ' ἔγωγε, ποσάκις εἰς νοῦν λαμβάνων ἐθρήνησα καὶ κατωλοφυράμην,

1) ὦ deest in C. Mon. sed Aug. habet ὦ.

ὅτι δὴ τὸ δύστηνον τόδε σαρκίον· ὢ[2]), πῶς ἂν ἐῶ[3]) συγκέκραται, ἢ συγκέχωσται τὰ τῆς ψυχῆς ἡμῖν ἐνεργήματα καὶ κινήματα· καὶ, ᾧ συνείρκται μάλισθ' αὕτη, μέγας ἐπιτειχισμὸς ἐστὶν αὐτῇ πρὸς τὰς οἰκείας καὶ[4]) κατὰ φύσιν καὶ κατ' ἔφεσιν μᾶλλον ἐργασίας, καὶ προτιθεμένη φέρεσθαι, καὶ ποθοῦσα καθορᾷν ἔξω καὶ τῶν νοητῶν ἅπτεσθαι καὶ συνάπτεσθαι[5]) σφίσι, καὶ βάλλειν εἰς μακαρίαν ὄντως κατὰ τὴν παροιμίαν, καὶ οἷς κατὰ φύσιν ᾤκείωται διεκδραμεῖν αὕτη γε καὶ διαδράναι[6]) παντάπασιν οὐχ οἵα τέ ἐστιν· ἥδ' ἄρα γε, καθάπερ τὰ ἐν εἱρκταῖς ὄρνεα, κατακέκλεισται, καὶ ᾄδει μὲν ὅ τί ποτ' ἂν καὶ κατατραγῳδεῖ τὰς οἰκείας ἴσως ἀνάγκας καὶ δυστυχίας, καὶ τοὺς δεσμοὺς, οὐκ ἔχοι δ' ὅμως ἑαυτῇ καθάπαξ χρῆσθαι, ὡς ἔρως ἕλκει πολλάκις καὶ κατὰ φύσιν ἔνεστιν. Ὅποι γὰρ ἂν κινοῖτο, πάντ'[7]) ἔχεται, καὶ οὐχ ὑπ' αὐτοῦ συγχωρεῖται βέλτιστ' ἀπόλυτος προϊέναι, καὶ ἀπολαύειν ἐλευθερίας εἰς τὰ σφέτερ' αὐτῆς ἔργα, καὶ κατὰ φύσιν ἐραστὰ, οὐδ' ἀπρόσκοπος ἀνύτει, ἐφ' οἷς δύναιτ' ἂν ἀνύτειν ἑαυτῇ μόνως ἐξὸν χρῆσθαι. Οὔτε γὰρ συνέλκειν καὶ μάλιστ' ἄνω φερομένην οἷόν τε τὴν ψυχὴν τῇ κατὰ

---

2) ὢ, C. Aug. ᾧ, Mon. ὦ.

3) ἐῶ, Cdd. Aug. et Mon. rectius ἐφ' ᾧ.

4) καὶ deest in C. Mon.

5) συνάπτ. C. Mon. συνάπτεσθαι.

6) διαδράναι, Cdd. Aug. et Mon. διαδρᾶναι.

7) πάντ', C. Aug. πάντος (sic). L. πάντως.

θεωρίαν τοῦ λογικοῦ προόδῳ τοὺς σωματικοὺς τούσδε δεσμοὺς, καὶ τοσοῦτο βάρος τῶν σαρκικῶν περιβλημάτων, ἀλλ' ἔγχεται[7a]) τοῖς ἀῤῥήκτοις τοῖσδ' ἐπαχθίσμασιν[8]) ἐπειγομένη, καὶ συνέχεται χαλεπῶς καὶ συστρέφεται ταῖς ἐντεῦθεν ἀνθολκαῖς, ὅσα γε πρὸς τὴν πρόθεσιν καὶ τὰς νοερὰς ἐπιβολὰς, οὔτ' ὀξυωπεῖν διὰ τοσούτων τῶν ἐπιτειχιζόντων ἀφύκτως μηχανή τις ὅλως, καὶ πρὸς τὰς ἐποπτείας τὰς κατὰ τῶν ὄντων ἀνύτειν ἀμιγῶς τῶν ἐκ τοῦ σώματος ὄχλων καὶ ἐπιθέσεων, καὶ τὰς ψήφους ἀπαθῶς ξυνορᾶν καὶ κατορθοῦν ἄνοσα καθάπαξ ἀπὸ πάντων, ἃ δὴ τοῦ σώματος προςίσταται σύγκρατα[9]), καὶ ταράττοντ' ἀμηγέπη κατὰ τῶν λογισμῶν χαραὶ, ἀνίαι, ἡδοναὶ, λύπαι, φόβοι, θέλγητρα πάντα πράγματα περονοῦντα[10]), καὶ μὴ ξυγχωροῦντ' ἐλευθέραν κατευστοχεῖν τὴν τῆς ψυχῆς κατὰ τὸ νοερὸν ἐνέργειαν, καὶ μὴ τῆς τῶν ὄντων ἐναργείας[11]) ἐκτρέπεσθαι καὶ φέρειν ἔξω, ὁπότε δὴ μάλιστα καὶ τὰ πλείω τῶν προκειμένων εἰς ἐπί-

---

7a) ἔγχεται, leg. ἔχεται.

8) ἐπαχθ. C. Mon. ἐπαχθήμασιν. Vtroque voc. carent Lexica. ἐπάχθισμα etiam occurrit c. 88. συγκεχωσμένα σωματικοῖς ἐπαχθίσμασι, quo fit, vt lectio C. Cizensis praeferenda videatur. Deriuatur ab ἐπαχθίζω.

9) σύγκρατα, C. Aug. σύγκραται.

10) περονοῦντα, sic leg. Cdd. omnes nostri, a περονέω, in Lexicis περονάω. Theodorus firmat h. l. formam περονέω. Sic, vt hoc obiter moneam, in Hesych. νυττόμενος· πορθούμενος, haud dubie legendum: περονούμενος.

11) ἐναργ. C. Mon. male εὐαργίας.

σκεψιν καὶ αὐτὰ φύσει τὸ ἀσαφὲς ἔχει διὰ τὸ τῆς ὕλης εὔτροπον καὶ ἀστατοῦν καὶ φύσει ῥέον εἰς μυρίαν μεταβολήν. Τί γὰρ δὴ καὶ τρανῶς ὁρᾶν ἰσχύσαι τὶς ἂν ὀφθαλμοῖς νοσοῦσι καὶ ὑπὸ πονηρᾶς ἐνοχλουμένοις ὕλης. καὶ βάρους φλεγμαίνοντος, ὁπότ' ἄρα καὶ κατὰ ῥεόντων καὶ φερομένων ἀστάτως ἀεὶ, καὶ κομιδῇ τεθολωμένων αὐτῶν ἐποπτεύειν ἡ πρόθεσις καὶ διορᾶν τἀληθές. Τοιγαροῦν οὐδὲν μή ποθ' ὁρῶμεν οὔτ' εἰλικρινὲς, οὔτ' ἀπλανὲς ἄντικρυς, τοῦτο μὲν ἐπὶ τῶν βιωτικῶν καὶ ὑπὸ γένεσιν ἀεὶ καὶ ῥοὴν [12]), τοῦτο δὲ κἀπὶ τῶν ἀΰλων αὐτῶν μάλιστα, καὶ ὅλων οὐσιωμένων τῷ νῷ, καὶ τῷ νῷ ληπτῶν. Πόθεν; ὧν ἐπὶ τὴν θεωρίαν οὐκ ἄλλως ὁρμώμεθα, ὅτι μὴ φαντασίᾳ συγχρώμενοι, φαντασίας δ' αἴσθησις ὄχημα, καὶ ἐπ' αὐτῆς καὶ μετ' αὐτῆς ἄγεται, ἡ δ' αἴσθησις μόνη τῶν γνωστικῶν δυνάμεων ἐν ἀνθρώποις ὅλως περὶ τὴν ὕλην ἔχει, καὶ οὐκ ἄλλως, ἢ μετὰ τῆς ὕλης δύναται, καὶ σωματοειδὲς καθάπαξ ἔργον καὶ πολύνοσον. Ταῦτ' ἄρα καὶ πρὸς τὰ θεῖα καὶ νοερὰ τὴν αἰσθητικὴν χρῆσιν ἕλκουσιν ἔνιοι, καὶ κατ' αἴσθησιν ἐπ' αὐτοῖς ἐπιχειροῦσιν [13]), οὐδὲν μήποτ' ἀξιοῦντες ἔοικεν ἐν τοῖς οὖσιν, οὖ μὴ [14]) χερσὶν ἢ ὀφθαλμοῖς, ἢ, ὡς ἔπος εἰπεῖν, ἀντιλήψει κατ' αἴσθησιν

---

12) ῥοὴν, C. Mon. ῥοεῖ: Aug. φυκτοῦτο, mendose.

13) ἐπιχειρ. C. Mon. χειροῦσιν.

14) οὖ μὴ, C. Aug. οὐ μή.

ἅψαιντ' ἄν, οὐδ' ἔχουσι τὴν τῶν ἀσωμάτων ἐνέργειαν [15]) ἄνευ τῆς τοῦ σωματοειδοῦς καθιστορήσεως, καὶ τῶν διαστατικῶν μέτρων τὲ καὶ βαθμῶν· τῶν δ' ἔτ' ἀμαθεστέρων ἔνιοι καὶ τερατωδέστερον ἔτ' ἐπιβάλλουσι τοῖς θείοις, καὶ μετὰ σκηνῆς τραγικῆς καὶ δράματος ἄνω χωροῦσι καὶ συμπλέκονται ταῖς μετὰ θεοῦ φαντασίαις, ἀνθρωποειδεῖς εἰκασίας καὶ τύπους συνέλκοντες ὑπ' ἄκρας ἀμαθίας, καὶ τοῦ μηδὲν ἐπαΐειν ὅλως μήδ' ὁπηοῦν χρῆσθαι τοῦ σώματος ἄνευ. Καὶ ταῦτα δὴ πάνθ', ὡς εἴρηται καὶ ὁ λόγος προύθετο [16]), τῆς σωματικῆς καὶ ὑλικῆς ἐπιθέσεως ἐν τῇ μετὰ τῆς ψυχῆς συζυγίᾳ κατ' αὐτῆς δὴ τῆς ψυχῆς καὶ τῶν αὐτῆς ἐνεργημάτων, καὶ ὁ τῆς σαρκὸς ὄχλος καὶ ὁ μέγας καὶ δυσδιεξίτητος αὐτῆς ἐπιτειχισμὸς χωρεῖν κατὰ φύσιν ἐπιβαλλούσης καὶ τῶν νοερῶν ἐργασιῶν ἅπτεσθαι.

ΚΕΦ. νβ'.

Περὶ τῆς ἐν ἀνθρώποις πᾶσι φιλαυτίας, καὶ ὅπως ἐπείγονται πάντες, ὥστε πλέον δοκεῖν, ἢ εἰσίν.

Πολὺ παρ' ἀνθρώποις ἄρα πᾶσι κομιδῇ τὸ φιλαυτεῖν κρατεῖ, καὶ πάντα πράττουσιν ἅπαντες ἀμέλει καὶ σπουδαῖοι καὶ μή, πρὸς τὸ δοκεῖν ὁπηοῦν βέλτιστ' εἶναι, καὶ ὅσον οἷόν [1]) τ'

15) ἐνέργ. Cdd. Mon. et Aug. ἐναργείαν.

16) προύθ. Cdd. Aug. et Mon. προὔθετο.

1) οἷόν deest in C. Mon.

ἐστὶ, πλεῖν ἢ εἰσι, καὶ δικαίως καὶ μὴ, κἂν εἰ μετ᾽ ἀληθείας ἢ καὶ ἄλλως ὅπως [2]) ἄρα παρὰ πᾶσιν ἀνθρώποις, καὶ τοῖς ἐγγὺς καὶ τοῖς πόῤῥω, καὶ τοῖς ὁρῶσι τὲ καὶ τοῖς μή ποτ᾽ ἰδεῖν προςδοκῶσι τὲ καὶ προςδοκωμένοις, εἰ δὲ μὴ παρὰ πᾶσιν, ἀλλὰ τοῖς γε τῶν ἀνθρώπων πλείοσιν, εἰ δὲ μηδὲ τοῦθ᾽ ὅμως ἔξεστιν, ὅσοις ἄρ᾽ ἔξεστι· κἂν εἰ πάνυ τινὲς εἶεν τὸν ἀριθμὸν [3]) βραχεῖς καὶ πολλοῦ τιμήσαιντ᾽ ἂν, εἰ καὶ τρεῖς ἢ καὶ δύο εἶεν, ἢν μὴ πλείους ἐξείη, οἱ ἐπιγνώμονες καὶ θαυμασταὶ τῆς αὐτῶν [4]) ἀρετῆς ἥστινος ἄρα καὶ ἀνδραγαθίας. Καὶ οὐκ ἂν πάσης ἐπιμελείας καὶ περινοίας φείσαιντο καὶ ἀπάτης ἐνίοτε καὶ γοητείας, καὶ δράματος, ὥστέ τισι παραθεῖναι καὶ παρασκευάσασθαι περὶ ἑαυτῶν γεννικὰς δόξας, καὶ προκοπῆς δή τινος ὑπὲρ τοὺς πολλοὺς καὶ σοφίας καὶ ἀριστείας ἐλπίδας· οἱ μὲν ἄρα καὶ ἀπατῶντες ἑαυτοὺς ἔστιν ὅτε, καὶ τὰ μέγιστ᾽ ἀμαθεὶς [5]) ὄντες καθ᾽ ἑαυτῶν φαῦλοι φαύλως, καὶ θρήνων πολλῶν, εἰ δ᾽ οὖν ἐλέους μάλισθ᾽ ὡς ἀληθῶς ἄξιοι, οἱ δὲ, καὶ μὴ ἀγνοοῦντες ὅμως ἑαυτοὺς, ἄδικοι κατὰ τῶν ἄλλων, καὶ μάλιστα τῶν μηδὲν ἐπαϊόντων, καὶ ξυνορώντων γιγνόμενοι, καὶ ἀλαζόνες ξὺν δόλῳ [6]) καὶ τέχνῃ, καὶ σοφισταὶ τῶν μὴ προς-

2) ὅπως, C. Mon. ὅπερ.

3) τὸν ἀριθ. C. Mon. τῶν ἀριθμῶν.

4) τῆς αὐτῶν, C. Mon. τῆς αὐτῆς.

5) ἀμαθεῖς, C. Mon. ἀμαθεῖν, male.

6) ξὺν δόλῳ, C. Mon. ξὺν λόγῳ, in ora γρ. ξὺν δόλῳ.

ηκόντων ἀναιδεῖς. Ὁπότε γὰρ καὶ Πυθαγόρας ἐκεῖνος ὁ πάνυ, καὶ τῶν μεγάλων ἐν Ἕλλησι δογμάτων ἡγεμὼν καὶ διδάσκαλος, καὶ τῶν μαθηματικῶν αὐτὸς ἀρχηγὸς, καὶ πολλοῖς τε ἄλλοις τῶν ἐξαιρέτων τῆς σοφίας, καὶ τῷ θαυμαστῷ Πλάτωνι τῶν ἀποῤῥήτων τῆς φιλοσοφίας ὑπανοίξας καὶ καθυποδείξας τὰς ἀρχὰς, καὶ τῶν περὶ Θεοῦ καὶ θείων προλήψεων ἀνατεμὼν πηγὰς, ὁπότε γοῦν ἐκεῖνος τὰ καινὰ καὶ[7]) θαυμάσι' ἐκεῖνα, καὶ τερατώδη περὶ ἑαυτοῦ πρὸς τοὺς πολλοὺς ἐσοφίζετο, τὸν πολυτίμητον μηρὸν καὶ τοὺς Εὐφόρβου βοτρύχους[7a]), καὶ τὰς περιόδους τῆς ζωῆς, καὶ τὰς σαρκικὰς αὐτοῦ μεταμφιάσεις, καὶ ὅσα περὶ ἐκείνου τοιαῦτα[8]) λέγεται. Καὶ πείθειν ἠξίου ταῦτα τοὺς ἀκροωμένους, καὶ μὲν δὴ καὶ πολλοὺς εἶχε τοὺς πειθομένους. Καὶ ταῦτά γε ἐσπουδάζετο τἀνδρὶ δόξης ἕνεκεν ἀήθους, ἢ κατὰ τοὺς ἄλλους, καὶ ὡς ἂν[9]) καινός τις καὶ ὑπερφυὴς, καὶ τὴν σοφίαν περιττὸς καὶ ξενίζων κρίνοιτο καὶ θαυμάζοιτο μᾶλλον, ἢ ἄλλός τις τῶν κατ' αὐτόν τε καὶ πρὸ αὐτοῦ. Τί λοιπὸν ἔξεστι λογίζεσθαι καὶ περὶ πάντων ἄλλων, ὡς ἄρα φιλαυτίας ἥττηνται, καὶ πάντα πείθειν ἐπιχειροῦσι τὰ μέ-

---

7) καὶ deest in C. Mon.

7a) βοτρύχους, leg. βοστρύχους, cf. Hom. Il. 17, 51 et 52, ibique Heyne. Lucianus in Gallo 13., qui ad hunc locum alludit, χρυσὸν καὶ ἄργυρον τῶν βοστρύχων nominat.

8) τοιαῦτα, C. Mon. αὐτά.

9) καὶ ὡς ἂν, Cod. Mon. non habet.

γιστα περὶ ἑαυτῶν; Καὶ ὁρῶμεν γὰρ, ὡς ἕκαστοι τῶν ἀνθρώπων πάντα μηχανῶνται, καὶ πάντα τρόπον ἐπείγονται πᾶσιν ὡς ἔξεστιν ἀνθρώποις, εἰ δ' οὖν ὅσοις ἔξεστι, τὰ[10]) κατ' αὐτοὺς σεμνοποιεῖν καὶ σοφίζεσθαι, καὶ κλέπτειν τὰς περὶ αὑτῶν ψήφους καὶ κρίσεις, ἐφ' οἷς σπουδάζουσιν, ἢ λόγοις, ἢ τισὶ τεχνικαῖς ἐπιτηδεύσεσιν εἰς τὰ κοινὰ τοῖς ἀνθρώποις πράγματα· καὶ οἱ μὴ τυχόντες ὡντινωνοῦν, ὧν ἐρῶσι, καὶ περὶ ἃ σπουδάζουσι, τυχόντες εὖ μάλα δοκεῖν[11]), καὶ οἱ τυχόντες εὖ, καὶ κρεῖττον ἠνυκότες, ἢ κατὰ πολλοὺς ἴσως ἄλλους, πολλῷ κρείττονες ἑαυτῶν καὶ τυχόντες καὶ ἠνυκότες δοκεῖν, καὶ πολλῷ γε πλέον, ἢ ταῖς ἀληθείαις εἰσί. Καὶ οὔ ποτ' ἂν ἐν τούτοις γένοιτό τις ὁτῳοῦν κόρος, οὐδ' ὅρος, οὐδ' ἠρεμία τῆς λιχνείας[12]) ταύτης, οὐδ' ἀποχώρησις, ὡς ἂν οἷόν τ' εἴη ψεύδεσθαι καὶ πλουτεῖν τῶν ἀγαθῶν, ὧν μὴ σφίσι μέτεστιν ἐν ταῖς τῶν ἄλλων ὑπονοίαις καὶ φαντασίαις.

ΚΕΦ. νγ'.

Ὅτι ἀπορεῖν ἐστιν, ὅπως οἱ μὲν τῶν ἀνθρώπων εὖ ξυνέλαχον ἐξ ἀρχῆς τῷ βίῳ εἰς τέλος, οἱ δὲ τοὐναντίον.

Πολλάκις ἔγωγε κατ' ἐμαυτὸν ἐθαύμασα διαπορούμενος, τί ποτ' ἂν εἴη τὸ αἴτιον τῆς ἐν ἀν-

---

10) τὰ, C. Mon. τό.

11) δοκεῖν, C. Mon. δοκεῖ.

12) λιχνείας, C. Aug. λιχνίας.

θρώποις ἀνισότητος, τίς ὁ τῆς προνοίας λόγος, πῶς ἄρ' οἱ μὲν τῶν ἀνθρώπων ἐξέτι βρεφικῆς αὐτῆς ἡλικίας καχεκτικοί τινες εἰσὶ, καὶ νοσερῷ ξυνέλαχον σώματι, καὶ τὸν ἅπαντα τῆς ζωῆς αὐτοῖς χρόνον ἀεθλεύουσιν αὐτῷ, καὶ κομιδῇ κάμνουσι τρυχόμενοι καὶ ταλαιπωρούμενοι, οὐδὲν μήποθ' ὅλως βιώσαντες ἐν εὐκολίᾳ [1]) τῆς τοῦ σώματος ἕξεως, ἀλλὰ νεκροὶ, πῶς ἂν εἴποι τὶς, περιϊόντες καὶ μόνον πνέοντες, ἢ μηδὲ τοῦτο ῥᾷστα καὶ κατὰ φύσιν εὔδρομα· οἱ δ' ἐνακμάζουσιν ἐξ ἀρχῆς εἰς τέλος τῇ τοῦ σώματος εὐεξίᾳ καὶ τῷ πεφυκότι βέλτιστα, καὶ χρῶνται παντάπασιν ἐλευθέρως, καὶ ὅ τι βούλοιντ' [2]) ἂν, καὶ βλακεύονται καὶ τρυφῶσι μηδὲν μήποθ' ὑφορώμενοι δύσνουν καὶ πολέμιον τῇ χρήσει, καὶ διοικούμενοι [3]) τἄμεινον καὶ συνοῖσον ἑκάστοτε πρὸς ὑγείαν, καὶ δυσχεροῦς τινὸς καὶ ὑπόπτου φυγὴν πᾶσα ἀνάγκη τοῖς ἐν κράσει τῆς ὕλης βιοῦσι· καὶ οἱ μὲν ἡλικιῶτιν ἔχουσι τῇ ζωῇ καὶ τῇ γενέσει τὴν πονηρὰν τύχην, κἀκ δούλων δοῦλοι πικρῶς κατεβίωσαν, μηδὲν καθάπαξ ἀναπεπνευκότες ἐλευθέροις πρέπον [4]) καὶ τῇ κοινῇ φύσει· οἱ δὲ τοὐναντίον ἅπαν ἐνεορτάζουσιν ἐξ ἀρχῆς τῷ βίῳ, καὶ δεσπόζουσι καὶ κόλαξιν ὀφρυοῦνται, καὶ περιφρονοῦσι τὴν φύ-

1) ἐν εὐκ. C. Aug. ἀν εὐκολίᾳ, vitiose.

2) βούλοιντ', C. Mon. βούλοιτ'.

3) διοικ. Cdd. Aug. et Mon. διοικούμενον.

4) πρέπον, C. Mon. πρέπειν.

σιν καὶ τὰ κοινὰ τῶν ἀνθρώπων, καὶ πομπεύουσι τῇ δόξῃ καὶ ταῖς μακραῖς οὐσίαις καὶ τρυφαῖς, καὶ φοβοῦσι τοὺς τῆς αὐτῆς φύσεως, καὶ κατάγχουσι, καὶ καθάρμαθ' ὥςπερ [5]) ἀποστρέφονται, μηδὲ προςλαλεῖν [6]), μηδὲ προςορᾶν ἀξιοῦντες. Καὶ οἱ μὲν ἐν εὐπραγοῦσι τοῖς ἔθνεσι γενόμενοι καὶ τραφέντες καὶ πάντα τὸν βίον ἐξανύσαντες, καὶ περιλάμπροις δή τισι κατὰ τῆς οἰκουμένης, καὶ πολλῶν ἄλλων κρατοῦσι πᾶσα ἀνάγκη σύμμεταλαμβάνουσι τῆς ἀγαθῆς τύχης, καὶ τῆς [7]) πατρίδος ἀπολαύουσι, καὶ τοῦ γένους εἰς ἐραστωνευμένην ζωὴν, καὶ ἀκύμονα, καὶ πάσης ἔξωθεν ἐπιφορᾶς ἀλλοτρίαν· οἱ δ' ἐν ἔθνεσι δή τισι καὶ πόλεσι τῇ ζωῇ συνεκληρώθησαν, ἃ τὸν ἀεὶ χρόνον δυσχερεῖ [8]) παλαίει τύχῃ, καὶ περικυκλοῦται πάντοθεν καὶ καταντλεῖται κύμασι βίου, καὶ σάλῳ, ὥςπερ ταῖς κατὰ θάλατταν πέτραις ἀεὶ πάντων μερῶν καὶ πάντων πνευμάτων προςβάλλει τὰ καταβαπτίζοντα ῥεύματα· καὶ οὐκ ἔστιν ἠρέμα καὶ γαληνῶς ἔχειν τοὺς ἐν τοιούτοις οἰκεῖν λαχόντας [9]), ἀλλ' ἐξ ἀνάγκης ἀεὶ πονήρως ἄγειν τὸν βίοτον, καὶ τρικυμίαις ἔχεσθαι, καὶ ναυαγεῖν πᾶσαν τὴν ζωὴν, καὶ πολιορκεῖσθαι, καὶ λεηλατεῖσθαι, καὶ προ-

---

5) καθάρμαθ' ὥςπερ, C. Mon. καθάπαξ, omisso ὥςπερ.

6) προςλαλ. C. Mon. προςλέγειν, in ora γρ. λαλεῖν.

7) τῆς, ignorat C. Mon. et ἀπολάβουσι pro ἀπολαύουσι habet.

8) δυσχερεῖ, C. Mon. δυσμερεῖ.

9) λαχόντας, C. Mon. λαχόντες.

κεῖσθαι τοῖς κακῶς ποιεῖν αἱρουμένοις καὶ δυναμένοις ἅρπαγμα ῥᾴδιον, καὶ χώρα κακουργίας καὶ βίας, ἢ καὶ φιλανθρωπίας ἴσως ἐνίοτε καὶ ἐνίοις ἀφορμὴ, καὶ δυοῖν πάντως ἓν περὶ αὐτοὺς εἶναι, ἢ πράττειν κακῶς καὶ τοῖς ἐσχάτοις ἐναεθλεύειν καὶ συνεῖναι κινδύνοις, ἢ ταπεινὰ πράττειν καὶ ζῆν ἀθλίως, καὶ κατὰ τὴν τῶν δυναμένων περὶ αὐτοὺς γνώμην εὖ τε [10]) καὶ μὴ οὕτως αἱρέσεως εἰτοῦν ἕξεως γιγνομένην [11]), καὶ μήποτ' ἐν εὐδίᾳ λογισμῶν καὶ δέους εἶναι, μήδ' ἀνυπόπτως τῶν περὶ ψυχῆς κινδύνων· καὶ ταῦθ', ἅπερ εἴρηται, καὶ τούτων ἔτ' ἴσως ἄλλα παραπλήσια. Οἱ μὲν τῶν ἀνθρώπων ἀγαθὰ, οἱ δὲ τἀναντία διελάχοντο, ὥςπέρ τι μοιρίδιον νόμισμα τῆς τύχης ἕκαστος, μηδὲν μήποτε προεισενεγκόντες, μήτ' ἀγαθὸν μήτε φαῦλον ἢ κατ' ἦθος, ἢ κατὰ γνώμην. Οὔ τις ἂν ἴσως αἰτιάσαιτο τὴν ἄνισον ταύτην νομὴν, καὶ τοῖς μὲν εὔλογον δοίη τὴν τῶν ἀγαθῶν μετουσίαν, καὶ τὴν τῆς βιοτῆς εὔπλοιαν, τοῖς δὲ τοὐναντίον ἅπαν, καὶ τὰς χαλεπὰς καὶ πικρὰς τύχας, καὶ τὴν ἀηδίαν πᾶσαν καὶ τὰ δυσχερῆ πράγματα. Ἀλλ' ἔστι τοῦτο μόνον ὁρᾶν, ὡς ἄρ' οἱ μὲν ἐγένοντ' ἐν βίῳ πονήρως πρᾶξαι καθάπαξ, καὶ πᾶσαν ἐξανύσαι [12]) τὴν ζωὴν τληπαθεῖς καὶ βαρυδαίμονες ὅντινα δὴ τῶν εἰρημένων τρόπον, οἱ

10) εὖ τε, C. Mon. modo εὖ.

11) γιγνομ. Cdd. Aug. et Mon. γιγνομένη.

12) ἐξανύσαι, C. Mon. ἐξανῦσαι.

δ' ἴσως καὶ πολλοὺς ἅμα, οἱ δ' ἐναπολαῦσαι τῇ ζωῇ καὶ τρυφῆσαι, καὶ κατάρξαι πολλῶν, καὶ ἴσως ἐν ἄκρᾳ τοῦ σώματος ῥώμῃ καὶ πάντων χαλεπῶν ὑπερτέρᾳ, μηδεμίαν, ὡς εἴρηται, δικαίωσιν ἀληθῆ καὶ ἀνάγκην προδεικνύντες ἑκάτεροι τῇ φορᾷ τῆς τύχης τῶν ἐναντίων αὐτοῖς ἕξεων· καὶ τὰ μὲν φαινόμενα τοῖς πολλοῖς οὕτως ἔχει. Πείθομαι δ' ὅμως εὖ μάλ' ἔγωγε ταὶ τοῖς καθ' ἡμᾶς θείοις λόγοις καὶ πανσόφοις ἀνδράσι, καὶ θεοφορήτοις ἐκείνοις τῆς Χριστοῦ θεοσεβείας ὑποφήταις τελειοτάτοις καὶ καθηγηταῖς. Ἀλλὰ δὴ καὶ τῶν ἔξω περιωνύμων Ἕλλησι πείθομαι πλείστοις μηδὲν ἧττον τὰ περὶ τούτων φιλοσοφήσασιν εἰς πρόνοιαν τὰ πάντ' [13]) ἀνάγουσιν ἀῤῥεπῆ καὶ ἀπαρέγκλιτον καθάπαξ τῶν προσηκόντων, καὶ τῶν ἴσων καὶ δικαίων ψήφων καὶ κρίσεων, εἰ καὶ ἡμῶν τοῖς πλείοσιν ἠγνόηνται [14]), καὶ δοκοῦσιν ἄνισα καὶ ὡς ἔτυχε ξυλλαγχάνειν ἀνθρώποις. Τὰ νῦν ἑκάστοτε παρόνθ' ὁρῶσι μόνον, καὶ μηδὲν περαιτέρω, καὶ ἅμα πρόσω τὲ καὶ ὀπίσω φασὶ, καὶ οὐκ ἂν μήποτ' ἔγωγε φαίην ἄλλως ὑγιαίνων τὸν νοῦν. Λογίσασθαι δ' ἐνταῦθα καὶ τοῦτ' ἂν ἴσως εἴη, καὶ οὐκ ἔξω λόγου καθάπαξ, ὡς τα μὲν ὁρώμενα ταῦτα περὶ ἡμᾶς ὀλιγομήκη τὲ τοῖς χρόνοις καὶ βραχύβια, καὶ οὐκ ἐνταῦθα τοῖς ἀνθρώποις ὁ σκοπὸς τοῦ βίου, καὶ τὸ πᾶν ἀμέ-

---

13) πάντ', C. Aug. πάντα.

14) ἠγνόηνται, C. Mon. ἠγνόηται, Aug. ἐγνόηνται.

λει τῆς ζωῆς, ἀλλ' ὥςπερ ἐν δράμασιν ὀλίγῳ κομιδῇ τῷ χρόνῳ ἄλλος ἄλλο τὸ ξυλλαχὸν ὑποκρινόμεθα πρόσωπον καὶ πρᾶγμα, καὶ σχῆμα, καὶ ἦθος καὶ πάθος ὁτιοῦν, ὁ μὲν Ἀγαμέμνονα τῶν πολλῶν Ἑλλήνων κρατοῦντα, ὁ δὲ Θερσίτην δυστυχῆ τῷ σώματι καὶ παράληρον, ὁ δὲ Φιλοκτήτην ἀλγοῦντα τὸν πόδα καὶ πλανώμενον ἐπ' ἐρημίας καὶ γυμνητεύοντα, ὁ δὲ Τάνταλον καὶ Ἰξίονα μαστιζομένους καὶ δίκας ἀποτιννύντας, καὶ οἱ μὲν Λαπίθας ἐν μέσοις συμποσίοις οἰνόφλυγας, καὶ ἀκρατιζομένους, καὶ ταραττομένους, καὶ κορυβαντιῶντας Ἄρει, οἱ δὲ πανηγυρίζοντας ἄλλους ἐν δημοθοινίαις καὶ πανδήμοις τελεταῖς καὶ ἑστιάσεσιν, οἱ δὲ καὶ ξυναλγοῦντας ὁμοῦ καὶ ξυναυλίαν ὀλοφυρομένους Ὀλύμπου ὁμοῦ, καὶ ξυναυλίαν ὀλοφυρομένους[15]) Ὀλύμπου νόμον, ὡς ἡ κωμικὴ παροιμία, καὶ ἄλλοι γε ἄλλα, καὶ διάφορα, καὶ παντοῖα πάντες, ἡ μὲν [15 b]) χερείονα τύχης, ἡ δὲ καὶ ἐσθλά· καὶ ταῦτά γε πάντως, οὐ παρ' ἡμᾶς, ἀλλὰ παρὰ τὴν δραματουργοῦσαν διοίκησιν καὶ τὸν χορηγὸν τῆς σκηνῆς, ἡμῶν δὲ γίγνεται τὸ κάλλιστ' ἐν τούτοις ἀνύσαι[16]), καὶ τὸ προςῆκον

15) Ὀλύμπου — ὀλοφυρομένους, desunt in Cdd. Mon. et Aug. συναυλίαν secundo loco positum videtur ésse delendum vel legendum νόμῳ. Innuit Theodor. locum Aristophanis. cf. Küster. ad Suid. ξυναυλίαν.

15 b) ἡ μὲν — ἡ δὲ, sic Codd. nostri: leg. οἱ μὲν — οἱ δὲ, vel ἢ μὲν — ἢ δέ.

16) ἀνύσαι, Cdd. Mon. et Aug. ἀνῦσαι.

ἀποδοῦναι τῷ σχήματι. Ἐντεῦθεν γάρ ἐστιν [17]) τοῖς ὑποκρινομένοις μισθῶν [18]), καὶ δυσχεραίνειν οὐκ ἂν εὐλόγως εἴη, ὅτι μὴ ἐπὶ μείζονός τις καὶ τιμιωτέρου τοῦ πράγματος, ἢ τοῦ πλάσματος [19]) μᾶλλον ὑπεκρίνατο, ἀλλ' ὑπέδυ προςωπεῖον δυστυχὲς ὅ τί ποτ' ἄρα καὶ ἄδοξον. Πάντα γὰρ τάχιστα λύεται, ὡσανεί τις παιδιᾶς ὑπόθεσις, ἢ μᾶλλον ἐρεῖν ἀνδραγαθίας καὶ εὐδοκιμήσεως, καὶ τῶν ἐναντίων αὖ τούτοις. Καὶ δεῖ γε κατὰ καιρὸν τῷ προςτυχόντι καὶ ξὺν λόγῳ χρήσασθαι πρὸς τὸ ταχὺ τοῦ βιωτικοῦ τοῦδε δράματος τέλος ἐφορωμένους. Ἀλλὰ ταῦτα μὲν ἴσως οὐ χαλεπῶς ἐστι ξυνορᾶν καὶ νομίζειν τε καὶ φιλοσοφεῖν, τοῖς λογισμοῖς δὲ καὶ ταῖς κρίσεσιν οὐ μάλα τοι ῥᾷστ' ἐοίκαμεν εὐγενεῖς ἀπαντᾶ [20]) ἄνθρωποι, οὐδ' ἕπεσθαι πεφύκαμεν ἀπαθεῖς, μέχρις ἂν αἰσθήσει καὶ σώματι ζῶμεν.

ΚΕΦ. νδ'.

Ὅτι πολὺ τὸ ἐναντιολογεῖν ἀνθρώποις οὐ μόνον πρὸς ἀλλήλους, ἀλλὰ καὶ πρὸς ἑαυτούς.

Πολὺ παρ' ἀνθρώποις τὸ ἐναντιολογεῖν κεκράτηκε, καὶ, ὡς εἰπεῖν, οὐσίωται, καθόλου μὲν δὲ πρὸς ἀλλήλους, καὶ οὐδεμία περὶ ὁτου-

17) ἐστίν. Post ἐστὶν inserta habent Cdd. Aug. et Mon. ἐπαίνονται τυχεῖν καὶ μὴ καὶ τὸν ἐπιβαλλόντων τοῖς ἔποιῳ.

18) μισθῶν, C. Mon. μισθόν.

19) ἢ τοῦ πλάσμ. absunt a C. Mon.

20) ἀπαντᾶ, leg. ἀπαντᾶν.

οὖν σχεδὸν οὐδενὶ συμφωνία ἔν τε ταῖς περὶ τῶν ὄντων ἁπάντων θεωρίαις, καὶ ταῖς περὶ τῶν πρακτέων αὐτῶν αἱρέσεσιν· ἀλλ' οἱ μὲν τὰ, οἱ δὲ τὰ, τἀναντία τούτων προφέρουσι καὶ διατείνονται, καὶ τοῖς λόγοις ἀντιτάττονται, οἱ μὲν τούτοις, οἱ δ' ἄλλοις δή τισι, καὶ τοῖς αὐτοῖς διάφοροι, καὶ πάντες, ὡς ἔπος εἰπεῖν, ἅπασι. Μάλιστα μὲν καὶ διὰ μάχας δή τινας ἄρα, καὶ προλήψεων ἐνστάσεις, αἷς ἔφθασαν ἁλῶναι, καὶ φιλόνεικα προβλήματα, καὶ ἔριδας ἀνέδην κατ' ἀλλήλων παραταττόμενοι, καὶ ἀφειδῶς κατεπιτιθέμενοι, καὶ δολίως κλέπτοντες τὰς μάχας, καὶ λόχοις [1]) ἐφέδροις [2]) κακούργως ἐπηρεάζοντες· οἱ δὲ καὶ ἄλλως οὕτω ξυμβαῖνον καὶ, ὡς ἔτυχεν, ἐπιὸν, οὐ προορώμενοι δ' οὖν οὐδ' ἐπίτηδες ταῖς ἄλλαις [3]) ἐναντιολογίαις καὶ ἐναντιώσεσιν, ἀδοκήτως σφίσι τε αὐτοῖς καὶ τοῖς ἄλλοις ἐμπίπτοντες, ὧν ἴσως ἑκόντες γε ὄντες οὐκ ἂν ἐκ τοῦ προδήλου τὰς διαφορὰς εἵλοντο. Καὶ καθόλου μὲν, ὡς ἔφην, οὕτω δὴ τοῖς ἀνθρώποις πρὸς ἀλλήλους ἄσπονδοι καὶ συνεχεῖς καὶ ἀδιάλλακτοι [4]) τοῖς λόγοις οἱ πόλεμοι, καὶ πολὺ κρατεῖ τῷ βίῳ τὸ ἀσύμφωνον. Ἀλλ' ἔστι γε ὅμως καὶ αὐτοῖς πρὸς ἑαυτοὺς πᾶσι σχεδὸν ἀνθρώποις ἐναντιολογία περὶ πλεῖστα τῶν ἑκά-

1) λόχοις, Aug. C. male λόγοις.

2) ἐφέδρ. C. Mon. perperam ἐφαίδροις.

3) ταῖς ἄλλ. Cdd. Aug. et Mon. ταῖς πρὸς ἄλλους.

4) ἀδιάλλ. C. Mon. male ἀδιάλεκτοι.

ὅτοτε λεγομένων, καὶ ἃ νῦν ὁτῳοῦν οὑτωσὶ λέγεται καὶ καταπείθειν περὶ αὐτῶν ἀξιοῖ τοὺς ἀκροωμένους, χθὲς δὴ καὶ πρὸ τρίτης ἄλλως φθάσαντ᾽ ἐλέγετο σπουδῇ πάσῃ, ἢ μετ᾽ οὐ πολύ γε ἴσως τἀναντιώτατα τούτων εἰρήσεται, ἢ καὶ πρὸς τοὺς αὐτοὺς, ἢ πρός γε δή τινας ἄλλους ὅμως τῶν ἀκροωμένων, περὶ οὓς σπουδάζει, καὶ οὓς ἐπῄνει τέως καὶ θαυμάζειν[5]) ἅπαντας καὶ κροτεῖν συνέπειθε, μεθ᾽ ὕστερον τἀναντιώτατα περὶ αὐτῶν κακηγορεῖ τε[6]), καὶ παῤῥησίᾳ προφέρειν ὡσαύτως εἰς μέσους πάντας ἀνθρώπους οὐκ ἀποκνεῖ. Καὶ τούτων αὖ τἀναντία, οὓς πρότερον ἐβδελλύττοντό τινες, καὶ πάσαις βλασφημίαις καὶ τοῖς ἐξ ἁμαξῶν σκώμμασιν ἀφειδῶς κατ᾽ αὐτῶν ἐπαλαμῶντο καὶ προςετρίβοντο, παλινῳδίαις μετ᾽ οὐ πολὺ σεμνύνουσι καὶ κόπτουσι πᾶσαν ἀκοὴν, πάσαις εὐφημίαις ἀναγορεύοντες, ἢ μεταβάλλοντες αὐτοὶ ταῖς γνώμαις, ὡς ἔοικε, καὶ ταῖς ἐναντιολογίαις ταύταις μεριζόμενοι διὰ πάθη ἄττα δὴ, καὶ νοσήματ᾽[7]) ἴσως κρατοῦντα κατ᾽ αὐτῶν πρότερόν τε καὶ ὕστερον, ἢ ξυναισθήσεις τινὰς ἄλλοτ᾽ ἄλλας γιγνομένας, καὶ οὐ τὰς αὐτὰς περὶ τῶν αὐτῶν, ἢ μεταβαλλόντων γε τῶν αὐτῶν[8]) ἐξ ἄλλων εἰς ἄλλας ἕξεις, βελτίστων εἰς φαύλας,

---

5) τέως καὶ θαυμάζειν, Cdd. Aug. et Mon. τέως καὶ ἀνεκήρυττεν ὥςπερ ἐν θεάτρῳ μέσῳ καὶ θαυμάζειν.

6) κακηγορ. τε, C. Aug. κατηγορεῖ τε.

7) νοσήματ᾽, C. Aug. νοσήματα.

8) αὐτῶν, omissum in C. Mon.

ἢ τοὐναντίον φαύλων δὴ καὶ βδελλυκτέων[9]) εἰς βελτίστας, συμμεταβάλλοντες καὶ αὐτοὶ τοῖς λογισμοῖς καὶ τοῖς λόγοις, καὶ παρὰ τὰς ἐκείνων ἐναντιωτάτας διαθέσεις τἀναντιώτατα, καὶ αὐτοὶ καὶ φρονοῦντες καὶ λέγοντες, καὶ κατὰ πᾶσαν ἀνάγκην εἰς τἀναντιώτατα περιτρεπόμενοι[10]), ὡς ἀκούειν ἐστὶ ἐνίοτε τοῦτο λεγόντων αὐτῶν περὶ ἑαυτῶν παραιτουμένων πρὸς τοὺς ἐπαΐοντας, καὶ δικαίως ἂν ἴσως αἰτιᾶσθαι μέλλοντας. Καὶ τοῦτο μὲν οὕτω περὶ τῶν αὐτῶν ἀνθρώπων πολλάκις, τῶν ἀνθρώπων οὐκ ὀλίγοις καὶ ὁρᾶν πάρεστι πάλαι τε διὰ τῶν ἱστοριῶν τε καὶ συγγραφῶν, καὶ νῦν οὐχ ἥκιστα. Ἀτὰρ δὴ καὶ περὶ τῶν πραγμάτων αὐτῶν καὶ πάσης τῶν ὄντων θεωρίας καὶ κρίσεως, ἄλλοτ' ἄλλως[11]) πρὸς τὸ ξυμπίπτον ἅπαντες σχεδὸν ἄνθρωποι συμφέρονται, καὶ πρὸς τὴν ἑκάστοτε χρείαν εἰς τἀναντιώτατα τοῖς λογισμοῖς τε καὶ λόγοις χρῶνται. Καὶ μέγα μὲν ἴσως οὐδὲν οὐδ', οἶμαι, θαυμάσαι τὶς ἂν κομιδῇ, εἰ δή τις ῥητορικὸς ὢν, καὶ τὴν ἐκ παντὸς τοῦ τρόπου κατὰ τὸ νῦν ἑκάστοτε παριστάμενον[12]) ξυμπείθειν τέχνην ἔχων καὶ ταύτην προτεθειμένος καὶ μεταχειρίζων ἐν τοῖς λόγοις, καὶ ταύτῃ προδή-

---

9) βδελλυκτέων, fors. βδελλυκτῶν s. βδελυκτῶν, nam Lexica modo exhibent βδελυκτός.

10) περιτρεπ. Cod. Mon. τρεπόμενοι.

11) ἄλλως, Cdd. Mon. et Aug. ἄλλῳ.

12) παριστ. C. Mon. παριστάμενοι.

λως συνασκούμενος, ἔπειτ᾽ ἀφειδῶς ἀμέλει χρῷτο, καὶ πρὸς τὸ ξυμπίπτον τῆς χρείας φέροιτο, καὶ φέροιτό γε [13]) καὶ πρὸς αὐτὰ τἀναντία ἐγγυμναζόμενος ταῖς παρούσαις χρήσεσι. Καὶ τοῦτο μὲν ἐν τοῖς δικαστηρίοις, ὡς ἔτυχε, καὶ ὡς ἄρ᾽ οἷόν τέ ἐστι μάλιστα χρώμενος εὖ μάλα, καὶ κατατεινόμενος καὶ παλαίων πρὸς πᾶν ἀνθιστάμενον ὅ τί ποτ᾽ ἄρα μετ᾽ ἀληθείας τὲ καὶ σοφιστικῆς ἐντρεχείας ἔστιν ὅτε καὶ γοητείας τῶν ἀκουόντων καὶ καταχνήσεως [14]), καὶ μυρίαν τροπὴν αὐτός τε τρεπόμενος, καὶ τοὺς ἀκροωμένους, ὡς ἐγχωρεῖ, συμμετατρέπων, μηδὲν ὑφορώμενος, εἰ ἄλλως [15]) ἄλλοτε τέως, καὶ πρὸς τἀναντία τῶν νῦν σπουδαζομένων παρεβάλετο. Τοῦτο δὲ καὶ συμβουλαῖς ἄρα καὶ προτροπαῖς καὶ φυγαῖς καὶ διδασκαλίαις πραγμάτων καὶ πράξεων, ὡσαύτως πρὸς τὸ δοκοῦν αὐτῷ καὶ τὸ βέλτιστον αὐτῷ τρόπον ὅντιν᾽ ἄρα καὶ ὅπως ἂν ἐξείη καὶ τὸ τῆς χρείας ἀνύσιμον ἑκάστοτε πλαττόμενος τοῖς λόγοις καὶ τῇ μελέτῃ καὶ παρασκευῇ τῆς τέχνης ἐπειγόμενος. Καὶ τοῦτο μὲν ἴσως, ἧπερ ἔφην, τοῖς ῥητορικοῖς οὐ μέγα οὐδὲ μάλα τοι θαυμάσαι τὶς ἂν ἀμέλει διὰ τοῦτο τῶν ἀνδρῶν, ἀλλ᾽ ἔστιν ὡς ἀληθῶς [16]) ἥψαθ᾽

---

13) φέροιτό γε, C. Mon. φέρειτό γε, sed Aug. vt Cizens.

14) καταχνήσεως, sic Cdd. omnes nostri et Pariss. Reg. et Germ. Est voc. dubium: fors. καταχνύσεως l. κατανύξεως.

15) ἄλλως, Cdd. Mon. et Aug. non agnoscunt.

16) ἀληθῶς, Cdd. Aug. et Mon. ἀληθῶς ὁρᾷν ὡς ἥψαθ᾽.

ἡ νόσος αὕτη, καὶ τῶν τὴν ἀλήθειαν τῶν ὄντων κατὰ φιλοσοφίαν σπουδὴν ἐχόντων καὶ μεγαλόφρονα ταύτην προελομένων τὴν πρόθεσιν. Καὶ πλείσταις οὐ πρὸς ἀλλήλους μόνον ἄλλοι πρὸς ἄλλους, καὶ πάντες σχεδὸν πρὸς ἅπαντας ἐναντιώσεσι κατὰ τοὺς λόγους, καὶ τὰ ξυμβόλαια τῶν κρίσεων περὶ τῶν ὄντων ἐνέχονται, καὶ τοῖς σκώπτουσιν ἀφορμὰς, ὥστε κατατρέχειν αὐτῶν, καὶ τῆς φιλοσοφίας παρέχονται, ἀλλὰ καὶ πρὸς ἑαυτοὺς ἐν πολλοῖς ὧν φασιν, εἴ τις ἀξιοῖ προςέχειν τὸν νοῦν, ἐναντιολογίαις περιπίπτουσιν, ἄλλοτ᾽ ἄλλως περὶ τῶν αὐτῶν τιθέμενοι. Τίς Πλάτωνος ἐπιμελέστερος; τίς δ᾽ Ἀριστοτέλους αὐτοῦ δραστικώτερος ταῖς ἐπιβολαῖς, καὶ πᾶσαν περίνοιαν ἄκρος καὶ πάσης ἁμαρτίας ἐν λόγοις δριμύτατος ἐταστὴς, ξυνιδεῖν τε καὶ καταφωράσαι στροφαῖς ἁπάσαις λογισμῶν, καὶ τἀκριβέστατον ἀσφαλίσασθαι; Ἀλλὰ καὶ Πλάτων ἐκεῖνος, ἀλλὰ καὶ Ἀριστοτέλης ὃς καὶ ἀναίτιον αἰτιάσαιτ᾽ ἂν, καὶ πᾶσαν ἀνάγκην ἐντεῦθεν εἶχεν ἐκ τῆς ἐν τῷ ἤθει πικρίας ἑαυτῷ, μάλιστα προςέχειν, καὶ ῥᾷστ᾽ ἂν ἀμύνασθαι κατὰ παντὸς ἐπεμβαίνοντος αὐτῷ τε καὶ τοῖς αὐτοῦ, πρέπων ὡς ἀληθῶς ἐκείνῳ γε ἔπει, μήτοι τόνδ᾽ ἐρεθιζέμεν [17]) σχέτλιον ἄνδρα, δαίμων νύ τις ἐστὶ κοτήεις· ἀλλὰ καὶ τοιοῦτός γε ὅμως καὶ αὐτὸς ἐν πολλοῖς ἁλίσκεται τῶν αὐτοῦ λόγων

---

17) ἐρεθιζέμεν — κοτήεις. Sunt verba Homeri Il. ε, 191. et Odyss. ι, 494. cf. Plut. Phoc. c. 17.

περιπίπτων ἑαυτῷ, καὶ τἀναντία περὶ τῶν αὐτῶν λέγων, ἔστιν οὗ τῶν αὐτοῦ λόγων, καὶ διάφορα φθεγγόμενος, ὧν φθάσας ἐν ἄλλοις πρότερον εἴρηκεν, ὥςπερ ἐν λήθῃ γιγνόμενος[18]) καὶ τοῦ νῦν ἑκάστοτε σκοποῦ, καὶ τῆς ἐπιμελείας καὶ τῶν τοῦ νοῦ δρόμων ὅλος γιγνόμενος. Καὶ τοῦτο δὴ μάλα τοι ξυνορᾷν ἐστιν, οἷς ἄρα προςέχειν τὸν νοῦν ἐστιν ἐπιμελὲς τοῖς ἐκείνου συντάγμασιν, ὧν ἄρα καὶ αὐτὸς εἴην, καὶ ὅστις ἐμοὶ φίλος. Οὕτω τοι πόλὺ παρ' ἀνθρώποις τὸ ἁμαρτάνειν, καὶ τοῖς συχνά γε οἶμαι συνταξαμένοις οὐκ ἔστιν ἄρα μὴ προςπταίειν, καὶ ὁπηοῦν τοῖς ἐναντίοις ξυμπίπτειν λογισμοῖς τε καὶ λόγοις, καὶ διδόναι λαβὰς, ἂν ὅστις ἀφειδὴς ἀμέλει κατὰ τῆς κοινῆς φύσεως καὶ βαρὺς καὶ θαυμάζειν οὐκ οἶδε τὰ θαύματος ἄξια, καὶ κρίνειν ἀμέλει καὶ συγγινώσκειν ταῖς ἑπομέναις πᾶσα ἀνάγκη τοῖς ἀνθρωπίνοις λογισμοῖς, μᾶλλον μὲν οὖν ἄλλοις, καὶ ἧττόν γε ἄλλοις[19]), ἑπομέναις δ' ὅμως, καὶ τοῖς τελειοτάτοις αὐτοῖς τῶν καλῶν ἀτυχίαις.

ΚΕΦ. νέ.

Ὅτι οὐκ ἔστι παρ' ἀνθρώποις ἀπλανὴς σχεδὸν κρίσις, οὐδ' ἀπαθής.

Εἰ δή τι καὶ ἄλλο κατ' ἀνθρώπους ἐργωδέστατόν ἐστι, καὶ οὐκ οἶδ' εἰ καὶ ὅλως ἐστὶν ἀ-

18) γιγνόμ. C. Mon. γιγνόμενον.

19) καὶ ἧττον — ἄλλοις, absunt a C. Aug. incuria librarii.

πλανῆς κρίσις, καὶ παντὸς πάθους καθάπαξ ὑπερτέρα, ἀλλ' ὡς ἀληθῶς πολύ γε ἡττώμεθα ταῖς προςπαθείαις, καὶ περιτρεπόμεθα καὶ νοσοῦμεν ταῖς περὶ ἡμῶν τε καὶ τῶν οἰκείων καὶ τῶν ἄλλων ψήφοις, ἢ στοργαῖς φύσεως, ἢ βασκανίαις, ἢ δώροις, ἢ χάρισι δή τισιν, ἢ ἄλλοις δή τισι, καὶ οὐκ ἀπατῶμεν μόνον ἐντεῦθεν ἄλλους, παρ' ἃ καὶ νοοῦμεν ἴσως ἄλλα προφαίνοντες, καὶ πρὸς ἡμᾶς αὐτοὺς μεριζόμενοι καὶ στασιάζοντες, ἀλλὰ καὶ ἀπατώμεθα μάλιστ' αὐτοί, καὶ τυφλώττομεν τἀληθῆ τε καὶ δίκαια, καὶ δυστυχοῦμεν οὐ ξυνιέντες, οὐχ ἑκόντες γε ὄντες τὰ προςήκονθ' ἑκάστοις ἑκάστοτε, ἀλλ' ἃ βουλόμεθα, καὶ δοκοῦντες καὶ ἀφειδῶς ψηφιζόμενοι, καὶ ἴσως γ' ἔνιοι καὶ ποθοῦντες τἀληθῆ, καὶ προτιθέμενοι κατασκοπὸν οὕτω καὶ τοῖς λογισμοῖς ἀνύτειν, εὖ μάλα θαῤῥοῦντες ἐν τούτοις ἀδούλωτοι, καὶ παῤῥησίᾳ μὴ κατοκνοῦντες ἰσχυρίζεσθαι, καὶ τῶν ἄλλων τὸ μέρος ἐνταῦθα πλέον τὶ φρονεῖν. Καὶ κάλλιστ' αὐτοὶ ξυνορᾶν καὶ κάλλισθ' ἑαυτοὺς μάλιστ'[1]) αὐτόθεν ἀφεστίας[2]) φασὶ ξυνορᾶν, καὶ τελεώτατα καὶ παντάπασιν ἄνοσα· οἱ δὲ καὶ αὐτοὶ, κἂν εἰ μὴ κατὰ τοὺς πολλοὺς, νοσοῦσι δ' ὅμως, καὶ νοσοῦσιν ἀγνοοῦντες, καὶ μάλ' ἐῤῥῶσθαι τὰς γνώμας καὶ τὸν νοῦν λέγοντες, καὶ κρατυνόμε-

1) ἑαυτ. μάλ. C. Mon. non exhibet.

2) ἀφεστίας, leg. ἀφ' ἑστίας, et cf. Erasm. Adag. p. 9. Alias Theodor. dicit οἴκοθεν.

νοι τὴν γεννικὴν ταύτην καὶ μεγαλόφρονα δόξαν, κατασείονται κρύφα πως οὐκ ἐπιδήλοις πολιορκήσεσι, καὶ βλέπειν ὀρθόταθ' αἱρούμενοι καὶ λογιζόμενοι διαρκῶς ἔχειν καὶ παντέλειοί τινες εἶναι τὴν ἕξιν ταύτην, ἄλλοις ἔξωθεν μάλισθ' ὁρῶνται παράτροπα καθορῶντες· καὶ οὐχ ἑαυτους οἷοί τε καθορᾷν, κἂν ὅτι μάλιστα βιάζοιντο, καὶ ἀπατώμενοί γ' αὐτοὶ περὶ τούτων[3]) καὶ συναπατᾶσθαι καὶ τοὺς ἄλλους ἀξιοῦντες, ἐλέγχονταί γε ὅμως τοῖς ἄνευ ἀπάτης τινὸς καὶ προςπαθείας ξυνορᾷν αὐτοὺς ἰσχύουσι, καὶ οὐκ ἂν μήποτε τοὺς ἐν φωτὶ βιοῦντας ἀληθείας κακῶς αὐτοὶ πράττοντες καὶ βιοῦντες ἀγνοίας ἐν σκότῳ, τὰς αὐτῶν δυστυχίας ἀβλεπτεῖν ἀμέλει ποιεῖν οἷοί τε γένοιντο. Καὶ τοίνυν ἄλλους μὲν ὁρῶμεν ἐν τούτοις νοσοῦντας, οἱ βέλτιον ἴσως ὁρᾷν ἔχοντες, ὑπ' ἄλλων δὲ καὶ αὐτοὶ πάλιν ὡσαύτως ὁρώμεθα ταὐτὰ νοσοῦντες ἐν ταῖς κρίσεσι, καὶ κακῶς πράττοντες, καὶ ὑπ' ἀλλήλων μὲν ὁρώμεθα δυστυχοῦντες, καὶ ἀμείνους ἐσμὲν τἀλλότρι' ὁρᾷν, ἑαυτοὺς δ' ὁρᾷν οὐχ οἷοί τ' ἐσμὲν, οὐδὲ γιγνόμεθ' ἐφ' ἡμῶν αὐτῶν σοφοὶ οὐδ' ἐπιγνώμονες τῶν[4]) βελτίστων ἡμῖν, ἀλλὰ τῶν βελτίστων ἄλλοις, καὶ οἷς οὐ βουλόμεθα ἴσως ἐνίοτε τὰ βέλτιστα, ἀλλὰ κακίστῃ μοίρᾳ συνεῖναι σφᾶς εὐχόμεθα. Καὶ μάλιστ' ἐν τούτοις ὡς τὰ πολλὰ καὶ ὀξυβλεπτοῦμεν,

---

3) περὶ τ. C. Mon. περὶ τούτου.

4) τῶν, deest in C. Mon.

καὶ τελειώτατα καὶ ἀκριβέστατ' ἐπαΐομεν, καθ' ὅ τι χεῖρον ἔχουσι καὶ δυστυχοῦσι, καὶ ἃ κατ' ἐκείνων ὅμως αἰτιώμεθα, λανθάνομεν ἑαυτοὺς τοῖς ἄλλοις προδεικνύοντες ἐφ' ἡμῶν αὐτῶν, καὶ τὰς αὐτὰς αἰτιᾶσθαι λαβὰς διδόντες, ἐφ' οἷς νοοῦμεν, ἐφ' οἷς κρίνομεν, κἂν οἱ μὲν μᾶλλον, οἱ δ' ἧττον μετὰ τῆς αὐτῆς πλάνης καὶ τῶν αὐτῶν διὰ προςπαθείας τινὰς ἁμαρτημάτων. Καὶ πολὺ τοῦθ', ὡς ἔφην, κατὰ πάντων ἀνθρώπων κρατεῖ, καὶ οὐ τῶν εὐτελῶν ἄρα μόνων καὶ χωρὶς προνοίας τῶν εἰκότων βιούντων, ἀλλὰ καὶ τῶν βελτίστων αὐτῶν καὶ σωφρονικῶν, καὶ ὑπὲρ τοὺς πολλοὺς καὶ ἀστείων καὶ μετὰ μεγάλης προθέσεως καὶ γεννικῆς παρασκευῆς τῶν λογισμῶν ἀποδυομένων εἰς τὸν βίον, καὶ κατὰ τοῦ ψεύδους παῤῥησίᾳ μάχην ἀνακηρυττόντων, καὶ ἀγῶνα κάλλιστον ἀνῃρῆσθαι καὶ ὑπὲρ τῆς τῶν ὄντων ἀληθείας ἐπὶ μεγάλῳ [5]) θεάτρῳ καὶ πολλοῖς τοῖς μάρτυσι. Καὶ πάντες γε ἡττῶνται τελευτῶντες τοῖς ἄθλοις τούτοις τῆς ἀληθείας, καὶ οὐδεὶς ἀκριβῆ τὴν νικῶσαν ὑποφέρεται, οὐδ' ἀνύτει καθάπαξ ἀνεμεσήτως. Εἶδον ἐγώ τινας πολλάκις, καὶ πλείστους γε εἶδον, καὶ αὐτῶν δὴ τῶν ἀποφυγόντων πάντα τὸν κόσμον, καὶ τὰ κατὰ τὸν κόσμον πράγματα, παὶ πάντας τοὺς τοῦ σώματος καὶ τῆς ὕλης δεσμοὺς, καὶ ὑπεραναβάντων τὴν φύσιν κατὰ τὴν τοῦ βίου πρόθεσιν, καὶ μὲν δὴ καὶ πλεῖστον μάλιστα δοκί-

5) μεγάλ. C. Aug. male μεγάλῃ.

μων τὴν μεγαλόφρονα ταύτην αἵρεσιν καὶ Θεοῦ λατρείαν καθάπαξ ὑπὲρ [6]) τὰ παρόντα, κλεπτομένους γε ὅμως καὶ ἡττωμένους, κἂν εἰ μὴ πάνυ τοι προδήλως προςπαθείαις δή τισιν οἰκείων, καὶ προςανέχοντας ἐπιεικῶς φιλτάτοις, καὶ τυφλώττοντας τὰς περὶ αὐτῶν γνώμας καὶ κρίσεις, καὶ μὴ τοὺς αὐτοὺς ὄντας καὶ αὐτοῖς, ὥςπερ δὴ καὶ τοῖς ἄλλοις ἅπασιν, ὥς γ' ἐδόκουν τέως ὑπερφρονῆσαι, καὶ τὰ [7]) κατ' αὐτους οὐδὲν ἧττον, ἢ καὶ κατ' ἄλλους οὕστινας ἄρα· μᾶλλον δ' ἅπαντας ἀνθρώπους καὶ πάντ' ἀνθρώπινα πράγματα, ἀλλ' ἀνιωμένους εὖ μάλα τοῖς τῶν ἐκγόνων, καὶ ὅλως οἰκείων καὶ ἐπιτηδείων ἀμηγέπη δυσχερέσι, καὶ κομιδῇ κάμνοντας τοῖς λογισμοῖς καὶ αὐτοῖς προςπάσχοντας, καὶ πλεῖστα δὴ πονεῖν ὑπὲρ αὐτῶν τε καὶ τῶν αὐτοῖς βελτίστων καὶ σφίσιν ὁπηοῦν συνοισόντων ὅλῃ ῥοπῇ μάλισθ' αἱρουμένους, κἂν εἴ τις ἄλλως αὐτοῖς χρῷτο, καὶ μὴ παντάπασι χρηστῶς καὶ ὡς ἂν αὐτοῖς εὖ πράττειν εἶναι μάλ' ἀχθομένους καὶ δυσμενῶς φέροντας. Καὶ τοῦτο, κἂν εἰ πάνυ τοι κρύπτειν αἱροῖντο, πείθειν εἰς τοῦτο τοὺς πολλοὺς ἀξιοῦντες καὶ προςποιούμενοι τἀκείνων ὅλως φυγεῖν καὶ παρ' οὐδὲν τίθεσθαι, λανθάνουσιν [8]) ὅμως οὔ, οὐδ' ἀγνοοῦνται

6) ὑπὲρ deest in C. Mon.

7) τὰ ignorat C. Aug.

8) λανθ. C. Mon. perperam μανθάνουσιν. Confunduntur saepe λ et μ.

μὴ παντάπασιν ὀλιγώρως ἔχοντες, μήδ᾽ ἀναλγήτως, ἐφ᾽ οἷς ἐκεῖνοι πονήρως πράττουσιν, ἀλλὰ καὶ σφόδρ᾽ ἀνιώμενοι, καὶ μέσην αὐτὴν φασιν πληττόμενοι τὴν καρδίαν δῆλοι τοῖς καλῶς ὁρῶσι γίγνονται καὶ ὅ τί ποτ᾽ ἂν οἷοί τ᾽ εἶεν, πάνθ᾽ αἱροῦνται καὶ πάντα μεταχειρίζουσι πάντα τρόπον ὑπὲρ ἐκείνων καὶ σοφίζονται καὶ δεῖσαν ἐχθροῖς ἐκείνων ἀντιτάττονται, ἢ καὶ παῤῥησίᾳ ἢ καὶ 9) μετὰ δράματος δή τινος καὶ σκηνῆς, ἀντιτάττονται δ᾽ ὅμως καὶ ἀντιπαλαμῶνται, καὶ φίλοις αὖθις ἐκείνων ἡδέως ἔχουσι, καὶ τοῖς ὅλως ὀγαθόν τι βουλομένοις ὑπὲρ ἐκείνων πᾶσαν ἀντιδιδόασιν εὔνοιαν, ὥς εἴ τινες δὴ καὶ ἄλλοι τῶν ἐν βίῳ προδήλως ὑπὲρ ἑαυτῶν. Οὕτω δὴ πολὺ ταῖς προςπαθείαις ἀνθρώπους ἡττᾶσθαι ξυμβέβηκε, καὶ νοσεῖν ἐντεῦθεν ταῖς γνώμαις τἀληθῆ τε καὶ δίκαια, καὶ παράτροπα φέρεσθαι καὶ ξυμπίπτειν ὥσπερ ἀμαθίας ἐν σκότῳ· κἂν ὅτι μάλιστα βιάζοιντό τινες ἀνώτεροι 10) φαίνεσθαι καὶ ξυνορᾶν ἄμεινον, ἢ κατὰ τοὺς πολλοὺς τὰ τῶν οἰκείων τε καὶ τὰ τῶν ἀλλοτρίων, καθότι τε καλῶς ἔχει, καὶ καθότι μή. Ἐνίοτε γὰρ δή τινες καὶ σκηνοποιοῦντες ἑαυτοὺς καὶ πλαττόμενοι κατεξανίστασθαι, καὶ ἀντιλέγειν, καὶ ἀντιτάττεσθαι γεννικῶς ἀμέλει καὶ ἐλευθερίως κατά τινων φιλτάτων, ἢ ὅλως ἐπιτηδείων σφίσι, καὶ κατατρέχειν ἐν αἰτιάσεσι

9) καὶ deest in C. Aug.

10) ἀνώτεροι, C. Aug. ἀνώτερον.

δή τισιν αὐτῶν καὶ εὐθύναις, τάχιστ' εὐθὺς τὴν ἐναντίαν αὖθις τρέπονται, καὶ συγκλίνουσιν [11]) ὑποχαλῶντες, καὶ μάλιστ' ἣν ἄρα ξυναισθάνοιντό πως τοὺς προσορῶντας τὲ καὶ ἀκροωμένους κατ' ὀλίγον ὑπαγομένους, καὶ πειθομένους ὅλῃ τῶν λογισμῶν ῥοπῇ ταῖς κατὰ τῶν γνησίων αἰτιάσεσι καὶ συντιθεμένους ἐπιμελέστερον. Αὐτίκα γὰρ ἀνιᾶσιν αὐτόθεν τὸ σύντονον τῆς καταδρομῆς ἐκεῖνο, καὶ ὑποφέρονται δὴ πρὸς τὸ μετριώτερον τῆς ὀργῆς, καὶ τῶν τῆς κρίσεως ἐλέγχων καὶ ψήφων πρὸς τὸ συγγνωμονικόν τε καὶ δικαιώσεως ἀξιούμενον, ῥᾷσθ' ὑπενδιδόντες καὶ ἥδισθ' ἑαυτοῖς, καὶ οὐ ξυγχωροῦσι παραμένειν καὶ βεβαίως ἵστασθαι μᾶλλον ταῖς φαύλαις ὑπονοίαις, καθ' ὧν οὐ βούλονται τοὺς ἐντυγχάνοντας. Ἀλλ' ὅπερ ἄρα φησὶν ὁ Πλούταρχος περὶ τῶν ἐν τῷ κολακεύειν προσποιουμένων παῤῥησιάζεσθαι, καὶ ἀντιτεινόντων ἔστιν ὅτε πρὸς βραχὺ ταῖς ὑποκρίσεσι πρὸς τοὺς κολακευομένους ὑπ' αὐτῶν, τάχιστα δ' ὅμως ὑπανιέντων καὶ ὑποχαλώντων τῆς ἐνστάσεως καὶ τοῦ πλάσματος, ὡς ἐοίκασιν ἀμέλει τοῖς ὀκλαδίαις οἱ τοιοῦτοι, οἳ δοκοῦντες ἀνέχειν ὁπηοῦν καὶ ὀγκοῦσθαι τοῖς ἐφιζάνουσιν, ἢ τοῖς ἀγκῶσιν ἐρειδομένοις, αὐτίκα προστρεπομένοις ἐπ' αὐτοὺς ὑπενδιδόασί τε καὶ ὑποχαλῶσι καὶ ξυμπίπτουσι· τοῦτ' αὐτό μοι δοκῶ μάλιστα καὶ νῦν ἐνταῦθα προφέρειν, καὶ ὑποδεικνύειν ταῖς

---

11) συγκλ. C. Mon. εὐκλίνωσιν.

ἐν τοῖς ὀκλαδίαις [12]) ἀντιτάσεσι, καὶ ὑποπτώσεσι τῶν τὸ ἐλευθέριον ὑποκρινομένων, καὶ παῤῥησίαν ἀπροςπαθῆ κατά τινων οἰκείων, τὸ διεγερτικὸν αὐτὸ τῶν ἐν τοῖς σχήμασιν ἐπιτιμήσεων, καὶ ψήφων καὶ κρίσεων τῆς ἀληθείας τάχισθ' ὑποχαλῶν τῆς ὀργῆς ἐκείνης καὶ τῆς ἐν πλάσμασιν ἀστειότητος καὶ ἀπαθείας. Καὶ γάρ πως καὶ κολακευτικὸν ὡς ἀληθῶς φύσει τὸ πάσχον περὶ ὃ πάσχει, καὶ σφόδρα ξυνέπεται, καὶ ἀντιπράττειν ὁπηοῦν οὐχ οἷόν τέ ἐστιν· οἱ αὐτοὶ δὲ καὶ τοιούτῳ χρώμενοι τῷ τρόπῳ καὶ σχήματι πολλάκις, καὶ οἷς βασκαίνουσι, καὶ μάλα τοι διαβέβληνται σφίσι καὶ δυσχερῶς ἔχουσιν, ἢ καὶ προδήλως, ἢ καὶ λανθάνοντες, ἀπήχθηνται δ' ὅμως ἀπλαστίαν καὶ ἀληθείας ἐλευθερίαν πλαττόμενοι, καὶ νικηφόροι δῆθεν ἀπεχθείας καὶ πάθους γιγνόμενοι προφέρουσιν ἐγκώμι' ἄττα [13]), καὶ συντιθέασιν ἐπὶ μάρτυσιν, οἷς οὐκ ἂν εὖ μάλα πειθομένοις λέγοιεν ἐπαίνους κατ' αὐτῶν τῶν ἐχθίστων, ἵν' εὐεπιχειρήτως ἐκ τοῦδε τοῦ τρόπου καὶ τἀναντία καὶ βαρύτατα κατ' αὐτῶν παῤῥησίᾳ πάντως ἀληθείας συνείροντες ῥᾳδίως πείθωσι. Καὶ τοσαῦτ' ἐπαινοῦσιν, ἐφ' οὓς οὐ βούλονται, καὶ οὕτω δὴ [14]) παντάπασιν ἐπιμελῶς, ὧν αὐτοῖς προδήλως πρόσεστι. Καὶ συγκαλύπτειν οὐχ οἷοί τε [15]), κἂν εἰ πάνυ βού-

12) ἐν τοῖς ὀκλ. sic legunt Cdd. omnes.

13) ἐγκώμι' ἄττα, Cdd. Aug. et Mon. iunctim ἐγκώμιάττα.

14) δὴ παντ. Cdd. Mon. et Aug. δὴ μὴ παντάπασιν.

15) οἷοί τε, Cdd. Aug. et Mon. οἷόν τε.

λοιντο, οὔκουν γε ὅτι μὴ καθάπαξ γέλωτ' ὀφλεῖν αἱρούμενοι, καὶ τυφλώττειν καθάπαξ δοκεῖν· τοσαῦτα δ' οὖν ἐπαινοῦσι τῶν ἀνδρῶν, ὅσα μὴ πλεῖστον δὴ λυμαίνεται καὶ προςίσταται ταῖς ἑξῆς κατὰ σκοπὸν κἂν τοῖς λογισμοῖς αὐτῶν κατ' ἐκείνων αἰτιάσεσι καὶ ἐλέγχοις κατ' αὐτῶν, ὡς ἄρα δὴ τὰ μέγιστα φαύλως ἔχουσι. Μᾶλλον μὲν οὖν ἐντεῦθεν, ὡς ἔφην, καὶ χώραν τινὰ καὶ πίστιν προλαμβάνουσι ταῖς κακηγορίαις, καὶ προκατασκευάζονται σφίσιν ἀῤῥεποῦς καὶ ἀπαθοῦς ἤθους ἀγαθῶν τε καὶ τῶν ἐναντίων εἶναι τὰς ψήφους. Καὶ οὐ μάλα τοι ξυνορᾶν ἐργῶδες τὰς τοιαύτας μηχανὰς καὶ τὰ σοφίσματα τῶν κρύπτειν πειρωμένων, αἷς ἐνέχονται προςπαθείαις ἐπί τε [16]) τῶν οἰκείων καὶ τῶν ἀλλοτρίων εὖ τε καὶ ὡς ἑτέρως· καὶ τῷ ὄντι γε κατὰ τὴν ἐξ ἀρχῆς τοῦ παρόντος λόγου πρόθεσιν πολὺ δὴ μάλιστ' ἐν ἀνθρώποις κρατεῖ τὸ πλανᾶσθαι, καὶ πλανᾶν αἱρεῖσθαι τὰς περὶ αὐτῶν τε καὶ τῶν ἐπιτηδείων καὶ τῶν ἄλλως ἐχόντων κρίσεις, καὶ πόῤῥω τῶν ἀληθῶν καὶ δικαίων φέρειν. Καὶ οὐκ οἶδ' ὅστις ἂν ἐν τούτοις ὀφθείη τελεσφόρος ἤθους ἀστείου καὶ γεννικοῦ πρὸς ἀπάθειαν ἐν ταῖς ψήφοις τῆς ἀληθείας καὶ πλάνης πάσης ἀνώτερος.

---

16) τε, omissum in C. Mon.

ΚΕΦ. νς'.

Ὅτι ἔστιν ἀεὶ ὅπως ποτέ τις πράττοι παρασκευῇ γνώμης εὐλόγαις ἀντανισοῦν [1]) ἑαυτὸν ταῖς μεγάλαις εὐπραγίαις.

Λογισμὸς οὑτοσί [1 a]) πως ἐνίοτέ μοι γίγνεται, οὐκ οἶδ' εἴτε νοῦν ἔχων ὅπως ἄρα, εἴτε καθάπαξ μάταιος, καὶ φλαῦρον ἀνάπλασμ' ἄλλως, γίγνεται δ' οὖν, ὡς ἄρ' ἐστὶν ἐνίοτε μὴ κατὰ ῥοῦν ἐχόντων ἐν τῷ βίῳ τῶν πραγμάτων ὁτῳοῦν, αὐτὸν ὅμως τινὰ διὰ παρασκευῆς γνώμης ἀνορθοῦν ἑαυτὸν πρὸς τὸ πράττειν εὖ, καὶ ἀνισοῦν τοῖς εὐδαιμόνως βιοτεύειν δοκοῦσι. Δυσχερὲς μὲν οὖν οἶδα τοῖς μετὰ σώματος ἐν αἰσθήσει καὶ φαντασίᾳ καὶ δόξῃ ζῶσι, μὴ καὶ ἥδεσθαι, μὴ καὶ τοὐναντίον διὰ τὰ παρόνθ' ἑκάστοτε καὶ ξυμπίπτοντα προσπάσχειν ὁπηοῦν ἄρ' ἐντεῦθεν. Ἐπεὶ δ' ὅμως οὐκ αἰσθήσει μόνον καὶ τοῖς σωματικοῖς ζῶμεν, ἀλλὰ καὶ διανοίᾳ καὶ τῷ λογίζεσθαι, εἰ μὴ παντάπασι δυστυχής ἐστι βίος καὶ βοσκηματώδης, καὶ μηδὲν ἧττον ὅ τι μὴ καὶ πλεῖον ἔστιν ἴσως ἐνίοις ἐντεῦθεν κατὰ τὰ λογικὰ πράγματα τῆς ζωῆς ἡμῶν τὸ μέρος. Ἔξεστιν, οἶμαι, λοιπὸν ἐντεῦθεν συνδιατίθεσθαι τοῖς λογισμοῖς εἰς τὸ βιοῦν ἐν ῥαστώνῃ καὶ καθ' ἡδονὴν ὅπως ποτ' ἄρ' ἐχόντων τῶν κατὰ τὸν βίον ἡμῖν, εἴτ' ἐν [2]) εὐπλοίᾳ τῇ

1) ἀντανισοῦν, C. Aug. ἀνισοῦν, sed Mon. et Bloch. ἀντανισοῦν.

1 a) οὑτοσί. In C. Cizens. scriptum οὗτοσί, superscripto ō, quod praeferendum, vid. ad Greg. Corinth. Bast. et Schaefer. p. 72.

2) εἴτ' ἐν, Cdd. Aug. et Mon. εἴτ' εἰ.

φαινομένη καὶ τύχης δή τινος χάρισιν, εἴτε καὶ μή. Ἡ γὰρ παρασκευὴ τῆς γνώμης καὶ τὸ κράτος τῶν λογισμῶν ἐλευθεριάζειν τοῖς ξυμπίπτουσι δύναιντ' ἂν ἐμποιεῖν καὶ σωφρονικῶς ἄγεσθαι, καὶ συνδιατίθεσθαι χρησταῖς ἐλπίσι, καὶ οὐκ ἀηδῶς εὖ μάλα· ἐπειδὴ καὶ τἀλγεινὰ καὶ μὴ τῇ παρ' ἡμῶν οἴκοθεν γνώμῃ καὶ γίγνεται καὶ τρέπεται, καὶ ᾧ μηδὲν ἄρά ποτ' ἐστὶν ἐκ παρασκευῆς καὶ ῥώμης τῶν λογισμῶν ἀνιαρόν τε φύσει καὶ κακοδαιμονίας τινὸς, ὡς εἰπεῖν, ὕλη, ἀλλὰ πάντ' ἐν ῥοῇ καθορᾶται καὶ φεύγοντα τοὺς ἀπρὶξ αὐτῶν ἐχομένους, κἂν εἰ μάλιστ' αὐτῶν ἔχοιντο, κἂν εἰ μάλιστα σφίσι μόνιμα ταῦτα τῷ [3]) βούλεσθαι δοκῶσι, τὰ μέγιστ' ἀγνοοῦντες καθ' ἑαυτῶν, καὶ ᾧ μάλιστ' ἔξεσιν ἀγαθαῖς ἐλπίσι συνεῖναι διὰ χρήσεως τινὸς ἐπαινουμένης τῷ βίῳ καὶ ἀνδραγαθίας ἡστινοσοῦν, ὃ παρ' ἡμῖν ἐστι καὶ παρ' ἡμῶν πάντως, πῶς οὐκ ἂν εἴη τῷδ' ἀνύσιμον ἀνδρείοις καὶ σωφρονικοῖς λογισμοῖς ἐν ῥαστώνῃ βιοῦν, καὶ κατολιγωρεῖν εὐγενῶς τῆς ἔν τισι δοκούσης εὐκληρίας καὶ μακαριότητος; Ἀγησίλαος μὲν οὖν τῶν Λακεδαιμονίων βασιλεὺς, ἀκούων τῶν πολλῶν λεγόντων περὶ τοῦ τῶν Περσῶν βασιλέως, ὡς ὁ μέγας ἄρα βασιλεὺς τὰ καὶ τὰ διαπράττεται, ἢ τὰ καὶ τὰ λέγει, καὶ συνεχῶς τῷ λόγῳ χρωμένων μετα προςθήκης ταύτης, ὅτι δὴ μέγας ἐκεῖνος, ἔφη [4])· Τί γὰρ ἐκεῖνος ἐμοῦ

3) τῷ, C. Mon. τῶν.
4) ἔφη, C. Aug. τί γὰρ ἐκεῖνος, ἔφη· τί γὰρ ἐκεῖνος ἐμοῦ.

μείζων, εἰ μὴ δικαιότερος; Οὕτως ἀμέλει ξὺν λόγῳ πείθειν Ἀγησίλαος ἠξίου, καὶ ἀντιπαραβάλλειν τὰ τῆς αὑτοῦ καλοκἀγαθίας, καὶ τὴν ἀληθινὴν εὐγένειαν τῆς τοῦ βίου χρήσεως τοῖς πολλοῖς ἔθνεσι τῆς ἀρχῆς ἐκείνου καὶ τοῖς μυρίοις στρατεύμασι, καὶ ταῖς μακραῖς οὐσίαις, καὶ τῷ πλήθει καὶ κάλλει τῶν κειμηλίων, καὶ τοῖς θησαυροῖς, καὶ τῇ περιλάμπρῳ καθάπαξ πομπείᾳ τῆς τύχης, καὶ τῇ φαινομένῃ τοῖς πολλοῖς καὶ ἀμαθέσι τῶν ἀνθρώπων εὐδαιμονίᾳ καὶ τῷ μακαρισμῷ. Ἐξείη δ' ἂν ἴσως καὶ ἄλλοις μετὰ τῆς αὐτῆς ἐλευθερίας τῆς γνώμης, καὶ τῆς παρασκευῆς καὶ τοῦ φρονήματος ἀντιπαραβάλλειν ἑαυτοὺς, καὶ τὸ τῶν λογισμῶν ἀταπείνωτον ὑπὸ πάντων τῶν κατὰ τὸν βίον πραγμάτων, καὶ τὸ κατὰ τὴν χρῆσιν τῆς ζωῆς ὑγιαῖνον καὶ μεγαλόφρον ἐν μετριότητι ταῖς ἄλλων ἐν τῷ βίῳ τυχηραῖς εὐπραγίαις, καὶ ἴσως μετ' ἐμπληξίας ἐνίοτε καὶ ἀμαθίας τῶν βελτίστων, ὡς ἄρ' εἴωθε ξυμβαίνειν οὕτω. Καὶ ὁρῶμεν ὡς τὰ πολλὰ καὶ ἀντανισοῦν εὖ μάλα τὰ κατ' αὐτοὺς, ἢ καὶ πλεῖον, οὐκ ἀλόγως ἐμοὶ δοκεῖν ἑαυτοῖς ἐπινέμειν, ἢ 'κείνοις ἔχοι τὰ παρὰ τῆς τύχης, καὶ τῆς τῶν πολλῶν ἀλογίας πολυτίμητ' ἀγαθά. Καὶ Διογένην δέ φασιν ἀντιπαραβάλλειν [5]) ἑαυτὸν τοῖς τοῦ βασιλέως σατράπαις, καὶ τὴν αὑτοῦ πήραν καὶ τὸν τρίβωνα καὶ τὸν πίθον ἀντισταθμᾶσθαι μετὰ τοῦ

---

5) ἀντιπαρ. C. Mon. ἀντιβάλλειν, in marg. γρ. παρέ.

ἀνενδεοῦς αὐτοῦ τῆς γνώμης ἀγαπῶντα κομιδῇ τοῖς κατ' αὐτὸν, καὶ οἷς εἵλετο, ἢ τῇ περιφανεῖ πάντως ἐκεῖνοι κατ' αὐτοὺς τύχῃ χρώμενοι παντάπασιν ἀνελευθέρως καὶ ἀεὶ ξὺν δέει, καὶ μηδενὶ μήποτε ξὺν μέτρῳ καὶ πέρατι τῆς εὐδαιμονίας τὰ κατ' αὐτοὺς ὁριζόμενοι, ἀλλ' ἀεὶ [6]) ποθοῦντες πλείω καὶ προσπεριεργαζόμενοι. Τὸν δ' αὐτὸν, οἶμαι, φασὶ χαριεντιζόμενον μετὰ τοῦ αὐτοῦ τῆς ἐλευθερίας φρονήματος εἰκάζειν τὰς αὐτοῦ μετοικίας ἀπὸ Κορίνθου εἰς Ἀθήνας καὶ τὰς ἐκεῖθεν εἰς Κόρινθον ταῖς τοῦ βασιλέως Περσῶν, χειμῶνος μὲν ἐν Σούσοις διατριβαῖς, θέρους δ' ἐν Ἐκβατάνοις. Κἂν εἴ τι πρὸς ὕβριν ἄρα τοῦτ' ἴσως ἔχοι, ἀλλ' ὅμως οὐχ ἥκιστα καὶ αὖθις ὑπεμφαίνει [7]), ὡς ἄρ' ἔχοι [8]) τὶς ἂν, ἑαυτὸν ἀντανισοῦν παρασκευῇ γνώμης, καὶ γεννικοῖς λογισμοῖς, μὴ δουλούμενος τοῖς φαινομένοις τούτοις ταπεινῶς ἐνίοτ' ἔχουσι, μᾶλλον δὲ μὴ δουλούμενος [9]) οἴκοθεν εὐτελείᾳ γνώμης πρὸς τοὺς ἐν λαμπραῖς ταῖς τύχαις, καὶ μηδὲν ἧττον ἥδεσθαι τῷ τῆς γνώμης ἀκύμονι, καὶ μηδὲν [10]) ἧττον ἑαυτῷ φρονεῖν, καὶ τῇ κατ' αὐτὸν [11]) ἀστειότητι καὶ ἐλευ-

---

6) ἀλλ' ἀεὶ — προσπεριεργαζόμενοι, desunt in C. Aug.

7) ὑπεμφ. C. Mon. ὑπεκφαίνει.

8) ἔχοι, Cdd. Aug. et Mon. male ἔχειν.

9) δουλούμ. C. Mon. δουλομένους: sic etiam postea.

10) καὶ μηδὲν usque ad ἀκύμονι absunt a C. Aug.

11) κατ' αὐτὸν, C. Mon. κατ' αὐτῶν.

θεριότητι τῶν λογισμῶν. Ὃ γὰρ μὴ πολλάκις εἴρηται, εἰ καὶ δυσχερὲς τοῦτ' ἐνίοις καὶ κομιδῇ τῶν παρόντων εἰσὶ, καὶ οἷς αἴσθησις καὶ σωματικὴ χρῆσις ἁλίσκεται καθ' ἡδονὴν, ἀλλ' ὅμως ἐκ τῶν οἴκοθεν λογισμῶν ἡμῖν καὶ κρίσεων, καὶ τῆς ἔσω καθ' ἡμᾶς παρασκευῆς ἔστιν ἡμῖν [12]) τὸ πράττειν εὖ, καὶ ὡς μάλ' ἡδέως, καὶ τοὐναντίον αὖθις, ὅπως ποτ' ἄρ' ἔχοι τὰ κατὰ τὸν παρόντα βίοτον [13]) ἡμῖν, καὶ τῆς τύχης, καὶ τῆς ὕλης τὰ παίγνι' ὡς ἀληθῶς, ὧν μήποτ' ἐστὶ μηδὲν ἑστὼς καὶ μένον ἐν ἀσφαλεῖ. Καὶ ὁρῶμέν γε πολλοὺς οὕτω χρωμένους, καὶ μετὰ τοιούτων [14]) ἀμέλει τῶν γεννικῶν λογισμῶν ἐν γαλήνῃ διάγοντας τὸν βίον ἐν ἀφανεῖ καὶ πενιχρᾷ τῇ τύχῃ, τὸ δῆλόν γε τοῦτο καὶ τοῖς πολλοῖς γνώριμον, καὶ πλεῖν ἴσως [15]) ἐνίοτε, ἢ κατ' ἐκείνους τοὺς περιλάμπρους ταῖς τύχαις, καὶ περιβλεπομένους ὑπὸ τῶν πολλῶν ὡς ἀξίους θαυμάζεσθαι. Καὶ μὴν ἐκεῖνοί γ' ὡς ἀληθῶς μηδὲν ἧττον ἐν [16]) εὐπραγίᾳ τὸν βίον ἄγοιεν ἂν εὖ μάλα καὶ κάλλισθ' ἡδέως, ἢν ἄρα σωφρονοῖεν τοῖς λογισμοῖς τῇ παρασκευῇ τῆς γνώμης ἐν δευτέρῳ τιθέμενοι τὰ παρόντα σφίσι, καὶ ὡς ἂν ἀμέλει μὴ παρόντα παρορῶντες, καὶ κα-

12) ἡμῖν, deest in C. Mon.

13) βίοτον, C. Mon. βίον.

14) τοιούτ. C. Aug. τούτων.

15) ἴσως, non agnoscunt Cdd. Aug. et Mon.

16) ἐν deest in C. Aug. C. Mon. ἐνπραγίᾳ habet.

λῶς προνοοῦντες καὶ προορώμενοι τὸ πάντων αὐτῶν ἀσταθμητότατον, καὶ μυρίᾳ τροπῇ πᾶσιν ὑπεύθυνον, καὶ κρατυνόμενοι βέλτιον τοῖς εὐγενέσι λογισμοῖς καὶ ἐλευθερίοις, καὶ τῷ τῶν παρόντων ὑπερτέρῳ μὴ φρονήματι μόνον, ἀλλ', ὡς ὁ Θουκυδίδης φησὶ, καὶ καταφρονήματι. Εἰμὶ μὲν οὖν ἔγωγε τῶν μὴ πάνυ τοι δυσχεραίνειν δικαίως ἂν ἐχόντων ὡς ἀγνώμονι τῇ τύχῃ, καὶ καταμέμφεσθαι, ἀλλ' ἵλεώ μοι τὰ παρ' αὐτῆς καὶ τὰ πρὸς αὐτὴν ἐξ ἐμοῦ, καὶ τὰ κατὰ τὸν ἐμὸν βίοτον, οἷ' ἐπίφθονα πολλοῖς, καὶ εὐκταῖα, καὶ μακαρίζειν ἴσως ἄξια. Καὶ πρὸς νέμεσιν εὐλαβητέον ἂν εἴη, πλήν γε ὅτι πρὸς τὴν τύχην οὐκ ἂν ἀμυνόμενος, οἶμαι, δοκοίην δυσμενῶς ἔχουσάν μοι καὶ ἀντιπράττουσαν, καὶ βοηθῶν ἐμαυτῷ κακῶς πράττοντι κατὰ πᾶσαν ἀνάγκην ἀμηγέπη πρὸς τοὺς λογισμοὺς τούσδ' ἐλθεῖν καὶ λέγειν, ἃ λέγω. Τοὐναντίον μὲν οὖν ἴσως εἶχον ἂν εὐγνωμονῶν τῇ νομῇ συνηγορεῖν τῆς τύχης, καὶ συνηγορεῖν ἐμαυτῷ πως κατὰ τοὺς πολλοὺς καὶ συνεξαίρεσθαι καὶ ὀγκοῦσθαι πρὸς τὰ δοκοῦντα κατὰ τὴν βιωτικὴν εὐμάρειαν ἀγαθά. Ἀλλ' ἄρα τοῦτ' ἂν εἴην ἔγωγε νοῦν ἔχων καὶ σωφρονικός τις καὶ μέτριος ἂν, ἐν οἷς οὐ πολλοὶ, καὶ τὰ λεγόμενα νῦν οὐ δι' ἐμαυτὸν ἐξ ἀνάγκης τινὸς, ὡς ἔφην, εἴρηται, κινούσης εἰς εὑρέσεις τῶν λυσιτελούντων [17]), ὡς ἄρα καὶ δοκεῖ πορίζειν ἀνάγκη, μάλιστα κἂν

---

17) λυσιτ. C. Mon. χρυσιτελούντων, vitiose.

τοῖς πράγμασι πλεῖστα, κἂν τοῖς λογισμοῖς πλεῖστα τῶν χρησίμων ἀνθρώποις. Ἀλλ' ἔννοιά μοι τῶν εἰρημένων γεγένηται[18]) *περὶ τὰ ὄντα καὶ τὰ κατὰ τὸν βίον καθάπαξ ἐποπτεύοντι χωρὶς τινὸς ἐπειγούσης ἐμοὶ δοκεῖν προςπαθείας, καὶ νοσερᾶς ἕξεως πραττομένης ἀλεξίκακόν τι καὶ ῥώσεως φάρμακα. Καὶ ὡς ἂν ἀμέλει τοι περὶ ζώων ἢ φυτῶν ἔχοιμί τι προςερεῖν, ἢ ὁτουοῦν ἄλλου τῶν ἐν τῇ φύσει, καθὼς οἷός τ' ἂν εἴην, ἐν λογισμῷ λαβεῖν τὸ βέλτιον, οὕτω δὴ καὶ τανῦν λεγόμενα λέγεται. Καὶ ἴσως μὲν φαύλως καὶ ὡς ἂν γέλωτ' ὄφλειν τὸν λέγοντα, καὶ καταμωκήσαιτ'*[19]) *ἄν τις παρ' οὐδὲν θέμενος εἰκότως, ἴσως δ' οὔ. Ἀλλά τι καὶ νοῦν ἔχειν*[20]) *ἀξιώσειεν ἄν τις, καὶ οὐ παντάπασιν ἐς τὸ Κυνόσαργες ταῦτ' ἐξωθείη*[21]), *οὐδ' ὥςπερ ὀνειρωττόντων ἂν κριθείη κατὰ τῶν μὴ ὄντων φαντάσματα.*

---

18) *γεγέν.* Cdd. Aug. et Mon. *γένηται.*

19) *καταμωκ.* male C. Mon. *κατακήσαι,* et mox *θέμενοι* pro *θέμενος.*

20) *ἔχειν,* Cdd. Mon. et Aug. *ἔχων.*

21) *ἐξωθ.* C. Aug. *ἐξωσθῇ.*

ΚΕΦ. νζʹ.

Ὅτι ἔνιοι τῶν ἀνθρώπων πλάττονται φιλόσοφον πρόσχημα, καὶ περιφρόνησιν [1]) τῶν τυχηρῶν, καὶ τῶν κατὰ τὸν βίον εὐπραγούντων ἀτευκτοῦντες αὐτοὶ τινὸς εὐετηρίας καὶ βασκαίνοντες.

Ἀλλὰ μὴν ἐπισυμβαίνει [2]) γ᾽ ἐνίοτε μεγαλοφροσύνην δοκεῖν ἔξω τοῦ καιροῦ πάντως καὶ καθάπαξ ἀπάτῃ καλυπτομένην, ἄλλο ταῖς ἀληθείαις οὖσαν, τὴν ἐνίων περιφρόνησιν καὶ ὀλιγωρίαν τῶν ἐν ὑπεροχαῖς τισι κατὰ τὸν βίον καὶ περιφανῶν τῇ τύχῃ καὶ ταῖς εὐπραγίαις. Ἔνιοι γὰρ ὑπὸ βασκανίας ἀγόμενοι καὶ κενοδοξοῦντες, οἱ μὲν καὶ ἀπατῶνται φαῦλοι φαύλως ὑπὸ τοῦ πάθους, οἱ δ᾽ ἀπατῶσι μὲν τοὺς ἄλλους, οὐκ ἀγνοοῦσι δ᾽ ἑαυτοὺς τοῖς εἴσω τῶν λογισμῶν δικαστηρίοις ἐλεγχόμενοι, καὶ νοσοῦντες [3]) καὶ ἁλισκόμενοι μὴ δίκαιοι ταῖς ἑαυτῶν ψήφοις ἄφυκτα ὡς ἄρα γεννικοί τινες κατὰ τῆς ἀνισότητος τῶν ἐν τῷ βίῳ ταύτης, καὶ τῶν εὖ πραττόντων ὁπηοῦν, καὶ ὑπερόπται κομιδῇ τῶν μὴ παρ᾽ αὐτοῖς, καὶ ἐφ᾽ οἷς μάλιστ᾽ ἀλγοῦσι, καὶ ὧν μάλιστ᾽ ἐφίενται καὶ παντάπασιν ἔχον-

---

1) *περιφρόνησιν.* Fabricius in Bibl, Gr., vt iam supra diximus, temere vult legi *παραφρόνησιν;* nam *περιφρόνησις* et *περιφρόνημα* est synon. *τοῦ ὀλιγωρία* et *ὑπεροψία* statim initio huius Cap. in quo frequentatur hoc voc. Sic dicitur quoque *contemtus* c. 100. *περιφρόνησις τῆς πολυτελείας* et c. 107. *τοῦ πλούτου.*

2) *ἐπισυμβ.* C. Mon. *ἐπισυμβαίνειν.*

3) *νοσοῦντες,* Cdd. Aug. et Mon. *νοσοῦνται.*

ται· καὶ ἴσως πλεῖν ἢ καὶ αὐτοί γε πολλοὶ τῶν συνόντων αὐτοῖς ἀλογοῦντες εὖ μάλ', ὧν μὴ δύναιντο καὶ ὧν εὔξαιντ' ἂν [4]) ἐπιτυχεῖς εἶναι, καὶ πάντων ἂν ταῦτα πρίαιντο, καὶ οὐκ ἂν ἀποκνήσαιεν, οὐδὲ φείσαιντ' ἂν ἐξὸν ὅπως ἄρα πάντα καὶ δρᾶσαι καὶ παθεῖν, καὶ δίκαιά τε καὶ μὴ λογισμοῖς ὅλοις καὶ πάσῃ ῥοπῇ καὶ πᾶσι πράγμασιν ὑπὲρ τοῦ τυχεῖν. Καὶ πλάττονται μὲν τὴν ἀναλγησίαν ταύτην καὶ τὴν ὕβριν ἐπὶ τοῖς τῶν ἄλλων ἀγαθοῖς· οἱ δὲ εἰσὶν ἐν περιωδυνίαις ἐντεῦθεν ταῖς μεγίσταις, καὶ τὰ βαρύτατ' ἀρῶνται κατ' ἐξωλείας αὐτῶν, μηδὲν ἧττον [5]), ἢ τῶν ἐν ταῖς εὐπραγίαις αὐταῖς κατὰ τῶν οἰκείων, ὧν μηδὲν κατὰ τὸν βίον ὤναντο, κατὰ δεσποτῶν, κατὰ τῆς τύχης, κατὰ τῆς προνοίας μάλισθ' ὡς ἀληθῶς αὐτῆς ὡς ἀνίσου καὶ μὴ βραβευούσης ἀνθρώποις τὰ δίκαια, μήδ' ὧν ἑκάστοις ἀμέλει προσήκει, καὶ τυμβωρυχοῦσι δυσνούστατοι τὰς ἀλλοτρίας εὐδοξίας καὶ τύχας ἀγαθὰς, καὶ συμφέρονται τῷ φθόνῳ κατ' ἄλλων πολλοὶ [6]) πολλοῖς κοινωνίᾳ πικρᾶς δή τινος τύχης, οἷς μηδὲν ἧττον ἀπήχθηνται, ἢ καθ' ὧν παλαμῶνται καὶ βούλονται κακοῖς παλαίειν καὶ αὐτοὺς τὸν ἀεὶ χρόνον. Καὶ δῆλόν γε, ὡς εἰ [7]) ἄρά τις [8]) σφίσιν εὐφορίας αὖρα προςπνεύσειεν,

4) εὔξ. ἂν, C. Mon. ξαιτ' ἂν, in ora γρ. εὔ.

5) ἧττον, omissum in C. Mon.

6) πολλοὶ, desideratur in C. Mon.

7) ὡς εἰ, C. Mon. ὡς ἦν, C. Aug. ὡς ἂν.

8) ἄρά τις, C. Mon. ἆρά τι.

οἷα δὴ γίγνεται, καὶ ὁρῶμεν ἑκάστοτε τοὺς τῆς τύχης αὐτοματισμοὺς, καὶ τὰς παιδιὰς καὶ τὰς ἐν εὐρίποις δή τισι ῥᾳδίας αὐθημερὸν μεταβολὰς καὶ τροπάς. Αὐτίκα δὴ λοιπὸν τὸ βάσκανον καὶ δυσνοϊκὸν καὶ μεμψίμοιρον κατὰ τῆς τύχης καὶ[9]) κακόηθες μετατίθεται ἐπὶ τοὺς χθὲς ἀμέλει δὴ καὶ πρὸ τρίτης κοινωνοὺς τέως τῆς πικρᾶς ἐκείνης ξυναυλίας καὶ τῆς ὕβρεως, καὶ τῶν κατὰ τῶν εὐπραγούντων[10]), καὶ τῆς ἀνίσου καὶ ἀδίκου τύχης ἐλέγχων καὶ ἐπιτιμήσεων, ὡς μηδὲν πώποτ' ἔχοντας τινὰς ἄξιον εὐετηρίας ἡστινοσοῦν, καὶ οὓς ἐχρῆν ὡς καθάρματα δή τινα καὶ δυοῖν ἢ τὸ πλεῖστον τριῶν ὀβολῶν ἀξίους περιϊέναι, λαμπρυνούσης ταύτης δὴ τῆς ἀλόγου τε καὶ ἀδίκου τύχης, καὶ μηδὲν ἄρα κρινούσης καὶ διοικούσης νόμιμον καὶ ξὺν λόγῳ δή τινι, κἀντεῦθεν δὴ λοιπὸν περιφρονεῖσθαι μάλιστ' ἀξίας τοῖς γε νοῦν ἔχουσι, καὶ τῶν ὄντων καὶ τῆς ἀληθείας ἐπιγνώμοσι, καὶ μὴ προςέχειν τὸν νοῦν ὅλως ὑπὸ γεννικοῦ φρονήματος ξυλλογιζομένοις ταῖς ἀλόγοις αὐτῆς νομαῖς καὶ πομπείαις ἀσχήμοσι. Καὶ μὴν οἱ αὐτοί γε, ὡς φαμὲν, μεγαλόφρονες οὗτοι τῷ φθόνῳ καὶ τῇ τοῦ ἤθους δυσκολίᾳ, καὶ ὑπερόπται τῶν τυχηρῶν καὶ τῶν μηδὲν ὁτιοῦν ὑγιὲς ἐχόντων κατὰ τὸν βίον, καὶ ἀσταθμήτων ἐπιδείξεων, καὶ πλάνων τῆς ἀτεκμάρτου κινήσεως

---

9) καὶ, non habet C. Mon.

10) εὐπραγ. C. Mon. ἐνπραγούντων.

διαύλων καὶ περιστροφῶν, τυχόντες ἂν ἴσως ξυμβὰν ὅπως ἄρα, καὶ αὐτοί γέ τινος εὐπλοίας καὶ μετουσίας βιωτικῶν ἀγαθῶν, αὐτίκα αὐτόθεν ἀκάθεκτοί πως αἴρονται, καὶ περιφρονοῦσι τὴν φύσιν καὶ τὰ τῆς κοινῆς φύσεως, ὡς ἄρ᾽ αὐτοί γε [11]) τοῖς προςήκουσι ξυλλαχόντες, καὶ πάντ᾽ ἐν μέτρῳ καὶ λόγῳ γιγνόμενα. Καὶ χρῆναι γὰρ ξυνορᾷν ὡς τοῖς τῶν ἄλλων προέχουσιν ἀπαντᾷν ἀνάγκη, καὶ δὴ γίγνεται καὶ ἀπαντᾷ ξὺν λόγῳ καὶ τὰ [12]) κατὰ τὸν βίον εὐγενῶς καὶ οἰκείως πράγματα. Καὶ στερκτέον ἂν εἴη πάντως τὰ τῆς γεωμετρικῆς φασὶν ἰσότητος ἐν ἀνισότητι τὸ ἴσον [13]) ὁριζομένης, καὶ τἄνισα μὴ ξὺν μέτρῳ δὴ, τῷ λόγῳ δὲ νομιζούσης δίκαια, ὡς ἄρα γε καὶ τὰ κατ᾽ αὐτοὺς ἐν λόγῳ σταθμᾶσθαι τῇ νομῇ τῆς τύχης, καὶ το προςῆκον καὶ κατ᾽ αὐτοὺς ἴσον ἀπολαμβάνειν· δεινὸν γὰρ εἶναι καὶ ἐπιεικῶς ἄλογον, μὴ τοὺς κρείττους, ἢ κατὰ τοὺς πολλοὺς καὶ ὑπὲρ τοὺς πολλοὺς ἐν βίῳ φέρεσθαι, καὶ διαδήλους εἶναι πᾶσι τῇ τῶν παρόντων εὐφορίᾳ, καὶ τοῖς [14]) τῆς τύχης αὐτῆς ψηφίσμασιν. Οὕτω δὴ πάνυ τοι μετατίθενται τὸ πρότερον ἐκεῖνο βάσκανον καὶ πικρὸν καὶ δυσνοϊκὸν κατὰ τῶν τυχηρῶν καὶ τῆς αὐτῶν ἀλογίας, καὶ τὴν κατ᾽ αὐτῶν ὑπερ-

11) γε, C. Mon. γε καί.

12) καὶ τά, desunt in C. Aug.

13) ἴσον, C. Mon. ἶσον.

14) τοῖς, deest in C. Mon.

σοφίαν ἐν ὑποκρίσει καὶ περιφρόνησιν, καὶ τὸ πλάσμα τῆς φιλοσόφου διαθέσεως, οὐχ ἃ τέως ᾤοντό τε καὶ παῤῥησίᾳ λέγειν ἠξίουν, καὶ νῦν ὡσαύτως οἰόμενοί τε καὶ τοὺς ἄλλους πείθοντες. Τὸν[15] *μὲν οὖν Ἀλκιβιάδην ἱστοροῦσι μετὰ τὴν Ἀθήνησιν ὕβριν καὶ τὰς χλιδὰς, καὶ τὰς ἀλογίστους ἐπὶ τὸ ἄρχειν ὁρμὰς ἐν Σπάρτῃ γενόμενον, αὐτίκα τραπόμενον τῷ Λακωνικῷ ζωμῷ πάσης ἀηδίας ὄντι χρῆσθαι ῥᾷστα, καὶ ὡς ἥδιστα τὰ Σπαρτιατῶν ἔθιμα πλάττεσθαι καὶ ξυρᾶσθαι, καὶ ψυχρολουτεῖν παρ᾽ Εὐρώτᾳ, καὶ τὸν τρίβωνα περιαμπίσχειν*[16] *ἑαυτῷ, καὶ ψύχη καύσωνας γυμνάζεσθαι φέρειν, καὶ ὅσ᾽ ἕτερα δοκιμάζουσι Λακεδαιμόνιοι φερεπονίας ἀγωνίσματα, καὶ αὐτὸν εὖ μάλα προσίεσθαι καὶ μεταποιεῖν· ἐν τούτοις ἑαυτὸν σωφρονικῶς καὶ καρτερικῶς, καὶ τρέπειν ἀντὶ τῆς προτέρας ἀκολασίας καὶ τρυφώσης ἀγωγῆς· καὶ ἀσέμνου· τὸν δ᾽ αὐτὸν μετ᾽ οὐ πολὺ καὶ συνακολασταίνειν ἐν Λυδίᾳ, καὶ πομπεύειν θεατρικῶς περὶ Σάρδεις Κύρῳ τῷ Παρυσάτιδος, καὶ μετ᾽ ὀλίγον αὖθις μεθύειν ἐν Θρᾳξὶ*[17] *νύκτας ὅλας καὶ ἡμέρας ἄπαυστα, καὶ πάντα γίγνεσθαι, καὶ πρὸς πάντα μεταφέρειν ἑαυτὸν ὑπ᾽ ἀνιδρύτου καὶ νοσοῦντος ἤθους, καὶ μηδὲν μήποτ᾽ ἔχοντος πιστὸν ἐν τοῖς λογισμοῖς, καὶ διαρκὲς ἑαυτῷ*

---

15) *τὸν*, C. Aug. male *τό.*

16) *περιαμπίσχειν*, C. Mon. *περὶ ἀμπίζειν*: in ora γρ. *ἀμπίσχειν.*

17) *Θρᾳξὶ*, C. Aug. *Θρᾳξὶν.*

πρὸς ἅπασαν ἐντυχίαν [18]) καὶ νόμιμον χρῆσιν, ἢ κατ' ἔθος ὁτιοῦν, ἢ φιλόσοφον αἵρεσιν. Τὸν δ' αὐτόν μοι δοκοῦσιν ἀτεχνῶς καὶ οὗτοι τρόπον, περὶ ὧν ἦν [19]), γεννικοὶ καὶ ὑπερόπται καὶ βάσκανοι κατὰ τῆς ἐν τῷ βίῳ ῥᾳστώνης καὶ λαμπρότητος, καὶ τῶν αὐτοῖς ξυλλαχόντων, ἔπειθ' ὅμως ἀδόκητα ξυντυχόντες ἀγαθῶν τινὶ κατὰ τὸν βίοτον εὐμοιρίᾳ, ξυμβαῖνον ἐνίοθ'. οὕτως αὐτίκ' αἴρονται, καὶ τοῦ πρὶν ἐξίστανται φρονήματος, καὶ ὑβρίζουσι καὶ βλακεύονται, πρύμναν [20]) αὐτόθεν τῆς παροιμίας κρουσάμενοι καὶ τρέχοντες ἄλλην ἄλλην βαδίζουσι, καὶ στασιάζουσι πρὸς ἑαυτοὺς [21]), οἷς τε πρότερον, οἷς θ' ὕστερον χρῶνται, καὶ ἀπιστοῦσιν ἑαυτοῖς, καὶ νοσοῦσι πάντα παλαιά θ', ὡς ἔοικε, καὶ νέα, εἴ τις ἐφορῴη προςέχων τὸν νοῦν. Ἀλλ' οὐ Καλλικρατίδας [22]) τοιοῦτος ἦν, ὁ Σπαρτιατῶν ἡγεμών τε καὶ ναύαρχος, ἀλλὰ σύμφωνος ἑαυτῷ καὶ τῷ ἑαυτοῦ παντὶ βίῳ τὸν ἅπαντα τῆς ζωῆς χρόνον, καὶ παρὰ πᾶσιν ἔθνεσι καὶ ἤθεσι καὶ ἀνθρώποις καὶ πράγμασι ξυνὼν καὶ παρὰ τῇ πατρίδι καὶ Λακεδαιμονίοις βιοτεύων ἐχρῆτο, κάλλιστα τῷ ἤθει καὶ τῇ κατ'

---

18) ἐντυχ. C. Mon. εὐτυχίαν.

19) περὶ ὧν ἦν, Cdd. Aug. et Mon. addunt: ὁ λόγος, μεγαλόφρονες δή τινες ὄντες τέως — καὶ γεννικοί.

20) πρύμναν, C. Mon. καὶ πρύμναν.

21) ἑαυτοὺς, C. Mon. αὐτούς.

22) Καλλικρατίδας, cf. Plut. Lysand. c. 6. sqq. ed Reisk. Vol. III. p. 11. sqq.

ἦθος τοῦ βίου προθέσει, καὶ τῷ σώφρονι καὶ μετρίῳ τῆς διαίτης, καὶ κομιδῇ τῆς Σπάρτης ἀξίῳ φρονήματι. Καὶ δεῆσαν ὑπὲρ τῆς πατρίδος ἐν Λυδοῖς ἐς Κύρου γενέσθαι τοὺς τρόπους, καὶ τὴν χρόνιον καὶ μόνιμον καλῶς ἐπιτήδευσιν τοῦ βίου, καὶ τὸ τῆς γνώμης ἄπλαστον ἐν πᾶσι πράγμασι καὶ ἁπλοϊκὸν κατὰ τὸν Ἀλκιβιάδην οὐκ ἐτρέπετο, οὐδ᾽ ἐκολάκευε προςφυόμενος οἷς, ὧν ἐδεῖτο, καὶ προςποιούμενος τἀκείνων, καὶ πάντ᾽ ἐκείνων γιγνόμενος κατὰ τοὺς πολύποδας τὰς χρόας συμμετασχηματίζων καὶ μεταβάλλων, ἀλλὰ ξυγχωρῶν ἐκείνοις εἰωθότως ἀκολασταίνειν καὶ κορδακίζειν καὶ περιλαμπρῶς ἁβρύνεσθαι Κύρῳ μετὰ τῆς συνήθους ἀπειροκαλίας, καὶ τραγικώτερον σκηνοποιεῖν ἑαυτὸν, καὶ τὰς ὀφρῦς αἴρειν καὶ τὴν ἄμετρον ὕβριν κατὰ τῶν ὑπὸ χεῖρα καὶ ὅλως τῶν ἐν χρείᾳ τῶν αὐτοῦ μακρῶν οὐσιῶν καὶ τοῦ κράτους, καὶ κολακευόντων πᾶσα ἀνάγκη, αὐτὸς ἦν καθάπαξ ἑαυτοῦ, καὶ τὴν αὐτὴν ᾔει διανύτων ἀεὶ, μηδὲν τρεπόμενος τῶν βελτίστων, καὶ ἧς εἴθιστο τῷ βίῳ πάντως [25]) ἀποιήτου τῶν ἀλλοτρίων ἐλευθεριότητος. Καὶ δοκῶν γε λοιπὸν ἐντεῦθεν ἀνάγωγός τις εἶναι καὶ ἀπολίτευτος καὶ ἀπαθὴς τὰ κοινὰ τοῖς ἀνθρώποις καὶ ἀκοινώνητος ξυνεῖναι δεσπόταις καὶ ὑβρίζουσιν, ὁ δὲ τῶν αὐτῶν ἀκόμψως καὶ ἀηδῶς εὖ μάλ᾽ ἐκεί-

---

25) πάντως, Cdd. Aug. et Mon. πάντων.

νοις εἴχετο[24]), κἂν εἰ σκώπτοιτο[25]) τῆς ἀπαιδευσίας τοῦ βίου καὶ ἀναρμοστίας καὶ ἀγροικίας, ἐν οἷς ἐδεῖτο, μηδὲν μέλον αὐτῷ, μήδ' ἐκτρεπόμενος[26]), μηδὲ μεταποιούμενος τὴν ἀληθῶς εὐγένειαν τοῦ βίου, μηδὲ συνεξορχούμενος, οἷς συνῆν ὑπ' ἀνάγκης δή τινος ἀνθρώποις, μηδὲ συνακολασταίνων[27]) ἀκολασταίνουσιν ὅτι δὴ συνῆν, ἀλλ' ἐν ἑαυτοῦ μένων μηδὲν ἧττον, καὶ τοὺς σώφρονας περισώζων λογισμοὺς, ὥςπερ ἂν εἰ μὴ συνῆν ἐκείνοις τὸν βίοτον ἀσελγαίνουσι. Καὶ τὸν μὲν φιλόσοφον Ζήνωνα[28]) γενόμενος[29]) Ἀθήνησι φασὶν ἐν συμποσίῳ προςκεκλημένον κατὰ φήμην τῆς σοφίας καὶ τῆς ἀρετῆς πρέσβεσι τοῦ Περσῶν βασιλέως, οἳ κατ' ἐπίδειξιν δή τινα καὶ φιλοκαλίαν, ὥς γ' ᾤοντο, τὴν ἑστίασιν καὶ τὸ συμπόσιον ἐσκευάσαντο[30]), τῶν ἄλλων, οἷ' ἐν πότῳ φιλεῖ γίγνεσθαι, πλείω τῶν μετρίων καὶ λεγόντων τὲ καὶ πραττόντων, τὸν δὲ μόνον σιωπὴν ἄγειν καθ' ἑαυτὸν ὄντα, κἂν τῷ[31]) συμποσίῳ τοῖς πολλοῖς συγκατακείμενον· τῶν πρέσβεων δ' ἐρομένων[32]), σὺ δ' ἡμῖν, ὦ Ζήνων,

---

24) εἴχετο, C. Aug. ἔχετο.

25) σκώπτ. C. Mon. σκέπτοιτο, male.

26) ἐκτρεπ. C. Aug. vitiose ἐκτρέπονος.

27) συνακολ. C. Mon. συνακολασταίνουσιν.

28) Ζήνωνα, C. Aug. Ζῆνα.

29) γενόμενος, leg. γενόμενον.

30) ἐσκευάσ. C. Mon. ἐσκευάσοντος.

31) κἂν τῷ, C. Mon. κ' αὐτῷ, mendose.

32) ἐρομ. C. Mon. ἐῤῥομένων, male.

οὐδὲν φθέγγῃ μόνος τῶν δαιτυμόνων; ἢ τί ἂν ἔχοιμεν περὶ σοῦ λέγειν ἐς τοῦ βασιλέως καὶ δεσπότου γενόμενοι; τὸν δὲ φάναι, μηδὲν ἄλλο λέγειν, ἢ ἅπερ ὁρῶσιν, ὡς ἔστι τὶς Ἀθήνησι πρεςβύτης ἀνὴρ ἐκ φιλοσόφων ἐν συμποσίῳ τῶν ἄλλων ἐχόντων, ὡς ἔχουσιν, αὐτός γε μὴν καὶ συνὼν σφίσι σιγᾷν, καὶ μηδὲν λέγειν δυνάμενος. Ὁ δὲ Ζήνων φασὶν οὕτω γεννικῶς καὶ ἀστείως ἐρεῖν. Τοῦτ' οὖν [33]) *Καλλικρατίδας καὶ ἄλλοι κατ' αὐτὸν, καὶ ὅσοι τὸν ἀεὶ χρόνον ἐν ἀνθρώποις πάλαι τὲ καὶ νῦν οὐχ ἥκιστα τοῖς καλλίστοις λογισμοῖς συνεβίωσαν, μηδὲν ἐξιστάμενοι τῆς κρατούσης παρ' αὐτοῖς ἀμείνονος ἕξεως καὶ ἀγωγῆς ἐθίμου, καὶ τῶν βελτίστων αἱρέσεων, μήδ' ἂν οἱστισιν ἄρα ξυνενεχθῶσι τῇ τύχῃ λόγοις καὶ πράγμασι πλεῖστον ἄρα τῶν ἀνθρωπίνων κρατοῦσι καὶ καταγοητεύουσι φέρειν ἄλλῃ πως ἢ τέως εἰθίσθησαν, καὶ παραπλησίως ἴσως γε κατὰ τοὺς πολλοὺς ἐν τῷ βίῳ, καὶ τὰς νομίμους τοῖς πολλοῖς δόξας τὲ καὶ χρήσεις, οἷς ἀνάγκη πως ξυνέπεσθαι, εἰ δὲ μὴ, μελαγχολᾷν δοκεῖν, καὶ ἀλλοκότους εἶναί τινας καὶ ἀπαιδεύτους, καὶ καθάπαξ ἀπολιτεύτους τὰ κατ' ἀνθρώπους ἀγαθά. Ὥςπερ ἄρα καὶ Φωκίων Ἀθήνησιν ἐδόκει τοῖς τοῦ Περσῶν βασιλέως πρέσβεσι βέλτιστος ἀνὴρ, καὶ βέλτιστα τῷ βίῳ χρώμενος μετ' ἀληθινῆς τῆς κρίσεως τῶν αὐτῷ προςηκόντων, καὶ τῇ πενίᾳ μηδὲν ἐπαι-*

33) οὖν, Cdd. Aug. et Mon. ἦν.

σχυνόμενος ἀντὶ τῶν γεννικῶν καὶ ἐλευθερίων λογισμῶν καὶ τῶν ἀληθινῶν, καὶ κατὰ φύσιν μετὰ τοῦ ἀνενδεοῦς ἔξωθεν καλῶν, ἃ πρὸς ἑαυτοῦ πεποίητο μάλιστα, καὶ τῆς κατὰ γνώμην προκοπῆς τὲ καὶ αὐταρκείας. Μᾶλλον μὲν οὖν ἐκ τούτων καὶ θαυμάζεσθαι ἀξιῶν, ἐκ τοῦ περιφρονεῖν ταῦτ᾽ ἀφ᾽ ὧν οἱ πολλοὶ θαυμάζονται· καὶ θαυμάζουσιν αὐτοὶ ταῦτα κομιδῇ καὶ τιμῶσιν. Ἀφικομένων γὰρ Ἀθήνησι πρέσβεων, οὗ βασιλέως εἴρηται, καὶ γενομένων κατ᾽ ἐντολὴν τοῦ πέμψαντος ἐν χρείᾳ καὶ Φωκίωνα κατιδεῖν οἴκοι διὰ κλέος αὐτῷ τῶν στρατηγιῶν καὶ τῆς ἀρετῆς, τέως μὲν εἰσελθεῖν δοκεῖν εἰς οἶκον δή τινα πολυτελῆ καὶ πλέον ἔχοντ᾽ ἢ κατὰ τοὺς ἄλλους Ἀθήνησι, καὶ πᾶσιν ἄλλοις μακαριζόμενον, ἃ μακαρίζειν ἀξιοῦσιν οἱ πολλοὶ, καὶ θεραπόντων πλήθει, καὶ πάσῃ ξένοις ἀνδράσι δοκούσῃ θεατρικῇ παρασκευῇ, καὶ ἧς, ὡς ἔπος εἰπεῖν, αὐτοῖς εἴθιστο, εἰσελθόντας δ᾽ ὅμως πᾶν τοὐναντίον, ἢ σφίσι προσεδοκᾶτο, κατιδεῖν, καὶ πρὸς τοῖς [34]) ἄλλοις ἔτι τοῦτο πάντων θαυμασιώτερον, τὴν μὲν γυναῖκα τοῦ ἀνδρὸς ἀντλήσασαν ὕδωρ [35]) τοῦ ἐν τῇ αὐλείῳ φρέατος προσφέρειν Φωκίωνι, αὐτὸν δὲ τοῦτο μὲν αὐτοῦ πιεῖν [36]), ἐν χρεί᾽ ὄντα πιεῖν, τοῦτο

---

34) *τοῖς* deest in C. Mon. margini tamen adscriptum legitur.

35) *γυναῖκα ἀντλ. ὕδωρ*, cf. Plut. Phocion. c. 18. Vol. IV. p. 524., vbi Phocion ipse, non vero vxor eius dicitur hausisse aquam.

36) *πιεῖν*, C. Mon. male *ποιεῖν*.

δ' ἐξ αὐτοῦ τὼ πόδε ἀπονίπτειν ἀνυπόδετον ὄντα καὶ βαδίζοντα πεπαυμένον, καὶ τούς γε δὴ πυθομένους καὶ μεμαθηκότας αὐτόν τε Φωκίωνα καὶ τὴν ἀντλοῦσαν τὸ ὕδωρ σύζυγον, ἐξαπορεῖσθαι μὲν ἑστῶτας μέχρι πολλοῦ πρὸς τὴν ἔκτοπον τοῦ ἀνδρὸς καὶ μεγαλόφρονα ταύτην ὡς ἀληθῶς αἵρεσιν τοῦ βίου καὶ δίαιταν. Ὡς δὲ καὶ εἰς λόγους τἀνδρὶ γένοιντο, καὶ τοὺς λόγους ἐπέγνωσαν γεννικούς τε ἄλλως καὶ πρὸς τὰ πεμφθέντα δῶρα τοῦ βασιλέως καὶ τὰς ἐκ μακροῦ δεξιώσεις ἀπαντῶντας ὑπερφροσύνῃ καὶ μεγαλοψυχίᾳ πρεπούσῃ τῷ τοῦ ἀνδρὸς τρόπῳ τε καὶ τῷ βίῳ, καὶ παρ' οὐδὲν τιθεμένους τὰς πολυτιμήτους ἐκείνας χάριτας, καὶ τὰ δῶρα τοῦ βασιλέως, καὶ προῖκα μᾶλλον ἀξιοῦντος φίλον ἔχειν αὐτὸν καὶ κατὰ πᾶσαν ἀνάγκην, ἣν[37] τῇ πατρίδι φίλος εἴη, εἰ δὲ μὴ, μάτην πονεῖν καὶ χειρῶν μᾶλλον ἄρχειν ἀδίκων, θαυμάσαντας εὖ μάλα τῇ καινότητι τῆς ἐντυχίας καὶ τῷ κράτει τῆς τοῦ ἀνδρὸς γνώμης παντάπασιν ἀηττήτου κατὰ τὴν ἐξ ἀρχῆς πρόθεσιν ἀνυτούσης, ἐκπεπληγμένους ἀπελθεῖν διηγήματα θαυμάτων τοῖς οἴκοι καὶ τῷ δεσπότῃ κομιεῖν κατὰ νοῦν στρέφοντας. Τὰ δ' αὐτὰ καὶ Ἐπαμεινώνδας ὁ Θηβαῖος ἐπεδείκνυτο πρὸς τοὺς ἐκ τοῦ αὐτοῦ βασιλέως πρέςβεις, καὶ μετὰ τῆς αὐτῆς εὐγενείας καὶ δοκούσης ἀρετῆς ἐκτόπου, καὶ κρίσεως τε καὶ χρήσεως μὴ μεταμέλον ὅλως αὐ-

37) ἣν, C. Mon. ἢ. Aug. ἦν.

τῷ τῆς ἄκρας πενίας, καὶ μεγαλοφροσύνης καὶ ὑπεροψίας κατὰ παντὸς πλούτου τὲ καὶ πλουτοῦντος ἔξω τοῦ καιροῦ, καὶ μέγα φυσῶντος ἐντεῦθεν. Τὰ δ' αὐτὰ καὶ Ἀριστείδης μάλιστα πρὸ αὐτῶν, καὶ Σωκράτης πρὸς τοὺς ἀπ' Ἀρχελάου, τοῦ Μακεδόνων βασιλέως, καὶ Ἀρχέλαον αὐτὸν καλοῦντα καὶ πάντας ἀνθρώπους. Τὰ δ' αὐτὰ καὶ παρὰ Ῥωμαίοις Φαυρίκιοι μετὰ τὰς ὑπατείας, μετὰ τὰς ἀριστείας τὰς ὀνομαστὰς ἐκείνας ἐπ' ἀγροῦ πενιχροῦ τῆς πόλεως εὐτελῶς ἔξω διαιτώμενοι, καὶ γογγυλίδας ἕψοντες αὐτουργοῦντες ὁρώμενοι, καὶ ἀνεπιστρόφως ἔχοντες πρὸς τοὺς ἀπὸ Πύῤῥου [38]) πεμπομένους, καὶ τὰς Πύῤῥου δωρεὰς καὶ Πύῤῥον αὐτὸν περιφρονοῦντες, αὐτόν τε καὶ χρήματα καὶ νικῶντες ταῖς τῶν λόγων ἀπαντήσεσι, καὶ νικῶντες τοῖς ἔργοις αὐτοῖς καὶ κενὸν, καὶ κεναῖς ἐλπίσι βουκοληθέντα, καὶ πᾶσαν σχεδὸν γῆν καὶ πάντα πράγματ' ὀνειρώξαντα τέως ἀνελέγξαντες τελευτῶντα Σικελίας καὶ Ἰταλίας Ῥωμαίοις ἐξιστάμενον. Καὶ κενὸς ἂν εἴη καὶ ἡμῖν νῦν ἄρα πόνος καταριθμεῖσθαι τοὺς παρ' ἑκάστοις τῶν εὐδοκιμησάντων γενῶν δοκίμους πάλαι τὲ τῶν χρόνων, καὶ μηδὲν ἧττον ὀψὲ τῶν χρόνων, καὶ νῦν γε, καὶ ἀεὶ μάλιστα, πλὴν γε ὅτι δῆλοί πως εἰσὶ παντὶ τῷ βίῳ καὶ πᾶσι πράγμασιν εὐγενεῖς καὶ ἄσειστοι, οἱ τὴν ἀληθινὴν τῆς ἀρετῆς ταύτης ἕξιν ἀσκήσαντες, καὶ περιττοὶ τὴν γνώμην περὶ τὴν

38) Πύῤῥου, Cdd. Mon. et Aug. Πύρου.

τύχην καὶ τακτῆς τύχης ἀγαθὰ, καὶ ὑψηλοί τε καὶ ὀρθῶς καὶ ἀπλάστως κατολιγωρηκότες αὐτῶν· τοὺς δ' ὑπὸ βασκανίας τινὸς καὶ τῶν [39]) μὴ τυχεῖν, ὧν ἐρῶσι, καὶ πλεῖν ἴσως, ἢ καὶ οἱ τυχόντες μέγα φρονοῦντας ἐν πλάσματι δή τινι καρτερίας, καὶ γεννικῶν λογισμῶν καὶ ἐλευθεριότητος [40]), καὶ κατεξανισταμένους τῶν ἐκ τῆς τύχης, καὶ παρορῶντας δῆθεν ὧν οὐκ ἔξεστι σφίσι ξυνορᾶν, χρὴ νοσοῦντας οἴκοι, κἂν οὐ δοκῶσι [41]) ταῖς ὑποκρίσεσι καὶ τῇ τραγικῇ σκηνῇ τισὶν ἴσως ἔξω καὶ ὑφορᾶσθαι, μᾶλλον δ' ἐνίοτε καὶ [42]) κατελέγχειν ἐπ' αὐτοφώρῳ τυχὸν οὑτωσί πως περιτρεπομένους ἐπὶ τἀναντί', ὧν τέως ἐφιλοσόφουν, ὥς γ' ἐδόκουν.

ΚΕΦ. νή.

Πότερον ἄμεινον [1]) ἀνθρώπῳ τὸ γενέσθαι, ἢ τὸ μὴ γενέσθαι, καὶ ὅτι ἄμεινον τὸ γενέσθαι.

Οὐκ οἶδ', ὁπότερον ἂν ἀνθρώπῳ το βέλτιον εἴη, ἢ τὸ γενέσθαι καὶ προελθεῖν εἰς βίον, ὅτι

---

39) τῶν, Cdd. Mon. et Aug. τῷ.

40) ἐλευθ. C. Mon. ἐλευθεριότητι.

41) δοκῶσι, C. Mon. δοκοῦσι.

42) καὶ, desideratur in C. Mon.

1) Πότερον ἄμεινον κ. τ. λ. Reinesius ad marginem citauit Cic. Tuscul. 1, 48. Lactant. Div. Institut. 3, 19. e Cic. de luctu minuendo. Diog. Laert. in Epicur. fere ad extremum: πολὺ δὲ χεῖρον καὶ ὁ λέγων, καλὸν μὲν μὴ φῦναι. Sext. Empir. l. 3. hypotyp. Pyrrhon. c. 24. Procop. ep. 47. et Salomon. Eccles. 4, 2.

δὴ καθάπαξ[2]) *ἄμεινον τοῦ μὴ εἶναι τὸ εἶναι*[3]), *καὶ πάντως τὸ γενέσθαι τοῦ μὴ γενέσθαι, καὶ δι' ἕτερα πλεῖστα, ἃ κἂν εἰ μὴ πάντα, τινὰ δ' ὅμως εἰρήσεται, ἢ τὸ μὴ γενέσθαι, μὴ δὲ ξυλλαχεῖν ὅλως ζωῇ τε καὶ*[4]) *βίῳ τοσούτοις συναντῆσαι μέλλοντι τοῖς δυσχερέσι καὶ βαρυτάτοις τῇ ζωῇ πράγμασι διὰ πάσης, ὡς εἰπεῖν, τῆς ζωῆς· ὃ δὴ καὶ Σολομὼν, ὁ τὰ μέγιστα μεμαρτυρημένος*[5]) *ἐπὶ σοφίᾳ, καὶ οὒς τὸ κλέος ὑπὲρ ἀνθρώπους ἅπαντας κρατεῖ, τἄμεινον ἥγηται. Ὁ μὲν οὖν θαυμάσιος Πλάτων φησὶ, τοσούτοις πάντ' ἂν συναντᾷν*[6]) *κατὰ τὸν βίοτον τοῖς ἀφιαροῖς εἰς γῆρας, ὡς μηδὲν ἂν τῶν ἁπάντων ἑλέσθαι διὰ τῶν αὐτῶν, εἰ οἷόν τ' ἦν, ἐπανελθεῖν, καὶ δὶς τοσαῦτα βιῶσαι μετὰ τῶν αὐτῶν ἔτη πραγμάτων, ἀλλὰ πολὺ μάλιστα προκρῖναι καὶ προελέσθαι θανεῖν, ἢ δὶς ἐν τοῖς αὐτοῖς ζῆσαι πάνυ τοι πλεῖστον ἐξὸν ὅπως ἄρα πράγμασιν. Ὁπότε δὲ τοῦτο φησὶ, παντὶ δῆλον αὐτόθεν ποιεῖται, ὡς ἄρ' ἄμεινον ἅπαντι καὶ πολλῷ μᾶλλον αἱρετὸν τὸ μὴ γενέσθαι καὶ τυχεῖν ζωῆς, ἢ τὸ τυχεῖν διὰ τοσαῦτα δυσχερῆ τῆς ζωῆς. Κατὰ παντὸς γὰρ ἦν ὁ λόγος αὐτῷ καὶ τῆς ἐν τῷ βίῳ παντὶ δυσχρηστίας καὶ ἀηδίας,*

---

2) *καθάπαξ*, C. Mon. *καὶ καθάπαξ.*

3) *τὸ εἶναι*, absunt a C. Aug.

4) *καί*, omissum in C. Aug.

5) *μεμαρ.* C. Aug. *μαρτυρήμενος.*

6) *πάντ' ἂν συναντᾷν*, Cdd. Aug. et Mon. *πάντ' ἄνθρωπον ἐξ αὐτῆς ἀμέλει τῆς βρεφικῆς ἡλικίας συναντᾷν.*

κἂν ἄλλως ἄλλῳ τὰ κατα τον βίον συνηντήκει, κἂν ἀμέλει τῷ μὲν μᾶλλον, τῷ δ᾽ ἧττον ἀλγεινῶς. Καὶ γὰρ δὴ τῷ μὴ τυχόντι βίου καὶ ζωῆς οὔτ᾽ ἀλγεῖν πάντως ἐστὶν, οὔτε τοὐναντίον ἥδεσθαι, τῷ δὲ ξυντυχεῖν ζωῇ πᾶσα ἀνάγκη συνέξευκται πλείω τῶν ἡδόντων τἀνιῶντα. Καὶ Ὅμηρος [7]) δὲ φησὶ καθόλου περὶ πάντων παρ᾽ ἑνὶ ἐσθλῷ δύο πήματα. Καὶ τοίνυν εὖ γε δῆλον, ὡς πολὺ μάλισθ᾽ αἱρετώτερον τὸ καθάπαξ ἀνάλγητον ἅμα συν οὐδενὶ τῷ γλυκαίνοντι, ἢ τὸ παρ᾽ ἀμφοῖν κεκραμένον, ὁπότε πλέον ἔχει τὰ χείρω, καὶ τοῖς ἀριθμοῖς ἢ τῷ μεγέθει νικᾷ τἀναντία, καὶ δι᾽ ὧν ἐστιν ὁπηοῦν ἐν ῥαστώνῃ βιοῦν. Καίτοι τί λέγω, εἰ τὰ χείρω κατὰ τὸν λόγον ἀεὶ νικᾷ, κἂν πάσῃ κράσει τῶν ἐναντίων [8]) τῶν ἀνιώντων μᾶλλον αἰσθανόμεθα, καὶ ἔσθοντες καὶ πίνοντες, καὶ παντὶ τρόπῳ χρώμενοι καὶ μὴ τῶν ἡδόντων [9]) τε καὶ βελτίστων, εἰ καὶ ἴσα πως ἔχει τῇ κοινωνίᾳ, καὶ μικρὰ ῥανὶς κηλίδος [10]) καθάπαξ μιαίνει, καὶ τῶν ἱερῶν ἐξωθεῖ

---

7) Ὅμηρος, Il. ω, 528. et 529. cf. ibi Heyne. At verba a nostro laudata et ab aliis Homero tributa sunt Pindari Pyth. 3, 145. Ἓν παρ᾽ ἐσθλὸν πήματα σὺν Δύο δαίονται βροτοῖς Ἀθάνατοι. cf. Heyne. Si Theodorus hunc vers. in Homero suo vere legerit, qui vero postea excidit, Pindarus haud dubie eum ante oculos videtur habuisse. cf. Wolf in Prolegg. p. XXXVII. de versibus Homeri, qui neque in textu nostro, neque in scholiis iam habentur.

8) τῶν ἐναντ. C. Aug. non exhibet.

9) ἡδόντων, C. Mon. ἡδονῶν, in margine γρ. ἡδόντων.

10) κηλίδος, C. Aug. κηλῖδος.

τοὺς ἐκ πολλῶν ἡγνισμένους[11]) ἄλλων τῶν τρόπων καὶ χρήσεων. Ἐν τούτῳ γάρ ἐστιν, ἐν ᾧ πλεονεκτεῖ τὴν ἀρετὴν ἡ κακία, ὃ θαυμαστῶς τε καὶ κάλλιστα καὶ ἀληθέστατ' εἰρηκώς φησι. Καὶ μὲν δὴ κἂν τοῖς ἀποδεικτικοῖς καὶ συλλογιστικοῖς ἀγωνίσμασιν ἑνὸς φαύλου καὶ ψευδοῦς παρενθήκη πᾶσαν καθάπαξ ἀνόνητον ἐλέγχει τὴν ἐπιμέλειαν, καὶ τὴν πρόθεσιν καὶ ἀτελεσφόρητον τοῦ βελτίστου καὶ τἀληθοῦς, κἂν εἰ ὁ λόγος πολλοῖς ἄλλοις μεμέστωται τοῖς ἐπαληθεύουσι, καὶ ἀεθλεύει νόμιμά τε καὶ δίκαια καὶ μετ' ἀσείστων τῶν πλειόνων καὶ λοιπῶν ὑποθέσεων. Ἀλλὰ δὴ καὶ τοῦτ' ἐπεὶ κατὰ τοὺς λογικοὺς ἀεὶ ταῖς χείροσι[12]) τῶν προτάσεων ἕπεται τὰ συμπεράσματα, ἤτοι μὴ μόνον ταῖς ψευδέσιν[13]) ἕπεται περαίνειν ψευδῆ, κἂν εἰ αἱ πλείους ὦσιν ἀληθεύουσαι, ἀλλ' ἄρ' ὅμως ἔτι καὶ ταῖς ἀποφατικαῖς[14]) ὁπωςοῦν ἀποφατικὰ ταῦτα δὴ τὰ συμπεραινόμενα, κἂν εἰ πλείους ὦσιν αἱ καταφάσκουσαι, καὶ ταῖς μερικαῖς μερικά, κἂν εἰ ὡσαύτως πλείους ὦσιν αἱ καθολικῶς τοῖς λογισμοῖς προτεινόμεναι καὶ συντιθεῖσαι τὸν ὅλον δρόμον τοῦ συλλογίζεσθαι, καὶ οὐκ ἄλλως ἐστὶν, ἢ οὕτως[15]) συλλογιστικῶς ἔχειν

11) ἡγνισ. C. Aug. ἠγωνισμένους.

12) χείροσι, Cdd. Aug. et Mon. χείρουσι.

13) ψευδέσιν, C. Mon. ψευδέσεσιν.

14) ἀποφ. C. Aug. male ἐποφατικαῖς.

15) οὕτως, C. Mon. οὕτος.

τὰ δεικνύμενα. Εἰ ταῦθ' οὕτω, πάντως δ' οὕτω πάνθ', ὅσα καὶ εἴρηται, πῶς οὐ ξυνορᾷν ἐστι πάντοθεν, ὅτι τὰ χείρω καὶ ἰσάριθμα τοῖς ἀγαθοῖς ὄντα, καὶ ἴσως ἐνίοτε καὶ ἥττω κατ' ἐκεῖνα νικᾷ τὰς ἀπὸ τῶν βελτιόνων ἐγγενομένας ἕξεις, καὶ πρέπει πρὸς ἑαυτὰ τὴν ξυναίσθησιν, καὶ κατόλλυσιν, ὡς εἰπεῖν, τὴν τῶν ἡδίστων πεῖραν, καὶ νικᾷ παντάπασιν, ὡς ἀνενέργητον εἶναί τε καὶ δοκεῖν τοῖς κατ' ἀμφότερα χρωμένοις. Ὅτι δ' οὐκ ἔστιν ἐν ἀνθρώποις ὅλως καὶ κατὰ τὸν βίον ἄκρατον ὁτῳοῦν τῶν ἀπὸ τοῦ παντὸς αἰῶνος ἀγαθὸν [16]), οὐδ' ἐῤῥαστωνευμένην καθάπαξ ὁρῶμεν οὐδενὶ ζωὴν, οὐδ' ἔστιν ἄλυπον κατὰ τὸν πάλαι λόγον βίον εὑρεῖν οὐδενὶ, καὶ τῶν ποτ' εὐδαιμόνων τε καὶ μακαρίων κατὰ τὸν βίοτον, τίς ἀγνοεῖ τῶν ἁπάντων, ἢ τίς μάλιστ' οὐκ ἐφ' ἑαυτοῦ πεπείραται, ὅπως ἂν καὶ ἔχοι τύχης, ἢ τέχνης, ἢ γνώμης, ἢ καὶ ἡλικίας· καὶ νέοι γὰρ οὕτω καὶ παλαιοὶ μάλιστα, καὶ ἡλικιῶτιν ἔχουσι τὴν πικρὰν [17]) τοῦ βίου χρῆσιν, εἰ καὶ μὴ διὰ πάντων, ὧν πεπείρανται, ἀλλὰ δι' ὧν ἄρα τινῶν πεπείρανται, πάντως ἔχουσι, καὶ οἱ ἐν ἀφανεῖ τῷ βίῳ διανύσαντες, καὶ οἱ περίβλεπτοι μάλιστα, καὶ ὅσοι ταῖς ἄλλοις ἐφορωμένοις ἔξωθεν μακαρίζονται καὶ φθονοῦνται πλέον, καὶ δυσμενεῖς ἔχουσι πλείονας, καὶ ἐφέδρους ἐπιθέσθαι,

---

16) ἀγαθὸν, C. Mon. ἀγαθῶν.

17) πικρὰν, desideratur in C. Mon.

καὶ παρὰ πλείστων ἐπιβουλεύονται, καὶ ὅσοι μὴ διοικοῦνται νῷ καὶ λογισμοῖς κρίνουσι, καὶ καθορῶσιν πλέον[18]) ἐν τῷ φρονεῖν, καὶ περὶ τῶν ὄντων ἐπαΐειν εὖ τε καὶ ὡς ἑτέρως[19]) ἐχόντων. Κἀντεῦθεν πλέον δὴ πάντως καὶ τοῖς ἀλγεινοῖς δυσφοροῦσι καὶ πλήττονται, καὶ, ὡς ἔπος εἰπεῖν, πάντες τῷ βίῳ κάμνουσιν, οἱ μὲν ψυχαῖς, οἱ δὲ σώμασιν, οἱ δὲ τοῖς ἔξωθεν συμπίπτουσιν, οἱ μὲν νόσοις πιέζονται καὶ προςταλαιπωροῦσι τὸν ἀεὶ τῆς ζωῆς χρόνον, πονήρως ἔχοντι ξυντυχόντες τῷ σώματι καὶ πολυπαθεῖ πάντοθεν, οἱ μὲν καὶ κατὰ διαστήματα τῆς ζωῆς καὶ[20]) τῶν χρόνων, οἱ δὲ καὶ συνεχῶς αἰεί. Καὶ πολλοί γε τοῖς ἀπευκταιοτάτοις τοῦ σώματος κακοῖς, ἢ μελαγχολίαις, ἢ ἐπιληψίαις, ἢ νόσοις ἱεραῖς καὶ κατὰ παντὸς αὐτοῦ τοῦ σώματος ζημιούμενοι, καὶ τληπαθοῦντες τὸν ὅρον ἅπαντα τῆς βιοτῆς, καὶ λειψάνοις δή τισιν ἐοικότες ἀνθρώποις, ἢ μηδ' ἐοικότες ταῖς ἀληθείαις, ἀλλὰ φωναῖς μόναις ἄνθρωποι γνωριζόμενοι, ἢ μηδὲ τοῦτο πολλάκις· οἱ δὲ κατὰ μέρος τῶν τοῦ σώματος ἄττα, ἢ πόδας, ἢ ὀφθαλμοὺς, ἢ ὦτα, ἢ γλῶτταν, ἢ ἄλλ' ὁτιοῦν τὴν συμφορὰν δεξάμενοι, καὶ τἀμβλώματα, καὶ τὴν ὑφαίρεσιν τῆς ἀνθρωπότητος, καὶ τὴν δυστυχίαν, ἢ ἐκ φύσεως

---

18) καθ. πλέον, Cdd. Aug. et Mon. καθορῶσι εὖ περὶ τῶν ὄντων, καὶ ὅσοι τῶν ἄλλων ἔχουσι πλέον.

19) ἑτέρως, C. Mon. ἑτέρων.

20) καί, deest in C. Aug.

εὐθὺς οὕτω συμβὰν ἅμα γενομένοις, ἢ καὶ μετὰ τὴν γένεσιν περικεκομμένοι ξυμπτώσεσι τισὶν ἐπιπεσούσαις ἔσωθεν ἐκ τοῦ πονηροῦ σώματος αὖθις, ἢ καὶ ἔξωθεν τύχης τινὸς ἐπηρείᾳ. Πάντες δ' οὖν ὅ τί ποτ' ἄρα κάμνουσι τῷ σώματι καὶ ταλαιπωροῦσιν, ἢ πλειστάκις, ἢ καὶ ὁτὲ δὴ καὶ οὐδεὶς ὅστις οὐ[21]), οὐδὲ τὸν ἅπαντα τῆς ζωῆς αὐτῷ χρόνον ἀθῶος ἅπαντα διαγίγνεται τῆς ἐντεῦθεν δυσχερείας, καὶ περὶ τῶν ἐσχάτων ἐπικινδυνοτάτου πάλης. Καὶ οἱ μὲν οὕτω τῷ σώματι, οἱ δ' ἀεθλεύουσιν ἀεὶ καὶ κατατρύχονται ταῖς ἄλλαις κατὰ τὴν ψυχὴν ἀσχολίαις, καὶ νόσοις μάλα τοι κρατούσαις ἐν ἀνθρώποις, καὶ κομιδῇ καταπολιορκούσαις ἐν διαρκείᾳ δή τινι δυστήνῳ τὴν ψυχὴν φθόνοις, ἀνίαις, φόβοις παντοίων κινδύνων, προδήλων[22]) τε καὶ οὐδενὸς ὁτουοῦν ἀδοκήτου ταῖς ἀληθείαις, ὅστις νοῦν ἔχει, ὑποψίαις ἐχθρῶν κακουργούντων ἀδήλως, ὕβρεσι καὶ θράσει πλέον ἐχόντων, καὶ κατατρεχόντων ἐκ τοῦ προδήλου, καὶ ἀναιδῶς ξὺν ὀλιγωρίᾳ πάσῃ πᾶσι πράγμασιν, ἃ καὶ καταριθμεῖσθαι ῥᾴδιον. Καὶ δῆλα γὰρ ἅπασι καὶ πλεῖστα, καὶ οὐδεὶς ἀγνοεῖ, καὶ καταριθμεῖσθαί γ' ἔτι κομιδῇ δυσχερὲς αὖθις τῷ πλήθει, καὶ μάλιστ' ἐν ὀλίγῳ τοῦ λόγου μήκει, καὶ ὡς νῦν ἡμεῖς προτιθέμεθα. Ἀλλὰ μὴν ἔθ' ὅσα δῆτ' ἀνθρώποις ἐν τοῖς καθ' αἵρεσιν καὶ

21) οὐ, omittunt Cdd. Aug. et Mon.

22) προδήλων, C. Mon. προδήλως.

τύχην ἔξωθεν ἀπαντᾷ, τί τις ἂν λέγοι; βίοτον εἵλετό τις ἀφιλότιμον καὶ πραγμάτων ἔξω, καὶ πάσης ἀλλότριον ἐπιμελείας τε καὶ φιλονεικίας, καὶ πόνων, καὶ συζυγίαν φυγὼν ἴσως γυναικὸς καὶ τέκνωσιν, καὶ τἄλλ', ὅσα καθάπαξ [23]) ἀσχολιῶν ἀφορμαὶ, περιφρονεῖται πᾶσι καὶ κατὰ τὴν παροιμίαν, ἐν καρὸς αἴσῃ, καὶ καταμωκᾶται κάθαρμα περιιὼν, καὶ γῆς ἄχθος ἄλλως, καὶ Βοιωτία ὗς, καὶ τοῦτο τῆς παροιμίας, καὶ τῷ προςτυχόντι παιδιᾶς ὕλη καὶ ὕβρεως [24]) πραγμάτων ἐρᾷ, καὶ κατεπείγεται πάσῃ γνώμῃ καὶ πάσῃ ῥώμῃ κατὰ τὸν βίον ἠνυκέναι τὶ πρὸς τὴν ἑκάστοτε πρόθεσιν, εἰ μὲν καὶ διαρκῶς ἔχοι καὶ τῇ φορᾷ [25]) τῆς τύχης ἵλεῳ χρῆται. Δοκεῖ μὲν ὅ τί ποτ' ἄρ' ἐνταῦθα μὴ ἀηδῶς ἔχειν, ὅσα δ' ἀνιῶνθ' ὅμως πλεῖστ' ἐνταῦθα πρὸς τῷ καὶ οὕτως ἀμέλει μὴ καθάπαξ οἷόν τ' εἶναι πάντων τυχεῖν κατὰ βούλησιν. Καὶ τοῦθ' ὁρᾷν ἐστιν οὕτως ἐπὶ πάντων· ὅσα δ' οὖν πλεῖστα τἀνιῶντ' αὐτόθεν, ἀπέχθειαι, φόβοι, φθόνοι, δολιότητες, ἐναντιότητες κρύφα τε καὶ ἀνέδην, καὶ τἄλλ' ὅσ' ἕπεται, τί τις ἂν ἔχοι λέγειν, πλήν γε ὅτι πάντες πεπειράμεθα; καὶ ἀλλήλοις ἔστιν ἡμῖν ἐπιμαρτύρασθαι, εἰ καὶ μὴ περὶ πάντα, πᾶσι γὰρ οὐ πάνθ' ὁμοῦ κοινά. Περὶ πλεῖστα δ' οὖν, καὶ ὧν ταῖς ἀνάγκαις ἀφύκτως

---

23) καθάπαξ, C. Aug. male καθάπερ.

24) ὕβρεως, C. Aug. ὕβρεως καί.

25) φορᾷ, C. Mon. φθορᾷ.

ἐχόμεθα, καὶ παλαίομεν δυσχερῶς ἀεθλεύοντες, οἱ μὲν ἴσως μᾶλλον, οἱ δ' ἧττον, καὶ καθότι μικρογνωμοσύνης ἡμῖν μέτεστιν, ἢ τοῦ γ' ἐναντίου. Καὶ πολλοί γ' ἐν τούτοις κατὰ τὴν παροιμίαν ἐν τριόδοις γιγνόμενοι λογισμῶν, καὶ πάσης ἀπορίας καὶ δυσχερίας πλέω [26]), ὥστε καὶ ποθεῖν ἀπαλλαγὴν ὅπως ἄρα, καὶ ποθεῖν ἔνιοι καὶ προλιπεῖν τὸν βίον αὐτὸν, καὶ μικροῦ [27]) τὸ τοῦ [28]) Αἰσχύλου φθέγγεσθαι· ὦ θάνατε, παιὰν, ἰατρὸς μόλε. Καὶ τί τις ἂν ἔχοι λέγων ἐν τούτοις μηκύνειν, ὡς ἔφην, καὶ ὅσοις μὲν πρὸς τούτοις ἀπαιδία, καὶ τέκνων καὶ διαδοχῆς καθάπαξ ἐρημία; τοῖς μὲν τοῦτο δὴ τῶν ἐν βίῳ πάντων ἀλγεινότατον, καὶ ὃ πάντως ἂν προειδόμενοι καὶ προεγνωκότες, οὐκ ἂν εἵλοντο [29]) βιῶσαι καὶ πραγμάτων καὶ ζωῆς ἅψασθαι, στενωθέντες αὐτοὶ δὴ μόνοι τὸ ζῆσαι, καὶ παντάπασιν ὀλίγοι, καὶ βραχύβιοι δή τινες γενόμενοι, καὶ μὴ κατὰ [30]) μῆκος ἐν τῇ διαδοχῇ δολιχευσάμενοι, καὶ διαυλοδρομήσαντες ἐν διαρκείᾳ πάντων ἡδίστῃ τὸν βίοταν. Οἷς δ' ἂν αὖθις προςείη καὶ παίδων κτῆσις τῷ βίῳ, τούτων καὶ ὀλιγότης ἀνιαρὸν καὶ δυστυχίας ὕποπτον, ἀεὶ γὰρ καὶ ἀπαιδίας [31]) σφίσι πρόσεστι

---

26) πλέω, C. Mon. πλέως.

27) μικροῦ, omissum in C. Mon.

28) τὸ τοῦ, C. Aug. τούτου.

29) εἵλοντο, Cdd. Mon. et Aug. ἵλοντο.

30) μὴ κατὰ, omisit C. Mon.

31) ἀπαιδ. C. Mon. ἀπαιδείας: antea vero ἀπαιδίαι.

δέος. Ἀποβαλομένοις [32]) θανάτῳ τὰ φύντα καὶ γίγνεται πολλάκις τοῦτο, καὶ ὁρῶμεν ξυμβαῖνον, καὶ γίγνεται πλείονος ἀνίας αἴτιον μετα τὴν κτῆσιν καὶ πεῖραν ἡ στέρησις καὶ ἡ ἀπαιδία. Καὶ τὸ πλῆθος αὖ πάλιν ἀνιαρὸν, καὶ πολυμέριμνόν τε καὶ πολυάσχολον, καὶ κατατῆκον μυρίᾳ τῇ περὶ αὐτῶν φροντίδι χρηστῶν τε ὄντων· καίτοι δυσχερέστατον τοῦτο κομιδῇ συγκυρῆσαι, καὶ ἅμα καλλίπαιδας εἶναι τὲ καὶ πολύπαιδας, καὶ μὴ τοιούτων, ἔτι πω [33]) πλέον· καὶ δουλοῖ τῶν τεκόντων τὰς γνώμας τὰ φίλτατα, καὶ κατάγχει [34]), καὶ καταναγκάζει πρὸς πᾶσαν δυσχρηστίαν τοῦ βίου. Καὶ οὐκ ἔστιν ἐπιτομῇ ῥᾴδιον διελθεῖν τὰ ἐντεῦθεν τοῖς τεκοῦσιν ἐργώδη, καὶ ὡς οὐκ ἔστιν ἥδιστα καθάπαξ ἐν [35]) τούτοις χρήσασθαι. Ἀλλὰ πολλοί γε καὶ ἀτεκνίαν καθ᾽ ἑαυτῶν ηὔξαντο, ἢ τοιούτων πατέρες γενέσθαι ἢ καθορᾷν αὐτοὺς ἐπικινδυνότατα γενομένους ἀπαλλάξαντας, ἢ κακῶς πράξαντας, ἢ κακῶς ἐπιδόξους προδήλως πρᾶξαι. Κἀνταῦθα τοῖς ἀνθρώποις ἡ τοῦ βίου πλείστη δυσκολία, καὶ το πολύφροντι [36]) καὶ νῦν, ἑκάστοτ᾽ ἀεὶ, καὶ περὶ τοῦ μέλλοντος καὶ καλῶς φερομένοις ἐν τῷ βίῳ, καὶ ἀξίως ἑαυτῶν ποθοῦσι τὲ καὶ διοι-

32) ἀποβαλ. C. Aug. ἀποβαλλομένοις.

33) πω, deest in C. Mon.

34) καὶ κατάγ. non agnoscunt Cdd. Aug. et Mon.

35) ἐν, abest a C. Mon.

36) πολύφρ. καὶ νῦν. Sic Cdd. nostri. Codd. Pariss. Reg. et Germ. πολύφρον τι καὶ νῦν.

κοῦσι την τῶν ἐκγόνων εὐετηρίαν, καὶ πολλῷ γ' ἔτι κακῶς φερομένοις τῷ καιρῷ καὶ τῇ τύχῃ, καὶ πρὸς χειμῶνα παραβαλλομένοις βιοτικῆς ἀντιπνοίας, καὶ μὴ δυναμένοις εὖ μήθ' ἑαυτοῖς ὁπηοῦν μήτε τοῖς τέκνοις χρήσασθαι. Πολλοῖς δὲ καὶ μεγίστων ἐντεῦθεν ναυαγίων ἀφορμαὶ καὶ τῶν ἐσχάτων αὐτῶν κινδύνων, ἢ παρὰ τῶν τέκνων, ἢ αὐτῶν γ' ἕνεκεν, καὶ παρ' αὐτῶν ἐνίοτε ἢ δι' αὐτά γ' ὤλοντο, καὶ ἀδικώτατ' αὐτῶν ἀπήλλαξαν, ὧν ὑπερβαλλόντως τὴν κτῆσιν ἐπόθησαν, ὡς οὐδενὸς ἄλλου τῶν κατὰ τὸν βίον εὐκταίων, τούτων ὑπ' ἀνάγκης αὖθις πλέον κρατούσης τὴν ὀρφανίαν καὶ ἀποβολὴν ἀνθαιρούμενοι, καὶ ποθοῦντες μεθ' ὕστερον πλέον· καὶ ταῦτα μὲν οὕτω, καὶ τὰ πλείω παρεῖται, καὶ πάνθ' ἑξῆς οὐκ ἔστι γε προςτιθέναι μοίρᾳ βραχείᾳ τρέχοντος. Ταῦτα δ' οὖν ἅπερ ἄρα καὶ πείθει πολλοὺς, τὸ μὴ γενέσθαι μηδὲ ξυλλαχεῖν ζωῇ βέλτιον τίθεσθαι τοῦ γενέσθαι· καθόλου δ' ὅμως φύσει γε δοκεῖ οὐσία τε καὶ γένεσις ἀμείνω γε, ἢ τἀναντία τούτων, καὶ τὸ τυχεῖν πάντως αὐτῶν τῆς βελτίονος μοίρας τυχεῖν ἐστι. Καὶ τἀγαθὸν γὰρ καθόλου τῷ παντὶ τὸ εἶναι, καὶ ἡ κίνησις τοῦ εἶναι καὶ πρόοδος, ἢ πάσης οὐσίας ἐρημία καὶ ἀκινησία, καὶ θεωνυμία τίς ἐστὶ μία, καὶ τῶν γε δοκούντων μάλιστ' ὀνομάτων τιμιωτέρων ἐπὶ θεοῦ, εἰ καὶ μηδεμία ταῖς ἀληθείαις ἔστιν ἐπ' αὐτοῦ κυριωνυμία τὸ ὄν. Καὶ πᾶν, ὅ τί περ ἐπὶ τῶν θείων οἰκειοῦται, παντί που δῆλον, ὡς ἄρα βέλτιστον

τέ ἐστι φύσει καὶ ἀγαθοῦ μετουσίᾳ τίμιον, καὶ οὗ μετουσία κοινή πως ἐστὶ τῷ θείῳ, πολλή τις αὐτόθεν αἰδὼς καὶ πολὺ τίμιον, καὶ μετεῖναι πάντως ἐξὸν παντὶ τῶν τιμίων. Οὐδείς ἐστι τῶν νοῦν ἐχόντων, ὅς οὐκ ἂν ἕλοιτο μάλα τοι ξὺν πόθῳ, πάντα πράττων ἑκών γε εἶναι πρόθυμος καὶ πάντων πόνων πριάμενος, κἂν εἰς σφόδρ' ἐργῶδες εἴη καὶ παγχάλεπον κτήσασθαι, κομιδῇ κατεπειγόμενος εἰς τοῦτο, καὶ πάσαις λογισμῶν κρίσεσι τοῦθ' αἱρούμενος, καὶ πρὸς μηδὲν ἀμέλει προςιστάμενον ὁρῶν καὶ ἀποκνῶν καὶ φειδόμενος· καὶ τοῦτο μὲν οὕτω δὴ καθόλου φύσει πως, ἧπερ εἴρηται. Ἀτὰρ δὴ καὶ ὁρῶμεν ὡς τὰ πολλὰ, ὡς ἄρα πάντες σχεδὸν ἄνθρωποι τῆς ζωῆς ἐφίενται, καὶ κατὰ πᾶσαν δύναμιν αὐτῆς ἔχονται κἂν τοῖς χαλεπωτάτοις ὄντες, καὶ πάνθ' ὅσα δεινὰ πάσχοντες καὶ ταλαιπωρούμενοι πάντα τρόπον τῷ σώματι, καὶ καθάπαξ ἀηδῶς τῇ τύχῃ φερόμενοι. Καὶ φεύγει τίς [37]) ἑαυτὸν καὶ τὴν ζωὴν, καὶ τὸ εἶναι σχεδὸν τῶν ἁπάντων οὐδείς; ἀλλὰ μένει μάλα τοι, καὶ μένειν βούλεται, εἰ δὲ καὶ ξὺν ἐλπίσιν, ὅτι τοι γλυκεῖ' ἐλπὶς [38]) κατὰ τὴν ποίησιν ξυναορεῖ παντὶ κάμνοντι· καὶ τοῦτό γε δῆλον, ὡς ἄρα δεσμός τις τοῦ εἶναι τῇ φύσει δέδοται, καὶ μάλιστ' οἶμαι

37) καὶ φ. τίς, corrupte C. Mon. καί γ' εἴ τινες, et Aug. καὶ γεί τις.

38) γλυκεῖ' ἐλπίς. Sine dubio Theodorus innuit Pindarum, in cuius Fragm. incert. 111. p. 80. ed. Heyn. quod Fragm. γλυκεῖ' ἐλπὶς ξυναορεῖ exhibet, omissis παντὶ κάμνοντι.

τῇ πάντ᾽ ἐχούσῃ προνοίᾳ, καὶ διαρκείας ἀφορμὴ τοῖς οὖσι, καὶ ἄγκυρά τις, ὡς εἰπεῖν, ἱερὰ τοῦ μὴ ῥᾷστα, μήδ᾽ ὑπὸ παντὸς σαλεύεσθαι, μήδ᾽ ἐκπίπτειν τοῦ εἶναι. Τὸ τῶν ἐλπίδων κατ᾽ ἀνθρώπους χρῆμα, καὶ τὸ κατ᾽ ἐλπίδας οὐδὲν ἄλλο πάντως, ἢ ἔρως τοῦ εἶναι, καὶ παράτασίς τις εἰς τοὔμπροσθεν ἑκάστοτε τοῦ εἶναι, καὶ μῆκος ἐπίτηδες τῇ φύσει βιώσεως, ὡς ἔξεστιν ἀμέλει, καὶ πρὸ τοῦ σώματος καὶ τῆς τοῦ σώματος χρήσεως τῷ λογίζεσθαι, μᾶλλον δὲ τῇ πρώτῃ ζωῇ τῇ κατὰ φαντασίαν δηλαδὴ τοῖς ζῶσιν. Εἰ δὲ καὶ μακαριότητος τῷ θείῳ μάλιστ᾽ αἴτιον ἡ ἀϊδιότης τοῦ εἶναι, δῆλόν γε, ὡς τὸ τοῦ ἀγαθοῦ ἀτελεύτητον μακάριον, οὐ τοῦ μὴ ἀγαθοῦ κατὰ φύσιν, καὶ κατὰ φύσιν ἂν μετείη τοῦ ἀγαθοῦ τῷ εἶναι, οὐ τῷ μὴ εἶναι πάντως, ὅτι μὴ τοὐναντίον μᾶλλον τῆς φαύλης ἕξεως καὶ φευκτέας. Καὶ μακαρίζονταί γε μὴν 39) οἱ πρῶτοι τῶν ἀνθρώπων ἐκεῖνοι, καὶ δοκοῦσιν ἀμείνονος τυχόντες τῆς οὐσίας ὡς μακροβιώτεροι καὶ διαρκέστατα χρησάμενοι πρὸς μήκιστον τῷ εἶναι καὶ τῇ ζωῇ, καὶ πρὸς εὐδαιμονίαν οἰκειότεροι τῷ κάλλιστά πως πεφυκέναι καὶ ἀμιγοῦς μᾶλλον καὶ ἀκηράτου τινὸς μετασχεῖν ἕξεως. Οἷα δὴ πάντ᾽ ἐξ ἀρχῆς βελτίω πέφυκε καὶ γίγνεται, καὶ ἐνακμάζει μέχρι τινὸς τῶν δευτέρων ὁμοειδῶν τῇ φύσει, καὶ ἡμῖν ἥκει γ᾽, ὡς εἰπεῖν, ἐν ὑποστάθμῃ τὸ εἶναι, καὶ τοῖς ἐ-

39) μὴν, C. Mon. μέν.

σχάτοις, οἷς πᾶσα ἀνάγκη τοὔλαττον καὶ χεῖρον κατὰ φύσιν ἀποκεκλήρωται, πάντως δ' ἄρα κἀντεῦθεν τὸ εἶναι τὲ καὶ γενέσθαι, καὶ ἡ οὐσία τιμᾶται τῶν ἐναντίων πλέον, τὸ γὰρ τοῦ καλοῦ μῆκος ἐν εὐχῆς μέρει καὶ ποθεινὸν, οὐ τὸ τῆς φαύλης ἕξεως, ὡς τοῦτό γε μάλιστα καὶ ἀπεύξαιτ' ἄν τις, καὶ κομιδῇ βέλτιον τοῖς φαύλοις συνεῖναι καθ' ὅσον οἷόν τ' ἂν εἴη πρὸς βραχὺ, ἢ πολυτελὲς εἶναί τισι καὶ παμμηκέστατον τὸ τῆς φευκτέας ξυντυχίας, καὶ 40) ἧς ὅλως οὐ μήποτε πεῖραν εὔξαιτ' ἄν τις νοῦν ἔχων λαβεῖν. Νῦν δὲ τίς τῶν ἐν ἀνθρώποις σωφρονικῶν καὶ μανίας ἔξω, ὃς ἄρ' ἐξὸν κατ' ἐκείνους τοὺς μακαρίους τὲ καὶ πάλαι θαυμαζομένους ἐν παμμηκεστάτῃ διαρκέσαι τῶν χρόνων βιώσει καὶ παρατάσει τοῦ εἶναι 41) μακραίωνι, ἀπεύξαιτ' ἂν, πόθεν; οἵ γε καὶ φιλανθρωποτάτην ἡγούμεθα, καὶ κοινωφελεστάτην ἀνθρώποις τέχνην τὴν ἰατρικὴν βοηθοῦσαν ἀμηγέπη κατα πᾶν τὸ γιγνόμενον τῇ διαρκείᾳ τοῦ εἶναι 42) καὶ τῆς ζωῆς. Καὶ μὴν ἔτι ξυνορᾶν ἐστιν, ὡς ἀτελευτήτου πως τῆς τοῦ εἶναι παρατάσεως, ὡς ἀγαθοῦ πάντως οἰκείου, καὶ πρώτου τοῖς ζῶσιν ἡ φύσις ἐφιεμένη, μᾶλλον δ' ἡ πρώτη κινοῦσα τοῦ θείου πρόνοια μετουσίαν ἀϊδιότητος τρόπον τινὰ διοικοῦσα καὶ πρυτανεύουσα, τὴν διαδο-

40) καὶ, deest in Cdd. Aug. et Mon.

41) τοῦ εἶναι, C. Mon. καὶ τοῦ εἶναι.

42) τοῦ εἶναι. Librarius C. Mon. a διαρκείᾳ ad alterum τοῦ εἶναι aberrans, omnia, quae intercedunt, omisit.

χὴν ἔοικε τῆς γενέσεως οἰκονομήσασθαι, καὶ τὴν ἀτελεύτητον ἐντεῦθεν τοῖς ζῶσιν, εἰς ὅσον οἷόν τέ ἐστιν, οὐσίωσιν καὶ μονὴν ἐν τῷ εἶναι, ὡς τοῦτ᾽ ὂν σφίσι τἀγαθὸν τὸ εἶναι, καὶ οὐ τοὐναντίον πάντως. Ἔοικε δὲ μάλιστα καθάπαξ καὶ τῆς τῶν ὄντων ἁπάντων κινήσεως καὶ ἀγωγῆς παρὰ Θεοῦ πρὸς τὴν τοῦ εἶναι μετουσίαν οὐδὲν ἄλλ᾽ ἢ ἀγαθότης τὸ αἴτιον [43]) εἶναι, καθὼς ἄρα φασὶν ἱεροὶ λόγοι τὸ πιστὸν εὖ μάλ᾽ ἔχοντες τῷ δήλῳ παντάπασιν αὐτοῦ τοῦ πράγματος, καὶ ὅτι θεοφορήτως εἴρηνται. Βούλησις γὰρ ἀγαθότητος καὶ σκοπὸς εὐεργέτης τὴν οὐσιοποιὸν τῶν ὄντων πάντων κεκίνηκε θείαν ἐνέργειαν εἰς τὴν αὐτῶν δημιουργίαν καὶ πρόοδον· καὶ ἡ αὐτὴ δ᾽ αἰτία τοῦ ἀγαθοῦ καὶ πρόνοια θεία τοῦ δημιουργήσαντος ταῦτ᾽ ἔχει καὶ συντηρεῖ τῇ μονῇ τοῦ εἶναι, καὶ ἵστησιν εἰς δεῦρο τῷ εἶναι, ὧν δ᾽ ἀγαθότης αἴτιον, καὶ αὐτὰ πάντως ἀγαθότητος εἰσὶν ἔκγονα καὶ αἴτια τὰ [44]), πῶς οὐ πᾶσα ἀνάγκη; Καὶ δὴ δῆλόν γε τοῦτο παντὶ νοῦν ὅλως ἔχοντι, μετουσίᾳ τοῦ ἀγαθοῦ οὐσιῶσθαι καὶ κατὰ φύσιν εἶναί τε καὶ μένειν. Οὐ γὰρ κακῶν αἴτιον τὸ θεῖον ἀγαθὸν ὄν, καὶ ὑπ᾽ ἀγαθότητος κινούμενον εἰς τὸ μεταδιδόναι ζωῆς καὶ οὐσίας. Καὶ τοῦτο πᾶς λόγος πείθει τῷ τε καθ᾽ ἡμᾶς τῆς θεοσεβείας οἰκεῖος δόγματι, καὶ τῶν ἔξωθεν ἐπιμελῶς ἐνασχοληθέντων [45])

43) αἴτιον, non habet C. Aug.
44) τὰ, C. Mon. non agnoscit.
45) ἐνασχ. C. Aug. male ἀνασχοληθέντων.

ταῖς περὶ Θεοῦ καὶ τῶν ὄντων θεωρίαις· καὶ πάντ' ἂν ἄνω καὶ κάτω γίγνοιντο, καὶ πάσης κακοδοξίας περὶ Θεοῦ καὶ τῶν θείων πάροδος ἂν καὶ ἀρχὴ, εἰ ἄλλως ἄν τις ἢ οὕτω λέγοι [46]). Χωρὶς δὲ τούτων αὐτόθεν δῆλον καὶ τυφλοῖς, ὅ φασιν, ὡς μέγας ὄντως ἄρα πλοῦτος ἀνθρώποις τοῖς ἐπηυξημένοις τὸ εἶναι κατὰ τὸ λογικὸν, καὶ τοσοῦτον προςλαβοῦσιν ἐπὶ πᾶσιν τοῖς οὖσι θησαυρὸν, καὶ προςθήκην τῆς ζωῆς καὶ τοῦ εἶναι τὴν λογικὴν καὶ θεωρητικὴν ἐνέργειαν καὶ ζωὴν, ὅτι μετέσχον δὴ τοῦ εἶναι, καὶ δέδοται σφίσι κατοπτεύειν ἔχειν, καὶ ἐντρυφᾷν τοσούτῳ πράγματι τῇ θεωρίᾳ τῶν ὄντων, καὶ θεάματος οὕτω καλλίστου καὶ ἀῤῥητον ἐμποιοῦντος γλυκυθυμίαν ἑορτάζειν τῇ ἀπολαύσει, καὶ καθ' αἵρεσιν [47]) ἅπασαν χρήσει, καὶ κοινωνίᾳ κατὰ τὸ μέγα τοῦτο καὶ περιφανέστατον τῶν ὄντων θέατρον, ὃ μεγάλης σοφίας ἔργον καὶ κράτους δυνάμεως, ἀλήπτου μὲν, ὡς καθάπαξ συνιδεῖν τε καὶ συλλογίζεσθαι, πάντων δ' ἀμέλει τῶν ἐποπτευόντων πρὸς λόγον ἑκάστῳ τῆς ἰσχύος τοῦ νοῦ θαῦμα καὶ κατάπληξιν πραττομένης αὐτόθεν. Ἀλλ' ἄρα δὴ τὸ γενέσθαι καὶ προελθεῖν εἰς φῶς, ἐφ' ᾧ συναίσθησιν λαβεῖν ὁπηοῦν Θεοῦ καὶ τῆς θείας φύσεως, καὶ θεοσεβῆσαι τὴν ἀλήθειαν μόνον τῆς περὶ Θεοῦ δόξης καὶ πίστεως, ὅτῳ δὴ καὶ ἐξεγένετο [48]),

---

46) λέγοι, superscriptum ει; sic Cdd. Aug. et Mon. λέγει.

47) καὶ καθ' αἱρ. desiderantur in C. Mon.

48) ἐξεγέν. C. Aug. tantum ἐγένετο.

ὅσον ἄν τις χρῆμα θεῖτο πρὸς τὴν εὐδαιμονίαν τὴν ἀνωτάτω, καὶ κέρδος αὐτῆς τῆς ζωῆς, οὐκ ἂν αὐτὸ πάντων πραγμάτων τιμήσαιτό τις καὶ πόνων ἁπάντων, καὶ πάσης δυσχερείας καὶ χαλεπότητος, καὶ πάντων κινδύνων, καὶ αὐτῆς ἀμέλει τῆς ζωῆς ἑκών γε εἶναι πρόθυμος εὖ μάλα πρίαιτ' ἄν. Καὶ πολλοί γε μὴν ὡς ἀληθῶς οὕτω κάλλιστα [49]) νῦν, κἂν εἰ μηδὲν ἔτ' ἔμελλε λοιπὸν ἑξῆς εἶναι, μηδέ τις μεταβολὴ ζωῆς ἀμείνων καὶ μακαριότης αἰωνίζουσα καὶ ἀντίδοσις· τὸ πᾶν δ' ἦν ἐνταῦθα τοῦ βίου καὶ πέρας τοῦ γενέσθαι μηδὲν ἧττον, ἢ καὶ οἱστισινοῦν τῶν ζώων καὶ τῶν εὐτελεστάτων τὴν φύσιν. Οὐκ ἄρα τοῦθ' ἓν ἀντὶ πάντων ἀξιώσειέ τις ἂν μόνον καὶ καμάτων καὶ ταλαιπωρημάτων ἐν τῇ ζωῇ, Θεὸν ἐπιγνῶναι, καὶ τὴν ἀλήθειαν περὶ αὐτοῦ, καὶ τὸν ἄφατον πλοῦτον αὐτὸν τἀγαθοῦ διὰ πάντων ἰόντα, καὶ τὸ πανσθενὲς καὶ ἄῤῥητον οἷον κράτος τῆς τε δημιουργικῆς ἰσχύος καὶ τῆς προνοητικῆς τοῦ παντὸς καὶ σωστικῆς αἰεί. Ὅπου δὲ τὰ παρόντα μὲν, ὅσα καὶ ὀνείρατος ἔστι τὶς βίωσις καὶ ἀγωγὴ, ἢ, εἰ βούλεταί τις, δράματός τινος ἐν σκηνῇ βραχύβιος κωμιδῇ διοίκησις εὖ τε καὶ ὡς [50]) ἑτέρως τοῖς γενομένοις καὶ ξυντυχοῦσιν ἄρ' ἔχουσα· τὸ πᾶν δ' ἡμῖν ἔστι τῆς γενέσεως καὶ τῆς ζωῆς ἄλλη [51])

---

49) κάλλιστα, Cdd. Mon. et Aug. κάλλιστα καὶ γεννικῶς ἐχρήσαντο πάλαι τε καὶ οὐχ ἥκιστα.

50) ὡς, C. Mon. δικαίως.

51) ἄλλη, C. Mon. ἄλλον.

βλέπον καὶ μεταλλάττον ἐν βραχεῖ πρὸς ἑστῶσαν καὶ ἄτρεπτον κληρουχίαν καὶ ἀποικίαν, καὶ ἧς τἀνθάδε μόνον παρασκευὴ τυχεῖν ἐπ' ἀμείνοσιν, ἀσαλεύτοις, καθὼς ἂν ἑλοίμεθα, καὶ παρ' ἡμῖν τοῦτ' ἐστὶν, οὐκ ἂν εἴη βελτίστης τοῦθ' ἡμῖν ὡς ἀληθῶς ξυντυχίας τὸ γενέσθαι τε ἐνθάδε, κἀντεῦθεν μεταλλάξαντας [52]) εὐγενῶς βραχεῖ τῷ χρόνῳ ξυμπεσὸν ὅπως ἄρα καὶ διαγενομένους τῇδ' ἐν καλῇ χρήσει τοῦ βίου τῶν ἀτρέπτων ἔπειτ' ἐκείνων λαβέσθαι· κἂν εἰ βουλοίμεθα νῦν γε εἶναι καὶ πρὸς ἐκεῖν' ἐκ παρασκευῆς εὖ χρησαίμεθα, τάχιστα μετ' ἐλπίδων πάνυ τοι πιστῶν ἀπαντῆσαι πρὸς εὐδαιμονίαν οἵαν ἄῤῥητον, καὶ βίου χρῆσιν ἄνοσον καθάπαξ, καὶ παντὸς ἐργώδους ἀπηλλαγμένην, καὶ ἧς οὐδὲν μήποτε πέρας γένοιτ' ἄν.

ΚΕΦ. νθ'.

Ὅτι πολὺ παρ' ἀνθρώποις τὸ περιαυτολογεῖν.

Περιαυτολογοῦσιν ἄνθρωποι σφόδρα πάντες δὴ σχεδὸν, καὶ ἄπορον ὡς ἀληθῶς εὑρεῖν, ὅστις μή· οἱ μὲν καὶ ἀνέδην ἐκ τοῦ προδήλου καὶ πάσης τέχνης ἄνευ, καὶ μηδὲν φειδόμενοι παραληροῦντες ἀηδίᾳ πάσῃ τῶν ἀκροωμένων, οἱ δὲ καὶ λανθάνειν ὅμως πειρώμενοι, καὶ κύκλῳ περιϊόντες, καὶ ἀνωτέρους τοῦ πάθους τούτου καὶ τοῦ ἔθους κατὰ τοὺς ἄλλους ἑαυτοὺς μη-

52) μεταλλ. C. Aug. μεταλλάξαντος.

χανώμενοι. Καὶ μάλισθ᾽ οὗτοι κἂν τούτῳ περιαυτολογοῦντες, καὶ τἀναντί᾽ οἷς λέγουσι πράττοντες, ἔπειτ᾽ οὐκ ἀγνοοῦνται καθάπαξ οὕτω κακουργοῦντες, ἀλλ᾽ ἐμπίπτουσιν εἰς ἃ φεύγειν οἴονται δεῖν, καὶ παραιρεῖσθαι τοὺς ὁρῶντας παντὶ τρόπῳ τὴν ξυναίσθησιν. Καὶ τῶν μὲν ἄξιον θαυμάζειν καὶ καταμέμφεσθαι τὴν ἀναίδειαν, τῶν δὲ, καὶ μάλιστ᾽ ἴσως, τὸν δόλον τὲ καὶ τὴν κακουργίαν, καὶ μηδὲν ἧττον ἔπειτ᾽ αὖθις τὴν φλυαρίαν αὐτὴν καὶ τὴν ἀναίδειαν· οὐ γὰρ λανθάνοντες, τελευτῶντες εἰς ταὐτὸ συμφέρονται, τὸ γέλωτ᾽ ὄφλειν καταδολεσχοῦντες τῶν ξυνιέντων περὶ τῶν οἰκείων παραπλησίως κατὰ τοὺς ἄλλους, καὶ δῆλοι γιγνόμενοι τοῖς αὐτοῖς ἁλισκόμενοι, καὶ πολὺ μάλιστ᾽ αὐτοὶ νεμεσᾶσθαι δίκαιοι καὶ πρώταις γε ταῖς παρ᾽ αὐτῶν κρίσεσιν, ὅτι δῆτα φαῦλον πᾶσα ἀνάγκη, ὃ φεύγουσιν ὡς φαῦλον αὐτοὶ, καὶ καθ᾽ ὅσον οἷοί τ᾽ ἂν εἶεν ἐπικρύπτειν αὐτοὶ καθ᾽ ἑαυτῶν πράττουσιν. Ἀμείνους μέντ᾽ ἂν ἦσαν, ἐμοὶ δοκεῖν [1]), καὶ μάλιστα συγγνώμης οὐ πόῤῥω κατελέγχοντες ἑαυτοὺς ἐνταῦθα, καὶ πρὸς τὸ κοινὸν καθάπαξ ἁμάρτημα τῆς φύσεως, ὡς εἰπεῖν, καὶ τῶν ἀνθρώπων καταφεύγοντες. Οὐ γὰρ ἀνεμέσητον μὲν ὅπως ἂν καὶ εἴη τῶν φαύλων ἡ ἕξις, οὐκ ἀσύγγνωστον δ᾽ ὅμως παντάπασιν ἡ κοινὴ μετὰ τῶν πολλῶν νόσος, καὶ ἣ πάντων ἐργωδέστατον ἀνθρώποις

1) δοκεῖν, C. Mon. δοκεῖ: recte δοκεῖν, sc. ὡς, vt c. 97. et all. locc.

μὴ ξυλλαχεῖν ὅλως. Καὶ τὸ μὲν νόσημα σχεδὸν οὕτω κοινὸν, ὡς εἰπεῖν, κατὰ πάντων, ἁλίσκονται δ' ὅμως ταῖς ἀληθείαις, οἱ μὲν μᾶλλον τοῦδε, οἱ δὲ καὶ ἧττον καὶ ἀποιήτως, καὶ πάσης ἐκτὸς ὑποκρίσεως καὶ σκοποῦ τοῦ λανθάνειν πειρᾶσθαι, οὐ μᾶλλόν γε ἁπλότητι γνώμης τινὶ καὶ εὐκολίᾳ, ἢ σωφρονικοῖς λογισμοῖς ὁπηοῦν καὶ ξυναισθήσει τοῦ βελτίστου, καὶ καθορῶντες ἀμηγέπη καὶ τοὺς ἄλλους οὐχ ἥκιστα, καὶ πρός γ' ἔτι καὶ σφᾶς αὐτούς. Ὅτι γὰρ τυφλοῦται πᾶν τὸ φιλοῦν, ὡς φησὶ Πλάτων, περὶ τὸ φιλούμενον, πᾶς δ' ἑαυτὸν [2]) φιλεῖ πλεῖστον, ὅσον καὶ ὑπὲρ πᾶν ἄλλο [3]) φιλούμενον, καὶ πᾶν γὰρ ὅπερ ἂν φιλῇ δι' ἑαυτὸ πάντως [4]) φιλεῖ καὶ ἑαυτοῦ χάριν, καὶ φιλία μάλισθ' ἑαυτοῦ καὶ φιλαυτία πως ἐστὶ τὸ καὶ περὶ ἄλλό τι φιλικῶς διακεῖσθαι. Τυφλώττει λοιπὸν ἅπας περὶ ἑαυτὸν καὶ τὰ οἰκεῖα ἐντεῦθεν, φιλούμενα μάλιστα παρ' αὐτοῦ, καθ' ὁδὸν ἰὼν ἀφ' αὑτοῦ πρώτως ἐπὶ τὰ μᾶλλον ἑξῆς ἔγγιστα φίλτατα, μέχρις ἂν ἀνεπισκότητος τῇ φιλίᾳ προχωρήσας καὶ ἀλλοτριωθεὶς τῶν ἐποπτευομένων γένηται. Καὶ τοίνυν τὰ μὴ ὄντα περὶ ἑαυτοῦ καὶ τῶν οἰκείων πρὸς λόγον κακῶς ὁρῶν ἕκαστος, μᾶλλον δ' ἀβλεπτῶν καὶ οἰόμενος ἔκτροπα, καὶ ἃ φρονεῖ καὶ οἴεται, καὶ λέγειν μετὰ τῆς αὐτῆς

2) πᾶς δ' ἑαυτὸν, C. Mon. πᾶς δὲ αὑτόν.

3) ἄλλο, C. Mon. ἄλλον.

4) πάντως, C. Mon. πάντων.

νόσου τε καὶ τοῦ πάθους αὐτόθεν ἕτοιμος, καὶ φέρεται τῶν ἄλλων ἔξωθεν ἀπλανῶς ὁρώντων ἀνεπίστοφος. Ὥςπερ οἱ μελαγχολῶντες, ἢ καὶ μεθύοντες αὐτοὶ πολλάκις τὰ μὴ ὄντα καθ' ἑαυτῶν φρονοῦσι τὲ καὶ λέγειν οὐκ ἀποτρέπονται, καὶ ἄρχουσι τῇ νόσῳ καὶ νικῶσι, καὶ κατεξαίρονται μάτην ἐφ' ἑαυτῶν, καθ' ὧν οὐχ οἷτ' εἰσὶ 5) καὶ δόξαις, καὶ λόγοις τῆς κατ' αὐτοὺς συμφορᾶς ἀγούσης εἰς ἄλλ' ἢ ταῖς ἀληθείαις εἰσὶ κατ' αὐτοὺς, καὶ τοῖς ἔξωθεν ὀρθῶς ἐποπτεύουσιν. Ὡς μέντοι τῶν οὕτω δὴ νοσούντων, ὡς ἔφην, καὶ δυστυχούντων ἀμφότερα μανίαν ἢ μέθην, εἰσὶν ἀμέλει χείρους ἄλλων ἄλλοι τῷ πάθει καὶ μὴ, παραπλησίως ἔφημεν, καὶ τοὺς νοσοῦντας, καὶ τυφλώττοντας τῷ περιαυτολογεῖν ἄλλων ἄλλους ἔχεσθαι τῷ πάθει μᾶλλον τὲ καὶ ἧττον· κἀντεῦθεν ἔκτροπα τῶν ὄντων καὶ τῆς ἀληθείας δοκεῖν τε καὶ λέγειν τοὺς μὲν ἀκρατισθέντας καθάπαξ τὸ λογίζεσθαι καὶ ξυνορᾷν, καὶ μηδὲν ἑαυτῶν ὄντας, τοὺς δὲ καὶ σωφρονικώτερον ἀμηγέπη χρωμένους ἑαυτοῖς, κράτει τινὶ καὶ ῥώμῃ φύσεως ἔοικε καὶ λογισμῶν, ὥςπερ δὴ καὶ τῶν ἐν οἴνῳ καταβεβαπτισμένων ἔνιοι πολλάκις ὁρῶνται ῥώμῃ τινὶ φύσεως μὴ παντάπασιν ἐκτρεπόμενοι τοὺς λογισμοὺς καὶ καταπίπτοντες. Ταῦτ' ἄρα καὶ τὸ μὴ καθάπαξ ἀλλότρια φρονεῖν ἑαυτοῦ πάντων ἐργωδέστατον, καὶ, ὡς ἔπος εἰπεῖν, ἀνθρώποις

5) οἷτ' εἰσὶ, leg. οἷοί τ' εἰσί.

ἀδύνατον, ὥςπερ οὐδὲ τὸ μὴ φιλεῖν ἑαυτὸν οἷόν τε, ὅτι δ' ἄλλος ἄλλου μᾶλλον τὲ καὶ ἧττον ἐνέχεται τῇ κοινῇ ταύτῃ νόσῳ, καθὼς ἄρα τὴν γνώμην ἔῤῥωται, καὶ πρὸς τὸ πάσχειν αὖ ἑτοιμότερον ἔχει. Τοῦτο παναληθὲς, ὡς οὐδὲ τὸ σῶμα νοσοῦσιν ἅπαντες παραπλησίως, ἀλλ' ἄλλος ἄλλως, καὶ πλέον τε καὶ ἔλαττον ἄλλου, νοσοῦσι δ' ἅπαντες, καὶ οὐδεὶς ὅστις οὒ, οὐδὲ καθόλου τὴν ἕξιν ἄσειστος ὁτιοῦν καὶ ἀπαθὴς καὶ ἄνοσος, κἂν εἰ μάλιστ' ἐῤῥωμενέστατος ᾖ, καὶ τὴν κρᾶσιν τῆς ὕλης ὑπὲρ τοὺς πολλοὺς διαρκέστατος. Ὁρῶμεν γοῦν, ὡς ἄρα πλεῖστοι μάλιστα τῶν ἀνθρώπων ἀναιδείᾳ πάσῃ καὶ ἀηδίᾳ πεποίηνται διὰ παντὸς ἔργον ἐπαινεῖν ἑαυτοὺς, καὶ περὶ τὰ οἰκεῖα τρίβουσι, καὶ πάσης κατλαντοῦσιν [6]) ἀκοῆς ἀηδέστατα, κἀκ πάσης προφάσεως τοὺς περὶ αὐτῶν λόγους ἥδιστα προφέρειν ἀξιοῦσιν, ὡς ἄρα δὴ τὰ [7]) καὶ τὰ κάλλιστα πεφύκασι τὸ σῶμα ἢ τὴν ψυχὴν, ἢ καὶ ἄμφω γε μάλιστα, καὶ τὰ καὶ τὰ [8]) σφίσιν ἤσκηται βέλτιστα· καὶ θαυμάζειν ἀξίως, καὶ τάδ' ἐπιτηδεύοντες καὶ τάδε πανδέξιοί τινες εἰσὶ καὶ κομιδῇ τυγχάνοντες, καὶ ἀνύτειν εἰς τέλος εὖ μάλ' οἷοί τε καὶ οἷοι δὴ μαχόμενοι κατὰ τῶν ὁμοτέχνων πάνυ τοι πολὺ περιγίνεσθαι, καὶ τάδ' ἐξ ἔτι παιδὸς ὑπερφυής τις ἑαυτῷ καὶ

6) κατλαντοῦσιν, sic et Cdd. Aug. et Mon. leg. καταντλαντοῦσιν.

7) τὰ, deest in C. Mon. et Aug. pro καὶ τὰ praebet κατά.

8) καὶ τὰ καὶ τὰ, Cdd. Mon. et Aug. modo καὶ τά.

δραστικώτατος, καὶ πάντων ἀγαθῶν[9]) καὶ τῆς κοινῆς φύσεως ἀτεχνῶς νικηφόρος, καὶ τῶν ἡλικιωτῶν καὶ τῶν ἐφαμίλλων οὐδενὶ λιπὼν ἐγγὺς ἐλθεῖν, καὶ πολέμους δὴ τόσους[10]) καὶ τόσους, οἷς ἂν ξυντετυχήκοι, κρατήσας ἐκτόπως, καὶ σοφίας ἐπιδειξάμενος ὑπερμεγέθη τιν' ἔργα καὶ σπουδάσματα, καὶ βουλὰς ὑπὲρ τοὺς πάλαι πρότερον δοκίμους ἐκείνους. Καὶ παντάπασιν ἀσελγαίνουσι ταῖς καθ' ἑαυτῶν εὐφημίαις καὶ κόμποις, καὶ βακχεύουσιν ἔμπληκτοι φερόμενοι. Ἔνιοι δὲ φείδονται μὲν ὁπηοῦν ἐνταῦθα καὶ συμμετρίας τινὸς ἤθους ἅπτονται, καὶ πεφόκασιν αἰδημόνως πρὸς τοὺς ἐντυγχάνοντας, οἷς καὶ μάλιστ' ἂν εἴη ξυναίσθησις. Καὶ χρῶνται μὲν σωφρονικώτερον τοῖς περὶ ἑαυτῶν λόγοις, καὶ προςέχουσιν ὁτιοῦν ἑαυτοῖς ἀμέλει καὶ τῇ τῶν ἀκροατῶν οὐ μᾶλλον εὐγενεῖ κρίσει τῆς ἀληθείας καὶ τῶν εἰκότων, ἢ καὶ πρὸς τὰ καλὰ βασκάνια φύσει, χρῶνται δ' ὅμως παντάπασιν οὐκ ἀνόσως, οὐδ' ὥςτε λαθεῖν, αἱρούμενοι μὲν, φεύγοντες δὲ τἀηδὲς καὶ νέμεσιν· οἱ δὲ καὶ μὴ[11]) περιαυτολογοῦντες αὐτοὶ κάλλιστα τὰ σφέτερ' αὐτῶν μήδ' ἀπερυθριῶντες δεικνύειν οἰκονομοῦσιν ἐπίτηδες ὅμως καὶ σοφίζονται καὶ ὑποκινοῦσι, καὶ τέχναις ὑπάγονται πάσαις τοὺς προςτυγχάνοντας[12]) πρὸς τοὺς περὶ αὐτῶν λό-

---

9) ἀγαθῶν, desideratur in C. Mon.

10) τόσους, C. Mon. τοσούτους.

11) μή, abest a C. Mon.

12) προςτυγχ. Cdd. Aug. et Mon. προτυγχάνοντας.

γους καὶ τοὺς ἐπαίνους, καὶ ξυνεξαίρουσιν ὑποβάλλοντες αὐτοὶ θαυμάτων ἀφορμὰς οὐ προσποιούμενοι. Ξυμβὰν δ' οὕτω μὴ ξυγχωροῦντες ἀδικεῖσθαι τἀληθῆ καὶ λανθάνειν τὰ ὄντα, καὶ ἢ φαῦλα πάντως, ἢ μὴ ὄντα δοκεῖν. Θαυμάζουσί τ' αὖθις ἐνίοτε, πῶς ἂν εἴποι τὶς, ὡς ἥδιστα καὶ ἀνακηρύττουσι τοὺς τὰ [13]) κατ' αὐτοὺς θαυμάζοντας, ὡς εὖ μάλα συνετοὺς δή τινας καὶ τῶν εἰκότων ἐπιτυχεῖς [14]), καὶ πρὸς μαρτυροῦσι, ὡς ἠκριβωκότες τὰ κατ' αὐτῶν ἀληθεύουσιν ἐγκώμια, μὴ κακῶς ὁρῶντες, οἷα δὴ πολλάκις γίγνεται, ἢ παρατρέχοντες φθόνῳ, καὶ ξυμπείθουσιν οὕτω περὶ αὐτῶν ἢ ἀπατᾶσθαι, ἢ τοὺς ἄλλους ἀπατᾷν αἱρεῖσθαι καὶ φρονεῖν ἔκτροπα ἴσως πολλάκις οἴκοι γενομένους, ἐπ' ἀσφαλοῦς καταγελῶντας τοῦ κόμπου καὶ τῆς ματαίας καὶ ἀνοήτου δόξης, ἢ καὶ τυχὸν φιλανθρώπως ἐλέους ἀξιοῦντας, οὓς ἡ ἄκρατος φιλαυτία νοσεῖν οὕτω πάνυ τοι πεποίηκε, καὶ ὁ καταγελῶν δ' ὅμως, καὶ ὁ φιλανθρωπευόμενος. Μηδὲν ἧττον καὶ αὐτοὶ παραπλήσια νοσοῦσι, τραπόμενοι καὶ αὐτοὶ πρὸς τὰ οἰκεῖα, τοιούτων ἄλλων καὶ αὐτοὶ λοιπὸν δέονται, καὶ ἴσως μὲν μᾶλλον, ἴσως δὲ καὶ ἧττον. Οὕτω δὴ πολὺ τὸ νόσημα τόδε παρ' ἡμῖν, καὶ πάντες ἐσμὲν ἀμαθεῖς τὰ οἰκεῖα, καὶ πάντες ἐσμὲν ῥητορικώτεροι, ἢ καθ' ἡμᾶς αὐτοὺς τὰ ἡμέτερ' αὐτῶν

13) τὰ, deest in C. Aug.

14) ἐπικ. Cdd. Aug. et Mon. ἐπιτυχεῖς.

ἐξαίρειν τοῖς λόγοις, καὶ ἀφθόνως ἐν τούτοις πορίζεσθαι, καὶ πλουτοῦμεν εὖ μάλ', οὐκ οἶδα πότερον ἂν φαίην, ὑπὲρ ἡμῶν αὐτῶν, ἢ μάλιστα τοὐναντίον καθ' ἡμῶν γ' αὐτῶν, καὶ τοῖς ἐχθροῖς ἥδιστα, καὶ ὅσοι καθ' ἡμῶν τὰ φαῦλα ποθοῦσι, καὶ ἡμᾶς αἴσχιστα πράττειν καὶ γέλωτος ἄξια, καὶ βούλοιντ' ἂν ἐκ παντὸς ἀκολασταίνειν ἡμᾶς τρόπου [15]), καὶ μαινομένους παραληρεῖν ἐπὶ πολλοῖς μάρτυσι, καὶ μάλιστ' ἐπαΐουσιν εὖ [16]), ἢ τὰς τῶν ἄλλων ἁμαρτίας ἐπαΐειν ἔχουσιν εὖ.

ΚΕΦ. ξ'.

Ὅτι ἄπορον, εἰ ἔστι τις ἀνθρώποις καθάπαξ γαλήνη κατὰ τοὺς λογισμούς.

Πολλάκις ἀπορεῖν ἔπεισί μοι κατ' ἐμαυτὸν περὶ τῶν ἀνθρωπίνων ἐφορωμένῳ τὲ καὶ ζητοῦντι, εἰ ἄρα τῷ ποτε ξυμβέβηκεν ἐν γαλήνῃ τὸν βίον διενεγκεῖν, οὐ μᾶλλόν γε φημὶ τῆς ἐκ τῶν πραγμάτων ἔξωθεν ἐπιθέσεως, ἢ τῶν [1]) ἔσωθεν ὀχλούντων κατὰ τοὺς λογισμοὺς κυμάτων, καθ' οὓς καὶ κλύδωνι μάλιστ' ἄνθρωποι, κλύδωνι χαλεπωτάτῳ παλαίομεν ἑκάστοτε, καὶ ναυαγοῦ-

15) τρόπου, C. Mon. τρόπον.

16) εὖ. Post εὖ in Cdd. Mon. et Aug. haec sunt: ἢ (sic Aug. sed Mon. ἢ non habet) πλεῖστον βασκαίνουσι, τάχα δὲ κἀντεῦθεν ἐπὶ τὰς τῶν ἄλλων.

1) τῶν, Cdd. Aug. et Mon. τόν.

μεν ὄντως πολλάκις καὶ κακῶς φερόμεθα· ὡς ὅστις ἄρα καθ' ἑαυτὸν ἐν εἰρήνῃ τινὶ διανύσας ἔσχε, καὶ κτησάμενος τὴν ἔσω καθ' ἑαυτὸν πολιτείαν ἀκύμονα, ἢ κατασκευασάμενος αὐτὸς εὐφυΐᾳ τινὶ καὶ ἀσκήσει γνώμης, εἰ ἄρ' ἔστιν ὅπως ἢ λαβὼν ἐκ Θεοῦ προῖκα τοσοῦτον χρῆμα, ἢ καὶ ἄμφω, πάντως δὲ καὶ οὕτω πᾶν αὖθις ἐκ Θεοῦ, τοῦτον ὄντα κατ' ἀλήθειαν, ἐμοὶ δοκεῖν, τὸν ἅμα τὲ μακαρίζειν καὶ ἐπαινεῖν μόνον καὶ θαυμάζειν ἄξιον, καὶ τῇ κατ' ἀλήθειαν εὐδαιμονίᾳ συνόντα, καὶ διαρκῶς ἑαυτῷ χρώμενον. Καὶ μόνος γάρ ἐστιν ὁ πάντων ἀνενδεὴς, καὶ μόνος ἄνοσος, καὶ βέβαιος, καὶ παῤῥησίαν ἔχων ἑαυτοῦ, καὶ ῥαστώνην αὐτὸς ἄγων οἵαν ἄσειστον, καθορῶν ἅπαντας ὀχλουμένους, καὶ τὸν ἀεὶ χρόνον τὲ καὶ βίον ἑκόντας τὲ τὸ μέρος καὶ ἄκοντας ἐκλύδωνι[2]). Τίς γὰρ δὴ τῶν ἁπάντων σχεδὸν οὐ πάντα κλονεῖται καὶ στρέφεται, καὶ ταραχῆς ἐστι πλήρης ὑπὸ τῶν ἔξω πραγμάτων ὑφ' ἑαυτοῦ, καὶ τῆς ζάλης μάλιστα τῶν λογισμῶν μήποτε μένων ἐν ταυτότητι τῆς αὐτὸς αὑτοῦ ἕξεως, μηδὲ χρώμενος ἠρεμίᾳ ζωῆς καὶ ῥαστώνης ἰσότητι, καὶ κατὰ τὸν βίον ἔαρος[3]) ὑγιεινεῖ[4]) διαθέσει, καὶ ξυμμετρίᾳ καὶ ἀγωγῇ κούφῃ; Ἀλλ' ἄρα πάντες τοῦτο μὲν ποθοῦντες ὧντινων ἄρα μὴ τυγχάνοντες ἀχθόμεθα λοιπὸν

2) ἐκλύδ. C. Mon. ἐν κλύδωνι.

3) ἔαρος, C. Aug. ἔρος.

4) ὑγιεινεῖ, sic Cdd. nostri: fors. ὑγιεῖ l. ὑγιεινῇ.

αὐτίκα, καὶ κυμαινόμεθα πάνυ τοι. Τοῦτο δ' ἔστιν ἐν ἀνθρώποις ἀεὶ, καὶ οὔποτε παῦλά τις οὐδὲ κόρος ὁτῳοῦν πάσης ἐφέσεως καὶ χρείας, ἀλλ' ἀεὶ καὶ τυγχάνοντι καὶ μὴ τυγχάνοντι νέων ἐπεγείρεται χρῆσις, ἀλλ' ἀεὶ καὶ πόθος ἄπληστος [5]). Τοῦτο δ' ἐξ οὐρίου χρώμενοι, καὶ συνόντες τῶν ἐραστῶν δή τινων εὐετηρίᾳ, ζημιούμενοι ξυμβαῖνον οὕτω. Καίτοι αὐτὰ [6]) γὰρ ἀεὶ τἀνθρώπινα πολύνοσα καὶ μυρίᾳ μεταβάλλοντα τροπῇ, καὶ τῆς συνήθους εὐκληρίας καὶ τύχης, ὥντινων ἄρα φαινόμενοι μάλιστ' ἐν τούτοις κλυδωνιζόμεθα καὶ ναυαγοῦμεν ἀνιαρώτατα, καὶ καθάπαξ αἴσχιστα. Οἱ δὲ καὶ ταῖς ἄλλων ὀχλοῦνται σφόδρα κατὰ τὸν βίοτον εὐφορίαις [7]), ἢ καὶ πάσχοντες ὑπ' αὐτῶν κακῶς, ἢ ὑφ' ἑαυτῶν οἴκοθεν τῷ φθόνῳ ταραττόμενοι δυσφόρῳ πνεύματι καὶ ζοφώδει τοῖς λογισμοῖς· οἱ δὲ καὶ ταῖς τῶν ἐπιτηδείων καὶ φιλτάτων μάλιστα κακοπραγίαις συμφερόμενοι, καὶ πονήρως ἔχοντες ἀλγηδόσι χαλεπωτάτοις· οἱ δὲ καὶ καθόλου τοῖς κοινοῖς πράγμασιν, οἷς ξυνέλαχον ἐγχωρίως, καὶ οἷς κατὰ πᾶσαν ἀνάγκην σύνεισιν ἀναρμόστως, καὶ οὐχ ἡδέως συμπεφυκότες δεινῶς ἔχουσι καὶ ναυτιῶσι, καὶ ὥςπερ οἱ χειμῶνος πλέοντες ἐν φροντίσι κακοσχόλοις καὶ δυσχερέσιν εἰσὶν αἰεὶ, καὶ κατατρύχονται ταῖς δυσεμ-

---

5) ἄπλ. C. Aug. male ἄπλαστος.

6) καίτοι αὐτ. Cdd. Mon. et Aug. καὶ τοιαῦτα;

7) εὐφορ. C. Mon. εὐπορίαις.

βλήτοις [8]) τῷ κατὰ σφᾶς αὐτοὺς ἤθει καὶ πράγματι καὶ ἀηδέσιν ἀγωγαῖς· οἱ δὲ, καὶ ἁπλῶς οὕτως ἐρεῖν, ὧν τέως ἡδέως εἴχοντο, μεθύστερον ἑκάστοτε τὴν χρῆσιν ἢ τὴν ἕξιν ἡντιναοῦν ἀποστέργοντες κομιδῇ καὶ ἀποτρεπόμενοι, ἀψίκοροι δή τινες καὶ λίαν εὔτροποι, ἢ τῷ χρονίῳ συνεθισμῷ κόρῳ προσιλιγγιῶντες αὖθις, καὶ νέαν ποθοῦντες χρῆσιν ἐραστῶν τῷ καινῷ τερπόντων. Καὶ τί ἄν τις ἀπαριθμοίη, ὅσα δὴ κατὰ τὸν βίοτον ἀλγεινῶς μεταβολῶν αἴτια καὶ στάσεων τοῖς ἀνθρώποις κατὰ νοῦν, καὶ μηκύνοι μηδὲν ἴσως δέον; Ὅτι δ' ἀεὶ κῦμα κυλίνδει πόντον Αἰγίνης, ἡ παροιμία φησὶ, καὶ ὡς ἐν εὐρίποις ἄνωθεν πραγμάτων [9]) ἐπικλύσεσιν ἀεὶ, καὶ ταῖς οἴκοι τὲ καὶ τῶν οἰκείων ἀνωμάλοις τὲ καὶ συμβάτοις πρὸς ἡμᾶς τὲ καὶ ἀλλήλους, καὶ τα παρόνθ' ἑκάστοτε πράγματα, καὶ ἄλλο μὲν παρῆλθεν ἡμᾶς κῦμα, καὶ ἄλλο δὲ κλύζει νῦν, ἄλλο δὲ καταλαμβάνει· καὶ ταῦτα μετὰ τῆς παροιμίας, καὶ οὐδέποτ' ἐν γαλήνῃ τῶν λογισμῶν ἐσμὲν, καὶ ἀλύπως ἐν ἰσότητος καθ' ἑαυτοὺς ἕξει φερόμεθα. Τοῦτο παντὶ δῆλον, ὅστις ἂν προσέχων τὸν νοῦν ὁρῴη, καὶ τοῦτ' ἦν ὁ λόγος, καὶ ἀξιοῦμεν ἐπισκέπτεσθαι τἀνθρώπινα πάλαι καὶ νῦν, καὶ ἅμα πρόσω τὲ καὶ ὀπίσω

---

8) δυσεμβλ. C. Mon. δυσβλήτοις: Aug. δυσμβλήτοις. C. 71. dic. δυσξυμβλήτοις.

9) ἐν εὐρίποις — πραγμ. Cdd. Mon. et Aug. sic: ἐν εὐρίποις ἄνω καὶ κάτω στρεφόμεθα καὶ παιζόμεθα ταῖς τῶν ἔξωθεν πραγμάτων.

φασὶν, εἰ μὴ πάνυ τοι βεβαιοῖ τὰ νῦν λεγόμενα. Καὶ δυσχερέστατον πάντων ἀνθρώποις ἐστὶ καὶ ἄπορον, εἰ ὅλως ἐστὶ, βιῶσαι προελόμενον ἄττα δὴ παντάπασιν ἀστασιάστως καὶ μὴ μεταβαλλόμενον καθάπαξ ἐπὶ θάτερα, καὶ καθάπαξ ἐν ἠρεμίᾳ καὶ ἀκύμονι καταστάσει ψυχῆς. Καίτοι τί λέγω; οἶδα μὲν οὖν ἔγωγε, καὶ πάντες, οἶμαι, ξυνορᾶν ἔχουσι καὶ προςμαρτυρεῖν τῷ λόγῳ τἀληθὲς, οἶδα τοίνυν [10] *ὑπεραναβάντων τὴν φύσιν καὶ τἀνθρώπινα καθόλου πράγματα, καὶ προςαναθεμένων ὅλους ἑαυτοὺς Θεῷ, καὶ σχολαζόντων πάντα τὸν βίοτον τῇ αὐτοῦ λατρείᾳ καὶ θεωρίᾳ, καὶ ταῖς ἐκεῖθεν αὐγαῖς καὶ τῷ πρὸς αὐτὸν ἀκαμάτῳ καὶ πάντων ἀλογίστῳ πραγμάτων ἔρωτι, ἡδέων τε καὶ ἀνιαρῶν φυγάδας τοῦ κόσμου παντὸς καὶ τῶν* [11]) *ἐν κόσμῳ πάντων· πολλοὺς γοῦν τῶν τοιούτων ἐξαιρέτων ἀνδρῶν οἶδα τοῦ βίου, καὶ φειδώ τις ἔστι περὶ πάντων ἐρεῖν, οὐκ ἀκυμάντους οὐδ' αὐτοὺς καθάπαξ διαγενομένους τοῖς λογισμοῖς, οὐδ' ἠνυκότας παντελείους καὶ νικηφόρους εἰς τὴν μεγαλόφρονα ταύτην αἵρεσιν, ὥστ' ἀπὸ πάντων ἐν γαλήνῃ βιοῦν καὶ πράττειν εἰς τὴν σπουδὴν ἀθορύβους. Ἀλλ' εἰσὶν ἐνίοτε σφίσι καὶ πρὸς τοὺς ἔξω καὶ περὶ τὰ τῇδε καθ' ἡμᾶς*

---

10) *οἶδα τοίνυν*, Cdd. Aug. et Mon. haec habent: *οἶδα τοίνυν ἔγωγε καὶ πολλοὺς ἀμέλει τῶν ὑψηλῶν ἀνδρῶν καὶ ὑπεραναβάντων.*

11) *καὶ τῶν*, omittunt Cdd. Mon. et Aug.

ἐχοῦσι τὲ τὸ μέρος καὶ ἄκουσί γ' ὡς ἀληθῶς οὐκ ὀλίγα πράγματα, καὶ πρὸς ἀλλήλους γ' εἰσὶ, καὶ οἰκίδιόν τι ποτ' ἐνίοτε πρὸς τὴν χρείαν οἰκείως ἔχον, καὶ γήδιον βραχὺ, καὶ μὴ πολύμηκες ἱκανὸν ἐμποιῆσαι ζάλης πρὸς τοὺς ξυντυχόντας πολλάκις αὐτοῖς ἀφορμὰς, καὶ διακοπὴν τοῖς γεννικοῖς λογισμοῖς καὶ οὐρανοβάμοσι, καὶ περὶ τἄνω καὶ θεῖα φερομένοις ἁπάσῃ ῥοπῇ. Καὶ αὐτοὶ δ' ἐνίοτε πρὸς ἑαυτοὺς στασιάζουσι καὶ τρέπονται τὰς γνώμας, καὶ πρὸς ἕτερα μεταφέρονται τοῖς λογισμοῖς, ἢ τέως προςεῖχον, καὶ ἴσως ἐκ μακροῦ, καὶ νομίζουσιν ἄλλως τὰ σφίσι βέλτιστα, καὶ ταράττονται πνεύμασι ξυμπίπτουσιν οἴκοθεν τῷ νῷ ἀλλοτρίοις τῆς προτέρας ἀγωγῆς. Οἱ δὲ κοινωνικοί γε τῶν τοιούτων, καὶ κατὰ συντάξεις καὶ συνοικίας μιγάδες πολιτευόμενοι μετ' ἀλλήλων τὰ τῆς ὑψηλῆς βιοτῆς, καὶ πλεῖστα φροντίσματ' ἔχουσι καὶ παλαίουσιν ἄλλοις, καὶ πρὸς δικαστήρι' ὠθοῦνται, καὶ χωροῦσιν ὁμόσε τοῖς ὄχλοις, καὶ δικασταῖς πράγματα πλεῖστα παρέχονται, καὶ περὶ τῶν νομίμων ἀμφιγνοοῦσι. Καὶ ἡ πρόφασις αὐτόθεν πρόχειρος καὶ ῥᾳδία συνιδεῖν καὶ δήλη, καὶ πολύ γε μάλιστ' εὐπρεπής [12]· οὐχ ὑπὲρ τῶν αὐτῷ γὰρ διαφερόντων [13]) ἕκαστος, ἀλλ' ὑπὲρ κοινῶν τε καὶ πολλοῖς ἄρα προςηκόντων, μᾶλλον δ' αὐτῷ προςηκόντων

12) *εὐπρ.* C. Mon. *ἐντρεπής*: fors. *εὐτρεπής*.

13) *διαφερ.* C. Mon. *διαφερόντως*.

ἀμέλει Θεῷ σπουδάζουσιν, ὀφείλοντες τῶν ἄλλων μὲν καὶ κατ' αὐτοὺς, μὴ τῶν θείων δὲ καὶ Θεῷ προςανακειμένων ὀλιγωρεῖν, καὶ ἱεροσυλᾶσθαι τὸν Θεὸν τἀναθήματα, καὶ τὰ καθιερωθέντα ξυγχωρεῖν παγχάλεπον ἥγηνται, καὶ μαρτυρικὴν ἔνστασιν τοῦτο τοὺς ἄνδρας ἀπαιτεῖν τοὺς ἱερούς. Καὶ ὁ λόγος μὲν οὗτος καὶ ἡ σκῆψις εὖ μάλ' ἀντισπῶσα· αὐτοὶ δ' ὅμως ἐν ζάλῃ καὶ χειμάζονται τοὺς λογισμοὺς καὶ ναυαγοῦσιν ἔστιν ὅτε τὴν καλλίστην ὁδὸν τοῦ βίου καὶ πρόθεσιν. Καὶ τοῦτ' ἐστὶν, οἶμαι, τοῖς μετὰ τοῦ σώματος ἔτι καὶ οὔπω τῆς ἀλόγου ψυχῆς ἔξω καὶ τοῦ συνδυασμοῦ τῆς ὕλης καὶ τῆς ἐπινόσου κράσεως, καὶ τῶν ἐντεῦθεν πρὸς τὰς κρίσεις ὀχλήσεων καὶ μερισμῶν καὶ στάσεων· οὐ γὰρ κρίνομεν καὶ νοοῦμεν μόνον, ἀλλὰ καὶ πάσχομεν τῇ ψυχῇ, καὶ συνδιατιθέμεθα τοῖς τοῦ σώματος. Καὶ μακάριον, καὶ ὄντως [18]) θαυμάζειν ἄξιον, εἴ τις ἐν ὀλίγοις ἥττηται κομιδῇ, καὶ τρέπειν τὰ παθητικὰ τῆς ψυχῆς οἷός τέ ἐστιν, ἔνθα βέλτιστ' ἔχει, μὴ γὰρ ἔτ' ἐνθάδε καθάπαξ ἀπαθῶς ἄγεσθαι, μήποτ' [19]) οὐχ οἷόν τέ ἐστιν, ἀλλ' ἔξω τῆς φύσεως, τὰ γὰρ ἁπλᾶ καὶ ἀστασίαστα τῷ ἑνοειδεῖ τῆς οὐσίας ἑαυτοῖς. Ἔνθα ἀλλοτρίων ἀλλήλοις σύνοδος, εἴτουν κρᾶσις καὶ κοινωνία, καὶ τὸ παθητικὸν

18) ὄντως, C. Mon. οὕτως.

19) μήποτ', C. Mon. μήποτε.

ἐστι τῇ φύσει, καὶ μερίζεσθαι[20]), πῶς ἂν ἐν τούτοις εἴη γαληνιᾷν τελεώτατα, καὶ ἀπόνως καὶ ἀπροσκόπως ἄγεσθαι; Εὐδαίμων μέν τ' ἂν εἴη ταῖς ἀληθείαις, ὅτῳ ἐξεγένετό πως, καὶ ὅτῳ μάλιστ' ἔδωκεν ὁ Θεὸς νικᾷν τὰ χείρω, καὶ μὴ πράττειν ἐντεῦθεν κακῶς καὶ δυστυχῶς φέρεσθαι, καὶ πάσχειν εὐγενῶς, ἢ μετριοπαθεῖν ὁπηοῦν, καὶ τὰ πλείω βιοῦν ἐν βελτίστοις, καθόλου δὲ ζητεῖν βίον ἀπαθῆ καὶ ἀκύμονα, καὶ ἐπιεικῶς ἄνοσον ἐν ἀνθρώποις, μὴ καὶ δικαστοῦ τινὸς ἀγνώμονος ἢ καὶ περὶ τῆς φύσεως καὶ τῶν τῆς φύσεως ἡμῖν οὐκ ἐπαΐοντος.

ΚΕΦ. ξά.

Ὅτι οὐκ ἔξω λόγου παντάπασι δόξειεν ἂν εἶναι τὰ τῶν Ἐφεκτικῶν ἐναντιουμένων πρὸς πᾶσαν κατάληψιν, καὶ ὅτι Πλάτων καὶ Σωκράτης ἀρχὰς εἰς τοῦτ' ἔδωκαν.

Λόγῳ παντὶ λόγος παλαίει, λόγος ἐστὶν εὖ εἰρημένος πρότερον, οὐκοῦν δὴ καὶ γνώμη γνώμῃ τε πάσῃ, καὶ δόξα δόξῃ καὶ κρίσις κρίσει. Ὅτε δὲ τοῦθ' οὕτως ἔχει, μήποτε προσμαρτυρία τὶς ἐντεῦθεν ἐπὶ τοῖς Ἐφεκτικοῖς κληθεῖσι τῶν κατὰ φιλοσοφίαν, ὡς οὐ μόνον ἐριστικῶς, ἀλλ' οὐδὲ παντάπασιν ἀκαίρως ἡ σπουδὴ σφίσιν ἔχει· καὶ τοίνυν οὐδ' ἐξοστρακιστέον ἐξ Ἑλλήνων τελείως τὸ δόγμα, οὐδ' ἀποῤῥιπτέον ἀνεπιστρό–

---

20) μερίζεσθαι. Deinde in Cdd. Aug. et Mon. sequuntur: χώραν καὶ πρὸς τἀναντιώτ' ἀνθέλκειν· καὶ ἕλκεσθαι, πῶς ἄν.

φως πάντη, οὐδ' ἡγητέον εὐπεριφρόνητον [1]) καθάπαξ, ὡς ἂν ἀμέλει φιλονεικίας ἔργον ὄν. Καὶ ἀνήνυτος εἴτουν ἀνόνητός τις αὐθάδεια κατὰ τῶν ὄντων καὶ λέγχη [2]), καί τις ἀφρονεστάτη πρόθεσις, τύπτειν ἀέρα, καὶ λίθους ἕψειν, καὶ τἄλλ' ὅσα ταῖς παροιμίαις μελαγχολώντων, ὡς εἰπεῖν, ἔργα. Καὶ γὰρ δὴ ταῖς ἀληθείαις πολλὰ τῶν παρ' αὐτοῖς λεγομένων ὁρᾷν ἐστιν, ὡς οὐκ ἔξω τοῦ καιροῦ, καὶ πολλά γε τῶν ὄντων ἐπαμφοτερίζειν πέφυκε, καὶ χώραν διδόναι ταῖς ἐναντίαις δόξαις καὶ λόγοις, ὥστε καὶ πάνυ τοι κατεπιχειρεῖν ἀκμαστικῶς, καὶ οὐ σφόδρα πείθεσθαι, μήτε μὴν ἀμφοτέρωθεν ἀπιστεῖν ῥᾴδιον. Ἀλλ' ὅ τι ἂν τις προςεῖτο, μάλ' ἔστιν αὖθις ἐκ τῶν ἐπὶ θάτερα δυσχεραίνειν, καὶ σείεσθαι καὶ ἀπόρως [3]) ἔχειν, καὶ μεγάλη τὶς ἐνταῦθα πίστεως καὶ βεβαιότητος ἠρεμία, καὶ ἀμαθίας ἀνάγκη, καὶ ἀκαταληψίας κρατοῦσα διάθεσις. Δοκεῖ μέν τε καὶ ὄντως ὁ πάντα σοφὸς αὐτὸς Πλάτων, καὶ πλεῖστον ἐνευδοκιμήσας καὶ τοῖς πρὸ αὐτοῦ τῶν σοφῶν, καὶ ὅσοι μετ' αὐτὸν ἐπιγνώσει καὶ περινοίᾳ τῶν ὄντων καὶ ἀδόλως κομιδῇ φιλοσοφήσας, καὶ μετὰ σεμνοῦ τοῦ ἤθους καὶ σχήματος, καὶ πλεῖστον πεφρον-

---

1) εὐπεριφρ. C. Aug. εὖ περιφρόνητον.

2) λέγχη, sic Cdd. Mon. et Aug. et Paris. Germ. cum Cizens. quod omni caret sensu: fors. vel λέσχη, vel λίχνη, sc. αὐθάδεια: vel λιχνία, aut χλιδή, vt c. 53. sed c. 71. occurrit iterum λέγχη. Cod. Reg. Paris. firmat coniecturam λέσχη.

3) ἀπόρως, C. Mon. ἀπείρως.

τικῶς ἀληθείας, καὶ τοῦ κατὰ φιλοσοφίαν προσήκοντος ἀξιωματικοῦ, καὶ ἀλλοτρίου παντάπασι σοφιστείας ἁπάσης καὶ ἁπλοϊκοῦ αὐτὸς δὴ μάλιστα δοῦναι τὰς ἀρχὰς τοῖς ἐφεκτικῶς φιλοσοφήσασι, καὶ τῇ συνηγορίᾳ τῆς ἀκαταληψίας, τοῖς μακροῖς ἐκείνοις λόγοις καὶ συχνοῖς τοῖς περὶ ὁτουοῦν ἑκάστοτε μηδὲν περαίνουσιν. Ἀλλ' ὅσ' ἂν [4]) καὶ προτείνοιντο ταῖς διαλέξεσι πάντ' ἀπελέγχουσιν ἄπορα, καὶ τῆς ἀληθείας ἔξω· οὐδὲν γὰρ ἄλλ' ἢ τὸ τῶν ἐφεκτικῶν ἐν τούτοις, ὡς οὐδὲν ἄρ' ἀσφαλὲς ἐν ἀνθρώποις τῶν δοκούντων τε καὶ λεγομένων ἑκάστοις περὶ ἑκάστων, ὡς μάλα τοι σαφῶς ληπτῶν, οὐδ' ἄσειστον λόγοις ἐναντίοις καὶ κραταιὸν μετ' ἀληθειας ἀνόσου παντάπασι καὶ ἀτρέπτου. Ἀλλὰ καὶ τὰ φαινόμενα κομιδῇ τρανῶς εἰρῆσθαι, καὶ οἷς ἐστιν ἀπολυπραγμονήτως καὶ ἀβασανίστως τῶν λεγόντων ἕπεσθαι, πονοῦσιν ἐπ' αὐτοὺς καὶ πολυπραγμονοῦσι καὶ βασανίζουσι τά τε λεγόμενα, καὶ τοὺς λέγοντας μετὰ μεγίστου τοῦ θάῤῥους [5]) καὶ τῆς πεποιθήσεως ὡς ἠκριβωκότας εὖ μάλα [6]) πειρωμένοις καὶ προσέχουσι τοῖς λόγοις τὸν νοῦν [7]) συνθράσει, καὶ πάντ' ἐν

4) ὅσ' ἂν, Cdd. Aug. et Mon. male ὅσαν, et προτείνοντι pro προτείνοιντο.

5) τά τε λεγόμενα — θάῤῥους, desunt in C. Mon.

6) εὖ μάλα, inde e Cdd. Mon. et Aug. haec sunt inserenda: καὶ μηδὲν ἔτι περαιτέρω, καὶ πλέον ὄν, φανήσεται πειρωμένοις.

7) νοῦν. Post hoc voc. ex Cdd. Mon. et Aug. supplenda: κόμπος τὸ πᾶν· καὶ μακρῶς λῆρος καὶ ἀμαθία συνθράσει.

ἀκαταληψίᾳ καὶ πάντ᾽ ἐλέγχεται. Τὰ δ᾽ αὐτὰ καὶ ὁ καθηγητὴς αὐτῷ πάσης τῆς σοφίας καὶ τῆς ἀκριβείας τοῦ ἤθους καὶ τῶν ἀγαθῶν, ὡς αὐτός φησι, πάντων Σωκράτης διὰ παντὸς περιϊὼν ἐφιλοσόφει τοῦ βίου καὶ διέτριβεν Ἀθήνησι κατελέγχων ἅπαντας, ὡς μηδὲν ὁτιοῦν [8]) εἰδότας ἄξιον λόγου καὶ τοῖς νοῦν ἔχουσιν εὖ μάλα πιστὸν, τοὺς ἐφ᾽ ἑκάστοις μέγα φρονοῦντας [9]), οἷς προσεῖχον καὶ σπουδάζειν ἠξίουν, καὶ πίστιν ἀναφόριστον [9b]) πραττομένους τῶν προστυγχανόντων, περὶ ὧν φασὶ καὶ σεμνύνονται, καὶ τοῦτ᾽ αὐτὸ μάλιστ᾽ ἀγνοοῦντας, καὶ πρώτως ὡς οὐδ᾽ ἴσασιν, ὅτι καὶ ἀγνοοῦσι, καὶ λίαν ἐπισφαλέστατα καὶ ἀμαθέστατ᾽ ἔχοντας, δοκοῦντας πλουτεῖν [10]) καθ᾽ ἑαυτῶν [11]) ἐν ἄκρᾳ πενίᾳ, καὶ ἀνενδεῶς ὁτονοῦν [12]) ἔχειν, μάλιστ᾽ ὄντας ἐν χρείᾳ, καὶ μάλ᾽ ἐῤῥῶσθαι δυστυχῶς ἔχοντας μάλα τοι καὶ νοσοῦντας καὶ ἀνίατα, καθότι μηδὲ [13]) νοσεῖν οἴονται, μηδὲ ζητοῦσι τοὺς ἰωμένους. Καὶ σχεδὸν ὁ πᾶς αὐτῷ βίος κινδυνεύει, καὶ πόνος εἶναι βάσανος ἁπάντων, καὶ τῆς ἀμαθίας ἔλεγχος, ὡς μηδὲν ἄρά ποτ᾽ ἐν ἀνθρώ-

---

8) ὁτιοῦν, in C. Mon. desideratur.

9) φρονοῦντας, Cdd. Aug. et Mon. φρονοῦντος.

9 b) ἀναφόρ. leg. ἀναμφήριστον, vt c. 66. πίστις ἀναμφήριστος. Cdd. omnes corrupte ἀναφόριστον.

10) πλουτεῖν, male C. Mon. πλουτεῖ.

11) καθ᾽ ἑαυτ. C. Mon. καθ᾽ ἑαυτοῦ τῶν, mendose.

12) ὁτονοῦν, C. Mon. ὁτοοῦν.

13) μηδὲ, C. Mon. μηδέν.

ποις ὂν καταλήψεως ὑγιὲς, ἀλλ᾽ ἅπαντα κενῶς σπουδαζόμενα, καὶ δοκοῦντα τιμῆς ἄξια μικρά τε καὶ μείζω, καὶ ὅσα τῶν ἀξιολογωτέρων ἀνύσαι [14]), καὶ ὅσα δευτέρας [15]) τύχης τινὸς καὶ τάξεως. Καὶ ταῦτ᾽ εἰσὶν ὄντως, ἧπερ εἴρηται, τῶν ἐφεκτικῶν [16]) λόγων τοῖς ὕστερον ἀρχαί. Ταῦθ᾽ ὥςπερ δή τινες προαγῶνες [17]) πρὸς τὸν σκοπὸν σφίσι, καὶ μελέται τινὲς εἰς τὴν πρόθεσιν γυμναστικαὶ καλλίστας ἐλπίδας πρὸς τὴν μάχην ὑπανοίγουσαι τοῖς ἀνδράσιν ἔδοξαν. Ἐντεῦθεν ἄρ᾽ ὡς ἀπό τινων εὐδιοικήτων καὶ γεννικῶν προοιμίων καὶ παρασκευῆς ἀξιολόγου πρὸς τὴν μάχην ὥρμηνται· ἐντεῦθεν ἄρ᾽ ἀπό τινων τόπων ἐπικαιροτάτων μετ᾽ ἀσφαλείας κατέδραμον ἅπασαν ἀνθρωπίνην γνωστικὴν εὕρεσιν, καὶ τὸν παγκόσμιον κατὰ πάσης τῆς σοφίας καὶ λόγων ἁπάντων καὶ δογμάτων ἁπάντων ἀπηρυθριάσαν ἄρασθαι πόλεμον. Καὶ πολλοῖς οὐ μάτην δοκοῦσι πονεῖν, καὶ πολλοὶ γὰρ ἐξ ἐκείνου καὶ μέχρι νῦν προςήκαντο τὴν σπουδὴν ταύτην, καὶ προςέχειν ἀξιοῦσι τὸν νοῦν ὡς ἀληθῶς πάντ᾽ ἄνω καὶ κάτω φερόμενα καθορῶντες, καὶ μηδὲν ὅτί ποθ᾽ ἑστὼς ἐν μονῇ τινὸς οὐσίας καὶ γνώσεως ἄτρεπτον, καὶ πᾶσαν ζήτησιν περὶ τῶν ὄντων καὶ τῶν ἐν βίῳ πάντων

---

14) ἀνύσαι, Cdd. Aug. et Mon. ἀνῦσαι.

15) δευτέρας, C. Mon. δευτέραν.

16) ἐφεκτ. C. Mon. ἀφεκτικῶν.

17) προαγῶνες, Cdd. Aug. et Mon. προάγωνες.

πολλῷ περιπίπτουσαν τῷ πλάνῳ καὶ δυσοδίᾳ καὶ δυσχερείᾳ χρῆσθαι, καὶ ἀνύτειν ἐπιτυχῶς καθάπαξ πρὸς ἀσφαλῆ τὴν εὕρεσιν ἄνευ δὴ τῆς περὶ Θεοῦ καὶ τῶν θείων μόνης σοφίας, ἄνωθεν πάντως ἐξ ἐπιπνοίας τινὸς [18]) θεοφορήτου, ἢ πόθεν ἄλλοθεν, καὶ ποίας τῶν συλλογιστικῶν τρόπων καὶ τῶν δείξεων [19]) ἀνάγκης· ἐπεὶ καὶ περὶ τούτου μέρους πάνθ᾽ ὅσα σοφίᾳ τινὶ χειραγωγούσῃ δι᾽ ἀποδείξεων οἱ πρότερον ἐκεῖνοι τῇ ματαίᾳ γνώσει θαῤῥοῦντες φθέγγονται οὐκ ἄσειστα οὔτ᾽ ἀθῷα πάσης ἐπηρείας, οὐδ᾽ ἀζήμια παντάπασιν εἶναι δοκεῖ. Καὶ πολλὰ πολλοῖς ἐλέγχοις εὐθύνεται καὶ πολλοὶ πρὸς ἀλλήλους [20]) νέοι πρὸς τοὺς φθάσαντας καὶ ἡλικιῶται πρὸς ἀλλήλους ἀντιταττόμενοι καταπολιορκοῦσι καὶ καταστρέφουσι τἀλλήλων, καὶ πάντα δόγματα καταστρέφουσι, καὶ οὐδὲν ἐῶσιν ἀνεπιτίμητον ἀληθέσιν ἀποδείξεσι τῶν εὑρημένων καὶ δεδογμένων [21]) ἀνθρωπίνῃ, καθὼς ἔφην, σοφίᾳ, μόνα δὲ τὰ πάσης ἐπέκεινα σοφίας ἐκ Θεοῦ πάντως εἰλημμένα παρ᾽ ἡμῖν περὶ αὐτοῦ Θεοῦ καὶ τῶν θείων περιγίνεται τῷ κράτει τῆς ἀληθείας τίμια, καὶ πάσης αἰδοῦς καὶ ἀσφαλείας πάσης δόγματα. Τὰ δ᾽ ἄλλα πάνθ᾽ ὅσ᾽

---

18) τινὸς, C. Mon. perperam τινά.

19) δείξεων. Ea, quae inter δείξεων et οἱ πρότερον leguntur, a C. Aug. absunt.

20) πρὸς ἀλλήλ. inde ab his usque ad ἀντιταττόμενοι in C. Mon. omnia desunt.

21) δεδογμ. Cdd. Mon. et Aug. δεδομένων.

ἄνθρωποι σοφίζονται περὶ τῶν ἐν φύσει, περὶ τῶν κατὰ τεχνικήν τιν᾽ ἄσκησιν ἐκ φυσικῶν αὖθις λόγων, ἐξ ἐμπειρίας περὶ τῶν κατὰ τὸν βίον πρακτέων, καὶ ἅττα προςήκειν ἀξιώσειέ τις καὶ λυσιτελεῖν ἀνθρώποις, πάνθ᾽ ὁμοῦ ταῦτα καὶ τοὺς ἐναντίους ἐπιδέχονται λόγους, ὅπως ἂν ἀμέλει καὶ νοοῖντο καὶ λέγοιντο· καὶ πλεῖστοι δὴ περὶ τῶν αὐτῶν τἀναντία πείθοντες οὐκ ἔξω κατ᾽ ἀμφότερα τοῦ καιροῦ σπουδάζοντες ὁρῶνται. Καὶ τοῦθ᾽ ὁρᾷν ἐστιν[22]) εὖ μάλ᾽ ἐπὶ τῶν φιλοσοφησάντων καὶ διατριψάντων φιλοπονώτατα περὶ τὴν τῶν ὄντων ἔρευναν καὶ θεωρίαν, μὴ μόνον ἀλλήλοις περὶ τὰ πλεῖστα διατεινομένων τἀναντιώτατα καὶ λόγων ἑκατέρωθεν εὐπορούντων, ἀλλ᾽ ἔστιν οὗ καὶ ἑαυτοῖς καὶ περιπιπτόντων, οἷς ἐν ἄλλοις φθάσαντες εἰρήκεσαν. Καὶ δῆλόν γε ὡς ταῦτ᾽ ἐστὶν, ὃ καὶ τὰς διαφορὰς τῶν αἱρέσεων κατὰ φιλοσοφίαν, καὶ τὰς ἀκηρύκτους καὶ ἀσπόνδους μάχας ἐδημιούργησε καὶ κατεστήσατο παλαίσματα περὶ τὸν βίον, καὶ θέατρα φιλοσοφίας, ὥςπερ δὴ καὶ μονομάχων καὶ παγκρατιαστῶν[23]), τῶν περὶ τὴν ἀλήθειαν τῶν ὄντων ἑνοειδῆ γε οὖσαν, ὡς αὐτοί φασιν, ἀδόλως πονούντων· καὶ μέντοι καὶ πάντων ἐπιτυχῶς ἔχειν τὴν περὶ πάντων ἀλήθειαν οἰομένων, καὶ οἰομένων γε τὰ πλεῖστον ἀλλήλων διεστῶτα, καὶ πολλάκις μάλιστ᾽ ἀλλήλων μαχιμώτατα. Καὶ τοῦθ᾽ ὁρᾷν ἐστιν ἐπὶ τῶν ἰατρικῶν περὶ

22) ἐστιν, omissum in C. Mon.

23) παγκρ. C. Aug. πραγματιαστῶν.

τῶν αὐτῶν ἀλλήλοις ἀντιστατούντων, καὶ πάντων ἀξιούντων σφίσιν ἑκάστοις πείθεσθαι, ὡς μόνοις [24]) ἱκανῶς τοῦ καιρίου καὶ λυσιτελοῦς ἔχουσιν, ἀλλὰ καὶ ἑαυτοῖς στασιαζόντων, εἴ τις προσέχοι τὸν νοῦν, καὶ περὶ ὧν ἄρα χθὲς καὶ πρὸ τρίτης, μᾶλλον δὲ καὶ πρὸ δυοῖν ἴσως ἢ τριῶν ὡρῶν ἄλλως ἐφιλοσόφουν τἀναντία ἑκάστοτε νῦν γε εἶναι τιθεμένων καὶ σπουδαζόντων. Καὶ τοῦθ' ὁρᾶν ἐστιν ἔτι κατα πάσης τεχνικῆς ἀσκήσεως ὡσαύτως, εἰ καὶ [25]) ἧττον ὡς ἀληθῶς ἐπὶ τῶν βαναύσων μάλιστ' ἢ τῶν ἐλλογιμωτέρων· καὶ τοῦθ' ὁρᾶν ἐστιν ἐπὶ βουλευτικῶν λόγων ἐπιεικῶς, καὶ τεχνολογεῖται διάφορα πολλοῖς καὶ στωμύλλεται [26]), καὶ τἀναντί' αὖθις τοῖς πράγμασιν ἀπαντᾷ, καὶ τοῦτ' ἐπὶ πάσης δικαστικῆς κρίσεως καὶ ψέγειν ἄττα δὴ, καὶ οὕστινας ἂν ἀμέλει προτιθεμένων, καὶ τοὐναντίον ἐπαινεῖν ἀξιοῦν καὶ θαυμάζειν, καὶ πάντ' ἐν εὐρίποις καὶ πάντα λόγων ἐφ' ἑκάτερα καὶ λεγόντων τυγχάνειν οἷά τ' ἐστὶ, καὶ πάντ' αὖθις εὐέλεγκτα δείκνυσθαι. Καὶ οὐδέν ἐστι τῶν ὄντων σχεδὸν καὶ περὶ ἃ πάντως οἱ λόγοι, ὃ μὴ οὕτω καὶ πολλῆς ἀσαφείας αἴτιον, καὶ ἀπιστίας περὶ πᾶσαν γνώμην, καὶ τοῖς ἐφεκτικοῖς ἀφορμὴν τῇ γνώμῃ δίδωσιν, εἴτουν ταῖς ἀντιθετικαῖς καὶ μαχίμοις ἐνστάσεσι, καὶ συνηγορίαις τῇ κατὰ πάντων ἁπλῶς ἀμαθίᾳ.

24) μόνοις, Cdd. Mon. et Aug. μόνης.
25) καὶ, non agnoscit C. Mon.
26) στωμύλλ. Cdd. Aug. et Mon. male στεμύλλεται.

ΚΕΦ. ξβ'.

Περὶ τῶν ἐμπιπτόντων πράγμασι [1]), τῶν μὲν διὰ φιλόπραγμον ἦθος φαῦλον, τῶν δὲ δι' ἀμαθίαν καὶ ἀπρονόητον τὴν τύχην.

Φαῦλον ὡς ἀληθῶς πρᾶγμα, καὶ φαύλων καὶ δυστυχῶν ἀνθρώπων, καὶ πολὺ μάλιστ' ἀμαθέστατον τοῦ βελτίστου τὸ ποθεῖν πράγματα καὶ προςτρέχειν ἑτοίμως καὶ πάσῃ ῥοπῇ, καὶ ὠθεῖν [2]) καὶ ὠθεῖσθαι, καὶ μὴ μάλισθ' ὡς οἷόν τ' ἀποδιδράσκειν, καὶ περὶ τὰ οἰκεῖα, καὶ οἷς ξυνέλαχέ τις συνεῖναι καὶ χρῆσθαι καὶ ἀσκεῖν, ὅπως ἄρα πονεῖν τε καὶ ἰδιοπραγεῖν καὶ προκόπτειν πάντως, ἢ ἐῤῥαστωνευμένως ἄγεσθαι, ἢ περὶ σοφίας ἐπιμέλειαν ἥντινα δὴ, καὶ πρὸς ἣν ἄρα πέφυκεν, ἢ περὶ πάσας ἄλλας, ὅσαι [3]) τοῦ βίου χρήσεις ἀνθρώποις· καὶ μερίζονται ταύτας ἄλλας ἄλλοι, πάντες δὲ πάσας εἰς τὴν κοινὴν τοῦ βίου συντέλειαν, καὶ συνδιαγωγὴν καὶ ἁρμονίαν κατ' ἔθιμον ἀγωγὴν, καὶ συνέχειαν ἐκ προγόνων, καὶ κλῆρον, ὡς εἰπεῖν, ἢ καθ' αἵρεσιν ἥντιν' ἄρα. Ἀλλὰ φεύγειν ἑαυτὸν καὶ τὰ οἴκοι πᾶσα ἀνάγκη· συμπεφυκότα οἱ καὶ σύστοιχα πρὸς τὸ ζῇν ὁποιοῦν καὶ ῥᾷον χρῆσθαι καὶ συμπλέκεσθαι καὶ διεθλεύειν [4]) τοῖς

1) πράγμασι, C. Mon. πραγμάτων πράγμασι.

2) ὠθεῖν, C. Aug. non praebet.

3) ὅσαι τοῦ βίου usque ad ἄλλας ἄλλοι a librariis Cdd. Aug. et Mon. sunt omissa.

4) διεθλεύειν, sic Cdd. nostri: leg. διαθλεύειν, vt c. 63. infr. et al. locc. διαεθλεύειν.

μὴ προςήκουσι, καὶ ὧν ἐστι παρακερδαίνειν, εἰ ἄρ᾽ ἔστιν οὐκ ἄλλως, ἢ ἀηδίᾳ καὶ φροντίσι καὶ κινδύνοις οὐκ εὐπεριφρονήτοις· καὶ ἀδίκως ἔστιν ὅτε νικᾷν, εἰ ἄρα νικῴη, καὶ κρεῖττον φέρεσθαι, εἰ δὲ μὴ διαπαλαμώμενον καὶ ἀντισταποῦντα τῇ τύχῃ, καὶ ξυμπίπτοντα μηδ᾽ ἀνεμεσήτως ὀλιγωρεῖσθαι καὶ πράττειν κακῶς περιεργαζόμενον, ὡς μὴ ὤφελεν οὐδὲν δέον, μηδὲ πρὸς ἀνάγκην τινὰ παραβαλλόμενον, ἀλλ᾽ ἑκόντα γε ὄντα, καὶ τελευτῶντά γ᾽ ὡς ἀληθῶς ἄκοντα κακῶς ἑαυτῷ, καὶ κακῶν αἴτιον γιγνόμενον, καὶ ταῖς παροιμίαις ἢ ἀφορμὴν διδόντα, ἢ λοιπὸν ἐνεχόμενον· πῦρ σκάλλειν, καὶ ὡς αἲξ τὴν μάχαιραν, καὶ κινεῖν τὸν ἀνάγυρον, καὶ ὅσα ἄλλα τοῖς παλαιοῖς ἐπὶ τοὺς πολυπράγμονας καὶ κακοπράγμονας καθ᾽ ἑαυτῶν χαριέντως εἴρηται. Ὡς ἄρ᾽ ἔνιοι τῶν ἀνθρώπων οὐκ ἀγαπῶσιν, ἢν μὴ πᾶσιν, εἰ οἷόν τ᾽ ἐστὶν, ἀνθρώποις καὶ ἑαυτοῖς παρέχονται πράγματα, καὶ ὁμόσε πᾶσιν ἀνθρώποις καὶ πᾶσι πράγμασι χωρεῖν ἐπείγονται καὶ φιλοτιμοῦνται τἀλλότρια, καὶ μὴ διαφέροντα σφίσιν εἶναι δραστικώτατοι καὶ διαρκεῖς καὶ πανδέξιοι, ἢ γέλωτ᾽ [5]) ὡς ἀληθῶς ὀφλοντες κακοὶ κακῶς τε καὶ ἀμαθῶς καὶ ἀηδῶς ἅμα, ἢ κινδύνους ἑαυτοῖς ἢ ἄλλοις καὶ φροντίσματα πάσης ἀνίας καὶ χαλεπότητος ἐμποιοῦντες, καὶ τελευτῶντες οἱ πλείους ἐν μεταμέλῳ γιγνόμενοι. Πρὸς μὲν οὖν τὸν Σάτυρον ὁ μῦ-

5) γέλωτ᾽, Cdd. Aug. et Mon. γέλ᾽ ως, corrupte.

θος φησὶν, ὡς εἶδε τὴν ἀρχὴν τὸ πῦρ ὑπὸ τοῦ Προμηθέως γενόμενον, μάλ' ἡσθέντα τῇ θέᾳ, καὶ ὑπὸ τῆς ἡδονῆς αὐτῷ προςτρέχοντα βουλόμενον κατασπάσασθαι, τὸν Προμηθέα φάναι· Οὐκοῦν τράγος οὐχ αἱρήσεις[6]*) ὑπ' αὐτοῦ καταπιμπράμενος τὸν πώγωνα; Τὸν δ' αὐτὸν, οἶμαι, τρόπον πρός γε τοὺς τοιούτους ἔξεστι φάναι προςτρέχοντας ὅλῃ φορᾷ τῇ πραγματειώδει ταύτῃ χρήσει, καὶ μάλισθ' ἡδέως ὑπὸ τῆς ἀμαθίας ἔοικε τῶν*[7]*) ἐν τῷ πράγματι κινδύνων· Ὦ μάταιοι, ποῖ φέρεσθε; τί καθ' ὑμῶν αὐτῶν ἐπείγεσθε μὴ προειδότες, ὡς οὐ λυσιτελήσει γ'*[8]*) ὑμῖν, οὐδ' ἐάσει γε προςιόντας τὰ φαινόμενα λαμπρὰ, καὶ ἥδισθ' ὑμῖν μετ' οὐ πολὺ φεύγειν αὐτῶν ἀζημίως, ἀλλὰ κακοὶ κακῶς ἐμπεπτωκότες, οἷς οὐκ ᾠήθητε τελευτῶντες, εἶτ' ἀπαλλάξετε; Καὶ γὰρ δὴ καὶ πολλοὶ τῶν ἁψαμένων ἡδέως καὶ προςδραμόντων ὑπ' ἀβελτηρίας δή τινος καὶ φαύλης ἕξεως, καὶ πόθου τυφλοῦντος περὶ τὸ ποθούμενον μετὰ τὴν πεῖραν ἀηδῶς κομιδῇ χρώμενοι καὶ δυσχεραίνοντες, εἴπερ οἷόν τ' ἦν, παλιννοστῆσαι καὶ λαβέσθαι τῶν ὄπισθεν ἔκ τινος αὖθις τρόπου, καὶ γενέσθαι τῆς ἀρχῆς ἥδιστ' ἠλλάξαντ' ἂν, καὶ λειποταξίου γραφὴν οὐκ ἂν ἀπώκνησαν, οὐδὲ μικροψυχίας δή*

---

6) *οὐχ αἱρήσ.* C. Mon. *οὐχαιρήσεις*: Aug. *οὐ χορήσεις.* cf. Plutarch. de capienda ex hostibus vtilitate, edit. Reisk. Vol. VI. p. 322.

7) *τῶν*, C. Mon. *τῷ.*

8) *λυσ. γ'*, C. Mon. *λυσιτελήσειν*: Aug. *οὐδ' ἄσει γε.*

τινος ἔλεγχον, καὶ γνώμης ὀλίγης καὶ ἀνικάνου φύσεως· καὶ μάλιστ' ἀπολίτευτοι καὶ ἀνάγωγοι δόξαι τινὲς εἵλοντ' ἄν, ἢ τοσαύταις ἀεὶ κατατρύχεσθαι καὶ ἀεθλεύειν δυσχερείαις τῆς ἀπροόπτου προθέσεως [9]) τὸν ἅπαντα τῆς ζωῆς χρόνον. Πολλοὶ δέ γ' αὖθις χαίρουσιν εὖ μάλα τῷ βίῳ, καὶ τρίβουσιν ὡς ἥδιστα σφίσιν ἀεὶ καταναιδευσάμενοι τῶν πραγμάτων, καὶ ἀφροντιστοῦντες πρὸς τοὺς ἔξωθεν συνιέντας, ὥςπερ οἱ τοῖς μολυσμοῖς καὶ τοῖς βορβόροις ἐμφυρόμενοι χοῖροι, ἢ καὶ οἱ κατὰ τῶν κοντῶν ὠθοῦντες ἑαυτοὺς ἀκαίρῳ φιλονεικίᾳ καθ' ἑαυτῶν, καὶ πρὸς τὸν ὄλεθρον αὐτοῖς ἁμιλλώμενοι. Καὶ οὗτοι μέν γε πλεῖστοι κατὰ τὸν βίον φαῦλοι φαύλως αἱροῦνται πράττειν κακῶς, αὐτοί γ' ἑκόντες ὄντες, καὶ φιλονικοῦσι [10]) καὶ φιλονεικοῦσι, καὶ παραβάλλονται πᾶσιν ἀνθρώποις ἐνστατικῶς, καὶ πᾶσι πράγμασι κρατερῶς τὴν τόλμαν καὶ τὴν αὐθάδειαν, καὶ τὴν ἀναίδειαν τοῦ βίου καὶ πάσης ἀντιπράξεως καὶ πάντων καμάτων εὖ μάλ' ἄτρεπτοι, καὶ πάσης κακεντρεχείας νικηφόροι καθ' ἑαυτῶν. Καὶ οἱ μέν γε οὕτως, ἀλλὰ καὶ πολλοί γε μὴν ὅμως τῶν εὐγενῶν ἀνδρῶν καὶ μετρίων ἄκοντες, καὶ παρα τὴν αὐτῶν βούλησιν καὶ τὸ ἦθος ἐμπίπτουσιν ἀηδέστατα τῇ τοιαύτῃ διαθέσει τοῦ βίου, καὶ

---

9) προθεσ. C. Mon. θέσεως.

10) φιλον. φιλονικ. C. Mon. φιλοδικοῦσι. Aug. φιλοδοκοῦσι. Aug. φιλονικοῦσι pro φιλονεικοῦσι, mendose.

φεύγοντες ὅλῃ προθέσει γνώμης καὶ κατὰ φύσιν ἀλλοτρίως ἔχοντες βιάζονται καὶ δυστυχοῦσιν, οἷς οὐκ οἰκείως εἰσὶ, καὶ πράγματ' ἔχουσι κομιδῇ πλεῖστα δυσχεραίνοντες, καὶ ἁμιλλῶνται πρὸς ἀντιπράττοντας, καὶ διαπληκτίζονται συσχεθέντες, οὐ μάλα τοι κατὰ σκοπὸν, ὃν ἐν τούτοις πονεῖν καὶ νικῶσι καὶ νικῶνται, καὶ φέρονταί τισιν ἐπηρείαις καὶ ξυντυχίαις, αἷς οὐκ ἄν ποτ' ᾠήθησαν, οὐδ' ἐχρήσαντ' ἂν αὐτοὶ καθ' αἵρεσιν πράττοντες, κἂν ἀπέδρασαν, ὡς ἥψαντο καὶ συνέσχοντο· καὶ τοῦτ' εὐκταῖον ὅτι μάλιστ' αὐτοῖς, εἰ οἷόν τ' ἦν, ὥςπερ ἀπό τινων τυμβωρύχων καὶ λῃστῶν, ἢ βαρείας τινὸς νόσου καὶ δεινῆς διαδράντες, ἢ κλύδωνος τινὸς, καὶ διασωθέντες ἐπ' ἀσφαλοῦς γενόμενοι· ὃ πάντων ἐστὶν ἐργωδέστατον τὸ παρελθεῖν τὰς ἐντεῦθεν ἐπιθέσεις, ἢ μὴ ξυλλαχεῖν τοιοῖσδε πράγμασιν ἐν βίῳ γενόμενον. Καὶ πολλούς γέ τις μαρτύραιτ' ἂν ἐνταῦθα, οἳ πείρᾳ τινὶ καθ' ἑαυτῶν, ὡς μήποτ' ὤφελον λέγειν, ἕτοιμοι καὶ συνηγορεῖν ὡς ἀληθεῖ τῷ νῦν λόγῳ, αὐτοὶ γνώμης ὄντες ἀλλοτρίας, καὶ ἤθους πολυπραγμοσύνης πάσης, καὶ μὴ πρὸς πάντα φερομένης ἐμπλήκτως ἕξεως, αὐτοὶ[11]) καὶ παρὰ βούλησιν καὶ σφόδρα δυσχεραίνοντες τοῖς γε τοιούτοις ξυμπίπτοντες, καὶ καθάπαξ ἄφυκτα ἐχόμενοι, καὶ κάμνοντες καὶ νικῶντες καὶ νικώμενοι, καὶ φορῷ[12]) χρώμενοι τῆς τύχης καὶ τῶν πραγμά-

11) αὐτοί, C. Mon. αὐτός.
12) φορῷ, Cdd. Aug. et Mon. male φωρῷ.

των πνεύματι, καὶ ναυαγοῦντες ὑπ' ἀντιπνοίας αὖθις καὶ δι' ἀήθειαν ἔστιν οὗ, ἃ μὴ πρὸς αὐτῶν ἀναγκαζόμενοι πράττειν, καὶ οἷς μὴ πεφύκασιν οὐδ' αἱροῦνται διαεθλεύειν [13]) συναρπαγέντες ἢ δεσποτικῇ χρείᾳ καὶ βίᾳ, ἢ φιλτάτων δεσμοῖς ἀφύκτοις τῆς φύσεως, ἢ φιλονεικίας τινὸς ἡττηθέντες, οὐ γὰρ ἀναίμονές εἰσιν, ἀλλ' εἶδαρ ἔδουσι καὶ αὐτοὶ, οἷον καὶ ἄλλοι βροτοὶ ἄνδρες, φησὶν ἡ ποίησις [14]), ἔδουσι, καὶ πόσιος χρέονται, καὶ τῆς κοινῆς εἰσὶ φύσεως ἢ δυσωπίᾳ τινὶ, ἢ καὶ ἄλλοις δή τισιν ἀνθρώποις ὅμως τοῖς πάθεσιν.

ΚΕΦ. ξγ'.

Περὶ τῶν ἐλπίδων, καὶ ὅτι τρόπον μέν τινα [1]) βιωφελέστατον ἀνθρώποις τὸ κατ' αὐτὰς χρῆμα, τρόπον δέ τιν' αὖθις καθάπαξ νεμεσητὸν καὶ κατεγνωσμένον.

Βιωφελέστατόν τι κατ' ἀνθρώπους τῇ ζωῇ καὶ τῷ εἶναι, καὶ καθόλου τῆς φυσικῆς ἀσθενείας, καὶ τῶν κατὰ τὸν βίοτον δυσχερῶν ἀλεξίκακόν τι καὶ ῥᾴδιον αὐτόθεν χρῆσθαι, καὶ μάλ' εὐπόριστον, καὶ ἀδάπανον βοήθημα τὸ τῶν ἐλπίδων χρῆμα. Καὶ οὐκ ἂν ἦν ὅλως ἐν ἡμῖν εὐζωΐα, οὐδὲ τοῦ ζῆν ἔφεσις καὶ τοῦ εἶναι

---

13) διαεθλ. C. Mon. διαθλεύει, Aug. διαθλεύειν.

14) φησὶν ἡ ποίησις, Hom. Il. ε, 341. et 342. pro εἶδαρ habet Hom. σῖτον.

1) μέν τινα, C. Mon. non habet.

χωρὶς ἐλπίδων· καὶ ζωή τις ἐστὶν αὐτὴ [2]) μάλιστ' ἰδία, καὶ πρώτη γ' ἴσως οὐσιωμένη τῇ φαντασίᾳ, καθ' ἣν ἐστὶ καὶ δίχα σώματος καὶ τῆς ὀργανικῆς τοῦ σώματος χρήσεως ζῆν, καὶ πολυαρκέστατα καὶ μακροβιώτατα ζῆν, οὐ τὰ παρόντα μόνον ἀμέλει καὶ ἀχαριαῖα καί, ὡς εἰπεῖν, ἄληπτα χρόνῳ καὶ ἀμεγέθη, ἀλλὰ καὶ τὰ μέλλοντα καὶ παμμηκέστατα πορρωτάτω τῶν δεδομένων ὅρων ἐπέκεινα. Οὐκ ἂν μὲν οὖν οὐδ' αἱρετὸν ἦν ἡ ζωὴ οὐδὲ ποθεινὸν μετασχοῦσιν αὐτῆς, εἰ μὴ προσῆσαν ἐλπίδες, ὥσπερ τι ζωηφόρον [3]) παρεχόμεναι πνεῦμα καὶ διαρκείας, καὶ μονῆς ἀφορμήν, καὶ πάσης εὐπραγίας κατὰ τὸν βίοτον ἐνέχυρον καὶ συνηγορίαν [4]) ῥᾳστώνης, καὶ ὥσπερ ἐν λαίφεσιν εὐπνοίας, εἴτουν εὐπλοίας ἀνέμου ῥεύματα καὶ φορᾶς οὐρίου ξὺν ἔαρι καὶ γαλήνῃ, καὶ πομπεία τις ἑορτάσιμος εὐετηρίας κατὰ τὸν βίοτον, καὶ χειμώνων καὶ ναυαγίων λιμὴν ἐκ τοῦ προχείρου λαβέσθαι καὶ ὑπερσχεῖν [5]) ἀμηγέπη, καὶ πάντων νοσημάτων καὶ πάντων καμάτων καὶ πόνων φάρμακον· ἃ πάντα κἂν φέρειν ἐστὶν ἐῤῥωμενέστατα καὶ γεννικῶς, κἂν ἀποτίθεσθαι τοῖς λογισμοῖς ἐλπίδων κουφότητι, καὶ συντονίᾳ γνώμῃ [6]) ταῖς

---

2) αὐτὴ, C. Mon. αὕτη.

3) ζωηφ. C. Aug. ζωηφόρου.

4) συνηγ. Cdd. Mon. et Aug. συνηγορία.

5) ὑπερσχ. Cdd. Mon. et Aug. ὑπερέχειν.

6) γνώμη, C. Mon. γνώμης, Aug. γνώμην.

ἐλπίσιν αὐταῖς νευρουμένη. Καὶ δοκεῖ πως εὐγενὲς καὶ ἀνθρώπων ἀστείων ἡ ἐν τοῖς δεινοῖς εὐελπιστία, καὶ τὸ μὴ καταπίπτειν τῇ τῶν πραγμάτων χαλεπότητι, ὡς εἶναι καὶ φιλοσοφίας καὶ ἀρετῆς. Καὶ θεοσεβείας μὲν οὖν ἀφορμὴ τὸ τῶν ἐλπίδων χρῆμα, καὶ πάντα δόγματα περί τε Θεοῦ καὶ τῶν θείων, καὶ πᾶσα μακαριότης ἀκλόνητος νῦν τε εἶναι κἀν τῷ μένοντι[7]) μεθύστερον ἐλπίσι τελεσφορεῖται, καὶ τὸ πιστὸν ἔχει, δίχα δ' ἐλπίδων μὴ καὶ τῶν ἀνεπιχειρήτων ἢ πραγμάτων, καὶ φαῦλον[8]) ἢ καὶ δυσνοϊκὸν τὸ λογίζεσθαι μάλα τοι καταθεμένους τὰς ἐλπίδας, καὶ τὸ πολύπραγμον, ἄκαιρον. Καὶ ὅλως γε πολλὴ στενότης ἂν τῆς ζωῆς ἦν ἡμῖν, εἰ μὴ παρείπετο πᾶσι τὰ τῶν ἐλπίδων εἰδοποιός τις τῆς ἀνθρωπίνης βιοτῆς δύναμις, καὶ διαρκείας καὶ μονῆς δεσμὸς, καὶ πᾶσιν, ὡς ἔπος εἰπεῖν, ἐπεπόλαζέ τε καὶ ἐπωχεῖτο, μᾶλλον δὲ καὶ ἐπεχεῖτο διὰ πάντων, ὡς ἀέρος μετουσία κοινὴ, οὗ πνέουσιν ἄνθρωποι, συνέχοντος τὴν φύσιν, καὶ καθιστῶντος εἰς τὸ βιώσιμον, καὶ οὐκ ἂν ζῆν οἷόν τ' εἴη μὴ ὄντος τε καὶ συνόντος αὐτόθεν εἰς μετάληψιν, ὡς ἄρα καὶ τὰ τῶν ἀνθρώπων παραπλησίως οὐκ ἂν τὸ βιώσιμον εἶχεν, εἰ μὴ συνῆν διὰ πάντων ἄτμητα τὰ τῶν ἐλπίδων εἰς μετουσίαν ζωηφόρον, καὶ καθίστη τοῦ βίου τὴν ἀγωγὴν ἀνύσιμον. Καὶ πολλοί γ'

7) μένοντι, Cdd. Aug. et Mon. μέλλοντι.

8) φαῦλον, C. Mon. φαύλων.

ἂν ἀπότομον καὶ ἀπευκταῖον εἶχον τὸ ζῆν, καὶ ἴσως γε καὶ φεύγοντες ἂν ἀπηλλάττοντο δραπέται μοχθηρᾶς τινος καὶ δυσαγώγου ζωῆς, ὅσοι μὴ τὴν γνώμην τέλειοι καὶ μὴ πλέον τοῦ φαινομένου τοῦδε ζῶντες. Καὶ τοῦτο πάντως ταῖς ἐλπίσι, καὶ κομιδῇ σπάνιον καὶ χαλεπὸν εὑρεῖν, καὶ ὀλίγου τῶν ἀνθρώπων ἀριθμοῦ, εἰ δὴ καὶ τοῦτο δοίημεν· οἱ δὲ πολλοὶ τὰ παρόντα μόνον ζῶντες, ἣν μὴ ἄρα τὰ ἐκ τῶν ἐλπίδων βοηθήματα προσῆν, δυσχερέσιν ἂν ξυμπίπτοντες ἑκάστοτε πράγμασι καὶ καταγχόμενοι, καὶ βαρύτατα φέροντες καὶ μὴ φέροντες μάλιστα, κακοὶ κακῶς τε καὶ ἀφειδῶς ἑαυτῶν ἕτοιμον ἂν εἶχον αὐτόθεν καθ' ἑαυτῶν τὸν βρόχον, ἢ τὴν χεῖρα πρὸς τὴν αὑτῶν ὥπλιζον ἂν ἑτοιμότατα σφαγὴν, σπουδῇ πάσῃ διδράσκοντες τὴν ἀδόκητον καὶ ἀνέλπιστον παντὸς προσηνοῦς τλήμονα ζωὴν, καὶ πανώλειαν ἑαυτῶν ἀνθαιρούμενοι τοῦ ἐν τοῖς κακοῖς μήκους, καὶ τῆς μονῆς. Καὶ ὁρῶμεν, ὡς πολλοί γ' οὕτω κάκισθ' ἑαυτοῖς ἐχρήσαντο καὶ ἀφειδῶς, καὶ ἀεὶ χρῶνται χαλεποῖς δή τισι ξυντυχόντες, καὶ πάσης ἀπεγνωκότες ἐλπίδος μικρογνώμονες ἄνθρωποι δή τινες καὶ μικρολόγοι τῶν ἀγαθῶν ἐλπίδων, καὶ ἀμαθεῖς τοῦ κατ' αὐτὰς μάλιστα βελτίστου, ὡς ἄρα πάντων χαλεπῶν καὶ τῶν βαρυτάτων ποῤῥωτέρω πεφύκασι φέρεσθαι καὶ ἀπέραντοι εἰσί. Καὶ οὐδεὶς μή ποτ' ἂν ὅρος αὐτοῖς εἴη καὶ τέλος ὁτιοῦν, οὐδ' ἐν τοῖς ἐσχάτοις αὐτῆς τῆς ἀναπνοῆς, οὐδ' ἀποκλείονται κατ' ἄρα τι μέτρον

ὁποσονοῦν, ἢ σταδίων μῆκος τόσων καὶ τόσων ὑπερβάλλον πάντ' ἀριθμὸν, καὶ ποσὸν ἅπαν, ὡς εἰπεῖν, τελευτῶν δ' ὅμως ὁριζόμενον ὁπηοῦν. Καὶ τὸ μέν γε τῶν ἐλπίδων οὕτως ἄρα δόξειεν ἂν βέλτιστ' ἔχειν κατ' ἀνθρώπους, καὶ ὀνησιμώτατον τῇ καθ' ἡμᾶς φύσει, μάλιστ' εἰ δή τι καὶ ἄλλο τῶν ἁπάντων ἐπισκεπτομένῳ καθόλου τὰ κατὰ τὸν βίον πράγματα. Οὐ μὴν ἀλλὰ καὶ αὖθις πολλοὶ καταμωκᾶσθαι δεῖν ἥγηνται, καὶ πάλαι καὶ νῦν ἀξιοῦσι μεγάλης ὑπευθύνους εὐηθείας καὶ ματαιότητος, τοὺς ἐχομένους παντάπασι τῶν ἐλπίδων ἀβεβαίου πράγματος οὕτω καὶ καθάπαξ ἀπίστου καὶ ἀνιδρύτου, κἀντεῦθεν μάλισθ' ὅ τί ποτ' ἄρα φρονοῦντας, καὶ βιοῦντας ἀκαιρίᾳ πάσῃ λογισμῶν, καὶ τελευτῶντας· καὶ μάλιστ' εἴωθεν οὕτω δὴ ξυμβαίνειν ἀπαλλαττομένους ἐντεῦθεν, καὶ τοῦ βίου παντὸς ἀωρίᾳ πάσῃ τῶν ἐλπίσι, καὶ ἀηδέστατα πάνυ τοι σφίσιν αὐτοῖς, καὶ τηνικαῦτα δὴ ξυνιέντας ἀνόνητα τῆς ἑαυτῶν ἀμαθίας, καὶ τῶν μακρῶν φαντασμάτων, καὶ λήρων, καὶ πλάνων ἀνηνύτων, καὶ περιόδων τῶν εἰς πάντα φερουσῶν διαύλων τῶν ἐλπίδων καὶ δρόμων κούφως τε καὶ ῥᾷστα, καὶ μάλιστ' ἀπόνως [9]) πραγμάτων· καὶ γέλωτα μὲν ἐχθροῖς ὀφλόντας, θρηνοῦντας δ' ὅμως, ὡς ἀφῃρημένους, ὧν ἀπρὶξ εἴχοντο, καὶ κατεδραματούργουν ὡς ἐν σκηνῇ

9) καὶ ῥᾷστα — ἀπόνως, C. Mon. καὶ ῥᾷστ' ἀπόνως, omissis καὶ μάλιστ'.

τοῖς λογισμοῖς τὴν αὐτῶν ἐξουσίαν, καὶ τρυφὴν, καὶ πομπείαν, καὶ τύχης εὐμένειαν, ἐνεορτάζοντες τοῖς ἀπατηλοῖς τῆς διανοίας ἀναπλάσμασι, καὶ ὥςπερ ὄναρ παίζοντες ἐν οὐ παικτοῖς, καὶ μάλιστ᾽ αὐτοὶ παιζόμενοι, καὶ τῆς ὀνειρώδους ἀπολαύοντες βιώσεως. Ἐπαινετὸν γὰρ ὡς ἀληθῶς, καὶ σφόδρα καιρίως εἰρημένον τὸ τοῦ σοφοῦ Πλάτωνος, καὶ κομψῶς πάνυ τοι καὶ τοιοῦτον, οἷον ἐκείνῳ προςήκειν, εἰ δή τι καὶ ἄλλο τῶν ἐκείνου, ὡς ἄρα γρηγορούντων εἰσὶν ἐνύπνια αἱ ἐλπίδες. Καὶ τίς ἂν εἴη βίος λοιπὸν ἢ ζωὴ καὶ οὐσίωσις ὀνειρώδης; ἢ τίς ἂν ὀνείροις[10]) πεποιθὼς καὶ συμβιοτεύων, καὶ ὅλως ζῶν ὄναρ, καὶ κρίνων ἐντεῦθεν ἥδεσθαι, καὶ μετεῖναί οἱ τινὸς εὐδαιμονίας οὐκ ἂν ἀθλιώτατος ἀνθρώπων εἴη; καὶ τοσοῦτον ἀπιστούμενος ὅλως ξυνιέναι καὶ εἶναί τι κατ᾽ ἀνθρώπους, ὥςπερ οὐδ᾽ ὄναρ ἐστί τι τῶν ὄντων, οὐδ᾽ ἐν λόγῳ δή τινι καὶ μετρίως ἀνθρώποις νοῦν ἔχουσι, καὶ μάλιστα προςανέχουσιν ὑπὲρ πᾶν καὶ τῶν κατ᾽ αἴσθησιν σώματος τῇ τοῦ νοῦ ζωῇ, καὶ εἰ τὸ κατ᾽ αἴσθησιν οὕτω δὴ μετὰ τοῦ σώματος ζῆν, καὶ μάλισθ᾽ οὕτως ὕπαρ γε τῆς ὕλης ἀπρὶξ, ὡς εἰπεῖν, χερσὶν ἐχόμενον, καὶ συνόντα κομιδῇ τὸν ἐπιδηλότατον ἀμέλει τρόπον εὐπεριφρόνητόν τι, καὶ ὥςπερ ἀνούσιόν τι καὶ φάντασμα δοκεῖ ζωῆς ἀβέβαιον καὶ ἀνίδρυτον, καὶ φεῦγον τὴν ἀληθινὴν ἕξιν καὶ

10) ὀνείροις, C. Mon. ὀνείρωις;

ξύνεσιν τοῦ εἶναι. Τί ποτ' ἄρα φαίη τις ἂν τὴν καθάπαξ ἐν φαντασίᾳ τοῦ εἶναι πλαττομένην μόνην [11]) ζωὴν, καὶ ὥςπερ ὀνειρωττόντων ἐν ἐλπίσι βίωσιν; καὶ πόσου γέλωτος ἀξιοῦσθαι τοὺς ἐπ' αὐτῇ βεβηκότας, καὶ λιχνευομένους τοσαύτῃ πλάνῃ βίου παντάπασιν ἀνυπάρκτου χρῆσθαι, καὶ ἀεροπορεῖν ἀτεχνῶς, καὶ σκιαμαχεῖν ἀβελτερώτατα, μᾶλλον δὲ καθόλου σκιουργεῖν τὸ εἶναι καὶ τὴν ζωὴν, καὶ [12]) βιοῦν τὸ πᾶν ἐν πλάσματι; ἃ μὴ πέφυκεν εἶναι μήποτε, μήδ' ὁτιοῦν μένειν οὐσίας ἐνάργειαν κατ' ἔφεσιν νομίζοντας, ὥςπερ ἂν εἰ καὶ καθ' ὕδατός τις γράφων, καὶ διατιθέμενος λόγους καὶ σχήματα, διαρκὲς ᾤετό τι δημιουργεῖν, καὶ προςέχαιρεν, οἷς ἐχρῆτο, δοκῶν ἀνύτειν ὅ τί ποτ' ἄρα μελαγχολῶν, ἢ οὐκ οἶδ' ὅτι φῶ. Καὶ ὡς ἀληθῶς μανία τις ἂν εἴη παραπλησίως τὸ τοῖς φανταστικοῖς ἐπιθαῤῥεῖν τῶν ἐλπίδων τύποις, καὶ παρατιθέναι ἑαυτὸν, καὶ παθαίνεσθαι τοῖς γε τοιούτοις, καὶ συνδιατίθεσθαι τῇ ψυχῇ, ὡς ἂν ἀμέλει καὶ γαληνῶς ἄγεσθαι, καὶ διάγειν ἐν δή τινι γνώμης ἠρεμίᾳ καὶ χρήσει ῥᾳστώνης· ὥςπερ δὴ τοῖς νηπίοις παθητικὰ προςφέρουσιν αἱ τίτθαι μυθάρια κατὰ τῶν ὕπνων φάρμακα, καὶ παραληροῦσιν ἐν μακροῖς διηγήμασιν, ἃ μήποτε γέγονε, μήτε ποτὲ [13]) φύσιν ἔχοντα, το-

---

11) μόνην, Cdd. Aug. et Mon. μόνον.

12) καί, deest in C. Mon.

13) ποτέ, deest in Cdd. Aug. et Mon.

σούτῳ γε μὴν εὔπειστα νηπίοις, καὶ ὅσοι νηπιώδεις τὰς φρένας καὶ παντάπασιν ἀμαθέστατοι τῶν ὄντων τῆς ἀληθείας, ὥστε καὶ πάσχειν ἐπ' αὐτοῖς ἥδιστα πολλάκις, καὶ συνήδεσθαι τοῖς λήροις, καὶ αἰωρεῖσθαι τῇ τῆς ψυχῆς ἐνηδόνῳ διαθέσει· καὶ τοὐναντίον αὖ [14]) οἴκτιστα πάσχειν, καὶ θρήνων καὶ δακρύων λαμβάνειν ἀφορμὰς, καὶ θυμοῦσθαι, καὶ πᾶσιν ἀγνοίας τῶν προσηκόντων ἐνέχεσθαι πράγμασι, καὶ καταγελᾶσθαι δικαίως. Ἐνεθυμήθην δὲ ἔγωγε καὶ τοῦθ', ὅτι γελοῖον ἂν εἴη καὶ ἐπιεικῶς εὔηθες [15]), εἴ τις ἐν δράμασιν ὑποκρινόμενος πρόσωπα ἄττα καὶ σχήματα, καὶ πράξεις τῶν τιμιωτέρων, Ἀγαμέμνονα τυχὸν ἄρχοντα τῶν συνταξαμένων ἁπάντων κατὰ τῆς Τροίας Ἑλλήνων, ἢ Ἀχιλλέα νικῶντα τὰς κατὰ τῶν βαρβάρων νίκας θαυμαστὰς ἐκείνας, ἢ Οἰδίποδα διαλύοντα τὰ κατ' ἀνθρώπων ἄπορ' ἐκεῖνα τῆς Σφιγγὸς αἰνίγματα, καὶ βασιλέα λοιπὸν ἐντεῦθεν Θηβαίων, ἢ Θησέα [16]), ἢ Ἡρακλέα διαθλεύοντα πανταχοῦ καὶ περιγινόμενον ὑπὲρ βοηθείας ἀνθρώπων, ἢ ἄλλα δὴ παραπλήσια ψευδῆ πλάσματα, ἔπειτ' ἐκ τούτων τὴν ὀφρὺν αἴρει, καὶ μέγα τι φρονεῖ, ὡς δὴ θαυμαστός τις αὐτόθεν γενόμενος, καὶ τῶν ἄλλων ὑπέρτερος, καὶ ἀξιοῖ ἥδεσθαι πάνυ τοι, καὶ μάλιστα παρὰ πάντων τιμᾶσθαι, καὶ δοκεῖν [17]) κρείττο-

---

14) αὖ, C. Mon. ἄν.

15) εὔηθες, Cdd. Aug. et Mon. εὐθὲς.

16) Θησέα, C. Aug. Θηθέα, male.

17) δοκεῖν, C. Mon. δοκεῖ.

νος δή τινος μοίρας τυχεῖν, ἢ πρότερον ἦν, καὶ μεγάλης ἐπειλῆφθαι[18]) δόξης. Ἀλλ' ἐπιτριβείης[19]) αὐτίκα, φαίη τις ἂν πρὸς αὐτὸν ἐκ ποιητικῆς, μεθ' ἧς ὑποκρίνεται· ὡς μόθων εἶ, καὶ φύσει κόβαλος, καὶ σύ γε εἶ καὶ νῦν ὁ χθὲς ἄρα δὴ καὶ πρὸ[20]) τρίτης ὑπηρέτης[21]), καὶ δυοῖν[22]) ἢ τριῶν ὀβολῶν μισθούμενος. Ὁ δ' Οἰδίπους ποῦ καὶ τὰ κλεῖν'[23]) αἰνίγματα; φησὶν ὁ ἐκ ποιήσεως αὖθις παροιμιώδης λόγος, καὶ δεήσει ἄν σε καὶ αὖθις βαναυσεῖν κατ' ἔθος ὁτιοῦν ἀποθέμενον τὴν σκηνὴν, ἢ καθυπουργεῖν ἴσως δεσπόταις[24]), οἴκοι στρωματόδεσμον οἶμαί γ' ἐνσκευάζειν[25]), ἢ ὑδροφορεῖν, ἢ κρέας ὀπτᾶν, ἢ ἄλλ' ἄττα τῶν εἰωθότων· εἰ δὲ μὴ οὕτω φρονεῖς καὶ πρόθυμος φαίη[26]), εἰ δὲ σεμνύνῃ ξυντυχίᾳ τοῦ δράματος, κλαιήσεις αὐτίκα, καὶ κατὰ κόῤῥης μαστίξῃ, καὶ κατ' ὤμων πλείστας λαμβάνων πληγὰς αἰσθήσῃ[27]) λοιπὸν αὐτόθεν κακὸς κακῶς ληρῶν κατὰ τὸν ἐν Τεμέσῃ, φησὶν ἡ παροιμία,

---

18) ἐπειλ. C. Mon. ἐπιλῆφθαι.

19) Ἀλλ' ἐπιτριβ. Hic locus est sumtus ex Aristoph. Plut. v. 279., sed ibi legitur διαῤῥαγείης pro ἐπιτριβείης.

20) πρὸ, deest in C. Mon. sed in margine legitur.

21) ὑπηρέτης, desideratur in C. Mon.

22) δυοῖν, C. Aug. δυσὶν.

23) κλεῖν', leg. κλεῖν' (κλεινά). Est versus Euripid. Phoeniss. 1682.

24) δεσπόταις, C. Mon. non apte δεσπότας.

25) οἶμαί γ' ἐνσκευ. C. Mon. οἶμαι γεν (deinde spatium vacuum relictum) σκευάζειν.

26) φαίη, an φαίνῃ?

27) αἰσθ. C. Mon. αἰσθήσει.

πρότερον ἥρωα, καὶ οὐ συνοίσει σοι πάντως ἡ σεμνότης αὕτη καὶ τὸ πλεῖν ἢ τέως πρὸ τῆς σκηνῆς καὶ τοῦ δράματος φρονεῖν, καὶ ὧν οὐκ ἔχεις ἐρῶν καὶ ἅπτεσθαι πειρώμενος, λύκος ὀφθήσῃ μετὰ τῆς παροιμίας αὖθις μάτην χανών. Ταῦτ' ἂν οἶμαί γ' ἐρεῖν εἴη ἴσως οὐκ ἔξω τοῦ καιροῦ πρός γε τοιοῦτον, εἰ ἄρα τὶς εἴη τοιοῦτος προςποιούμενος τἀλλότρι' ἑαυτοῦ ἔξω τοῦ καιροῦ· εἰ δὲ τοιαῦτ' ἂν εἴη πρὸς ἐκείνους καὶ μάλα γ' εἰκότα, καὶ ταῦτ' ὄντας καὶ μετὰ τῶν πραγμάτων ἀμηγέπη, καὶ πῶς ἂν εἴποι τις ἐνεργοὺς [28]) κατὰ βραχὺ, τί ποτ' ἂν εἴη χρῆμα αἱ κατὰ τὰς ἐλπίδας μόνον σκιαγραφίαι, καὶ τὰ τῆς φαντασίας, ὥςπερ ὄναρ, ἀναπλάσματα τῶν πλασμάτων χωρίς; Καὶ τί τὸ βιοῦν ἐστὶν ἐν τούτοις ψευδῆ καθάπαξ βίοτον καὶ ἀνούσιον, καὶ ὥςπερ εἰδώλων πολίτευμα εἴρηται; Καὶ ἅμα εἰς νοῦν ἧκέ μοι, ὡς ἄρα καὶ τινὲς δὴ τῶν σοφῶν εὐφυῶς εἰκάσαντες φθάνουσι τὰς ἐλπίδας, ὥςπερ ἀφανῆ [29]) τοῖς ὀφθαλμοῖς εἴδωλα περιπολεῖν τοὺς ἀνθρώπους ἀεὶ καὶ τἀνθρώπινα πράγματα, καὶ οὔτ' ἐλλείπει μήποτ' ἀνθρώπους, οὔτ' ἔστιν ὅλως αὐτῶν δράξασθαι, ὥςπερ οὐδὲ σκιᾶς ἑαυτῶν, ἢ ὅλως λαβέσθαι, ἢ ταύτην ὑπερβῆναι καὶ παρελθεῖν ἀεὶ παροῦσαν τε καὶ παρεπομένην ἄτμητον, καὶ ἀεὶ φεύγουσαν ἄληπτον, εἰ μὴ ἄρ' ὅστις, ὥςπερ σκιᾶς ὄναρ [30]),

28) ἐνεργ. C. Mon. ἐναργοὺς.
29) ἀφανῆ, C. Aug. male ἀμφανῆ.
30) ὥςπερ — ὄναρ. Pindar. Pyth. VIII, 136. σκιᾶς ὄναρ, ἄνθρωποι.

κατὰ τὴν τοῦ Πινδάρου τῆς οὐδενείας τῶν κατὰ τὸν βίον πραγμάτων ὑπερβολὴν, ἑαυτὸν οἷός τ' εἴη κρίνειν, καὶ πάντα τἀνθρώπινα, καὶ παρέρχεσθαι σωφρόνως φιλοσοφεῖ [31]) τῆς ἐλευθέρας σχολῆς περὶ τὰ κρείττω καὶ ἀληθῶς ὄντα γιγνόμενος. Σπάνιον δὲ τόδε τὸ χρῆμα κατὰ τὸν ἀνθρώπινον βίον, καὶ ὄντως ἀκούειν ἐκεῖνος ἄξιος μόνος ἐκ τῶν Ὁμηρικῶν ἐπῶν, ἃ περὶ τῶν ἐν ᾅδου πως βιούντων φθέγγεται· οἷός τοι πέπνυται, τοὶ δὲ σκιαὶ ἀΐσσουσιν [32])· ὡς ἄρα καὶ αὐτὸς ὥςπερ ἐν νεκροῖς τοῖς ἀνθρωπίνοις πολιτεύμασι δόξειειν ἂν ἴσως εὖ μάλα νοῦν ἔχειν καὶ ζῆν ἀληθῶς· οἱ δ' ἄλλοι ταῖς ἐλπίσιν, ὃ καὶ πρότερον εἴρηται, περιϊόντες σκιαμαχοῦσιν ἢ σκιουργοῦσι, καὶ ἀπατῶνται ξύμπασαν τὴν ζωὴν τῇ πλάνῃ τῶν κατὰ τὰς ἐλπίδας ἐνυπνίων καὶ φαντασμάτων, καὶ τελευτῶντες ἀπαλλάττονται ξυνορῶντες ἀνόνητα πρὸς τῷ πέρατι τὸν πολὺν ἐκεῖνον, ὃν ἐβίωσαν, λῆρον, καὶ οὐδὲ τοὺς λειφθέντας ἔτι πω δυνάμενοι σωφρονίζειν, καὶ παρ' ἑαυτῶν διδασκάλων ἀναμανθάνειν [33]) τὰ βέλτιστα καὶ λογισμοὺς εὐγενεῖς. Ταῦτ' ἐστὶ καὶ παραπλήσι' ἀμφοτέρωθεν περὶ τῶν ἐλ-

---

31) φιλοσοφεῖ, C. Mon. φιλοσοφεῖν. Saepius hic Cod, vel addit, vel omittit ν̄.

32) οἷός τοι πέπνυται, Hom. Odyss. κ, 495. vbi vero sic legitur: οἴω πεπνύσθαι· τοὶ δὲ σκιαὶ ἀΐσσουσιν. Apud Laert. vero in Chrysipp. VII. p. 553., vt h. l., οἷος πέπνυται, τοὶ δὲ σκιαὶ ἀΐσσουσι.

33) ἀναμανθ. Margini C. Ciz. adscriptum γρ. ἀναδιδάσκειν.

πίδων οὐκ ὀλίγα περὶ τοὺς ἐμοὺς λογισμοὺς, οἷς δ' ἄν τις δοίη τὸ νικᾷν ῥώμῃ γνώμης, ἅμα μὲν προςτιθέμενος καθάπαξ, ἅμα δὲ διακαρτερῶν, ἐατέον ἡμῖν νῦν γε εἶναι, καὶ κρινόντων ἄλλοι τῶν θαῤῥούντων ἑαυτοῖς πλέον ἢ καθ' ἡμᾶς.

ΚΕΦ. ξδ'.

Ὅτι ἥδιστον ἀνθρώποις ἐν τοῖς οἰκείοις καὶ συνήθει διατριβῇ ὁτιοῦν πράττειν εὖ καὶ τιμᾶσθαι.

Ἀκούω τὸν Θηβαῖον Ἐπαμεινώνδαν, στρατηγικώτατον ἄνδρα, καὶ καρτερώτατον τὰ μάχιμα, καὶ γενναῖον τὴν χεῖρα καὶ σωφρονικὸν, εἰ δή τις καὶ ἄλλος, τὴν δίαιταν καὶ κατὰ φιλοσόφους βιώσαντας, τοῦτον ἐρομένου δή τινος ἀκούω, ὅ τί ποτ' ἄρα οἱ κατὰ τὸν βίον περίδοξον ἐν Ἕλλησι καὶ βαρβάροις οὐχ ἥκιστα, καὶ μεγάλου κλέους [1]) γενόμενον ἀπηντήκει τῶν ἄλλων ἁπάντων ἥδιστα, φάναι· μηδὲν ἄλλο, ὡς ὅτι γε τῶν φυσάντων ζώντων τὴν ἐν Λεύκτροις μάχην ἐνίκα Λακεδαιμονίους [2]) μέγιστα δυναμένους ἐν Ἕλλησι, καὶ γῆς ἄρχοντας [3]) καὶ θαλάττης, καὶ δι' Ἀγησίλαον καὶ βασιλεῖ, καὶ Πέρσαις, καὶ πᾶσιν, ὡς ἔπος εἰπεῖν, ἔθνεσιν

---

1) κλέους, deest in C. Mon.

2) Λακεδ. Cdd. Mon. et Aug. sic: Λακεδαιμονίους εἶναι μὲν γὰρ δὴ τηνικαῦτα Λακεδαιμονίους.

5) ἄρχοντας, Cdd. Aug. et Mon. ἄρχονται.

ὀνόματος μεγίστου καὶ φήμης καὶ πολλὰς νενικηκότας[4]) τὰς νίκας, καὶ ὡς οὐδέποτε πρότερον ἐν κράτει πλείστῳ, καίτοι τὸν ἀεὶ χρόνον τέως τὰ πρῶτα τῶν Ἑλλήνων φερομένους ἐν μάχαις, ἀντιταξαμένων δὲ πρὸς αὐτοὺς Θηβαίων βοιωταρχοῦντος Ἐπαμεινώνδου ξὺν Πελοπίδᾳ κατὰ κράτος ἡττηθῆναι τὴν ἐν Λεύκτροις μάχην καὶ τὴν πλείστην ἀποβαλεῖν τῷ πολέμῳ γεννικὴν δηλαδὴ Λακωνικὴν νεότητα, καὶ πρὸς ἐσχάτοις σχεδὸν γενέσθαι τὴν Σπάρτην μετὰ τὴν μάχην· καὶ τότε δὴ πρῶτον τὸν Εὐρώταν διαπερᾶσαι καὶ πᾶσαν ἐπελθεῖν τὴν Λακωνικὴν ἐχθρὰ στρατεύματα, καὶ τὴν Σπάρτην τηνικαῦθ' ὅπλα παρ' αὐτῇ κατιδοῦσαν ἀτείχιστον οὖσαν πολέμια μικροῦ καταστραφῆναι καθάπαξ κινδυνεῦσαι, εἰ μὴ ἄρα τῷ βίῳ παρῆν ἔτι πω καὶ Λακεδαιμονίοις ἡ τοῦ Ἀγησιλάου τέχνη τῶν στρατηγικῶν καὶ ῥώμη καὶ σύνεσις· καὶ τοῦτο γὰρ Σπαρτιάταις μόνον σωτήριον ἀναφανῆναι καὶ τοῖς δεινοῖς ἐκείνοις ἰσόῤῥοπον. Ὧν πάντων δὴ μάλιστ' αἴτιος Λακεδαιμονίοις Ἐπαμεινώνδας, Θηβαίων ἡγούμενος, μέγας ταῖς νίκαις, καὶ ζέων ἄκρατα παντὶ θυμῷ, καὶ πᾶσι τρόποις ἀμύνειν γενέσθαι τε μεγίστην, ὡς οὔπώποτε τέως, ἢ μεθ' ὕστερον τὴν αὐτοῦ πατρίδα, καὶ μέγιστ' ἐπ' αὐτοῦ, καὶ τῆς αὐτοῦ στρατηγίας δυναμένην ἐν Ἕλλησι, καὶ τὰ πρῶτα Θηβαίοις τότε δι' Ἐπαμεινώνδαν τοῦ παν-

---

4) νενικηκ. C. Aug. νενικότας.

τὸς Ἑλληνικοῦ φέρεσθαι, καὶ τῆς ἀρχῆς ἀντ' Ἀθηναίων αὐτοῦ καὶ Λακεδαιμονίων αὐτοὺς εἰς τοὐμφανὲς ἐῤῥωμένως ἀντιποιεῖσθαι. Καὶ τὰ μέν γε τῶν Ἑλλήνων οὕτως ἀμέλει τηνικαῦτ' ἔχειν πράγματα, καὶ ἴσασιν, ὅσοις τοι [5]) μάλιστα ταῦτ' ἐπιμελὲς τῶν ἱστορούντων εἰδέναι· ὃ δὲ μάλιστ' [6]) Ἐπαμεινώνδας ἐπὶ τοῖς εὐπραγήμασιν ἥδιστ' ἐτίθετο, φιλότιμος ἄνθρωπος καὶ δόξης ἐπαινουμένης, ἐρῶν ἐπὶ τῇ ἀρετῇ καὶ τοῖς δώροις τῆς τύχης, εὖ μάλ' ἀποδεχόμενός τις ὡς εὐγενοῦς ἀνδρὸς τὸ φρόνημα καὶ ἀστείου, μαρτύραιτ' ἄν, οἶμαι, τοῦ λόγου, καὶ πάντας ἀτεχνῶς ὅσοις ἄρα βέλτιστ' ἔσχε καὶ ἔχει τὰ κατὰ τὸν βίοτον πράγματα [7]), καί τινων ἔργων ἐπαινουμένων καὶ καθ' ὁτιοῦν ἐπεδείξαντό τε καὶ ἐπιδείκνυνται φορὰν ἢ φύσεως, ἢ γνώμης, ἢ τέχνης, ἢ τύχης, ἢ [8]) καὶ κοινῶς ὁμοῦ πάντων, ἢ τινῶν γε. Πάντες γὰρ τῆς τοιαύτης ἥττηνται φιλοτιμίας καὶ τοῦ πάθους, καὶ τῆς ἡδονῆς, καὶ πάνυ τοι πάντες ἐρασταὶ, καὶ κατ' εὐχὴν εὖ μάλα ποθοῦσι καὶ ἥδονται τὰ κατ' αὐτοὺς κάλλιστ' ἔχοντα, καὶ κάλλισθ' ὁρώμενα [9]) καὶ ἀκούοντα παντὸς ἐπέκεινα θεάτρου, καὶ πάντων ἐπέκεινα μαρτύρων ἐπὶ πατέρων ἐποπτείᾳ καὶ ξυν-

---

5) τοι, Cdd. Aug. et Mon. non agnoscunt.

6) μάλιστ', C. Mon. κάλλιστ'.

7) βέλτιστ' usque ad πράγματα desiderantur in C. Mon.

8) ἢ, C. Mon. non exhibet.

9) ὁρώμ. C. Mon. ὁρώμενον.

τυχίᾳ· καὶ οὐδὲν μήποθ᾽ οὕτως ὡς τοῦτο σφίσιν ἥδιστον, καὶ ὅλως γε μὴν ἐπὶ τῶν οἰκείων ἑξῆς, καὶ οἷς τὸ ἐξ ἀρχῆς συνεβίωσαν ἀνθρώποις, καὶ πατρίσι δὴ, καὶ δημόταις τισὶ [10]) καὶ φυλέταις, καὶ γνησίοις, καὶ εἰθισμένοις πολίταις καὶ πολιτεύμασιν, ὡς ἄρα τὴν ἐπὶ τῶν τοιούτων μάλιστα δὴ προκοπήν τινα καὶ εὐδοκίμησιν, πολλὴν τὴν γλυκυθυμίαν καὶ τὴν εἰς τἀγαθὸν ἐπιμέλειαν ἐνιεῖσαν ταῖς ψυχαῖς, καὶ πλεῖστον αὔξουσαν, καὶ πολλῶν γε ἄλλων θεάτρων, καὶ παγκοσμίου μαρτυρίας καὶ ἐπιδείξεως ἀλλάξαιντ᾽ ἂν ὑπερβαλλόντως [11]) ὡς ἥδιστα τὴν τῶν ἔργων οἱ φιλότιμοι τῶν ἀνθρώπων περιφάνειαν ἐπὶ τῶν οἰκείων, ὡς εἴρηται, παρόντων τε καὶ συνηδομένων τοῖς αὐτῶν ἀγαθοῖς. Καὶ καθόλου γὰρ ἄνθρωπος ἀνθρώπῳ τὴν φύσιν οἰκείως ἔχοντι τὰ οἰκεῖα πάντως ἐπιδείξαιτ᾽ ἂν οὐκ ἄλλῳ τῳ τῶν ἁπάντων ζώων, καὶ κατὰ φύσιν ἰδίᾳ τοῖς οἰκείοις ἔθνεσι, καὶ γένεσι, καὶ ἔθ᾽ ἑξῆς τοῖς ἔγγιστα, καὶ κοινωνοῖς τῆς ζωῆς ἢ φύσει, ἢ ἔθει τινὶ, καὶ οὐ πόῤῥωτάτω γε καὶ διακεκομμένοις ἢ χρόνοις ἢ τόποις ἢ ἀγωγαῖς δή τισιν ἀηθέσι καὶ ἀλλοτρίαις. Καὶ ὥςπερ οὐδ᾽ ἐν ἀλλοτρίοις νοσεῖν αἱρούμεθα, εἰ παρ᾽ ἡμῖν τοῦτ᾽ ἂν [12]) εἴη καὶ καθ᾽ αἵρεσιν, ἀλλ᾽ εἰ ἀνάγκη τούτου, οἴκοι μᾶλλον ἀνθαιρούμεθα ξυμπεσεῖν τῇ συμφορᾷ ταύτῃ τοῦ σώματος. Ὡς ἂν καὶ πλείονος τῶν οἰ-

---

10) δημ. τισὶ, C. Mon. male δημότισι.

11) ὑπερβ. C. Aug. ὑπερβαλλόντων.

12) τοῦτ᾽. ἂν, Cdd. Mon. et Aug. τ᾽. ἄν.

κείων καὶ συνήθων, καὶ φίλων ἐπιτυγχάνοι μέν τινος ἐπιμελείας καὶ συμμαχίας κατὰ τοῦ δεινοῦ, τὸν αὐτὸν ἄρ' οἶμαι τρόπον καὶ τὰς μετὰ τὸν βίοτον εὐπραγίας καὶ τὰ παρ' ἡμῖν βέλτιστα ἢ φύσεως ἢ ἀσκήσεως τινὸς ἢ γνώμης ἢ τύχης κατορθώματα οἴκοι μάλιστα ποθοῦμεν ἐπιδείκνυσθαι καὶ θριαμβεύειν τοῖς παροῦσιν ἀγαθοῖς, καὶ μεταδιδόναι τοῖς οἰκείοις, καὶ οἷς ἐξ ἀρχῆς συνηνέχθημεν[13]) τῆς ἡμῶν λαμπρότητος καὶ περιφανείας ἥστινος ἄρα, καὶ ἀγαλλόμεθα, πῶς ἂν εἴποι τις, ὡς ἥδιστ' ἡμῖν αὐτοῖς ἐπὶ τῶν οἰκείων εὐδαιμονοῦντες καὶ ἡλικιωτῶν, καὶ τῶν εἰθισμένων ἡμῖν ὅλως κοινωνῶν τῇ βιώσει, καὶ πλεονεκτοῦντες ὁτιοῦν καὶ φερόμενοι νίκας, καὶ φερόμενοι κατ' εὐχάς. Ταῦτ' ἄρα καὶ πολλοὶ καταγηρῶσι τῶν εὐγενῶν καὶ δοκίμων ἀνδρῶν ταῖς οἴκοι καὶ συνήθεσι διατριβαῖς ἐν μικραῖς τύχαις καὶ χρήσεσιν ἡδίστου βίου, ἢ παρ' ἄλλοις ἐπιδοξότατα ἀνθρώποις φέρονται καὶ προςτρέχουσιν. Ἐξὸν ἴσως πολὺ προελθεῖν τῆς ἀγαθῆς τύχης καὶ δόξης ἐν ἀλλοτρίοις, καὶ κάλλιστ' ὀφθῆναι, καὶ περιφανέστατα τὰ κατ' αὐτοὺς ἐπιδείξασθαι βέλτιστα ἄττα [14]) δὴ, καὶ οὐκ ἂν ἕλοιντο παρ' ἄλλοις ὑπερπλουτεῖν, οὐδ' ὑπερευδοξεῖν, οὐδὲ πλείστων ἄρχειν, οὐδὲ μείζοσιν ἐμπανηγυρίζειν τὰ σφέτερα κάλλη θεάτροις καὶ προδείκνυσθαι, καὶ περιορᾶσθαι καὶ μακαρίζεσθαι, ἢ τῶν με-

13) συνηγ. C. Aug. συνέχθημεν.

14) ὀφθῆναι usque ad ἄττα sunt omissa in C. Mon.

τρίων ἐν τοῖς οἰκείοις ἀπολαύειν, καὶ οὐ μικρῷ [15]) τινι δευτέρων· πολὺ γὰρ εἰς ἡδονὴν φέρει τὸ προςορᾷν καὶ προςορᾶσθαι τοῖς ἐκ πολλοῦ συνήθεσιν ἐν ἀγαθῶν τινων μετουσίᾳ καὶ λαμπρότητι, καὶ τῶν ἄλλων κατ' αὐτοὺς προέχοντες, καὶ τὰ πρῶτα φέροντες ὁπηοῦν, καὶ τῆς οἰκείας, ἤ τις ἂν τὸ γιγνόμενον ἅπαν εὐδαιμονίας αὐτοὺς ἔχειν ἐπόπτας, καὶ κοινωνοὺς ποιεῖσθαι, ἢ καὶ μακαρίζοντας καὶ θαυμάζοντας ἴσως τῆς εὐετηρίας ἑκάστοτε, ἢ παρ' ἀλλοτρίοις τόποις καὶ ἔθνεσιν ἀπόδημον εὐτυχίαν καρποῦσθαι, καὶ εἰ προέχειν ἴσως, ἢ οἴκοι, καὶ πλεονεκτεῖν τῶν ἀγαθῶν δύναιντ' ἂν ἐν ἀγνοοῦσι τὲ καὶ ἀγνοουμένοις ἐπόπταις καὶ μάρτυσι τῆς εὐπραγίας.

ΚΕΦ. ξέ.

Ὅτι πολλάκις ἔνιοι συμπίπτουσι [1]) τοῖς ἑαυτῶν δόγμασι καὶ κρίσεσι, καὶ ὄλλυνται δίκης [2]) σφέτερα.

Θαυμάσιόν τι ξυμβαίνειν εἴωθεν ἐνίοτε καὶ ἐπιεικῶς ἔννοιάν τιν' ὑποτεῖνον πάντ' ἀδόκητα χρῆναι προορᾶσθαι, καὶ πρὸς ἅπαντ' εὐλαβῶς φέρεσθαι καὶ νέμεσίν τινα λογισμῷ τίθεσθαι· ξυμπίπτουσι γὰρ δή τινες πολλάκις ἐπηρείᾳ τινὶ

15) οὐ μικρῷ, C. Mon. μικρᾷ τινι, omisso οὐ, quod et Aug. omittit.

1) συμπίπτ. C. Mon. πίπτουσι.

2) δίκης, Cdd. Aug. et Mon. δίκῃ.

καὶ δαιμονίᾳ ξυγκυρήσει μετ' οὐ πολὺ τοῖς νομισθεῖσιν ὑπ' αὐτῶν, καὶ οἷς φθάσαντες ἐψηφίσαντο, καὶ δοκοῦντες ἐπ' ἄλλους νομοθετεῖν ἄττα δὴ καὶ ἀποφαίνεσθαι, ἔπειτ' ὤφθησαν προκατασκευασμένοι καθ' ἑαυτῶν αὐτοὶ δόγματα καὶ ψήφους ἀφύκτους, καὶ τοῖς ἑαυτῶν ἁλίσκονται κατὰ τὸν λόγον πτεροῖς. Καὶ ὅστις μὲν ἄρα κατὰ σκοπὸν ἀληθινῆς τινος χρείας καὶ κρίσεως αἱρούμενος τὰ δόξαντα βέλτιστα [3]), καὶ κατὰ καιρὸν τῇ περὶ τῶν κοινῶν, οἷς ξυνέλαχε, προνοίᾳ [4]) ὀρθὰ, καὶ ὁρῶν ὀρθὰ καὶ χρώμενος, ἔπειτα ξυμβὰν οὕτω δὴ ξυμπέπτωκέ πως αὐτὸς τοῖς ἐγνωσμένοις, οὐκ ἂν, οἶμαι, μέμψιν ὑπέχειν δίκαιος εἴη ὑπὸ χρηστοῦ· κινούμενος τοῦ τρόπου περὶ κοινῶν ἀγαθῶν πάντων ἀμέλει, καὶ τῶν κατ' αὐτὸν ἔξω δειλίας ἄρά τινος καὶ εὐλαβείας· εἰ καὶ μέμφεσθαί πως ἴσως [5]) ἑαυτῷ μᾶλλον αὐτὸς ἀξιοίη γεγονὼς ἑαυτῷ δεινῶν αἴτιος, καὶ κακοπραγίας τινὸς ἐκ τοῦ ξυντυχόντος. Ὃς δ' ἄρ' ἐπ' ἄλλους τινὰς ἐκ μακροῦ κατὰ σκοπὸν ἀφίησι βέλεμνα κακούργων καὶ κλέπτων τἀφανὲς, ὡς τὰ κοινὰ δῆθεν προποιούμενος εὐνοίας ἀπλαστίᾳ δυσνούστατος ὢν ἴσως οὐκ ἀδικοῦσιν ἀνθρώποις, οὔτ' αὐτὸν οὔτε τὰ κοινὰ καὶ ῥᾷστα αὐτόθεν λοιπὸν ἔπειτ' ἀναφαίνεται τῆς αὐτὸς αὐτοῦ μάλιστ' ἀπολαύων τῇ τύχῃ [6]) κακουργί-

3) βέλτ. in C. Mon. omissum, orae tamen adscriptum.

4) προν. C. Mon. προνοίας.

5) ἴσως, deest in C. Aug.

6) τύχῃ, C. Aug. ψυχῇ.

ας καὶ [7]) τέχνης καὶ κακοηθείας· ὅς θ' αὑτῷ κακὰ τεύχων, ἄλλῳ κακὰ τεύχων κατὰ [8]) τὸν λόγον. Πῶς οὐκ ἄν τις νεμεσῴη δικαίως, καὶ αὐτὸς ὡς ἀληθῶς μάλισθ' ἑαυτῷ δικαίως, καὶ ξυνορῴη τὰ τῆς καθόλου μᾶλλον προνοίας καὶ θείας ὅγε τοιοῦτος ἐφ' ἑαυτοῦ, ἣν οὐκ ἔστιν ὅλως λαθεῖν τὸν πάντα τεχναζόμενον, οὐδ' ἔστιν ὅλως διαδιδράσκειν τὸν πάνθ' ἑαυτῷ [9]) διαρκῆ καὶ θαῤῥοῦντα; Καὶ τοῦτο μὲν οὕτω δὴ καὶ πολλοῖς τῶν φαύλων τάχ' ἂν σωφροσύνης δή τινος καὶ εὐλαβείας αἴτιον εἴη νοῦν ὅλως ἔχουσιν. Ὁ γὰρ τὸν χαλκοῦν ἐκεῖνον ταῦρον δεξιὸν εἰς τιμωρίας ὄργανον τῷ τῶν Ἀκραγαντίνων τυράννῳ [10]) Φαλάριδι τεχνιτευσάμενος, καὶ πρῶτος αὐτὸς τῆς αὑτοῦ κακοτεχνίας πειραθεὶς καὶ τιμωρούμενος τῆς ὠμοτάτης καὶ θηριώδους γνώμης ἐν αὐτῷ μυσαχθέντος τοῦ τυράννου τὸν ἄνδρα τῆς κακοηθείας, τίν' οὐκ ἂν ἐποίει τηνικαῦτα δὴ νοῦν λαμβάνειν ἐπὶ τῇ ταχίστῃ δίκῃ, καὶ παραπλήσια δῶρα κατ' ἀνθρώπων ἐξωλείας τῷ τυράννῳ κακουργεῖν ἀπέχεσθαι; Προσήνεγκε μὲν γὰρ τοὖργον εὖ μηχανησάμενος, ὡς ᾠήθη, καὶ κατ' ἔφεσιν μάλα τῷ τυράννῳ, καὶ θαυμάσιον οἷον τῇ περινοίᾳ τῆς τῶν κατακρίτων τιμωρίας, καὶ τραγικὸν, ὡς εἰπεῖν, δρᾶμα πάντων ἐλεεινότατον, ὥστ' ἐν αὐτῷ κλειομένους

7) καὶ, deest in C. Mon.

8) τεύχ. κατὰ, desiderantur in C. Mon.

9) τὸν — ἑαυτῷ, C. Mon. τὴν καθ' ἑαυτῷ.

10) τυράν. ignorat C. Mon.

ὀπτᾶσθαι τοὺς εὐθύνεσθαι καταδικασθέντας, καὶ τληπαθεῖν τοὺς ἐσχάτους θανάτους ἐν μέσῳ πυρὶ κυκλουμένου τοῦ ταύρου πικρότατα καὶ ἀλγεινότατα σφόδρα πιμπρωμένους, καὶ χαλεπωτάταις περιωδυνίαις [11]) μηκυνομένους μὲν αὐτοὺς τὸν θάνατον, τῷ δὲ τυράννῳ τέρψιν τινα καὶ ἥδιστα μέλη τοῖς γόοις καὶ τῇ τοῦ πυρὸς βίᾳ διὰ τῶν μυκτήρων τοῦ ταύρου ἀναπέμποντας καὶ θρηνῳδοῦντας σὺν μέλει δή τινι καὶ ἤχῳ γλυκυθυμίας ἴσως οὐδὲ θηρίοις ἀνεκτὴν φέροντι· βδελυξάμενον δὲ τὸν τύραννον τῆς τόλμης καὶ [12]) κακουργοτάτης τέχνης τὸν ἄνθρωπον αὐτίκα τὸ μηχάνημα κατὰ τοῦ σοφισαμένου κάκιστα πρώτου προστάξαντα δείκνυσθαι μάλα κατὰ καιρὸν ἐνεργὸν, καὶ πεῖραν αὐτὸν πρῶτον καὶ μόνον λαβεῖν τῆς καλλιτεχνίας μετὰ τὴν ἐνδικωτάτην ἐκείνου τῆς κατ' ἀνθρώπων σοφιστείας ἀντίδοσιν, καὶ τοὺς προςήκοντας τῷ τοῦ ἀνδρὸς τρόπῳ μισθοὺς, ἀναθεῖναι τὸν ταῦρον ἐν Δελφοῖς Ἀπόλλωνι στήλην οὐ μᾶλλον τῆς ἑαυτοῦ [13]) γνώμης καὶ δικαιοσύνης, ὡς ᾤετο, ἢ τῆς θείας καὶ προνοίας καὶ δίκης περιφανὲς ἔργον αὐτόθεν εἰς πολλῶν ἄλλων βελτίωσιν καὶ σωφροσύνης ὑπόμνησιν, ὡς ἄρ' εἴωθε τάχιστ' ἀπαντᾶν πολλάκις ἐπὶ τοὺς πονηρούς τε καὶ ἀνοσίους καὶ πάσης κακίας ἀφει-

---

11) περιωδ. Cdd. Aug. et Mon. male περιωνδυνίαις.

12) ϗαὶ, abest a C. Mon.

13) ἑαυτοῦ, C. Mon. αὐτοῦ.

δῶς ἁπτομένους. Ἀλλ' ὅπερ ἐξ ἀρχῆς ἐβούλεθ' ὁ λόγος ἡμῖν, πολλοὶ δὴ περιπίπτουσι τοῖς ἐξ αὐτῶν καὶ οἷς ἔγνωσαν ἐνίοτε κινδυνεύουσιν, οἱ μὲν δόλῳ τὴν ἀρχὴν χρώμενοι καὶ κακουργοῦντες, ὡς εἴρηται, οἱ δὲ καὶ ἁπλοϊκῶς νομίζοντες ἅττα δὴ πρὸς τὸ βέλτιστον βασκαινούσης, ὥςπερ εἰ τῆς τύχης [14]), καὶ περιτρεπούσης τὰ δόγματα κατ' αὐτῶν, ὧν κἂν αὐτοί γ' ἔοικεν οὐχ ἥψαντο, προορώμενοι τὸ μέλλον καὶ τὰς ἀνυπονοήτους καὶ ἀλογίστους καὶ ἀπίστους τῆς τύχης ἐπιβουλάς. Περικλῆς ἐτίθετο νόμον Ἀθήνησι μηδένα πολίτην εἶναι τὸν μὴ ἐξ ἀμφοῖν ἀστοῖν γενόμενον, καὶ μετ' οὐ πολὺν τὸν χρόνον ἐν τῷ λοιπῷ καὶ τῇ πολιορκίᾳ τῆς πατρίδος ἀποβαλλόμενος ἄμφω τὼ υἱέε θανάτῳ Πάραλόν τε καὶ Ξάνθιππον, ἠναγκάζετο περιπίπτειν τοῖς αὐτὸς αὐτοῦ νόμοις, καὶ γνώμῃ βουλόμενος ἐν πολίταις τὸν υἱὸν τετάχθαι, ὃς μόνος ἐλείπετό οἱ μὴ γενόμενος ἐξ ἀστῆς, καὶ μὴ ξυγχωρούμενος τῷ δήμῳ, χαλεπῶς μὲν ὅμως καὶ γέλωτ' ὄφλων, ἔφερε δ' ἐξ ἀνάγκης, ἃ πρότερον ἐνόμιζε καθ' ἑαυτοῦ. Καὶ πρὸ αὐτοῦ γε Κλεισθένης [15]) τὸν ὀστρακισμὸν Ἀθήνησι [16]) πρῶτος εἰσηγησάμενος καὶ βουλεύσας, ὡς ἂν κολούειν ἀναγκαῖον καὶ λυσιτελοῦν μάλιστ' ὂν τοὺς μέγιστα τρόπῳ δή τινι δυναμένους ὑπονοίᾳ τῆς

---

14) ὥςπερ — τύχης, C. Mon. ὡς περὶ τῆς τύχης.

15) Κλεισθ. cf. Plut. Aristid. c. 2. et Cimon. 15.

16) Ἀθήνησι usque ad (λυσι)τελοῦν desiderantur in C. Aug.

τυραννίδος, καὶ αὐτὸς πρῶτος ἀπολαύων τῶν αὐτοῦ νομίμων καὶ τῆς βουλῆς τὸν ὀστρακισμὸν καταδικασθείς. Φασὶ δέ γε καὶ Ζάλευκον, τὸν τῶν Λοκρῶν νομοθέτην, τον μοιχὸν ἁλόντα, νόμον θέσθαι [17]), ἄμφω γε τὼ ὀφθαλμὼ ἐκκόπτεσθαι, καὶ βουλόμενον ἀγαθὰ τῇ πατρίδι περιπεσεῖν χαλεποῖς, καὶ προςδοκήσαντα μήποτ' ἴσως· ὁ γάρ τοι παῖς, ὃς μόνος ἦν αὐτῷ, μετ' ὀλίγον [18]) μοιχείας ἥλω, καὶ τῷ πατρῴῳ νόμῳ κατ' ἀνάγκην ὑπήγετο, ὅτε δὴ καὶ μὴ ἀντιτείνειν τὸν ἄνδρα βουλόμενον τῷ νόμῳ, χαλεπῶς δὲ φέροντα τὴν τοῦ μόνου παιδὸς τύφλωσιν, ἐξαιτησάμενον τυχεῖν ἐπὶ σωτηρίᾳ τοῦ νόμου, ὥςτε αὐτὸν τὸν ἕνα τοῖν ὀφθαλμοῖν ἐκκοπῆναι ἀντὶ τοῦ ἑτέρου τοῦ υἱέος, καὶ μονοφθάλμῳ γε λειφθῆναι βλέπειν, αὐτόν τε καὶ τὸν υἱέα. Καὶ Λυκοῦργος δὲ ὁ ῥήτωρ Ἀθήνησι ψήφισμα θέμενος, ὅπερ ἐκύρωσεν ὁ δῆμος, μὴ ἐλαύνειν τὰς γυναῖκας ἐπὶ ζευγῶν εἰς τὰ μυστήρια, ὧν πολὺς ἦν ὁ λόγος Ἀθήνησιν, εἰ δὲ μη, ζημίαν εἶναι τόσην [18b]), μετ' ὀλίγον εἶχεν ὑπεύθυνον τὴν γυναῖκα μὴ γινώσκουσαν [19]), ἔοικε, τὸν νόμον, ζεύγει χρησαμένην τοῖς μυστηρίοις, καὶ τὴν ζημίαν ἐξ ἀνάγκης ἀποδιδοῦ-

---

17) νόμον θέσθαι, C. Mon. νομοθέσθαι.

18) μετ' ὀλίγ. Cdd. Aug. et Mon. μετ' ὀλίγων.

18b) ζημίαν τόσην. Plut. Vol. IX. p. 348. ed. Reisk. δραχμὰς ἑξακισχιλίας.

19) μὴ γιν. C. Mon. non exhibet.

σαν, ἧς ὁ ταύτης ἀνὴρ αἴτιος. Καὶ πολλοὺς ἄν τις ὁρῴη πάλαι τὲ καὶ νῦν οὐχ ἥκιστα καὶ ἀεὶ, καὶ καταριθμεῖσθαι μὴ οὐ δυνατὸν ᾖ, ὁπόσοι τοῖς οἰκείοις ξυνέπεσον νομίμοις, μὴ προορώμενοι τὸ τοῦ μέλλοντος καθ' ἑαυτῶν ἄδηλον, οἷς ἄρα προδήλως ἐστὶ συνάπτειν, καὶ πρὸς πολλοῖς γε μὴν ἄλλοις, κἀν τῇ χριστιανικῇ καθ'. ἡμᾶς ἀγωγῇ ταύτῃ καὶ τοῖς δόγμασι, καὶ τὸν θρασὺν κατὰ τῶν νομίμων τῆς ἐκκλησίας Εὐτρόπιον· νόμους μὲν κατ' αὐτῆς ἀποκλείοντας τοῖς φυγάσιν εἰς αὐτὴν ἀσυλίαν τιθέμενον ἀλογίστῳ τόλμῃ, μετ' ὀλίγον δ' αὐτὸν τοῖς αὐτοῦ περιπίπτοντα νόμοις, καὶ τῇ ἐκκλησίᾳ προςτρέχοντα τοῖς κινδύνοις, καὶ χλεύης[20]) καὶ τωθασμοῦ δικαίως ἀξιούμενον ὡς ἑαυτοῦ καὶ τῶν καλῶν νομίμων ἐπίβουλον· καὶ οὐδεὶς ἀσφαλίσαιτ' ἂν ἀληθῶς τὸ μέλλον ἑαυτῷ, περὶ ὧν ἑκάστοτε δοκιμάζει τὲ καὶ ψηφίζεται, ἢ ἐμπλήκτως[21]), ἢ καὶ ξὺν λόγῳ καὶ σοφρονικῶς ἴσως[22]) ἐνίοτε φερόμενος.

ΚΕΦ. ξϛ'.

Ὅτι τινὲς εἰσὶ ταχεῖς πιστεύειν τῇ προνοίᾳ διὰ τὰ φαινόμενα κατὰ λόγον ἀπαντᾷν τοῖς χρηστοῖς τε καὶ πονηροῖς ἐκ τοῦ προχείρου, καὶ αὖθις ἀπιστεῖν τῇ προνοίᾳ διὰ τἀναντία τούτοις.

Ἔνιοί μοι δοκοῦσι μικρογνώμονες ἄνθρωποι, καὶ μὴ προςωτέρω τῶν κατὰ πόδας καὶ φαινο-

---

20) χλεύης, Cdd. Aug. et Mon. χαλεύης, male.
21) ἢ ἐμπλ. C. Aug. πλήκτως.
22) ἴσως, omissum in Cdd. Mon. et Aug.

μένων τῷ νῷ χωρεῖν οἷοί τε ὄντες, ἀλλὰ τοῖς ἀπαντῶσιν ἔγγιστ' αὐτόθεν τοῦ χρόνου καὶ τοῦ βίου πράγμασιν ἐχόμενοι, καὶ παλιννοστοῦντες[1]), ἢ καὶ τῇ ξυντυχίᾳ, ὥντινων ἄρα δὴ πολλάκις ξυμπίπτοντες, ἀνίκανοι δή τινες τοῦ πόῤῥω μήκους τῶν λογισμῶν καὶ ἀνοδεύτων ἔχοντες[2]), ἀλλ' ὀλιγώρως τῆς ὀφειλομένης περὶ αὐτῶν εὐλαβείας ταχεῖς εἰσι πάνυ τοι πιστεύειν τῇ περὶ τῶν ἀνθρωπίνων προνοίᾳ, καὶ αὖθις μὴ προςέχειν καὶ μὴ[3]) πείθεσθαι. Καὶ φαύλων μὲν ἀνθρώπων δίκας ταχείας ὁρῶντες καὶ προδήλους ἀπαντώσας κατὰ τὸν βίον ἐνταῦθα τὰς ἐπιτιμήσεις τε καὶ εὐθύνας, ἴσως δὲ καὶ τῶν ἀστείων καὶ γεννικῶν ἀνδρῶν εὐφορίας καὶ γαληνὴν καὶ ἀκύμονα βίωσιν χρωμένων ἐξ οὐρίου καὶ κατὰ πρύμναν, ὡς φασὶ, τῷ τῆς τύχης πνεύματι, ὥςπερ ἄρα δὴ καὶ πολλάκις τοῦθ' ὁρᾶν ἔστι γιγνόμενον, εὐγνώμονες εἰσὶν αὐτίκα τῇ προνοίᾳ καὶ κομιδῇ πείθεσθαι πρόθυμοι· καὶ φιλοσοφοῦσιν εὖ μάλα τὰ θεῖα, καὶ τὴν ἐπισκοπὴν τῶν τῇδε, καὶ καθ' ἡμᾶς ἐν τῷ βίῳ καὶ τὴν πρὸς λόγον ἑκάστοις νομὴν καὶ τὴν τῆς δικαιοσύνης ἰσότητα, καὶ τὸ κατα τῶν ἀδίκων καὶ ἀσεβούντων τὰ θεῖα, καὶ ἀνθρώπινα δίκαια κράτος, καὶ τὴν ζηλοῦσαν ἐπὶ τῇ τῶν

---

1) παλιννοστ. infra et al. locc. iterum: alias παλινοστοῦντας.

2) ἔχοντες: hinc inserunt Cdd. Mon. et Aug. ἅμα δὲ καὶ μηδ' ἐπιμελῶς οἶμαι κομιδὴν τῶν θείων ἔχοντες.

5) μὴ, abest a Cdd. Aug. et Mon.

φαύλων ἐκδικίᾳ κρίσιν καὶ δύναμιν πάντα περιγιγνομένην καὶ[4]) περιτρέπουσαν πᾶσαν[5]) ἰσχὺν, πᾶσαν σοφίαν, πᾶσαν καθάπαξ ἐρεῖν τῆς κακίας εὐτηρίαν, καὶ σφαλοῦσαν τὰ δοκοῦντα κράτιστα καὶ ἀήττητα παντάπασι ῥᾶστα, καὶ ὡς οὐκ ἄν τις[6]) ᾠήθη, καὶ μάλιστα καινοῖς καὶ οὐ ταχέσι μόνον, ἀλλὰ καὶ ἀδοκήτοις τοῖς ἀπαντῶσι τῆς καταφθορᾶς ἐκείνων πράγμασιν, ὥστε δὴ καὶ πρὸς τῷ δικαίῳ τῆς ἐπιτιμήσεως καὶ τῆς εὐθύνης καὶ ταχίστῳ μετὰ κράτους, ἅμα καὶ τὸ ξενίζον ἐνίοτε θαυμάζεσθαι, καὶ πάνσοφον καὶ ἀνυπονόητον οἷον[7]) αὐτῆς τῆς προνοίας, καὶ σκιρτᾶν ἐστιν ἐντεῦθεν τους πολλοὺς, οὕς ἔφην, καὶ κροτεῖν τῇ ἀρετῇ χαρμόσυνα, καὶ τῇ κακίᾳ τὴν ἀξίαν, καὶ πᾶν τὸ εἰκός· καὶ πᾶσα τῶν θείων σφίσι καὶ τῆς προνοίας αἰδὼς, καὶ πίστις ἀναμφήριστος. Καὶ τυφλὸς ἄρα καθάπαξ, ὃς μὴ ξυνορᾷ μηδὲ πείθεται τὰ πᾶσι δῆλα, καὶ τοῖς πράγμασιν αὐτοῖς κηρυττόμενα, καὶ χάριτας μᾶλλον ἀποδιδόναι κατὰ πᾶν τὸ γιγνόμενον χρῆναι καὶ δοξάζειν, καὶ παντὶ τρόπῳ καὶ πᾶσιν ἀνθρώποις ἀναβοᾶσθαι τὴν δεσποτικὴν ἐποπτείαν καὶ κρίσιν, καὶ τἀληθῆ καὶ νόμιμα καὶ κατὰ φύσιν ἑκάστοις ψηφίσματα κυρούμενα κατὰ[8]) πάν-

4) περιγ. καὶ, C. Mon. omittit.

5) πᾶσαν, C. Mon. ignorat.

6) τις, in C. Mon. deest.

7) οἷον, non occurrit in Cdd. Aug. et Mon.

8) κατὰ, C. Mon. καὶ κατά.

των ἄτρεπτα, καὶ περιφανῆ τοῖς ἔργοις, καὶ περιφανῆ προδεικνύντα τὴν νίκην τῆς ἀρετῆς, καὶ τὴν εἰς τὰ βέλτιστα προτροπὴν πάντων ἀνθρώπων, καὶ προκοπὴν ἀμέλει τῆς περὶ τἀγαθὸν ἕξεως, καὶ φυγὴν τῶν ἐχθίστων, καὶ φυγεῖν τάχους, ὅσον τοὺς περὶ τὰ φαῦλα κινδύνους, καὶ τὰς παλαμναιοτάτας ἀρὰς καὶ τύχας, καὶ πανώλειαν πᾶσα ἀνάγκη ξὺν τάχει μάλιστ' ἀπαραμίλλῳ [8b]) καὶ δίκῃ, καὶ νόμοις ἀῤῥήκτοις ἑπομένην, τρόπαιον ὡς ἀληθῶς ἀπὸ τῶν ἀδίκων καὶ τῶν ἀλλοτρίων ἱστῶσαν τἀγαθοῦ τὴν αὐτῶν πτῶσιν κατὰ κράτος καὶ φθοράν. Καὶ ταῦτα μὲν ἐπὶ ταῖς εὐετηρίαις καὶ προκοπαῖς τῆς ἀρετῆς, καὶ τῶν αὐτῆς σπουδαστῶν, καὶ σπουδαίων καὶ ἀστείων ἀνδρῶν, καὶ καταδίκαις καὶ συμφοραῖς ἀπευκταιοτάταις τῶν ἐπὶ τῆς ἐναντίας ἁμιλλωμένων ἕξεως. Καὶ οὐδεὶς μήποτε λόγος ἱκανὸς ἐν τούτοις γίγνοιντ' ἄν, κἂν [9]) εἰ σφόδρα ἐπείγοιτό τις· εἰ δ' ἅπαν δὴ τοὐναντίον τῶν εἰρημένων ἐμπομπεύοι τῷ βίῳ, οἷα δὴ καὶ πολλάκις γίγνεται, καὶ φαῦλοι μὲν αἴρονται καὶ παρευημεροῦσι τοὺς ἀγαθούς, καὶ θράσει πολλῷ κρατοῦσι, καὶ κατὰ τῶν βελτίστων ἔμπληκτοι φέρονται, καὶ πανηγυρίζουσι ταῖς ἀσελγείαις τῆς τύχης, καὶ κακοὶ κακῶς ἐξάρχουσι καὶ κατακρατοῦσι τἀνθρώπινα καὶ τὸν βίον ἀλογοῦν-

---

8b) ἀπαραμίλλῳ, fors. ἀπαραμιλλήτῳ, sed ἀπαράμιλλος occurrit iterum c. 67. et 114. quod Lexica ignorant.

9) κἂν, abest a C. Mon.

τὲς παντάπασι Θεοῦ καὶ τῶν θείων νομίμων, καὶ τῶν νομίμων αὐτῶν ὀλιγωροῦντες τῆς φύσεως, καὶ τὴν αὐτῶν φλυαρίαν καὶ ὕβριν καὶ δυναστείαν μόνην νόμιμον ἔχοντες, καὶ τὴν ἀλόγιστον εὐφορίαν τῆς τύχης. Κἀντεῦθεν πλείστη μὲν ἀηδία καὶ δυσχέρεια κατὰ τὸν βίον, καὶ πᾶσι κινδύνοις παλαίουσι θεοσεβεῖς ἄνδρες καὶ δίκαιοι, καὶ κατάγχονται καὶ ταλαιπωροῦνται, καὶ τελευτῶντες χαλεπώτατ' ἀπαλλάττονται τῆς ζωῆς, καὶ τῆς ζωῆς οὐκ ἀηθῶς ἀλλάττονται πολλάκις, καὶ ἀνθαιροῦνται κομιδῇ δεινῶς ἐχόμενοι θάνατον, πάσης ἀπελπίσαντες ἄλλης ἐλευθερίας καὶ φυγῆς τῶν βαρυτάτων παθῶν, καὶ τῆς τληπαθείας, οἷς ἀφύκτως ἐναεθλεύουσιν, ἄνθρωποι δ' ἐξάγιστοι καὶ κάκιστοι, καὶ βδελυροὶ καὶ παμμίαροι καὶ μιαιφόνοι, καὶ θηριώδεις καὶ τῆς φύσεως αὐτῆς καὶ πάσης ἀρετῆς καὶ χρήσεως εὐγενοῦς ἀλιτήριοι, καὶ χορηγοὶ καὶ προστάται πάσης αὐθαδείας καὶ τόλμης κατὰ τοῦ βίου, καὶ τῶν ἀνθρωπίνων πολιτευμάτων, καὶ τῶν τῆς θεοσεβείας αὐτῆς μάλιστα δογμάτων καὶ θείων νομίμων φέρονται δρόμον ἐξ ἀρχῆς εἰς τέλος ἀπρόςκοπον, καὶ μακρόβιοι τῇ κακίᾳ τἀγαθὰ πάντα λυμαίνονται, καὶ φθείρουσιν ἐξ ἀνθρώπων ὅ τί ποτ' ἂν καὶ εἴη[10]), ὅ τί ποτ' ἂν καὶ λείποιτο κόμμα φύσεως ἀστεῖον, καὶ σωτήριον ἀνθρώποις, καὶ ζώπυρον ἴσως ἐλπίδος ἀμηγέπη χρηστῆς, καὶ ἀφορμὴ μεθ'

10) καὶ εἴη — ἂν, desunt in C. Mon.

ὕστερον ὁπηοῦν ἀναβιώσεως τῇ ἀρετῇ, καὶ χρήσιμον εἰς εὐζωΐαν τῷ κοινῷ τῶν ἀνθρώπων, καὶ φέρονται κατὰ κράτος τὴν τῆς κακίας ἄσειστον νίκην, ὡς ἔπος ἐρεῖν συνελόντα. Εἰ ταῦτα δῆθ᾿ ὁρῶσιν, οὓς ἔφημεν πρότερον, μικρογνώμονες, καὶ μικρολόγοι δή τινες τῶν τῆς προνοίας μυστηρίων βασανισταὶ καὶ λογοποιοῦντες τὴν περὶ τῶν ἀνθρωπίνων τοῦ Θεοῦ διοίκησιν, καὶ ξυμμετροῦντες ταῖς αὐτῶν διανοίαις καὶ τοῖς σταθμοῖς τῆς σφετέρας γνώμης, καὶ μὴ ξυγχωροῦντες εἶναί τι πλέον ἢ τὸ φαινόμενον, καὶ ἡ κατ᾿ αὐτοὺς ἔχει καὶ δύναται κατάληψις, καὶ φεῦγον ἐν βάθει καιριώτατα καὶ τελεώτατα τοὺς αὐτῶν ἐτασμοὺς καὶ τὰ μικροπρεπῆ λογίσματα, πολλῇ λοιπὸν ἐντεῦθεν δυσκολίᾳ καὶ κλύδωνι ταράττονται λογισμῶν, καὶ ναυαγοῦσι ἐνίοτε τὴν περὶ Θεοῦ καὶ τῆς θείας προνοίας σοφίαν καὶ πίστιν, καὶ ἀλογίστοις φοραῖς καὶ μηδὲν ὑγιὲς ἐχούσαις διδόασι τὰ καθ᾿ ἡμᾶς, ἃ δύνανται ξυνορᾶν αὐτοὶ καὶ ξυνιέναι, καὶ μόνα νομίζοντες εἶναι, καὶ ἀληθῆ τὰ κατ᾿ αἴσθησιν μόνον· ἃ δὲ μηκέτι μακρὰν ἐκτεινόμενοι διὰ πολλῶν ὁρᾶν οἷοί τ᾿ εἰσὶ τῶν ἐν μέσῳ, παλιννοστοῦντες κακοὶ κακῶς, καὶ αἴσχιστα καὶ ἀμαθέστατα δραπετεύοντες τῶν πολυστρόφων καὶ πανσόφων τῆς προνοίας δρόμων τε καὶ δογμάτων, ἐπανίστανται τῇ προνοίᾳ καὶ κακῶς ἀποστατοῦσιν αὐτῆς τἀνίκανον αὐτῶν καὶ τὴν νόσον τῶν λογισμῶν ἐπὶ τὴν θείαν παγκρατῆ καὶ μεγαλόσοφον, καὶ ἀστασίαστον πρὸς ἑαυτὴν

καὶ τἀγαθὸν οἰκονομίαν, καὶ τὸ δια πάντων διαρπὲς εἰς τέλος ἄγοντες, μηδὲν μήποτ' ἔξω τῆς κατ' αὐτοὺς συνέσεως καὶ καταλήψεως ἀξιοῦντες, ἔοικεν ἄμεινον διοικεῖσθαι τῷ πάντ' ἄγοντι δεσπότῃ, μηδὲ σοφώτερον ἢ κατ' αὐτοὺς πρός τινα παρασκευὴν ἢ χρείαν λυσιτελοῦσαν εἰς μακρὸν ἀπαντᾷν ἐξ αὐτοῦ χρόνοις ἴσως ὕστερον καὶ ἀδήλως κατὰ σκοπὸν ἀνύτειν. Οἱ πάντα ταχεῖς, καὶ ῥᾴδιοι καὶ οὐκ ἀσφαλεῖς, καὶ πάντα βουλόμενοι φέρεσθαι κατ' αὐτοὺς καὶ τὰς αὐτῶν κρίσεις, καὶ ὡς ἂν ἐκ συνθηκῶν, ὥςπερ ἐν σπόδων [11]) ἀμφοτέροις δοκοίη αὐτοῖς τὲ δηλαδὴ καὶ τῷ μόνῳ δημιουργησαμένῳ καὶ προνοεῖν ἔχοντι κατὰ φύσιν, καὶ ὡς ἂν καθ' αἵρεσιν καὶ καθ' ἡδονὴν σφίσι. Καὶ τῷ κυβερνήτῃ μὲν ὑπεξίστανται πάντες οἱ ἐν τῇ νηΐ, καὶ παραχωροῦσιν ἄμεινον εἶναι στρέφειν καὶ μεταστρέφειν ὅπως ἄρα οἱ δοκεῖ καὶ βούλεται τὰ κατὰ τὸν πλοῦν, καὶ τείνειν τὲ καὶ χαλᾷν τὰ λαίφη, καὶ τὴν τῶν φερόντων πνευμάτων διοικεῖν χρῆσιν, ὡς ἂν ἀμέλει δοκοίη καὶ μόνος νομίζοι, πολλάκις δὲ καὶ πλεῖστα τῶν ἀγωγίμων κατὰ τοῦ βυθοῦ ῥίπτειν ὑπὲρ αὐτῶν τῶν πλεόντων καὶ ζημιουμένων, καὶ τῆς αὐτῶν σωτηρίας, αὐτῶν ἀφροντιστοῦντα, κἂν εἰ μάλιστ' ἴσως ἀνιῷντο καὶ κλάοιεν αὐτοί. Καὶ οἱ νοσοῦντες τὸ σῶμα φέρειν ἀνάγκην ἔχουσι πάντα

11) ἐν σπόδων, sic Cdd. nostri, sed haud dubie legendum ἐνσπόνδων cum Cod. Paris. Germ. Sed Reg. ἐνσπόδων.

τὰ παρὰ τῶν ἰατρῶν δόγματα πρὸς τὸ μέλλον ὁρῶντες καὶ τὸ χρήσιμον ἑξῆς, κἂν εἰ πλεῖστ' ἐπιπόνως καὶ ἀηδῶς τε καὶ ἀνιαρῶς ἔχειν, κἂν εἰ τέμνειν αὐτοὺς, κἂν εἰ καίειν [12]) δέοι, τὰ πάντα διακαρτεροῦντες καὶ διδόντες ἐλπίσι χρησταῖς. Οἱ τοιοῦτοι δὲ κατὰ τὸ δοκοῦν αὐτοῖς βούλονται καὶ σὺν ἡδονῇ πάσῃ καὶ κατ' αἴσθησιν διαδήλως πᾶσαν, καὶ ἰατρεύεσθαι καὶ κυβερνᾶσθαι, καὶ ὅλως, ὡς αὐτοὶ νομίζουσιν, ἄρχεσθαι ἀγνοοῦντες τὰ μέγιστα, καὶ ὡς πάσης κακοπολιτείας ἀρχὴν ἐντεῦθεν διδόασιν. Ὡς ἄρα χρὴ τὸν ἡγεμόνα τοῖς ὑπὸ χεῖρα μάλα δὴ προσέχειν καὶ πείθεσθαι, καὶ πάντα διατιθέναι τὰ κατ' αὐτοὺς, ὡς ἂν αὐτοῖς ἥδιστον ᾖ καὶ δοκῇ βέλτιστα, εἰ δ' ἄλλως ἀμέλει τάχιστα τῆς ἀρχῆς ἐξίστασθαι· κακῶς γὰρ ἄρχειν εἶναι τὸ μὴ κατὰ τὰς αὐτῶν ἄρχειν γνώμας καὶ κρίσεις. Μαίνοιντο μέν τ' ἂν οἱ οὕτως [13]) ἄρχοντες καὶ ἀρχόμενοι, καὶ οὐ χαιρήσουσιν ὄντως μετ' οὐ πολὺ τόνδε τὸν τρόπον ἔχοντες, ἀλλὰ μὴ σιγῶντες οἱ μὲν ἀρχόμενοι ὡς ἂν καὶ εἴη καὶ γίγνοιτο τοῦτο, καὶ καθ' ἡδονὴν καὶ μὴ, οἱ δ' ἄρχοντες ὡς κρίνουσι καὶ μόνον τἄμεινον προορώμενοι, καὶ ὡς ἂν τοῖς ἀρχομένοις μέλλοι συνοίσειν, καὶ μεθ' ἡδονῆς ἀγομένοις, καὶ μὴ οὕτως, ἀλλ' ὅπως ἄρ' ὁ ξυμπίπτων χρόνος φέροι.

---

12) καίειν, C. Mon. κάειν, Aug. κάειν.

13) οὕτως, C. Mon. ὄντως.

ΚΕΦ. ξζʹ.

Ὅτι θαυμασίως πολλάκις εἴωθε ταῖς μεγίσταις πράξεσι καὶ εὐτυχίαις τάχιστ' ἀκολουθεῖν δυσπραγήματα χαλεπὰ καὶ μηδὲν ἧττον ἀνυπονόητα.

Θαυμάσαι τὶς ἂν συνορῶν οἶμαι καὶ κατασκοπούμενος, ὅπως ἄρα ταῖς μεγίσταις τῶν πραγμάτων φοραῖς καὶ περιφανέσιν ἔργοις ἑκάστοτε καὶ πολὺ κρείττοσι τῆς εἰθισμένης ἀγωγῆς; καὶ καταπληττούσαις τῷ καινίζοντι καὶ δραστικῷ καὶ ἀκμάζοντι αὐτίκα αὐτόθεν τροπαί τινες ἐπιφύονται καὶ μεταβολαὶ κατὰ νέμεσίν τινα δαιμονίαν, ὡς εἰπεῖν, καὶ βασκανίαν τῆς τύχης ἐπὶ ταῖς μεγάλαις ὑποθέσεσι. Καὶ φέρειν οὐχ οἷός τ' εἶναι δοκεῖ πως ἐπὶ πλεῖστον ὁ χρόνος τὸ τῶν πραγμάτων μέγεθος ἀκμάζον τῆς εὐφορίας τῷ βάρει, ἀλλ' ὥςπερ ὀκλάζει καὶ τὴν εὐτονίαν ἀλλάττει τάχιστα καὶ σφάλλει τὸ κράτος, καὶ ἔοικεν ἀκολουθεῖν εὖ μάλα κατὰ φύσιν ἡ [1]) πρὸς τἀναντία τροπὴ, καὶ καθάπερ καὶ ταῖς σωματικαῖς εὐεξίαις εἰς ἄκρον αὐτόθεν ἕπεται πᾶσα ἀνάγκη τὸ σφαλερόν. Καὶ τεχνίται λόγοι φασὶ, καὶ πολλάκις ὁρῶμεν γιγνόμενον, καὶ μαρτυρεῖ τὰ πράγματα· τὸ γὰρ ἀβέβαιον κατὰ φύσιν ἐν τοῖς ὑπὸ γένεσιν καὶ ῥέουσιν ἀεὶ τοῖςδε πράγμασι, καὶ κινούμενον ἀεὶ, καὶ μὴ μόνιμον ὁπηοῦν, μηδ' ἔχον ἵστασθαι, ζητοῦν μεταβάλλειν ἐξ ἀνάγκης καὶ φέρεσθαι

1) ἡ, C. Aug. male ᾗ.

κατ' ἔθος φύσεως ἐν ταῖς μεγίσταις ῥοπαῖς καὶ βάρεσι καὶ ὄγκοις τῆς τύχης οὐκ ἔχον ἄλλως, ὡς ἔπος εἰπεῖν, εἰς τἀναντία τρέπεται, καὶ πολλάκις αὐτά γε τἀναντιώτατα. Ὥςπερ καὶ τὰ φορώτατα πνεύματα, οἷς τὴν τύχην εἰκάζουσι σοφοὶ, τὰ τέως οὐριοδρομοῦντα σκάφη καὶ φερόμενα μάλιστ' ἐκτόπως πλοῦν ἀνευλαβῆ καὶ λάβρον, αὐτόθεν πολλάκις αὐτὰ καταστρέφει, καὶ τοὺς ἐσχάτους κινδύνους ἀντὶ τῆς ἀκράτου καὶ πλεῖστον ἀκμαζούσης φορᾶς ἀντιδίδωσιν· οὕτω δῆτ' ἄρ', ὡς ἔφην, κἀπὶ τῶν πραγμάτων ἐνίοτ' ἀκμαστικῶς καθ' ὑπερβολὴν ἐχόντων, καὶ κατὰ φύσιν ζητούντων μεταβολὴν, εἰς τἀναντιώτατα τὸ τῆς τροπῆς ξυμβαίνειν εἴωθε, καὶ καταβακχεύει τὰ φαῦλα τάχιστα [a]), τῆς τῶν ἀγαθῶν πλουτούσης ἕξεως, εἰ δ' οὖν εἰς τἀναντία τρόπῳ γέ τινι μεταφέρεται. Καὶ πολλὰ μὲν ἔχομεν ἑκάστοθ' ὁρᾶν οὕτω, καὶ λέγειν ἔχομεν ἀμέλει πλεῖστα καὶ προφέρειν καὶ καταριθμεῖσθαι καὶ μαρτύρεσθαι τῷ νῦν λόγῳ παλαιά τε καὶ νέα, καὶ παρὰ Ῥωμαίοις καὶ παρ' Ἕλλησι, καὶ παρ' ἄλλοις ἀνθρώποις ἅπασι, καὶ πραγμάτων ἐπὶ μειζόνων τε καὶ ἡττόνων. Καὶ πολὺς ἂν εἴη πόνος, καὶ ἴσως ἄκαιρος πολλῶν ἐνταῦθα μεμνῆσθαι πρὸς πίστωσιν τῷ λόγῳ· ὀλίγα δ' ἀρκέσει πάντως πρὸς τὸν νῦν σκοπὸν, καὶ παραδραμούμεθα πονεῖν μάτην ἄμετρα. Μέγιστα μὲν οὖν τῶν ἀπ' αἰῶνος ἔργα καὶ τῷ

---

a) τάχιστα, in C. Mon. omissum.

βίῳ καινίζοντα, καὶ βραχεῖ χρόνῳ τὴν ἅπασαν, ὡς εἰπεῖν, οἰκουμένην μεταποιήσαντα, καὶ τὰ κατ' ἀνθρώπους πράγματα, τὰ κατ' Ἀλέξανδρον καὶ τὴν Μακεδονικὴν ἀρχὴν τεράστιά τινα, καὶ σχεδὸν ἀπιστεῖσθαι δίκαια γεγονότα, καὶ τέως ἀνυπονόητα γενέσθαι· κἂν εἴ τις ἴσως προὔλεγεν, ἔδοξεν ἂν οἷα πλάττουσιν ἐν μυθαρίοις γραΐδια καὶ λῆροι τινὲς ἄνθρωποι λέγειν, καὶ τἀκίνητα κατὰ τὸν λόγον κινεῖν καὶ μελαγχολᾶν ἀτεχνῶς· οὕτω πέρα πάσης [3]) προςδοκίας ἀπέβη, καὶ ὅστις τὰ μέγιστ' ἂν ἤλπισε, καὶ ὅστις τὰ μέγιστ' αὐτὸς, ὡς ἐρεῖν, ηὔξατο πᾶσαν ἔφεσιν καὶ πᾶσαν ἐν λογισμοῖς μακαριότητα ἐκ μικρᾶς οὕτω τῆς ἀφορμῆς, καὶ λίαν εὐεπιλογίστου [4]) παρασκευῆς καὶ δυνάμεως, καὶ ἢ πρὸς ὀλίγα νησίδια περὶ τὸν Αἰγαῖον καὶ τὴν Ἑλλάδα, καὶ πόλεις ἀνηγεμονεύτους, καὶ κοινοῖς ἀγομένας κατὰ μέρη νομίμοις, καὶ τὸν Ἀθηναίων μάλιστα δῆμον, καὶ δημαγωγοὺς καὶ ῥήτορας οὐκ οἶδ' ὅσους δή τινας ἁμιλλᾶσθαι πρότερον εἶχεν ἀγῶνα Φιλίππῳ μέγιστον, καὶ τὰ μὲν μηχαναῖς καὶ δόλοις καὶ δώροις καὶ προδοσίαις καὶ στασιασμοῖς πρὸς ἀλλήλας τῶν πόλεων, καὶ ὅρκοις ὀλιγωρουμένοις τὲ καὶ πλεῖστον ἀπιστουμένοις, τὰ δὲ καὶ ὅπλοις δὴ μετρίως πρὸς ἀσυνάπτους ἀνθρώπους, καὶ μὴ κοινὰ φρονοῦντας καθάπαξ καὶ πράττοντας, καὶ

3) πέρα πάσης, C. Mon. περ ἀπάσης: Aug. περιπάσης, mendose.
4) εὐεπιλ. C. Mon. rectius ἀνεπιλογίστου: Aug. ἀνεπιλογίστου.

στρατηγίαις δή τισι περιεγίγνετο· καὶ κράτος εἶχεν οὐκ ἔκδηλον, καὶ οἷον δὴ βασιλικῇ μοναρχίᾳ καθαρῶς πρέπον καὶ νόμιμον, ἐκ δὴ τοιαύτης οὕτω λοιπὸν, ὡς ἔφην, οὐ μάλα τοι κρατερᾶς τῆς ἰσχύος καὶ τῆς παρασκευῆς, ἐν νῷ θεμένου τοῦ βασιλέως Ἀλεξάνδρου τὴν κατ' ἐκείνους τοὺς χρόνους τὸ πλεῖστον τῆς οἰκουμένης ἄγουσαν περιφανείᾳ καὶ λαμπρότητι καὶ πλούτῳ καὶ πλήθεσι στρατευμάτων δυσαντίβλεπτον Περσικὴν βασιλείαν αὐτὸς καταστρέψασθαι, μᾶλλον δ' ἐμοὶ δοκεῖν ταῖς ἀληθείαις μὴ τοῦτ' ἐν νῷ θεμένου· μανία γὰρ ἂν ἦν τοῦτο περιφανὴς καὶ λαμπρὰ ἐκ τοσούτου τοῦ κατ' αὐτὸν ἐνόντος τοσοῦτο[5]) κράτος μάλ' ἐνεκμάζον[6]) ὑποποιήσασθαι καὶ ὅλως ἐλπίσαι. Ἀλλ' ἴσως τοσοῦτο μόνον πράγματα βασιλεῖ καὶ Πέρσαις παρασχεῖν ὑπὲρ τῶν ἐν Ἀσίᾳ Ἑλλήνων, καθὼς ἄρα καὶ πρότερον χρόνοις ὀλίγοις Ἀγησίλαος, καὶ πλέον ἔτι πω ὁτιοῦν, εἶτα πλέον ἐλπίδος ἐντετυχηκότος τῇ τῆς τύχης εὐφορίᾳ καὶ τῷ δρόμῳ τῆς χρήσεως, κἀντεῦθεν εἰς τὸ πᾶν ὡρμηκότος, καὶ μέγιστον ἀραμένου[7]) κατὰ τῆς ἀρχῆς ἐκείνης φρόνημα καὶ κατηνυκότος πρᾶγμα τοσοῦτο τέως ἀδόκητον οὐκ ἄλλοις· μόνον, ἀλλὰ μηδὲν ἧττον καὶ αὐτῷ γε τὴν ἀρχὴν ἁπτομένῳ, κἀντεῦθεν ἐπὶ πᾶσαν ἑῴαν, καὶ πᾶσαν

---

5) τοσ. C. Mon. τοσοῦτον.

6) ἐνεκμ. sic Cdd. nostri: leg. ἐνακμάζον.

7) ἀραμ. C. Mon. ἀραμένον, vitiose.

ἑξῆς τὴν τῆς γῆς οἰκουμένην ἀνθρώποις, τοῖς λογισμοῖς ἀριδηλότατα, καὶ ἴσως οὐκ ἔξω τοῦ καιροῦ τοῖς ἠνυσμένοις λοιπὸν χωρήσαντος, καὶ μέγιστα μεγίστων ταῖς ἐλπίσι ῥᾷστα μηκυνομένου, καὶ οὐδὲν ὅτι μὴ προςδοκῶντος, οἷς οἶδεν, οἷς εἰργάσατο, οἷς ξυνέλαχε, καὶ τῶν ἐκτόπων αὐτῶν καὶ πέρα πάσης ἐλπίδος καὶ παντὸς λογισμοῦ τῇ τῶν φθασάντων εὐκολίᾳ καὶ τῷ κατεσκευασμένῳ λοιπὸν ἀπαραμίλλῳ κράτει[8]). Κᾆτ' ἐπὶ τούτοις μετὰ τοὺς λογισμοὺς ἐκείνους καὶ τὰς ἐλπίδας καὶ τὰς τοσαύτας ἐπιδείξεις τῶν θαυμαστῶν ἐκείνων ἔργων ἐν αὐτῷ τῷ δρόμῳ τῶν μεγίστων ἐλπίδων καὶ τῶν πράξεων ἔτι πω καὶ τῇ τῆς τύχης εὐπλοίᾳ τελευτῶντος οἴκτιστα τόν τε βίον καὶ τὰς ἐλπίδας καὶ τὰς περιφανεῖς πράξεις καὶ τὰ τρόπαια ἐπανιδρύτῳ[9]) καθάπαξ τῷ παντὶ τῆς ἀρχῆς ἔτι πω σχήματι, καὶ ῥᾷστ' εὐσείστῳ, καὶ διαδόχοις ἀδήλοις, μᾶλλον δὲ προδήλῳ κληρονομίας ἐρημίᾳ ᾗ στήσεται τὰ κτηθέντα, καὶ μενεῖ[10]) πάντως ἄνοσα· κἂν εἰ μηδὲν ἔτι πω πλέον, ὃ πολλῷ τῶν ἐλπίδων εἰκότι κατὰ φύσιν εἴπετ' ἂν[11]), μᾶλλον δὲ τύχης ἐρημίᾳ προδηλοτάτῃ, καὶ ἀπιστίᾳ καὶ ἀστοργίᾳ κατὰ τῶν τοσούτων ἐξ αὐτῆς καὶ μετ' αὐτῆς ἔργων καὶ τῆς τοσαύτης χάριτος καταπροδού-

8) κράτει usque ad καὶ τὰς ἐλπίδας in C. Mon. omnia desiderantur.

9) ἐπανιδρύτῳ, ita Cdd. omnes: fors. ἐπ' ἀνιδρύτῳ.

10) μενεῖ, Cdd. Aug. et Mon. μένει.

11) εἴπετ' ἂν, C. Mon. ἔπειτ' ἂν: Aug. ἔπετ' ἂν.

σης αὐτὸν αὐτόθεν ἐν μέσοις τοῖς μεγάλοις ἐκείνοις πράγμασι, καὶ προλιπούσης, ὥςπερ φαύλου τινὸς συνοδοιπόρου καὶ συμμάχου, μᾶλλον δὲ προαγωνιστοῦ καὶ προμάχου, αὐτόν τε καὶ τὰς πράξεις καὶ τὴν ἀρχὴν εἰς ἀόριστον πλάνην δυσχρηστίας, ὡς ἄρ' ἔδειξεν αὐτίκα τελευτήσαντος. Οὐ γὰρ εἶχον ὅ τι χρήσονται λοιπὸν ἐκείνου τελευτήσαντος οὔθ' ἑαυτοῖς οὔτε τῇ ἀρχῇ, ἀλλ' ἐπ' ἀλλήλους ἐτράποντο πλεῖσθ' ὅσα τμηθέντες καὶ ἄρχοντες καὶ ἀρχόμενοι, οὐκ ἔχοντες οὐδ' ἐρεῖν ὅ τί ποτε βούλονται, οὐδ' ὅ τι σπουδάζουσιν, ἢ ζητοῦσιν, οὐδ' οἵτινες εἰσὶν, ἢ οἷςτισι νόμοις ἄγονται μοναρχίας· καὶ τίς αὕτη; καὶ ποῖ τελευτῶσα καὶ τίνος ἀμέλει; οὐ γάρ ἐστιν ἄνευ ἄρχοντος ἀρχὴ, ἢ, εἰ μὴ τοῦτο, κοινῶν πολιτευμάτων νόμοις, καὶ τίσιν αὖ τούτοις; καὶ τίνος αὖ κοινοπολιτικῆς ἕξεως; ἀλλ' ὥςπερ κορυβαντιῶντες ἀλογίστως ἐφέροντο, καὶ πρὸς οὐδὲν ἔκδηλον τέλος, οὐδὲ σκοπὸν, μέχρι καταδαπανηθέντες ὑπ' ἀλλήλων καὶ τῶν ἐπιτιθεμένων ἔξωθεν παντάπασιν ὤλοντο, καὶ εἰς τὸ μηδὲν ἐχώρησαν. Ἄπιστον τοῖς πολλοῖς διήγημα μεθ' ὕστερον, εἰ καὶ τέως ἦσαν, καὶ τινῶν ἐπῆρξαν ἐθνῶν, ἢ καὶ ὅλως ἄρχοντες Μακεδόνες ἦσαν ἐν τοῖς σφετέροις, ἢ τὸν πάντα χρόνον ἐδούλευον, καὶ νόμοις ἀλλοτρίας ἡγεμονίας ὑπετάττοντο. Οὕτω δὴ καθάπαξ Μακεδόνες ἐν μεταβολῇ γενόμενοι, καὶ πεσόντες, ὥς φησιν, ἐκεῖθεν ὁπηοῦν ἀνέγερτα τῇ Ῥωμαϊκῇ δυναστείᾳ μέρος ὁτιοῦν τὸν ἅπαντα χρό-

νον [12]) λοιπὸν ταύτης δόξαντες τὴν ἀγωγὴν ἔχουσι μετὰ πολλῶν τῇ συνεχείᾳ τοῦ παντὸς, καὶ μηδὲν ἰδιοπραγοῦντες ἐλεύθερον, ἢ καὶ ἰδιοπραγήσαντες τῶν ἐξ ἐκείνου τόσων καὶ τόσων χρόνων. Ὥςπερ οὐδὲ τὰ πρόςοικά τισι πολίσμασι χωρία καὶ ἀγροὶ φρονοῦσιν οὐδὲν ὁτιοῦν ἄλλο, ἢ τὰ κυριεύοντ' ἄστη, καὶ οἷς προςήκουσι· καὶ αὐτοὶ δὴ χώρας τῇ καθ' ἡμᾶς τῶν Ῥωμαίων ἡγεμονίᾳ μέρη καὶ κτήματα ἄττα προςόδων ἐν χρήσει καὶ νομίμοις ἀνθρωπίνοις ὄντες ταῖς ἀληθείαις, καὶ μηδὲν ἄλλο περαιτέρω ξυνορᾶν περὶ ἑαυτῶν ἔχοντες, ἢ πεφυκότες ὅλως αἰσθέσθαι, καὶ δυσνοϊκῶς ἐντεῦθεν τοῖς ἄρχουσιν ἄγεσθαι. Ῥωμαῖοί γε μὴν αὖθις οὗτοι, οἱ τοὺς Μακεδόνας πρὸς τοῖς ἄλλοις ὑποποιησάμενοι, καὶ τὴν μεγίστην ἢ κατ' ἄλλας πάσας πρότερον, καὶ αὐτόν γε μὴν Ἀλέξανδρον ἡγεμονίαν κτησάμενοι, καὶ πάνυ τοι πλεῖστον ὑπερβαλόντες [13]) καὶ παραδραμόντες αὐτὸν μήκει τε καὶ κράτει καὶ χρόνῳ καὶ τῷ καθεστῶτι τῆς διοικήσεως θαυμαστῶς ὅπως καὶ νικήσαντες πάντας λογισμοὺς, καὶ [14]) μετὰ τὰς περιφανεῖς ἐκείνας Ἀλεξάνδρου νίκας καὶ τὰ τρόπαια [15]) καὶ τὸν τάχιστον δρόμον, καὶ τὸν συνεχῆ θρίαμβον τῶν τοσούτων ἔργων αὐτοῦ καὶ τῆς τύχης, καὶ πάν-

12) χρόνων, abest a C. Mon.

13) ὑπερβαλ. C. Mon. ὑπερβάλλοντες.

14) καί, Cdd. Aug. et Mon. omittunt.

15) καὶ τὰ τρ. C. Mon. κατατρόπαια.

τα σχεδὸν ἔθνη κατὰ τῆς οἰκουμένης, καὶ πεί-θεσθαι φύσιν ἔχοντα, καὶ μὴ τοιαῦτα, ἀλλὰ καθάπαξ ἀγέρωχα καὶ αὐθέκαστα δουλωσάμενοι πάσαις ἐπιβολαῖς καὶ γνώμης κράτει[16]), καὶ ῥώμῃ παντάπασιν ἀπαραμίλλῳ. Καὶ οὗτοί γε μὴν ἐπεὶ[17]) τὴν τοσαύτην ἀρχὴν ἐκτήσαντο καὶ κατεστρέψαντο πάντας λογισμοὺς ἀνθρωπίνους τῇ καλλίστῃ διοικήσει καὶ τῶν πραγμάτων ἀξιολόγῳ, νομίμοις ἅπασιν οἰκείοις κατὰ πᾶν τὸ γιγνόμενον, καὶ παρῆλθον ἀκάματοι πάντα καὶ ἀήττητοι, λοιπὸν ἑξῆς αὐτίκα πονήρως εἶχον, καὶ νοσεῖν ἤρξαντο τὴν θαυμαστὴν ἐκείνην καὶ τύχην καὶ γνώμην, καὶ κακῶς ἐν ἑαυτοῖς φέρεσθαι, καὶ οὐκ εἶχον οὐδ' αὐτοὶ καλῶς χρῆσθαι μήθ' ἑαυτοῖς, μήτε τῇ τοσαύτῃ κτήσει τῆς ἀρχῆς, ἀλλ' ἐπ' ἀλλήλους ἐτράπησαν, καὶ τὴν ἐπαινουμένην ἐκείνην ὁμοφροσύνην ὑπὲρ τῶν κοινῶν καὶ τῆς κοινῆς περιφανείας καὶ δόξης, καὶ ἣν μάλιστ' ἐθαύμαζον πλεῖν ἢ κατὰ πάντας ἄλλους ἀνθρώπους Ἕλληνάς τε καὶ βαρβάρους, καὶ τὸν τῆς γνώμης σύνδεσμων ἄῤῥηκτον[18]) ἐν καλλίστοις νικῶντα πάντα τὰ κοινὰ φύσεως κατὰ τοὺς ἄλλους ἐλύσαντο, καὶ τηρεῖν οὐκ εἶχον, οὐδὲ μένειν ἐν ἑαυτῶν, ἀλλ' ἐξανέστησαν τῆς καλλίστης ἀγωγῆς, καὶ τὴν ἐπαινετὴν ἐκείνην καὶ χρόνιον κατάστασιν καὶ τάξιν

16) κράτει, in C. Mon. deest.

17) ἐπεὶ, C. Mon. ἐπὶ.

18) ἄῤῥηκτ. C. Mon. ἄῤῥητον.

ἐλειποτάκτησαν· ἀποπεφυκότες καὶ αὐτοὶ κατὰ τοὺς ἄλλους ἐν ταυτότητι τῶν εἰθισμένων κρίσεων μένειν, αἳ καὶ τοσοῦτον κατεπράξαντ' ἔργον, ἑωρῶντο τῷ βάρει τῆς τύχης ἔοικε καὶ τῆς τοσαύτης ἀρχῆς οὐκ ἔχοντες κατ' ἔθος ὡς ἄρα πρότερον χρῆσθαι, καὶ κατὰ φύσιν ἱκανῶς ἔτι πω λοιπὸν ἄγεσθαι τῇ συνεχείᾳ τῆς κρατούσης ἤδη πόλλ' ἔτη καταστάσεως εὐγενοῦς, καὶ κοινοπολιτείας πᾶν τὸ λυσιτελοῦν. Ταῦτ' ἄρα καταστασιάσαντες τὰ τῆς ἀρχῆς πράγματα, καὶ κατ' ἀλλήλων ἔμπληκτοι κινηθέντες [19]) μελαγχολῶντες ἀλλοκότοις καὶ θηριώδεσιν ἔρωσι καὶ μανίαις μεγίστην εἰργάσαντο φθορὰν ἑαυτῶν, καὶ βαρυτάταις μάχαις καὶ μυριαρίθμοις φόνοις στρατευμάτων καὶ στρατηγῶν καὶ τῶν ἐκ τῆς συγκλήτου καὶ τῶν ἐκ τοῦ δήμου. Πᾶσαν τὲ τὴν οἰκουμένην ἐνέπλησαν ἐπικινδυνοτάτων ἔργων καὶ βακχείας ἐριννυώδους καὶ συμφορῶν ἀνυποίστων, καὶ ἑαυτοὺς ἐζημίωσαν τοσούτων ἐκ τῆς τύχης ἀγαθῶν, καὶ τοσούτων ἀνδρῶν, ὅσων [20]) οὐκ ἄν ποτ' ᾠήθησαν τέως ζημιωθέντες ἔτι λοιπὸν ἀρκέσαι πρὸς τὸ λειφθῆναι τῇ ζωῇ, καὶ παραμένειν ἔτι τοῖς τῆς σφετέρας ἀρχῆς πράγμασιν ὁπηοῦν, καὶ τοσούτοις, εἰ παρ' ἐχθρῶν ξυνέπεσον ἀμέλει τοῖς κινδύνοις καὶ ταῖς τῶν πραγμάτων φθοραῖς, ὤλοντ' ἂν αὐτίκα, καὶ ὥςπερ αὐτάνδρῳ τῷ σκάφει τῆς ἀρ-

---

19) τὰ τῆς ἀρχῆς — κινηθέντες, desunt in C. Aug.

20) ὅσων, in C. Ciz. super ων scriptum οις.

χῆς χαλεπωτάτῳ κλύδωνι κατεναυάγησαν εἰς τὰς ἐσχάτας παντάπασι διαφθοράς. Τοιαῦτ' ἄρα σφᾶς ἔπραξαν κάκισθ' ὑπ' ἐμπληξίας καὶ φιλαρχίας οἴστρου δυσέρωτες Μάριοι, καὶ Σύλλαι, καὶ Καίσαρες, καὶ Πομπήϊοι, καὶ Βροῦτοι, καὶ Κάσιοι [21]), καὶ Ἀντώνιοι. Καὶ τοιούτων ἀλιτηρίων τῆς πατρίδος ἀνδρῶν ἐπ' ἀλλήλους ἀκρατεῖς λογισμοὶ καὶ φοραὶ μανιώδεις, καὶ τελευτῶντες εἰς ἐπίφθονον [22]) ἀεὶ καὶ βασκανίαις καὶ δυσνοίαις ἐπιβουλαῖς παλαίουσαν μοναρχίαν καὶ τυραννίδα κατέστησαν ἀντὶ τῆς πρὶν ἐκ συμφωνίας πολιτικῆς γαλήνης καὶ τῶν εὐνομουμένων πραγμάτων, τὸ κράτος τῆς ἀρχῆς αὐξόντων ὅσαι ἡμέραι συνεχῶς, ἀφ' οὗ καὶ ἤρξαντο σχεδὸν δείκνυσθαι τῷ βίῳ καὶ κινεῖσθαι πλείοσιν ἢ κατ' ἰδιοπραγοῦντας καὶ μείζοσιν ἐπιχειρήσεσι. Καὶ τοῦ λοιποῦ σφίσιν ἔργον ἦν οὐδὲν ἔτι πω πλέον ὁρᾶν, ὡς ἄρα πρότερον ἀεὶ, ἀλλὰ τρυφαῖς μὲν οἴκοι χαίρειν τὰ καὶ συνεῖναι τὸν πάντα βίον, καὶ ῥαστώνης ἁπάσης ἀμετρίᾳ καὶ ἀκολασίᾳ· καὶ μέγα δὲ κρίνειν, εἰ περισώζειν οἷοί τε [23]) γίγνοιντο, καὶ οἱ μεγάλα φρονοῦντες ἀπὸ τῶν ἔξωθεν ἐπιθέσεων, καὶ μὴ τὰ μέγιστα τῆς ἀρχῆς καὶ ἀξιολογώτερα ζημιοῦσθαι. Καὶ γὰρ δὴ ταῖς ἀληθείαις ἐκεῖθεν εἰς δεῦρο κατ' ὀλίγον ὑπέῤῥει τὰ

---

21) *Κάσιοι*, sic Cdd. omnes pro *Κάσσιοι*.

22) *εἰς ἐπίφθ.* C. Mon. *εἰς ἐπιφάνειαν*: in ora *γρ. εἰς ἐπίφθονον*.

23) *τε*, deest in C. Mon.

πράγματα, καὶ τὰ τόσα καὶ τόσα μήκη τῆς ἀρχῆς εἰς τοὔλαττον ὑπεφέρετο. Καὶ μὴν ἔτι ὡς ἂν δὴ καὶ καταμέρος καὶ ἰδίᾳ διελθεῖν τινὰ προς τὸν αὐτὸν σκοπὸν καὶ τὴν πρόθεσιν, σιωπῶν μὲν ἴσως τὰ παλαιὰ πρότερον καὶ παρ' ἄλλοις ἔθνεσι καὶ παρ' ἄλλαις ἀρχαῖς, οὐκ ἂν ἔξω τοῦ καιροῦ δρῴην ἂν φεύγων τὸ μῆκος, ἀλλὰ Μάριος αὐτὸς ὁ Ῥωμαῖος ἐκ μικρᾶς παντάπασι καὶ ἀσήμου τῆς τύχης, καὶ φυλετῶν ὀλίγων πάνυ τοι καὶ λόγου τινὸς ὀλίγου, καὶ ἀγροτικῆς οἰκίας, καὶ στρατιᾶς, καὶ τῆς τῶν πατρικίων καθάπαξ Ῥωμαϊκῆς ἀλλοτρίας εὐγενείας, μέγας ἤρθη τοῖς Κιμβρικοῖς ἀγῶσι, καὶ ταῖς περιφανέσι καὶ ἀπαραμίλλοις νίκαις, καὶ τὰ τῆς Ῥώμης ἦρε πράγματα καὶ τὸ φρόνημα πρὸς τὸ κρατῆσαν ὕστερον μέγεθος τῆς ἀρχῆς καὶ τὴν δόξαν· καὶ συνεχῶς αὐτὸς ἑπτάκις ἐν ταῖς ἀρχαιρεσίαις νικῶν ὑπατεύει πολυδοξότατα, καὶ δείκνυσιν ὡς οὐκ ἔξω λόγου τοῖς ἔργοις αὐτοῖς καὶ ταῖς νίκαις, ὃ μήπω πρότερον οὐδενὶ οὐδέ γε μὴν μεθ' ὕστερον ξυμβὰν ὤφθη ταῖς τῶν πραγμάτων τῆς Ῥωμαίων ἡγεμονίας ἀκμαῖς. Εἶτα μετὰ τὰς νίκας ἐκείνας τὰς τερατώδεις, καὶ τὴν τοσαύτην εὔκλειαν καὶ δόξαν ὑπὲρ πᾶσαν, ὡς εἰπεῖν, δόξαν τῆς τοῦ ἤθους πικρίας ἡττώμενος καὶ φιλαρχίας ἀπλήστου κάκιστ' εἰς τυραννικὴν μιαιφονίαν καὶ κακοήθειαν ἐκκλίνας ταπεινῶς κομιδῇ πράττων ἐδυσχέραινε τῇ τύχῃ, καὶ πλάνον ἀοίκητον ἐν φυγῇ τῆς πατρίδος, καὶ τῆς τοσαύτης δόξης ἐφορεῖτο παιζόμε-

νος ἀνθρώποις φαύλοις, καὶ παντάπασιν ἀλλοτρίοις τῆς μεγάλης τοῦ μακαρίου τύχης καὶ δόξης, καὶ ἀναξίοις ἑαυτοῦ συνείχετο καθάπαξ ἔργοις. Εἶτ' αὖθις ἐπαίζετο τῇ τύχῃ καὶ ἀνεδείκνυτο καὶ ἀνωρθοῦτο [24]) πρὸς δευτέραν βίωσιν καὶ μεγάλα πράγματα παρ' ὥραν ἤδη παραβαλλόμενος, καὶ πρὸς μέσους ἑαυτὸν κινδύνους μεγίστους καὶ μιαιφονίας ἐπαχθέστατ' ἔργα φέρων, εἰσῆγεν ἑαυτὸν ὠθῶν καὶ ὠθούμενος ταῖς τοῦ Σύλλα μετὰ τῆς τύχης λαμπρότησι, καὶ μετά τινος ὥρας καὶ νέας φιλοτιμίας ἀκμαῖς. Καὶ τελευτῶν οἴκτιστ' ἀπήλλαττεν οὐκ ἐλεούμενος μᾶλλον ἢ μισούμενος τῆς παραλόγου σφόδρα φιλοτιμίας τε καὶ φιλονεικίας ἐν αἵμασι καὶ πόνοις καταβακχεύων τῆς Ῥωμαίων ἀρχῆς ἐριννύων ζάκορος καὶ τραγικῶν παθῶν χορηγός. Καὶ ἐπ' αὐτῷ βραχύ τι παραλειφθεὶς τῇ φιλοπραγμοσύνῃ τῶν ἔργων ὁ νέος Μάριος, καὶ υἱὸς αὐτῷ [25]) καὶ τὴν φύσιν καὶ τὴν τοῦ ἤθους πικρίαν, καὶ τοσοῦτον ἴσως συγχωρηθεὶς τῇ τύχῃ καὶ τῷ χρόνῳ, ὅσον αὐτὴν ἐνδείξασθαι τὴν φύσιν καὶ τὴν εἰς τὰ κάκισθ' ὁρμὴν ἐμπληκτότερος τοῦ πατρὸς τύραννος. Αὐτίκα γε μὴν καὶ αὐτὸς ἔπειτα κακὸς [26]) κακῶς ἔπιπτεν ἀωρίᾳ τῶν τῆς κακίας ἄθλων καὶ ἐπι-

24) ἀνωρθ. C. Mon. ἀνορθοῦτο.

25) αὐτῷ, C. Mon. αὐτοῦ; sed Theodorus amat etiam alias dativum.

26) κακός, non habet C. Mon.

δείξεων, ἐλαττούμενος τοσούτῳ μόνῳ τοῦ πατρὸς, τῷ τῶν φαύλων ἔργων ὀλιγοχρονίῳ, μὴ τὴν φύσιν ὅμως καὶ τὴν γνώμην ἐλαττούμενος· καὶ φέρων δεύτερα. Σύλλας δ' ἑξῆς ἔπειτα μέγας τῇ τύχῃ καταστὰς ἐξ ἀδόξων, καὶ τέως εὐπεριφρόνητος ὢν ἐν νέοις ἐξ ἀσωτίας, εἰ δή τις καὶ ἄλλος, καὶ πλείστους κατ' ἀλλοτρίων τοῦ γένους καὶ τῆς πατρίδος ἐν πᾶσι τῆς γῆς μέρεσι νενικηκὼς τοὺς πολεμίους [27]), τοῦτο μὲν ὑποστρατηγῶν ἄλλοις τὲ καὶ Μαρίῳ, τοῦτο δ' αὐτὸς στρατηγῶν καὶ αὐτοκράτωρ ἡγούμενος, πλείστους ἀμέλει καὶ κατὰ τῶν ὁμοφύλων καὶ τῶν ἐκ τῆς συγκλήτου κατὰ ταυτὸν ἀντιπραττόντων, ἐν οἷς ὑπὲρ τῆς δόξης, τῆς πατρίδος καὶ τοῦ Ῥωμαίων κλέους καὶ κράτους ἀγῶνας εἶχε πρὸς πάντας συμμαχούσης τῆς τύχης ἀδοκήτως παντάπασι, καὶ κρεῖττον πάσης ὡς ἀληθῶς ἐλπίδος καὶ τῶν μετὰ τοῦ εἰκότος λογισμῶν, ὡς καὶ αὐτὸς οὐχ ἧττον ἢ καὶ ἄλλοι πάντες ᾤετο καὶ τοῖς ἔργοις αὐτὴν ἐπεγράφετο καταδυσωπῶν ἴσως, ὡς ἂν δὴ καὶ παραμένουσαν ἔχοι λοιπὸν ἐντεῦθεν πιστῶς καὶ πλεῖν, ἢ τοῖς ἄλλοις εἴωθέ τε καὶ πέφυκε, καὶ τελευτῶν ἔπειτ' ἄρα περὶ τῶν ὅλων εἰς ἀγῶνα μέγιστον ἀντικαταστὰς Μαρίῳ καὶ υἱεῖ Μαρίου Μαρίῳ, καὶ Κίννᾳ, καὶ Κάρβωνι, πᾶσι μετὰ τῆς αὐτῆς ἰταμότητος καὶ φιλαρχίας καὶ κράτους φθάσαντος ἐν τοῖς

27) πολεμίους, leg. πολέμους; vti habent quoque Cdd. Mon. et Aug.

πράγμασιν ὡπλισμένοις κατα τῆς αὐτοῦ προκοπῆς, καὶ τοῦ κλέους τῶν ἔργων δυναστεύοντος μάλιστ' ἐπὶ τῆς Ῥωμαίων ἡγεμονίας, καταστρέφεται πάντας ῥᾷσθ' ἑξῆς ὥςπερ ἀπὸ συνθημάτων τῆς τύχης τοὺς ἀγῶνας ποιούμενος, καὶ μελέτης ὑποκρίσει γυμναζόμενος καθ' αἵρεσιν, καὶ μοναρχήσας λοιπὸν πρῶτος αὐτὸς σχεδὸν τῆς Ῥωμαίων τοσαύτης ἀρχῆς, καὶ τοῖς Καίσαρσι μεθ' ὕστερον ὑποδείξας τὰς ὑπὲρ τῆς ἀρχῆς ἐπιβολὰς καὶ [28]) ἐλπίδας, ἔπειτ' αὐτόθεν αὐτίκα παρακατέχειν οὐκ εἶχε τὴν ἡλικιῶτιν τύχην, καὶ ἧς πλεῖστον ἐπειράθη τὸν χρόνον ἥδιστα προςεχούσης αὐτῷ καὶ μάλ' εὐμενῶς, ἀλλ' ὑποχωρούσης κατ' ὀλίγον ἤρξατο νοσεῖν. Καὶ τοῦτο μὲν ὑπεχώρει τὰ πράγματ' εὐλαβούμενος ἀδράστειαν ἑκὼν ἀέκοντί γε θυμῷ, τοῦτο δ' ὑπεβλέπετο Πομπήϊον αἰρόμενον τῇ τε συγκλήτῳ καὶ ἅμα τῷ δήμῳ μάλιστα κατ' αὐτοῦ. Καὶ τελευτῶν οὕτω πονήρως πράττων τῷ σώματι καινότερον τὸν τρόπον καὶ ὡς οὐδείς ποτ' ἄλλος σχεδὸν ἐνεχροῦτο [29]) ζῶν, καὶ δαπανώμενος τὴν σωματικὴν ὕλην ἐζωηφόρει τῇ σήψει ταύτης ἀῤῥήτῳ πάθει φθειρῶν ἀμύθητον χρῆμα [30]), καὶ τοσοῦτον ἤρκεσε πηγάζων τὴν θανατοποιὸν αὐτῷ ταύτην ζωοφορίαν, ὅσῳ καὶ ἦν ὁ τῆς τοῦ σώματος ὕλης ὄγκος αὐτῷ. Κἄπειτα κομιδῇ δεινότατα καὶ αἴσχιστα καὶ τὴν χορηγίαν ἐπέλει-

28) καὶ, deest in C. Aug.

29) ἐνεχροῦτο, cf. Plut. Syll. c. 36.

30) χρῆμα, C. Mon. χρῶμα, in ora autem γρ. χρῆμα.

πε[31]), καὶ ἐτελεύτα τοῖς φθοροποιοῖς ζωΰφίοις καὶ τὴν ζωὴν ὁ τοσοῦτος μεγαλουργότατος ἄνθρωπος καὶ τῆς τοσαύτης Ῥωμαϊκῆς ἡγεμονίας διὰ πάσης ζωῆς αἱρετὸς καὶ ἄσυλος καθάπαξ αὐτοκράτωρ καταστρατηγηθεὶς ἀδρανέσι μὲν ὅμως καὶ ξενίζουσιν, ἀνυποίστοις[32]) δ' οὕτω καὶ ἀτρέπτοις ἐκ τῆς αὐτοῦ χορηγίας στρατεύμασιν ὁ πρὸς πλεῖσθ' ὅσα στρατεύματα ἀντιταξάμενος μέγιστα καὶ μαχιμώτατα, καὶ διαγενόμενος πάντ' ἀήττητος. Πομπήϊος δ' εὐθὺς, ὡς ἐτελεύτα Σύλλας, ὑψοῦτο τοῖς πράγμασι καὶ προήει τῆς δόξης, καὶ Ῥωμαίων ἐπρώτευεν ὑπερβαλλόντως μέγας ἢ κατ' ἄλλους ἅπαντας ἐν τῇ συγκλήτῳ τοὺς κατ' αὐτὸν τηνικαῦτα· ὅς γε καὶ ζῶντος ἔτι πω Σύλλα μέγας ἦν οὐ μόνον τοῖς ἔργοις, ἀλλὰ καὶ τῇ κλήσει, τὸ δ' ὄνομ' ἔχειν ἐκληροῦτο, καὶ κρινόμενος εἶναι τοιοῦτος ἐκαλεῖτο πάντων καταθέσεσι καὶ ψήφοις, καὶ φθόνου σπινθῆρας ὑπέτυφε Σύλλᾳ, πρὶν ἐν μετουσίᾳ τῆς βουλῆς καὶ τῆς συγκλήτου γίνεσθαι τῆς ἡλικίας ἔτι πω νόμοις εἰργόμενος, στρατευμάτων ἄρχων πλείστων καὶ στρατηγὸς αὐτοκράτωρ αἱρούμενος ἀρετῆς ἐπιδείξει καὶ στρατηγικῇ χρήσει, καὶ ζεούσῃ πάντων μάλιστ' εὐνοίᾳ πλήθους καὶ στρατιωτῶν, καὶ δήμου πάσης ἀξιούμενος ἐπιφθόνου τιμῆς καὶ πραγμάτων ἐπὶ τοὺς τῆς πατρίδος τυράννους μειράκιον

---

31) ἐπέλ. C. Mon. ἐπέλιπε.
32) ἀνυπ. C. Mon. ἀνυπίστοις.

ἔτι πω καὶ πρὸ τῶν νενομισμένων Ῥωμαίοις χρόνων· οὐ μόνον δῶρον τύχης τὴν εὔνοιαν καὶ τὴν δόξαν καὶ τὸ κλέος κτώμενος, ἀλλὰ πάσης ἀρετῆς ἀσκήσει καὶ φρονήματος μετριότητι κεκραμένῃ τῷ φιλοτίμῳ, καὶ ἤθει σωφρονικῷ τοῖς ἔργοις ἐνευδοκιμῶν, καὶ τὰ παρ' αὐτοῦ καλῶς συνεισφέρων ταῖς τῆς τύχης χάρισιν, ἐξ ὧν δὴ καὶ μεγίσταις κατὰ τῶν ἐχθρῶν τῇ τῶν Ῥωμαίων καὶ τῆς πατρίδος προκοπῇ νίκαις τὸ κράτος [33]) αὐτῷ πρῶτον ἐν Ῥωμαίοις ἐκδηλότατα καρπούμενος [34]), καὶ τρισὶ θριάμβοις ἐκ τῶν τριῶν τῆς οἰκουμένης μερῶν Εὐρώπης τὲ καὶ Λιβύης καὶ τῆς λοιπῆς Ἀσίας τὸ κλέος αὐτοῦ καὶ τὴν περιφάνειαν τοῦ βίου μὴ μόνον ἐπαυξήσας τῇ πατρίδι, ἀλλὰ καὶ κατὰ πάσης σχεδὸν πληρώσας τῆς οἰκουμένης, ἔλαθεν ἑαυτὸν μεταβάλλων εἰς τὸ κακῶς πρᾶξαι καὶ κινδύνοις περιπεσεῖν, καθ' ἑαυτοῦ προσιέμενος [35]) καὶ μεγαλύνων εὐκολίᾳ τρόπων χρηστῶν ἐπιβούλους αὐτοῦ τῆς τύχης τὲ καὶ τῆς δόξης, ὡς μήποτ' ὤφελε· καὶ Καίσαρα κρατυνάμενος ἐπ' αὐτόν τε καὶ τὴν κοινοπολιτείαν, ἢ μᾶλλον ἐπιεικῶς ὁπλίσας φιλαρχίας καὶ φιλοτιμίας φλεγόμενον ἀσχέτοις ἔρωσι κἀκ προσηκόντων καὶ μὴ προσηκόντων καὶ πάντων τρόπων, καὶ πάντων ἔργων καὶ πραγμάτων εἰς τοῦτ' ἐπειγόμενον ἀστειό-

33) τὸ κρ. C. Mon. καὶ τὸ κράτος.

34) καρπ. C. Mon. καὶ καρπούμενος.

35) προσιέμ. C. Mon. προσιέμενον.

τητί τε καὶ κοσμίως τὲ καὶ νομίμως, ἀλλὰ καὶ μηχαναῖς πάσαις καὶ δόλοις ἀφειδῶς, καὶ πρὸς μηδένα κίνδυνον οὐκ ἀποκνοῦντα, οὐκ ἐπαινετῶς μόνον ἀξιώματι γνώμης καὶ τόλμῃ, ἀλλ' ἄρα δὴ καὶ μὴ πάμπαν ἀνεμεσήτως· κρατυνάμενος δ' οὖν, ὅπερ ἔλεγον, ἄνδρα Πομπήϊος πλεῖν ἢ ἔδει καὶ συνέφερεν αὐτῷ τε καὶ τοῖς κοινοῖς πράγμασιν. Ἄλλα δὴ βουλόμενος ἔπειτα καὶ ξυνορῶν καὶ γιγνόμενος ἀνονήτων ἐν μεταμέλῳ καταλύειν οὐκ ἔτ' εἶχεν, ἀλλ' ἀντιταξάμενος καὶ συμπλακεὶς πρὸς ἐκεῖνον κατενόει μεταβαίνουσαν τὴν θρέψασαν αὐτὸν, καὶ πάνυ τοι πλεῖστον ὑψώσασαν τύχην. Καὶ κατεμάνθανε λοιπὸν ἀλιτήριος [36]) γενόμενος ἑαυτῷ τε καὶ τῇ Ῥωμαίων ἐλευθερίᾳ, καὶ πᾶσιν ἡττημένος τῆς τοῦ ἐχθροῦ τύχης, καὶ τάχους, καὶ τόλμης, ὁ μέχρις ἐκείνου, καὶ τοῦτ' ἐστὶ μέχρι πολλοῦ, στρατηγικώτατος καὶ δραστικώτατος καὶ εὐτυχέστατος ἄνθρωπος καταστρέφει πάντ' ἀθλιώτατος ἐπ' ἀλλοτρίοις φυγὰς ὑπ' ἀνδρῶν, οἳ καὶ τοὔνομα μόνον ἔφριττον ἀκούοντες Πομπηΐου, καὶ θῖνες [37]) τὸν αὐτοῦ νεκρὸν καὶ Αἰγύπτου ψάμαθος αἰγιαλίτης [38]) ἐκάλυπτεν, οὗ πᾶσαν ἐπέσχε καὶ διέδραμεν ἡ μεγαλοδοξία πομπικῶς τὴν οἰκουμένην, καὶ κατεθριάμβευε πάσης ἀκοῆς αἰδοῖ πάσῃ καὶ σεβασμῷ τοὔνομα,

---

56) ἀλιτ. C. Mon. ἀλιτήριον.

57) θῖνες, C. Mon. θίνες.

58) αἰγιαλ. leg. αἰγιαλῖτις.

καὶ ἦν οὐδὲν αὐτῷ πλέον, ἢ εἰ τριῶν ἀξιούμενον δραχμῶν ἀνδράποδον τελευτῆσαν ἐπέμπετο τῇ γῇ. Καῖσαρ δὲ τοσοῦτον ὑπεραρθεὶς τῇ τύχῃ καὶ τοῖς πράγμασι, καὶ μοναρχήσας ἤδη λαμπρῶς τῆς τοσαύτης Ῥωμαίων ἡγεμονίας, καὶ γενόμενος ἐπ᾽ ἀσφαλοῦς [39]), ὡς ᾤετο, τὸ λοιπὸν [40]), πάντων ἐκποδὼν γεγονότων τῶν ἀντιπραττόντων καὶ ἀντιπράττειν ὅλως ἐχόντων ἀνδρῶν, καὶ τοσοῦτο λιπὼν τῆς οἰκουμένης ὑπ᾽ ἀνθρώπων γῆς ἔξω τοῦ κατ᾽ αὐτόν τε καὶ τὴν Ῥωμαίων ἀρχὴν κράτους, ὅσον βραχὺν εἶναι πόνον αὐτῷ, καὶ βραχέος ἔργον χρόνου δουλώσασθαι, καὶ περινοῶν ἤδη τοὺς Πέρσας καὶ τοὺς Ἰνδοὺς, καὶ εἴ τι λοιπὸν τῶν ἑῴων, ἀφορμὰς θριάμβων καὶ προςθήκην τῇ δόξῃ, βραχὺν ἐπιβιώσας τῇ κατὰ Πομπηΐου νίκῃ τὸν χρόνον, καὶ τοῖς λογισμοῖς τῶν ἑξῆς τροπαίων καὶ τῆς ἀσείστου λοιπὸν ἀρχῆς καὶ τῆς εὐδαιμονίας μετουπολὺ κατὰ μέσην ἐσφάττετο τὴν σύγκλητον προδεδομένος τάχιστα τῇ τύχῃ, καὶ τῆς αὐτοῦ περινοίας παντάπασιν ἀναξίως [41]) καὶ ἀσυνέτως καὶ ἀλογίστως κομιδῇ τῶν καθ᾽ ἑαυτὸν ὑπ᾽ ἀνδρῶν, ὧν οὐκ ᾠήθη ποτ᾽ ἂν ὀλιγωρηθῆναι, καὶ καθιερεύετο παιζούσης τὰ εἰωθότα τῆς τύχης ὥςπέρ τι σφάγιον νόμιμον καὶ καλλιέρημα πρὸς

---

39) ἐπ᾽ ἀσφ. C. Mon. ἀπ᾽ ἀσφαλοῦς.

40) τὸ λοιπ. Cdd. Aug. et Mon. modo λοιπόν. Vltima syllaba voc. ᾤετο occasionem dedit omittendi vel addendi τό.

41) ἀναξ. C. Mon. ἀξίως, quod vero aduersatur viciniae verborum.

τοῖς ποσὶ τοῦ κατὰ τὸ βουλευτήριον ἀνδριάντος τοῦ Πομπηΐου ἑστῶτος αὐτοῦ κατακαινόμενος αὐτὸς τῇ γῇ καὶ σποδούμενος, καὶ φοινίσσων τοὔδαφος [42]), οὗπερ ἐκεῖνος ἀνεῖχεν, αἵμασι τοῖς αὐτοῦ, ὁ πρὸ βραχέος ἄθλιον αὐτὸν διώκων Πομπήϊον, καὶ τύχης ἐρημίᾳ πάσῃ μανθάνων πρὸς ἐρήμοις ἀκταῖς Αἰγύπτου φονευόμενον καὶ θαπτόμενον, καὶ κατοικτιζόμενος τἀνδρὸς τὴν δόξαν. Ἀντώνιος δὲ μετὰ τὰς τοῦ Καίσαρος σφαγὰς ἐπὶ τῷ θανάτῳ τἀνδρὸς τυραννεῖν Ῥωμαίων καὶ αὐτὸς ἐπεβάλετο οὐδὲν αὐτῷ προσῆκον, ἢ ὅτι ταῖς αὐταῖς φιλαρχίαις ἔνοχος ἦν εὖ μάλα, καὶ ἅμα δὴ τῷ τοῦ τεθνηκότος ἀδελφιδῷ τῷ νέῳ Καίσαρι τῶν Ῥωμαϊκῶν πραγμάτων μετὰ σφαγῶν καὶ τῶν [43]) μιαιφονιῶν, καὶ κακίστης ἁπάσης χρήσεως ἁψάμενος καὶ καταστασιάσας τὴν τοσαύτην ἀρχήν· καὶ περιγενόμενος αὐτὸς μάλιστα Βρούτου τὲ καὶ Κασσίου τῶν τοῦ Καίσαρος φονευτῶν μετ᾽ ἀρετῆς καὶ δίκης καὶ λογισμῶν ἀντιταχθέντων σωφρόνων μεγάλοις στρατεύμασι πολλῷ δευτερεύων τοῖς πᾶσιν αὐτῶν ἀνδρῶν εὐγενῶν καὶ στρατηγικῶν ἐν ἤθει φιλοσόφῳ ψυχῆς, διαλαγχάνει μετὰ Καίσαρος ἔπειθ᾽ ἑξῆς καὶ διανέμεται τὰ ἴσα τῆς [44]) τοσαύτης τῶν Ῥωμαϊκῶν πραγμάτων ἀρχῆς, καὶ δίχα διαιρεθείσης ἀπολαβὼν αὐτὸς τὴν

---

42) φοινίσ. τοὔδαφος. Plut. in Caes. 66. πολὺ καθήμαξεν αὐτοῦ (ἀνδριάντος) φόνος.

43) καὶ τῶν, in C. Mon. non comparent.

44) τῆς, C. Mon. non habet.

καλλίστην σχεδὸν ἀπόμοιραν αὐτοκρατορικῶς καὶ μοναρχικῶς ἀνέδην ἐπὶ τοσαύτῃ τῇ τύχῃ λοιπὸν ὑβρίζειν ἤρχετο καὶ κατασωτεύεσθαι κομιδῇ τῶν τῆς ἀρχῆς πραγμάτων αἴσχιστα πρὸς τοὺς τῆς Αἰγυπτίας Κλεοπάτρας ἔρωτας ἀλογιστότατα φλέγοντας κατορχούμενος, καὶ καταπροπίνων 45) ἄνδρας ἐπιφανεῖς καὶ βελτίστους, καὶ τιμιώτατα τῆς μεγάλης ἐκείνης ἀρχῆς. Ἐξ ὧν δὴ καὶ μετολίγον ἡττᾶτο κατὰ κράτος τῷ Καίσαρι πρὸς μάχην ἀντικαταστὰς ἀκαίρως, ἅμα ταῖς τρυφαῖς καὶ ταῖς βλακώδεσι τῆς φαύλης γυναικὸς γοητεύμασι καὶ καταπαιχθεὶς μᾶλλον οὐ καταγωνισθεὶς 46) τῇ τύχῃ φυγὰς εἰς τὴν γυναικωνῖτιν 47) ἀντὶ στρατηγοῦ τοσούτου καὶ αὐτοκράτορος μυριαρίθμοις μάχαις καὶ νίκαις ἐνακμάσαντος ταῖς φίλαις ἀγκάλαις τῆς καταπροδούσης αὐτὸν γυναικὸς ἐκλείετο κτεινόμενος πάσης ὀλιγωρίας καὶ τωθασμοῦ πράττων ἄξια. Καὶ τὰ μὲν ἐκ Ῥωμαίων ἡμῖν κοινῇ τε καὶ ἰδίᾳ τοσαῦτα· καὶ ἱκανῶς ἂν ἴσως ἔχοι τῇ προθέσει προσμαρτυρεῖν καὶ πιστοῦσθαι τὰ ἐξ ἀρχῆς λεγόμενα. Τί γὰρ ἔτ' ἂν εἴη πλείω κατὰ καιρὸν καταριθμεῖσθαι; Πλεῖστα μὲν οὖν ἔχοντας καὶ ὡς ἀληθῶς οὐδ' ἀριθμεῖσθαι ῥᾴδια. Ἀτὰρ δὴ καὶ παρ' Ἑλλήνων προφέρειν μὲν ἔχομεν ἔτ' ἐνταῦθα πάνυ τοι πλεῖστα, κἀκ τούτων δ' ὅμως

45) καταπροπ. Cdd. Aug. et Mon. vitiose κατατροπίνων. Infra c. 115. πόρναις καταπροπίνων κειμήλια.

46) οὐ καταγων. C. Aug. οὐταγωνισθεὶς, Mon. οὔτ' ἀγωνισθεὶς.

47) γυναικωνῖτιν, C. Mon. γυναικωνίτην.

ἐπὶ τοῖς εἰρημένοις χρησόμεθα, καὶ προςθήσομεν ἄττα δή· μηδὲ γὰρ κἀνταῦθα ῥᾴδιον, μήθ' ὅλως οἷόν τ' εἶναι ὥςπερ οὐδ' ἐπ' ἐκείνων τὰ πάνθ' ἑξῆς φέρειν, ἢ μάλιστα πλεῖσθ' ὅσα δὴ τῷ νῦν σκοπῷ τε καὶ λόγῳ, αἱρούμεθα δ' ἐκ τούτων νῦν εἶναι τῶν ἐθνῶν, ἐκ πάντων ὅμως ἔχοντες ταυτὰ προφέρειν, καὶ μηδὲν ἧττον· ἐπὶ πάντων γὰρ ὁμοίως τῶν ἀνθρωπίνων ὡσαύτως ταῦτα συμπτώματα καὶ γνώμαις καὶ ἤθεσι, καὶ ταῖς τῆς τύχης ἀλογίστοις καὶ ἀβεβαίοις φοραῖς καὶ μεταφοραῖς, τοῦτο μόνον ἑστὼς ἐχούσης κατὰ πάντων ἀνθρώπων κοινὸν τὸ παρὰ πᾶσιν ὡσαύτως ἀνίδρυτον, καὶ μήποτε μηδέ τινα τρόπον ὅλως πιστόν τε καὶ ἄσειστον. Αἱρούμεθα δ' οὖν ἐκ ταύτων, ὅτι τὰ τῶν Ἑλλήνων καὶ Ῥωμαίων ἡμῖν μάλιστα παρέπεμψεν ἡ φωνὴ συνήθης, κἀντεῦθεν ἔχομεν χρῆσθαι τιμῶντες τοὺς ἱστοροῦντας καὶ συγγραφομένους ἄνδρας ἐκ μακροῦ φίλους, καὶ πολλῶν ἀγαθῶν εὐεργέτας ἡμῖν, καὶ τῆς περὶ τὴν γλῶτταν εὐγενείας καὶ χάριτος, κἂν τούτῳ δὴ τιμῶντες ἔοικε τὸ μνήμης ἀξιοῦν καὶ λόγου τὰ παρ' αὐτῶν ἱστορούμενα, ἐπεὶ βουλομένοις καὶ παρ' ἄλλων ἐθνῶν χρῆσθαι ῥᾷστ' ἔξεστι χρῆσθαι. Καὶ οὐ λέγω πάλαι μόνον καὶ ἃ τῇ μνήμῃ πόῤῥωθεν τηρεῖται καὶ ταμιεύει πᾶσιν ἔθνεσιν ὁ χρόνος, ἀλλὰ καὶ νῦν ὡς ἔστιν ἑκάστοτε καθορᾶν, καὶ οὔποτ' ἐλλείπει τῶν χρόνων, πᾶσα πίστις τοῖς νῦν λεγομένοις ἐκ πάντων ἐθνῶν, οἷς ξυλλαγχάνειν ἔχομεν, καὶ καθορᾶν καὶ μαν-

θάνειν τὰ σφέτερ' αὐτῶν ταῖς αὐταῖς ἀγωγαῖς καὶ παραπλησίαις ἐπὶ πάντων ἀνθρώπων τε καὶ πραγμάτων ἐνεχόμενα, καὶ οὐδὲν μᾶλλον οὐδ' ἧττον τοῖςδε ἢ τοῖςδε, καὶ οὐδὲν μᾶλλον οὐδ' ἧττον ἐν τοῖς πρότερον χρόνοις, ἢ τοῖς νῦν αἰρουμένους ἐκ τοῦ ἀδοκήτου πάντας ἀνθρώπους εἰς μέγα ταῖς ἀτεκμάρτοις τῆς τύχης πεττείαις ἢ παιδιαῖς, καὶ ξυμπίπτοντας αὖθις αὐτόθεν, ἢ ταῖς αὐταῖς ἀλογίαις καὶ βασκανίαις, ὡς εἰπεῖν, τῆς τύχης, ἢ ταῖς σφετέραις αὐτῶν νόσοις καὶ ὕβρεσιν, αἳ δὴ καὶ μάλιστ' εἰώθασιν ἐπὶ ταῖς εὐπραγίαις ἕπεσθαι, καὶ μάλιστ' ἐπὶ ταῖς μάλιστ' εὐπραγίαις, καὶ πλεῖν ἢ κατ' ἐλπίδας ἀνθρώπων ἕπεσθαι. Καὶ τὰ [48]) μεγάλα γὰρ ἔργα, καὶ αἱ ἀπὸ τῆς τύχης κατὰ τὸν βίοτον εὐφορίαι πεφύκασιν ὡς τὰ πολλὰ τὰς ἀνθρωπίνας ἐξιστᾷν γνώμας καὶ τρέπειν εἰς ὕβρεις καὶ στάσεις [49])· ἀλλ' ἵνα μὴ μηκύνω τρίβων ἐνταῦθα, φέρε δὴ καὶ τὰ παρ' Ἑλλήνων ἐπισκεπτέον. Εἰσὶ μὲν οὖν ἅπαντα τὰ κατὰ τοὺς Ἕλληνας ἐξ ἀρχῆς ὀλίγα τῇ τύχῃ, καὶ μὴ μεγάλοις τοῖς ἐκ τῶν πραγμάτων καὶ ἀμαξιαίοις δή τισι κατὰ τὴν παροιμίαν τοῖς ὄγκοις καὶ μεγέθεσιν εὐσωματοῦντα καὶ σφριγῶντα σαφῶς ἐπὶ τῆς οἰκουμένης καὶ κατὰ πολλῶν ἀνθρώπων ἀκμάζοντα. Ἡ δὲ κατὰ τὸ εὐπραγεῖν ὅμως ἕξις καὶ

48) τὰ, omissum in C. Mon.

49) στάσεις: inde Cdd. Aug. et Mon. inserunt: ἐντεῦθεν καὶ φθορᾶς πάντως ἀποτιχευτήσεις· ἀλλ' ἵνα etc. C. Mon. φθορὰς πάντας dat pro φθορᾶς πάντως.

τοὐναντίον ἐπίσης πέφυκε δείκνυσθαι, καὶ τἀνάλογον ἔχειν ἐν μεγάλοις τε καὶ μικροῖς τοῖς πράγμασι, καὶ τὸ εὐτυχῶς φέρεσθαι καὶ εὐδαιμονεῖν [50]), καὶ αὖ πάλιν πράττειν ἀθλίως, ἐφ' οἷς ἔτυχεν ἕκαστος ξυνεῖναι τοῖς κατὰ τὸν βίον, ὅπως ἄρ' ἔχοι μεγέθους, ὁρᾶται. Καὶ τοίνυν ἐφορωμένοις γε πᾶσιν ἔξεστιν οἶμαι λογίζεσθαι, καὶ τὰς ἐν μικροῖς πράγμασι καθ' Ἕλληνας, ἢ κατ' ἄλλ' ἄττα τῶν ἐθνῶν χορείας ἐν ἀστασίᾳ συνήθεις καὶ μεταβολὰς ἀμέλει τῆς τύχης μηδὲν ἧττον, ἢ καὶ τὰς ἐν μεγάλοις πράγμασι παρ' ἄλλοις ἀναδειχθείσας ἔθνεσι. Λακεδαιμόνιοι μὲν οὖν εὐθὺς μετὰ τὰ Περσικὰ [51]) πρωτεύειν ἐπιβαλόντες τῶν Ἑλλήνων καὶ τῆς κατ' αὐτοὺς ἀρχῆς μεταποιούμενοι, καὶ τῶν κατὰ θάλατταν πραγμάτων ἁπτόμενοι τῶν μὴ προςηκόντων σφίσιν, ἐδόκουν τάχιστα τοῖς Ἕλλησιν ἀντιποιεῖσθαι, καὶ καθ' ἑαυτοὺς εὐνομούμενοι καὶ ζῶντες ἐν κόσμῳ καὶ σωφρονικῶς τε καὶ μετρίως, εἰ δή τις καὶ ἄλλη πόλις τῶν Ἑλληνίδων, τὰ κοινὰ τῶν Ἑλλήνων καὶ τὸ μετὰ τῶν πολλῶν συνεξετάζεσθαι καὶ προΐστασθαι πολλῶν ἑωρῶντο παντάπασιν ἀναρμόστως [52]) ἔχειν, καὶ ἀνικάνως αὐτοὶ πεφυκέναι. Ταῦτ' ἄρα τῷ Παυσανίου κόμπῳ κατὰ τῆς ἑλληνικῆς ἐλευθερίας καὶ τῇ μανιώδει χρήσει τῶν πραγμάτων

50) εὐδαιμ. C. Mon. δαιμονεῖν.

51) μετὰ τὰ Π. C. Aug. μετὰ Περσικά, Mon. iunctim μεταπερσικά.

52) ἀναρμ. C. Aug. ἐναρμόστως.

καὶ ὕβρει τὴν ἡγεμονίαν ἀφῃροῦντο τῶν Ἑλλήνων, καὶ τῇ μὲν ἀληθείᾳ πάνυ τοι μὴ κατὰ γνώμην αὐτοῖς [53]) ὄν, ἀλλ᾽ ἄκοντες· ἐδόκουν δ᾽ ὅμως τὸ μέρος καὶ αὐτοί γ᾽ ἑκόντες συντίθεσθαι, καὶ τῆς προστασίας τῶν Ἑλλήνων Ἀθηναίοις ὑπεξίστασθαι, ὡς ἄρ᾽ ἀλυσιτελὲς ὂν αὐτοῖς εἰς τὰ κοινὰ Λακεδαιμονίοις, καὶ ἀληθῶς γε τοῦτο, τοὺς τῆς Σπάρτης νομίμως κατὰ Παυσανίαν, καὶ τοὺς ἐξ Ἡρακλέους ἐπὶ ῥητοῖς ἄρχοντας, μείζονος ἐπιστατεῖν τύχης καὶ κράτους, ἢ κατὰ τοὺς τεταγμένους ἐν σφίσιν ὅρους. Ἀθηναῖοι δὲ μετὰ Λακεδαιμονίους τὰ τῶν Ἑλλήνων δεξάμενοι πράγματα καὶ τὴν ἀρχὴν, μέχρι μὲν δή τινος ἐδόκουν κοινωνικοί τινες εἶναι, καὶ δεξιῶς πεφυκέναι πρὸς τὴν ἀρχὴν τῷ τάχει τε τῆς γνώμης καὶ δραστικῷ, καὶ ἅμα χαρίεντι καὶ φιλοκοίνῳ [54]) τῶν ἠθῶν καὶ τῶν πολιτευμάτων, ἀλλ᾽ οὐκ ἀήθει, μηδ᾽ ἰδιοπραγοῦντι [55]) κατὰ Λακεδαιμονίους. Εἶτα τῆς τύχης ἐπιδιδούσης αὐτόθεν αὐτίκα λοιπὸν ἤρχοντο μέγα φρονεῖν καὶ στασιάζειν πρὸς ἑαυτοὺς, ὡς ἔθος ἀτεχνῶς τοῦτο πᾶσιν ἀνθρώποις, καὶ φύσεως ἀπαραίτητον, ὡς εἰπεῖν, ἁμάρτημα, καὶ πρὸς τοὺς ἐπιτηδείους, καὶ ὧν ἄρα προνοεῖν τἀσφαλὲς καὶ τὴν [56]) ἐλευθερίαν ἦν σφίσι τὸ πρόσχημα ὕβριζον ἀηδῶς παντάπασι χρώμενοι, καὶ ὅσα δυοῖν

---

53) αὐτοῖς, male C. Mon. αὐτῆς.

54) φιλοκ. C. Mon. φιλονείκῳ, in margine γρ. φιλοκοίνῳ.

55) ἰδιοπρ. C. Mon. δυσπραγοῦντι.

56) τὴν, C. Mon. εἰς τήν.

ἢ τριῶν ὀβολῶν ὠνητοῖς ἀνδραπόδοις, ὥςτε καὶ συνῆψαν ἅπαντας τάχιστ᾽ ἐφ᾽ ἑαυτοὺς, καὶ τῆς γῆς ἀφεῖντο καθάπαξ καὶ τῶν πεζῶν στρατευμάτων, καὶ προὔκειτο τοῖς [57]) ἐκ Πελοποννήσου καὶ Βοιωτίας καὶ πάσης ἑλληνικῆς ἡ Ἀττικὴ καταδρομῆς χώρα ἁρπάζειν, κάειν [58]), πάντα φθείρειν τρόπον μέχρι καὶ τῶν προπυλαίων, αὐτῶν τῆς πόλεως ἀγρῶν, αὐτοὶ δὲ καθάπαξ ἑαυτοὺς τῇ θαλάσσῃ καὶ ταῖς ναυσὶν ἐπίστευον, οὐκ ὂν αὐτοῖς ἄλλως βιώσιμον. Κἀνταῦθα δὴ μέχρι τινὸς ἀντισχόντες, ἢ καὶ πλέον ἴσως τῶν ἐναντίων φερόμενοι τοῖς σωφρονικοῖς συμβούλοις ἀγόμενοι, ἔπειτ᾽ αὖθις, ὡς ἐπέδωκαν τῇ ὕβρει, καὶ παρέδωκαν σφᾶς [59]) αὐτοὺς ταῖς ἀλογίστοις γνώμαις καὶ διεφθορόσιν ἀνθρώποις, καὶ μηδὲν ἐχούσαις μέτριον ἐπιβολαῖς, καὶ περιενόουν [60]) τὰ μὴ προσήκοντα, μηδ᾽ ἀσφαλείας ἐχόμενα, μήθ᾽ ὅλως πρὸς τὰς ἀποτυχίας τῶν ἐπιχειρήσεων καὶ τῶν ὁρμῶν ἀφεώρων, εἰς τοὺς ἐσχάτους κατέστησαν κινδύνους, καὶ τοσαῦτ᾽ ἐδυστύχησαν, ὥςτ᾽, εἴ τις ἂν προὔλεγε περὶ αὐτῶν, ὡς ἄρα τοσαῦτα παθεῖν οἷοί τ᾽ εἰσὶ καὶ [61]) μάλ᾽ ἀρκοῦντες, οὐκ ἂν εἶχε τοὺς πειθομένους, οὐδ᾽ ἐδόκει τὰ ὄντα λέγειν, ἀλλὰ πόῤῥω δὴ μά-

57) τοῖς, Cdd. Aug. et Mon. τῆς.

58) κάειν, C. Mon. καίειν.

59) σφᾶς, C. Mon. τῆς σφᾶς: Aug. τῆς σφᾶς.

60) καὶ περ. C. Aug. ἐπεριενοῦν.

61) καὶ, deest in Cdd. Aug. et Mon.

λιστα φύσεως ἔργων τε καὶ δυνάμεως. Τελευτῶντες δε μὴ μόνον τὰς ἀρχὰς καὶ τὸ πρωτεύειν ἀπώλεσαν, ἀλλὰ καὶ τὴν ἐλευθερίαν αὐτὴν, καὶ τὰ τείχη κατασκάψαντες χερσὶν οἰκείαις τῆς πόλεως ἐξ ἐπιτάγματος Λακεδαιμονίος ἐδούλευον, καὶ ἐτυραννοῦντο κακίας ἐξαιρέτοις ὀλίγοις ἀνθρώποις ἀφ' ἑαυτῶν, καὶ πολλοῖς τῶν τραγῳδῶν ἀφορμὰς θρήνων καὶ δραμάτων ἐμπαθῶν ἐχορήγησαν, θαυμασθέντες καὶ περιλαληθέντες οὐχ ἧττον ταῖς συμφοραῖς, ἢ τοῖς πρὶν κατορθώμασι τῆς τύχης τε καὶ τῆς γνώμης καὶ τῆς χειρός. Λακεδαιμόνιοι δ' αὖθις ἐπὶ τῶν ἑλληνικῶν πραγμάτων γενόμενοι καὶ μετὰ πλείονος παῤῥησίας καὶ κράτους ἀκμαιότερον ἄρχοντες, καὶ αὖθις ἦσαν ἐν τοῖς αὐτοῖς ἀναιδεῖς μάλιστ' ἄνθρωποι καὶ ἀποπεφυκότες τῷ ἄρχειν καὶ ἀμειδεῖς καὶ αὐθάδεις καὶ θρασύτερον εἴχοντο τῆς ἀρχῆς καὶ 62) *βί' ἀνέδην, καὶ τυραννίδι τῶν Ἑλλήνων ἐπειρῶντο, καὶ ὕβριζον πλεῖν ἢ πρότερον κατὰ τῆς αὐτῶν ἐλευθερίας, καὶ ταῖς φαύλαις καπηλῖσι σοφοῖς ἀνδράσιν εἰκάζοντο κομψότερον, ὡς ἄρα καλλίστου τὴν ἀρχὴν καὶ ἐν προοιμίοις ἐγχέαντες τοῖς Ἕλλησι τῆς ἐλευθερίας ἀπ' Ἀθηναίων καὶ γεύσαντες πόματος, εἴτουν ὀνόματος καὶ χρήσεως ἐπιθυμουμένης· εἶτα δολίως κατεκίρνων* 63) *σφίσιν ὀξίνην*

62) *καὶ*, Cdd. Aug. et Mon. non exhibent.

63) *κατεκίρνων.* C. Ciz. habet super κα scriptum με. Sic legit C. Mon. *μετεκίρνων*, Aug. *με κατεκίρνων.* Voc. *μετακιρνάω* Stephan. ignorat, et Schneid. dubium vocat.

καὶ ἐκτροπίαν, καὶ δριμύτατον οἶνον δουλώσεως καὶ βίας μάλιστ᾽ ἀλογοῦντες, καὶ πάσης ὑπερφρονοῦντες δικαιοσύνης, καὶ ἰσότητος καὶ διοικήσεως εὐγενοῦς. Καὶ διεβέβληντο μὲν Κορινθίοις τὸν ἀεὶ πρότερον χρόνον πιστοτάτοις καὶ φίλοις ἀνδράσιν, ἐμισοῦντο δ᾽ Ἠλείοις, ἐμισοῦντο δ᾽ Ἀχαιοῖς, κατ᾽ Ἀργείων δ᾽ ἐστράτευον. Κατεῖχε δ᾽ ἐν παρόδῳ παρὰ πᾶσαν δόκησιν τὴν Καδμείαν [64]) Φοιβίδας, καὶ τυραννικὴν δουλείαν καὶ πολέμους ἀπαύστους κατὰ Θηβαίων ἐπετίθεντο, καὶ πάντα πράγματα, συνελόντ᾽ ἐρεῖν, κατὰ πάντων Ἑλλήνων βιαίως ἐκίνουν· καὶ μερισθέντες δι᾽ Ἀγησιλάου πόῤῥω τῶν οἰκείων ἐπ᾽ Ἀσίας κατὰ βαρβάρων στρατεύματ᾽ ἔπεμπον, καὶ στόλους [65]) θαλάττης καὶ ναυμαχίας, καὶ τόλμας ταύτας, καὶ πράξεις ὄντως ἀξιολόγους ἐπὶ Πέρσας ἐνόμιζον ὑπὲρ τῶν Ἑλλήνων, μή ποθ᾽ ἱκανῶς ἔχοντες ἀμφότερα, καὶ κατ᾽ αὐτῶν φιλονεικεῖν καὶ ὑβρίζειν, καὶ ὑπὲρ αὐτῶν κατὰ τῶν κοινῶν ἐχθρῶν μάχας ἀνῃρῆσθαι καὶ νίκας. Ἐξ ὧν δὴ καὶ τάχιστ᾽ αὖθις ὑψωθέντες τέως, ὡς οὔποτε πρότερον, οὐ τῶν πραγμάτων μόνον ἐξέπιπτον καὶ παρῃροῦντο τὴν ἀρχὴν αὖθις, ἀλλὰ καὶ τοῖς ἐσχάτοις αὐτοῖς ἐκινδύνευον, καὶ περὶ τοῦ ὅλως εἶναι καὶ βιοῦν ἐν ἀνθρώποις. Ἐγένοντό τε ἐπ᾽ Ἀγησιλάου καὶ τῆς αὐτοῦ βασιλείας μέγιστοι τῶν τότε καὶ ἀεὶ πρό-

64) Καδμείαν, C. Mon. Καδμείας.
65) στόλους, C. Aug. στόλον.

τερον Ἑλλήνων ἁπάντων, καὶ μεγαλοδοξότατοι, καὶ μέγιστ᾽ αὐτίκα τηνικαῦτ᾽ ἔπταισαν, καὶ μικροῦ παντάπασιν ὤλοντ᾽ ἂν ἐξ ἀνθρώπων μετὰ τὴν ἐν Λεύκτροις Θηβαίων κατ᾽ αὐτῶν ἀδόκητον νίκην καὶ μεγίστην τῶν ἑλληνικῶν, καὶ μέγιστον πτῶμα τῇ Σπάρτῃ καὶ τοῖς Λακεδαιμονίοις ἐνεγκοῦσαν πράγμασιν ὑπὸ τῆς Ἐπαμεινώνδου φιλοτιμίας καὶ φιλονεικίας ἐπαρθέντος τολμήμασι μεγίστοις κατὰ τῆς Λακωνικῆς [66] καὶ μίσει καὶ φθόνῳ κατ᾽ αὐτῆς ἁπάντων τῶν Ἑλλήνων ὑπερβαλλόντως φλέγοντι. Καὶ μὴν ἔπειτ᾽ αὖθις λαμπροὶ ταῖς εὐτυχίαις ᾔροντο Θηβαῖοι, καὶ ταχεῖς ὑπερεφρόνουν ἑαυτοὺς, καὶ τὰ τῶν Ἑλλήνων ὑπεποιοῦντο καθόλου, καὶ μέτριον οὐδὲν λοιπὸν ἦν ἐν αὐτοῖς, καὶ κατεγελῶντο μᾶλλον τῆς τόλμης, ἢ ἐβασκαίνοντο. Καὶ ἀηθὲς ἐδόκει πρᾶγμα καὶ χλεύης ἄξιον, Θηβαῖοι τῶν Ἑλλήνων ἀρχικῶς ἀντιποιούμενοι. Καὶ ἦν μὲν αὐτοῖς πλέον ἐντεῦθεν οὐδὲν, ἢ ὅτι συνήπτοντο πάλιν ἐπ᾽ αὐτοὺς Ἀθηναῖοι καὶ Λακεδαιμόνιοι, καὶ πάντες Ἕλληνες. Καὶ πολὺς οὐκέτι πω χρόνος ἑξῆς καὶ Φίλιππος ἐπιφύεται τοῖς Ἕλλησι, καὶ τὰ μὲν ἀπάταις καταστασιάζων κατεπιορκῶν [67] αὐτοὺς, τὰ δὲ καὶ στρατηγίαις ὑποποιούμενος λανθάνει τὸ κράτος τοῦ [68] Ἑλληνικοῦ ποιησάμενος ὑφ᾽ ἑαυτῷ. Καὶ πρῶτοι

66) Λακων. C. Mon. Λακωνικοῖς.

67) καταστ. κατεπιορκῶν; sine dubio post καταστ. excidit καί.

68) τοῦ, C. Aug. τούτου.

μάλιστα τῶν ἄλλων Ἑλλήνων Θηβαῖοι κακῶς ἔπραττον, καὶ βίοτον ἐπικινδυνότατον ἦγον. Καὶ Φίλιππος αὐτὸς ὑβρίσας μάλιστα κατὰ τῆς Ἑλλήνων ἐρημίας καὶ στασιώδους ἀγωγῆς, καὶ μέγιστα λοιπὸν ἤδη περινοῶν, καὶ ταῖς τοῦ υἱέος ὁρμαῖς καὶ τόλμαις αὐτὸς τὰς ἀρχὰς ὑποθέμενος, ἅτε κατὰ νοῦν αὐτὸς παραπλήσια θέμενος [69]), ἐκτείνετο κακὸς κακῶς ἐν συμποσίοις μέσοις ἀξίως τῆς τοῦ βίου βακχείας καὶ ὕβρεως· καὶ πρῶτον Ἀλεξάνδρου λοιπὸν στρατήγημα Θηβαίων πανώλεια καὶ κατασκαφαὶ καὶ μηλόβοτον [70]) σφίσι θέσθαι τὴν χώραν, οὐ πόῤῥω πάνυ τοι τῶν κατ᾽ αὐτοὺς εὐτυχημάτων, καὶ τοῦ μεγάλου φρονήματος ἐπὶ ταῖς Ἐπαμεινώνδου στρατηγίαις, καὶ τῇ μεγάλῃ δόξῃ. Καὶ πάντ᾽ ἐναλλὰξ τὸν ἀεὶ τοῦ βίου χρόνον ἀνθρώποις περιχορεύει· ἐκ ταπεινῶν ὑψοῦνται δή τινες ἢ ξυντυχίᾳ δή τινι, ἢ καὶ γνώμης καὶ ἀρετῆς δή τινος κράτει, κἀντεῦθεν αὖθις ἢ βασκανίᾳ τινὶ τύχης, ὡς εἰπεῖν, καὶ ἀλογιστίᾳ καὶ ἀπιστίᾳ, ἢ μάλισθ᾽ ὑβρίζοντες. Καὶ τοῦθ᾽ ὡς τὰ πολλὰ πέφυκεν ἐπὶ ταῖς εὐπραγίαις ἀνθρώπινον ἁμάρτημα, καὶ κατασωτευόμενοι καὶ ἀσελγαίνοντες ταῖς εὐπραγίαις καὶ ἢ ἀνευλαβῶς [71]) ἢ ἀμελῶς λοιπὸν χρώμενοι, καὶ νοσοῦντες ὑπ᾽ ἀπληστίας τὲ καὶ ἀπειροκαλίας καταστρατηγοῦν-

---

69) ἅτε κατὰ — θέμενος, in C. Aug. desiderantur.

70) μηλόβ.. C. Mon. μηλόβατον.

71) καὶ ἢ ἀνευλ. Cdd. Aug. et Mon. ἢ καὶ ἐνυλαβῶς.

ται καὶ πίπτουσι μέγιστα καὶ χαλεπώτατα πτώματα βασκανίαις ἐφέδροις[72]) καὶ πρὸς ἀλλήλους στασιασμοῖς, καὶ τῶν ἁρπαζόντων τἀλλότρια κακὰ πρὸς τὸ παρακερδαίνειν ὁπηοῦν λαθραίαις καὶ φανεραῖς ἐπαναστάσεσι καὶ ἀντιπράξεσιν.

ΚΕΦ. ξή.

Ὅτι οὐκ ἔστιν ὅλως ἐν ἀνθρώποις ὁμοφροσύνη.

Πάνυ τοι θαυμάζειν ἔπεισί μοι, καὶ ἅμα ἀνιᾶσθαι συννοουμένῳ, πῶς οὐκ ἔστιν ὅλως ἀνθρώποις συμφωνία περὶ τοῦ καλοῦ, ἀλλ' ἄλλος ἄλλως κρίνοντες ἰδίᾳ πάντες πρὸς ἅπαντας, πολλάκις δὲ καὶ πρὸς ἑαυτὸν ἄλλως ἕκαστος ἢ πρότερον, ἢ μεθ' ὕστερον, καὶ μηδ' ἑαυτῷ συμφωνῶν μεγάλα πράγματ' ἀλλήλοις ἐντεῦθεν παρέχονται, καὶ ἀντιπράττουσιν[1]) ἀλλήλοις ἐν λόγοις καὶ πᾶσιν ἔργοις καὶ δυσχεραίνουσι, καὶ πάντ' ἐπιτιμητικῶς τίθενται καὶ εὐθύνουσι κομιδῇ, καὶ κακηγοροῦσι τὰ πραττόμενα, καὶ ἀντὶ τοῦ συμπράττειν ὁμονοοῦντες καὶ συναιρεσθαι τῇ προκοπῇ τῶν ἀγαθῶν ἑκάστοτε καὶ βελτίστων ἐπὶ τοῖς ἀνθρωπίνοις καὶ κοινοῖς πράγμασι τἀναντία ἀλλήλοις αἱροῦνται καὶ ἀντιφέρονται, καὶ ἢ κατολιγωροῦσιν ἐπὶ ταῖς τῶν καλῶν ἐνεργείαις πᾶν τὸ γιγνόμενον οὐκ ἀποδι-

---

72) ἐφέδρ. Cdd. Mon. et Aug. ἀφέδροις.

1) ἀλλήλοις — ἀντιπράττουσιν, omisit scriptor Cod. Mon. aberrans, vti fit saepius, a priori ἀλλήλοις ad posterius.

δόντες, ὡς ἄρα καὶ μάλιστ' ὀφείλεται καὶ ἐχρῆν ἕκαστον, ἢ καὶ στασιάζουσιν ἀνέδην καὶ καταστρέφουσιν, ἢ παντὶ τρόπῳ κολούουσι τὸν τοῦ καλοῦ δρόμον καὶ τὴν εὐετηρίαν διὰ τὰς πρὸς ἀλλήλους καὶ πρὸς αὐτὸ γνώμας ἀσυμφώνους, καὶ φιλονείκους ἀντιθέσεις, ἢ τό γε δεύτερον τὸ ἀνεπιμέλητον αὐτοῦ. Πρὸς ὃ πάντων ἅπασα σπουδὴ πρὸ πάντων ἄλλων πραγμάτων ὀφειλόμενόν ἐστιν, ἥπερ ἔφην, καὶ πάντα συναίρεσθαι, καὶ πάντα τρόπον ἐπείγεσθαι μεθ' ὁμοφροσύνης πάσης καὶ ζήλου καὶ ῥωστώνῃ χρώμενον, καὶ καμάτου παντὸς μὴ φειδόμενον, ἵνα μηδὲν προσκόπτῃ, μηδ' ἐπέχηται τὰ λυσιτελῆ τῷ βίῳ, καὶ ἑκάστοις ἑκάστοτε βέλτιστα καὶ κατὰ καιρὸν ἐπίχρεια. Ὃ μάλιστ' ἐν τῷ βίῳ καὶ κατ' ἀνθρώπους ὁρᾶται, καὶ τἀγαθὸν ἀμφίβολον τοῖς πολλοῖς ἐντεῦθεν δοκεῖ, καὶ ἀσύνετον, ὥστε καθάπαξ καὶ ὁλοσχερῶς αὐτῷ χρῆσθαι. Καὶ οὔτε λόγοι σοφῶν ἀνδρῶν πάλαι τε καὶ ἴσως μηδὲν ἧττον νῦν εἰς τοῦτο δύνανταί τι, καὶ πείθειν ἔχουσι καὶ καταλύειν τὰς ἀπαύστους τῶν πολλῶν στάσεις εἰς τοῦτο, καὶ φιλονεικίας καὶ μάχας, καὶ καταλλάττειν τοὺς ἀντιφρονοῦντας καὶ ἀντιπράττοντας, καὶ πλεῖστα δὴ μεριζομένους εἰς τὴν ὁμογνωμοσύνην τῆς ἐπιμελείας τἀγαθοῦ, καὶ τῶν καθόλου κοινῶς συνοισόντων καὶ πραττομένων, πᾶσαν, εἰ μέλλει καλῶς ἔχειν τἀνθρώπινα, καὶ παρὰ πάντων σπουδὴν καὶ σύμπραξιν· οὔτ' ἀρχόντων[2])

2) οὔτ' ἀρχ. C. Mon. οὔτ' ἄρχειν, in ora γρ. ὄντ' (οὔτ') ἀρχόντων.

ἐπιτολαὶ[3]) καὶ δόγματα συνάπτουσιν εἰς τὴν περὶ τοῦ καλοῦ νομοθεσίαν, οὐδ᾽ ὁμοφροσύνην ἐμποιοῦσι καὶ κοινωνίαν συνέσεώς τε καὶ ἐπιμελείας περὶ τῶν καθόλου καλλίστων καὶ κοινῇ βελτίστων, ἀλλ᾽ ἀνήνυτα σπουδάζουσιν ἕλκοντες. Καὶ σύνδεσμον γνώμης εἰς τὸ καλῶς καὶ ὁμοῦ ξυνέπεσθαι τοὺς ἀρχομένους οὐχ οἷοί τ᾽ εἰσὶ κατασκευάζειν ἐπιτάττοντες, οὐδὲ συντάττειν εἰς μίαν ἕξιν ταυτογνωμοσύνης καὶ εὐπειθείας τοῦ καλοῦ, ἀλλ᾽ ἄλλην μὲν ᾄδουσιν ἐξ ὑπερτέρων συμφωνίας ἀρχὴν οἱ προϊστάμενοι[4]) τῶν πραγμάτων, καὶ τὴν δικαίωσιν τῆς ἀρχῆς αὐτοὶ μάλιστ᾽ ἔχοντες, καὶ τῶν βελτίστων ἴσως ἐπιτυγχάνοντες, οἱ δ᾽ ἄλλην ἀντᾴδουσι, καὶ ἄλλος ἄλλην ἀσύμφωνον πρὸς τὸν ἄρχοντα καὶ πρὸς ἀλλήλους. Τοῦτο μόνον συμφώνως, ὅτι μὴ πείθονται μήδ᾽ ἕπονται τοῖς καλοῖς, καὶ οἷς νόμιμον καθάπαξ πείθεσθαι, καὶ ὡς ἔνι μάλιστα σπουδῇ πάσῃ ξυνέπεσθαι, εἰ ὁπηοῦν μέλλοιεν καλῶς πράξειν, καὶ περιγενέσθαι τῆς τῶν πραγμάτων κατὰ φύσιν ἀοριστίας εἰς τἀγαθὸν καὶ περὶ τὰ φαῦλα μάλιστα ῥοπῆς. Ταῦτ᾽ ἄρα καὶ πάντ᾽ ἄνω καὶ κάτω χωρεῖ, καὶ κατελέγχονται παραληρεῖν οἱ περὶ τοῦ ἀγαθοῦ διδάσκαλοι, κατελέγχονται δὲ παραληρεῖν ὡσαύτως οἱ τὰς ἀρχὰς ἑκάστοτε πιστευόμενοι, καὶ ταῖς

---

3) ἐπιτολαί, ab ἐπιτέλλω, sunt hic i. q. ἐντολαί, qui vsus vocabuli in Lexicis non reperitur.

4) προϊστάμ. C. Aug. προστάμενοι.

ἁμαρτίαις τῶν μὴ πειθομένων αὐτοὶ κακῶς καὶ ἀδίκως ὑπ' ἄλλων ἔξωθεν κρινόντων, καὶ αὐτῶν ἴσως ἐνίοτε τῶν μὴ πειθομένων, μηδὲ ξυνεπομένων ἐνέχονται, καὶ ὧν οὐ δύνανται, οὐδ' ἐπ' αὐτοῖς ἐστὶν, οὐδ' εἰσὶν αἴτιοι, τὰς εὐθύνας ὑπέχουσι καὶ κακῶς αὐτοὶ πράττουσι, καὶ κακῶς ἀκούουσιν, ἐφ' οἷς ἠδικοῦντο καὶ ὧν τὴν ἐναντίαν ἠπείγοντο, καὶ πάσαις ἐπεῖχον καὶ ἀντέπραττον γνώμαις καὶ χερσὶ, τὰς ἀποπερατώσεις κατηγοροῦνται, καὶ τῆς ἄλλων ὀλιγωρίας καὶ ἀλογίας τῶν βελτίστων καὶ ἀλογίας ἑαυτῶν διώκονται, καὶ δίκας ἀποφέρονται τῶν ἐναντίων τῆς γνώμης, καὶ ὧν ἔφευγον ὅλῃ ῥύμῃ κρίσεως καὶ βουλῆς, καὶ ὧν οὐκ ἔχουσι δύναμιν, αὐτοὶ δίκας πράττονται τῆς φθορᾶς, καὶ τὴν ἀταξίαν [5]) ἔχουσιν ἔγκλημα μέγιστον. Τυραννικὴ δ' ἐνταῦθα δυναστεία καὶ τὸ βιαίως ἕλκειν καὶ ἄκοντας εἰς τἀγαθὸν, καὶ τὸ συμπράττειν τὰ χρήσιμα καθόλου τε καὶ ἰδί' ἑκάστοις, ἴσως μὲν ἂν δόξειε κατὰ καιρὸν, ἴσως δ' οὔ, περὶ τὴν ἐπιμέλειαν τοῦ καλοῦ καὶ συνοίσοντος βιάζεσθαι, καὶ ἃ δὴ [6]) καθ' αἵρεσιν ἀναγκαστῶς γίγνεσθαι· καὶ οὓς μὲν ἑκόντας ἔχοι τὶς εὐποιεῖν καὶ μάλ' ἡδομένους, τῷ παντὶ βέλτιον, καὶ πολύ γ' εὐτυχὲς τῷ πρυτανεύοντι καὶ διοικοῦντι, οὓς δὲ μὴ οὕτως ἔχει τὶς, ἀλλ' ἄκοντας καὶ βίᾳ· καὶ μάλιστ' ἀντιτείνον-

5) ἀταξ. Cdd. Mon. et Aug. ἀπαξίαν.

6) ἃ δὴ, super δὴ est scriptum δεῖ.

τας εἰς τὰ λυσιτελοῦντα δόξειε μὲν ἂν καὶ αὖθις τοῦτο φιλανθρώπου γνώμης, καὶ τὸ καλὸν ἐκ παντὸς τρόπου σπευδούσης, καὶ μάλιστ' εἰ τῷ κοινῷ φέρον εἴη τοῦτ' ὄνησιν, καὶ συντέλειαν εἰς πολλῶν εὐπραγίαν, καὶ πολιτικὴν εὐεξίαν εἰς τὰ καθόλου πράγματα. Οὐ μὴν ἀλλὰ καὶ οὕτως ἐργῶδες σφόδρα καὶ παγχάλεπον ἀνύσαι· καὶ σώματα μὲν ἄνθρωποι πεφύκασι δουλοῦσθαι καὶ ἄκοντες ὅ τί ποτ' ἂν ὑφίστασθαι, γνώμας δὲ καὶ λογισμῶν καταθέσεις καὶ συμφωνίας οὐ μάλα τοι. Ταῦτ' ἄρα καὶ ἄκοντες καὶ μάλ' ἀλγοῦντες οὐκ εἰσὶν ἐπιμελεῖς ἐνεργηταὶ τοῦ καλοῦ. Ὃ μεθ' ὅτι πλείστης ἐπιμελείας οὐκ ἄλλως ἐστὶν ἀνύσιμον, καὶ προφάσεως πάσης ξυμπιπτούσης, οἷα δὴ καθόλου τἀνθρώπινα, καὶ ἣν [7]) οὐκ ἂν ὑπίδοιτό τις καὶ τῶν πάντα σοφῶν προνοεῖν καὶ κατευστοχεῖν ἐν ἀδήλοις, αὐτίκ' ἄνθρωποι τρέπονται καὶ μάλισθ' ἑτοιμότατα πρὸς τὰ χείρω. Καὶ πολλὴ γὰρ ἡ περὶ τὰ φαῦλα σχεδὸν πάντων ἀνθρώπων ῥοπὴ, καὶ πλεονεκτεῖται πολὺ μάλιστα τοῖς κακίστοις τὰ βέλτιστα πάνυ τοι κατὰ τῆς ἡμετέρας φύσεως δυναστεύουσι τῷ ἐπαγωγῷ καὶ μειλίχῳ τῆς χρήσεως. Καὶ τίς ἂν ἰατρὸς πάντας ἄκοντας ἰᾶσθαι δύναιτο, καὶ πρὸς τἀναντία φερομένους καὶ χαίροντας, ἢ φανερῶς, ἢ μάλιστ' ἀφανῶς τε καὶ κλέπτοντας· ἢ τίς ἂν κυβερνήτης πάντας τοὺς ἐν τῷ σκάφει κατατυραννῶν οἷός τ'

---

7) ἣν, sic Cdd. nostri; verum legendum ἦν.

εἴη μόνος αὐτος, ἢ καὶ ξὺν ὀλίγοις κομιδῇ τὸ σκάφος τὲ καὶ αὐτοὺς ἄγειν εἰς βέλτιστα, ἢ ἀκινδύνως· ἢν δὲ καὶ ἀντιπράττειν ἀνέδην καὶ διαπληκτίζεσθαι πρὸς τὸν ἄγοντα πλείους ὄντες ὁρμῶσι, τί τίς ἂν δράσαι; οὐ γὰρ ῥάδιον ἐπὶ πάντας δεσμοὺς καὶ πέδας ἄγειν· εἰ γὰρ καὶ βουλήσεται καὶ πειράσεται, ἴσως οὐ χαιρήσουσιν, ἀλλὰ πολὺ μᾶλλον αὐτὸς πρότερος κλαιήσει, καὶ εἴσεται μαινόμενος καὶ πράττων ἑαυτῷ κίνδυνον. Οὕτω πολὺ δυσχερὲς καὶ τὸ βίᾳ καὶ τυραννικῶς ἄγειν εἰς τὰ βέλτιστα, καὶ τὸ πειρᾶσθαι τὸν τρόπον τοῦτον οὐ μόνον ἐστὶ καματηρὸν καὶ ἀνήνυτον ὄντως ἐπιχειρεῖν, ἀλλὰ καὶ σφόδρ᾽ ἐπικινδυνότατον πειρωμένῳ. Καὶ καθόλου γε παντάπασι δυσμεταχείριστον μεταποιῆσαι γνώμας ἀνθρωπίνας, καὶ ἀντοικῆσαι καὶ ἀντειςαγαγεῖν 8) χρηστὰς ἀντὶ φαύλων, καὶ δόγματ᾽ ἀφανίσαι προενόντα ταῖς ψυχαῖς οὐκ ὀνήσιμα, καὶ ἀποκλύσασθαι τῷ καθαίροντι καὶ καινοποιοῦντι τῆς διδασκαλίας ῥυπτικῷ τρόπῳ· καὶ σμήχειν ἔσται μᾶλλον Αἰθίοπα, μετὰ τῆς παροιμίας ὡς ἀδύνατον 9) τοῦτο προβαλλομένης, ἢ χρώματα μεταλλάττειν ψυχῶν γνωστικὰ, καὶ τρόπων ἰδιότητας ἀλλοτρίας τοῦ καλοῦ δι᾽ ἀμαθίαν, ἢ φιλονεικίας ἀκαιρίαν, καὶ πάρδαλιν ἀλλάττειν τὰ κατὰ τοῦ δέρματος ποικίλματα, καὶ τοῦτ᾽ ἀδύνατον μετὰ τῆς παροιμίας ἐπεί-

---

8) ἀντειςαγ. Cdd. Aug. et Mon. ἀντειςάγειν.

9) ἀδύνατον, Cdd. Mon. et Aug. δύνατον.

γεσθαι, ἢ πολυστρόφους καὶ ποικίλους καὶ παντοίους[10]) λογισμοὺς ἀνθρωπίνους μεταποιεῖν εἰς ὁμονοητικὴν μίαν δή τιν' ἕξιν, καὶ διοικεῖν εἰς τἄμεινον, καὶ καθιστάνειν ὁμαλότητα κοινωνικὴν ἀνθρωπίνοις ἤθεσι καὶ διάθεσιν εἰς τἀγαθόν. Ἔστι μέν γε καὶ καθόλου δυσθήρατον τἀγαθὸν, καὶ οὐ τοῦ παντὸς, οὐδ' εὑρεῖν ῥάδιον ἔν τε τῇ θεωρίᾳ τῶν ὄντων, καὶ πολὺ μᾶλλον ἐν τοῖς κατὰ τὸν βίον πρακτέοις[11]) κοινῇ τε καὶ ἰδίᾳ. Καὶ τοίνυν οὐδ' ἐντεῦθεν οὐ μικρὸν ἔργον ὁμόνοιαν ἐγγίνεσθαι καὶ ὁμοφροσύνην ἀνθρωπίνοις λογισμοῖς, ἄλλων ἄλλα κρινόντων καὶ ψηφιζομένων ἐπὶ τῷ δυσλήπτῳ τοῦ πράγματος, καὶ τιθεμένων καὶ μετατιθεμένων[12]) ἄττα δὴ, καὶ περιτρεπόντων τἀλλήλων· καὶ τοῦτο πάντως οὐ παρ' αὐτό γε μονοειδὲς ὂν φύσει[13]) μάλισθ' ἁπλοῦν, ἀλλὰ παρὰ τἀνίκανον ἡμῶν, καὶ ἴσως τῶν μὲν μᾶλλον, τῶν δὲ καὶ ἧττον. Ἂν δ' ἄρα καὶ προσπαθείαις τισὶν ἐχώμεθ' ἑκάστοτε καὶ[14]) νοσοῦντες αὐτοὶ λοιπὸν ἔπειτα προσαπτώμεθα, καὶ πολυτρόπως καὶ συχνὰ προσκόπτοντες χωρῶμεν, καὶ τῶν πραγμάτων πειρώμεθα, καὶ πολλοῖς ἐπηλυγαζόμενοι τοῖς ἐπιτειχίζουσι παθήμασι φιλονεικῶμεν

10) παντ, Cdd. Aug. et Mon. παντοίας, male.

11) πρακτέοις, C. Aug. πρακταίοις.

12) καὶ μετατ. C. Mon. non habet.

13) φύσει, Cdd. Mon. et Aug. καὶ φύσει.

14) καὶ, abest a C. Aug.

ὡς ὁρῶντες εὖ μάλα, τίς ἱκανὸς ἐνταῦθα διδάσκειν; τίς προδεικνύειν τὰ βέλτιστα καὶ χειραγωγεῖν; τίς ὁμοφροσύνην τῶν ὄντων τε καὶ χρησίμων ἐμποιεῖν; ἵλῄκοις τῷ τοιούτῳ βίῳ, δέσποτ' ἀλεξίκακε καὶ σῶτερ τῶν κακῶν ἀποτρόπαιε!

ΚΕΦ. ξθ'.

Ὅτι πολὺ νοσοῦσι ταῖς προςπαθείαις ἄνθρωποι, καὶ οὐκ ὀρθῶς ὁρῶσιν.

Αἱ δὲ περὶ τας κρίσεις προςπάθειαι πολὺ τἀληθὲς ἀδικοῦσι περί τε τὰ πρακτέα κοινῇ τε καὶ ἰδί' ἑκάστοις, καὶ περὶ τὴν τῶν ἀνθρώπων βάσανον, καὶ πολυν ἐμποιοῦσι ταῖς γνώμαις καὶ τῇ τῆς διανοίας ἐποπτείᾳ τὸν πλάνον, ὥςτε μὴ κατ' ὀρθὸν φέρεσθαι, καὶ τοῦ καιρίου τυγχάνειν, ὅθεν δὴ καὶ πράττειν αἱροῦνται τἀναντία πολλάκις, ὧν δέοι ἄν, καὶ ὤναιντ' ἂν πράττοντες ἄνθρωποι, καὶ φεύγουσιν ἀμεταστρεπτεὶ καὶ ῥύμῃ πάσῃ φιλονεικοῦντες, ἐνίοτε καὶ ἀντιταττόμενοι πρὸς τοὺς ἐπέχοντας, ὧν μάλιστ' ἀντιποιητέον ἐστὶν αὐτοῖς, καὶ σπουδῇ πάσῃ καὶ πόνοις πᾶσιν, ὡς οἷόν τέ ἐστιν, ἐπιμελητέον, πάντα κάματον ἀνθαιρουμένους ὑπὲρ αὐτῶν. Πράττουσι δὲ ταῦτα [1]), μᾶλλον δὲ πάσχουσιν, ἐκπίπτοντες τοῖς λογισμοῖς ἡττώμενοι φιλίαις τισὶ καὶ οἰκειότησι, καὶ συνηθείας ὁλκαῖς ἁρπαζούσαις,

---

1) ταῦτα, post hoc voc. dant Cdd. Mon. et Aug. μᾶλλον δὲ ταῦτα, μᾶλλον δὲ πάσχουσιν.

καὶ τοὐναντίον ἔριδι, φθόνοις, φιλονεικίαις ἀκαίροις, μαχίμοις προλήψεσι, καὶ οἷς ἄλλοις παραπλησίοις ἑκάστοτε. Καὶ ξυνορᾶν ταῦτ᾽ οὐ πάνυ τοι χαλεπὸν, εἰ καὶ χαλεπὸν μάλιστα μὴ κατέχεσθαι καὶ ὁντιναοῦν οὐδενὶ τούτων, καὶ κάλλιστ᾽ ἐπ᾽ ἄλλων ταῦτ᾽ ἐφορώμενον καὶ κρίνοντα, καὶ τῶν πολλῶν ἄμεινον τἀλλότρι᾽ ἐννοεῖν ἔχοντα, τὰ δ᾽ αὐτὸν [2]) αὐτοῦ κατὰ τοὺς πολλοὺς ἀβλεπτοῦντα, καθότι τε καλῶς ἔχει, καὶ μή. Καὶ ἴσως μὲν παραπλησίως, ὥςπερ εἴ τινες τῶν φαύλων καὶ ἀμαθεστέρων, ἴσως δὲ καὶ ἧττον, ἀβλεπτοῦντα δ᾽ ὅμως καὶ τοῖς εἰρημένοις νοσήμασιν ἐχόμενον καὶ ξυμπίπτοντα, καὶ γέλωτα μάλιστ᾽ αὐτὸν ὀφλόντα πᾶσι, καὶ μάλιστ᾽ οἶμαι τοῖς παρ᾽ αὐτοῦ κακῶς ἀκούουσι, καὶ ἐπιτιμωμένοις ἐπὶ τοῖς αὐτοῖς, καὶ οἷς παροινοῦσι [3]) παραπλησίως. Καὶ οὐκ οἶδ᾽ ἔγωγε, τί ποτ᾽ ἂν δυστυχέστερον εἴη ἢ ἀηδέστερον, ἢ ὅταν ἄλλους τὶς εὐθύνων περὶ τῶν αὐτῶν ἀποφεύγοι δικαίως κατὰ τὸν λόγον, ἄλλων ἰατρὸς ἀναιδὴς αὐτὸς ἕλκεσι βρύων, ὃ πολὺ μάλισθ᾽, ὡς ἔφην, ἐν ἀνθρώποις κρατεῖ καὶ λυμαίνεται τὰς ὀρθὰς γνώμας καὶ κρίσεις ἀνθρώποις, τὸ προςπαθῶς ἔχειν ὁπηοῦν, οἷς ὁρῶσι, καὶ πρὸς τἀναντία τῶν ὄντων ἐκτρέπειν. Καὶ γὰρ δὴ καὶ θαυμάζουσι μὲν ἔνιοι καὶ κροτοῦσιν ὡς ὑπερφυεῖς τινας, καὶ μεγάλην φορὰν τῆς φύσεως καὶ ἀπόλεκτον, καὶ μη κατ᾽ ἔθος

---

2) τὰ δ᾽ αὐτὸν, C. Mon. καταὐτὸν, in margine γρ. κατὰ δ᾽ αὐτόν.
5) παροιν. C. Mon. παροινοῦσι.

αὐτῇ, οὓς ἄλλοι δοκοῦσιν οὐδ᾽ ἀξίους προςορᾷν ὅλως, οὐδ᾽ ὀνομάζειν ἐν ἀνθρώποις χρῆναι, ἀλλ᾽ ὡςπερεὶ καθάρματα παρατρέχειν καὶ τῆς φύσεως ἀτυχίας. Καὶ ταῦτ᾽ ἀμφοτέροις οὐκ ἔξω παθῶν, οὔτ᾽ ἀκριβῶς, ὡς τἀληθὲς ἔχει, κρίνεται, ἀλλ᾽, ὡς ἄρ᾽ ἔτυχον, ἢ φίλος [4]) ἢ τοὐναντίον τοῖς λογισμοῖς ἔχουσι, καὶ τἀναντία δὲ τούτων περὶ ἄλλους [5]), ἴσως δ᾽ ἐνίοτε καὶ περὶ τοὺς αὐτοὺς, καὶ οὓς χθὲς ἀμέλει καὶ πρὸ τρίτης δι᾽ εὐφήμου λόγου καὶ πάσης ἐν τιμῇ μνήμης ἦγον, καὶ πάντας εὖ μάλα καὶ σπουδῇ πάσῃ συμπείθειν εἰς τοῦτ᾽ ἐπειρῶντο. Νῦν οὐκ αἰσχύνονται καὶ παρὰ τοῖς αὐτοῖς ἀκροαταῖς τάχα καὶ μάρτυσι πᾶν τοὐναντίον κατηγοροῦντες καὶ κατελέγχοντες, καὶ ἴσως ἐπὶ τοῖς αὐτοῖς οἷς τέως ἐθαύμαζον, καὶ καλλιστεῖα φύσεως ἔκρινον, καὶ προῆγον τῶν ἄλλων ἐκτόπως εὐγενείᾳ τινὶ κατὰ φύσιν, ἢ γνώμην, ἢ καὶ ἦθος, ἢ πᾶσαν ἀρετῆς ἕξιν ἄλλην καὶ χρῆσιν ἐπαινουμένην. Καὶ τοὐναντίον αὖ τούτου νῦν περὶ τοὺς αὐτοὺς ὁρῶνται, οἳ πρότερον αὐτοὺς ἀπεστρέφοντο καὶ παρέτρεχον, καὶ κατωλιγώρουν ἐν Καρὸς αἴσῃ [6]), καὶ γῆς ἄχθος ἄλλως αὐτοὺς νομίζοντες. Καὶ πάντα μετὰ φιλίας καὶ ἔχθρας οὐ καλῶς ὁρᾶται, καὶ μεταλλάττει [7]) τὰς ψή-

4) φίλος, fort. φίλως, vt postea φίλως ἐπαινοῦσι.

5) ἄλλους, C. Mon. ἄλλας.

6) ἐν — αἴσῃ, Hom. Il. IX, 378.

7) μεταλλ. C. Mon. μεταλλάττειν, et mox δημιουργεῖν pro δημιουργεῖ.

φους τε καὶ τὰς κρίσεις, καὶ παράτροπα δράματ' ἀμφοτέρωθεν δημιουργεῖ. Καὶ κομιδῇ πάντων ἐργῶδες καὶ σπάνιον, εἰ ἄρα καὶ ἀμιγὲς ὅλως ἐστὶ καὶ παντὸς πάθους ἄκρατον, ἀληθὴς καθάπαξ γνώμη καὶ δόξα καὶ ἀπλανὴς παντὸς τοῦ γιγνομένου τυγχάνουσα, καὶ κατ' οὐδὲν ἀποσφαλλομένη τῶν ὄντων, καὶ τὸ τέλειόν τε καὶ μόνιμον ἔχουσα περὶ τὴν ἐποπτείαν καὶ ξυναίσθησιν τοῦ καλοῦ τε καὶ μὴ τοιούτου, ἢ καθ' ὅτι τοῖσδ' ἐνίοις μέτεστι καλοῦ, καὶ καθ' ὅτι μή. Καὶ πολλὰ γὰρ οὕτω τῶν ὄντων ἔχει, καὶ μάλισθ' ὁρᾷν ἐστιν οὕτω κἂν τοῖς ἀνθρώποις, κἂν τοῖς πράγμασι, καὶ ἀγαπητὸν ὄντως καὶ κατὰ θεῖον, οἷς οἶμαι ξυνέλαχεν ἐν τοῖς βελτίστοις πλεονάζειν, καὶ μὴ νικᾷν παρ' αὐτοῖς τὰ χείρω, καὶ δύσχρηστα τῷ βίῳ καὶ τοῖς καλῶς κρίνουσιν, οἳ μὴ τὸ καθάπαξ ἐν τῇ τοῦ ἀγαθοῦ μοίρᾳ τέλειον ἀπαιτοῦντες ὡς ἀδύνατον ὂν σχεδὸν καὶ ὑπερβαῖνον τὴν φύσιν κατ' ἀνθρώπους, εὖ μάλα προσίενται, καὶ τιμᾷν ἀξιοῦσι καὶ μάλιστ' ἐπαινεῖν, ἣν ἄρ', ὡς ἔφην, εἴη πλεονεκτεῖν ἐν τῷ καλῷ, καὶ μὴ τῶν ἐναντίων ἡττᾶσθαι καὶ τὰ δεύτερα φέρειν. Παρορῶσι [8]) γὰρ ἐν τοῖς τοιούτοις τὰ φαῦλα ξυμμετρούμενοι πρὸς τὸ τῶν ἀνθρωπίνων ἀνίκανον, καὶ οὐκ αὔταρκες εἰς πᾶσαν ἕξιν ἀγαθήν. Ἢ ἄρα βραχέα ἄττα [9]), καὶ μὴ παμμεγέθη τὰ βρα-

8) παρορῶσι, C. Mon. καὶ παρορῶσι.

9) βραχ. ἄττα, Cdd. Aug. et Mon. βραχέαττα.

χέα ταῦτ' ᾖ, καὶ μὴ παντάπασι καταβακχεύῃ τῶν καλῶν καὶ χρησίμων. Οἱ δὲ πολλοὶ τῶν ἀνθρώπων οὐκ ἀπαθῶς, ὡς εἴρηται, χρώμενοι καὶ κρίνοντες, οἱ μὲν φίλως ὅτῳ δὴ τῶν πολλῶν τρόπῳ φερόμενοι πάντ' ἐπαινοῦσι δραττόμενοι τινὸς ἀγαθοῦ μετουσίας, καὶ θαυμαστῶς ὅπως αἴρουσι, καὶ πάντας ἀξιοῦ [10]) πείθεσθαι καὶ προσέχειν τὸν νοῦν καὶ κροτεῖν· οἱ δὲ τοὐναντίον αὖθις ἀπεχθείᾳ τινὶ καὶ ἀηδίᾳ κακῶς ὁρῶντες τῆς τῶν φαύλων μοίρας ὁπόσης δή τινος ἐπειλημμένοι, πάντως δ' οἷχ οἷόν τε μὴ συμπαρεῖναι καὶ ὁπηοῦν, κατατρέχουσιν ἄσχετα [11]) καὶ παλαμναιοτάτας ἐπιφέρουσι καὶ ἀπευκταιοτάτας τὰς [12]) βλασφημίας, καὶ ὡς ἐξάγιστ' ὀνείδη τοὺς παρ' ἄλλων θαυμαζομένους προβέβληνται. Καὶ ὃς ἂν συμφωνῇ σοφὸς οὗτος καὶ καλῶς ὁρῶν, ὃς δ' ἂν ἄλλο τί ποτε φρονοίη τε καὶ ὁρῴη, τυφλὸς καὶ κάκιστ' ἀμαθὴς καὶ ἠλίθιος, τὰ πᾶσι δῆλα καὶ πόῤῥωθεν βοῶντα τε καὶ βοώμενα μὴ ξυνορᾶν ἔχων μηδ' αἰσθάνεσθαι· Καὶ μεταβάλλουσιν, ὡς εἴρηται, καὶ τοῦτ' ἐνίοτε πρὸς τἀναντί' ἀμφότεροι, καὶ τἀλλήλων ἀντιλαμβάνουσι καὶ παραλλάττουσι τοῖς πάθεσιν εἰς τὰς ἐναντίας ἕξεις τραπέντες, καὶ τὰ φίλα καὶ μάχιμα ξυντυχίᾳ τινὶ μεταποιηθέντες, μηδὲν πρὸς τοὺς ξυνορῶντας φειδόμενοι μήτ'

---

10) ἀξιοῦ, leg. ἀξιοῦσι.

11) ἄσχετα, C. Mon. ἔσχατα.

12) τάς, abest a C. Mon.

ἄλλους [13]) μήθ' ἑαυτοὺς ξυνορῶντας φειδόμενοι [14]) τῷ τῆς φύσεως καὶ τῆς γνώμης ἀνιδρύτῳ. Καὶ μέντοι καὶ κατ' ἀμφότερ' ὅμως, οὔτ' ἀποροῦσι λόγων καὶ πίστεων εἰς τἀναντία ἐπιχειροῦντες νῦν τε εἶναι καὶ πρότερον διὰ τὸ καὶ ἀφορμῶν ἀμφοτέρωθεν καθάπαξ μὴ ἀτυχεῖν, οὔτ' ἀποροῦσιν ἀκροωμένων κατ' ἀμφότερα· τοῦτο μὲν πολλοὺς τοὺς ἀγνοοῦντας καὶ ἴσως ὑπ' ἀβελτηρίας, ὡς ἔτυχε, φερομένους ἔχοντες, τοῦτο δὲ καὶ πολλοὺς εὖ δὴ μάλα τοὺς τοῖς αὐτοῖς ἐχομένους πάθεσι κατ' αὐτούς, ἢ τοὺς ἑτοίμους εἰς τὸ μεταλαμβάνειν τῆς αὐτῆς νόσου, καὶ συμπάσχειν, καὶ συνδιατίθεσθαι.

ΚΕΦ. δ'.

Ὅτι χρήσιμα τὰ ἐκ τοῦ μαθηματικοῦ καὶ γεωμετρικοῦ τῆς φιλοσοφίας εἴδους διά τέ τε ἄλλα πλεῖστα τῷ βίῳ [1]), καὶ διὰ τὰ [2]) τῶν μηχανικῶν ἔργα.

Πολὺ τὸ πεφυκὸς ἐν τοῖς ἀνθρωπίνοις τοῦ βίου πράγμασιν ὄψαιτ' ἄν τις ἐπισκοπούμενος τοῦ μαθηματικοῦ τῆς φιλοσοφίας εἴδους, καὶ τὰ μὲν ἄλλ' ἐῶ, καὶ ὅσα τῶν ἀριθμητικῶν ἐπιλογισμῶν ἐν ταῖς τοῦ βίου χρήσεσι, καὶ ὅσα τῶν μουσικῶν ἁρμονιῶν πλείστας καὶ διαφόρους

---

13) μήτ' ἄλλους, C. Mon. non habet.

14) φειδόμενοι, Cdd. Aug. et Mon. in ora exhibent αἰδούμενοι, quae est glossa.

1) τῷ βίῳ, Bloch. τοῦ βίου.

2) τὰ, omissum in C. Mon.

ἐργαζόμενα διαθέσεις ταῖς ψυχαῖς, καθότι δέοι ἄν, ἢ φόβον κατὰ καιρὸν καὶ συστολὴν ἤθους [3]), ἢ θάῤῥος ἀνάπαλιν καὶ φρόνημα καὶ τόλμαν ἀρεϊκὴν ἐμποιῆσαι, ἢ οἶκτον, ἢ ἐνθουσιασμὸν περὶ τὰ θεῖα, ἢ γαλήνην ὑποπτώσεως καὶ συντριβὴν καρδίας, ἢ ἄλλ' ἄττα πάνυ τοι πλεῖσθ', ὅσα διαιρεῖ καὶ τεχνολογεῖ μὲν ἐπιστήμη [4]), τῇ δὲ πείρᾳ κατ' ἀνθρώπους πιστοῦται, ἔτι γ' ὅσα μάλιστα παρὰ τῶν οὐρανίων ἔχομεν ἀκριβέστατα ἐπιστήμης. Καὶ ῥᾴδιον οὐκ ἔστι παρόδῳ τοῦ λόγου καταριθμεῖσθαι τἀντεῦθεν λυσιτελῆ πρὸς πάντα τἀνθρώπινα, καὶ κατὰ τὸν βίον καιρὸν ἔχοντα, περὶ δέ γε τῶν ἐκ γεωμετρικῆς πρὸς τοῖς ἄλλοις, οἷς τῇδ' ἐπιστήμῃ καταποικίλλεται καὶ θαυμάζεται, ταῖς ἐνεργείαις καὶ τῇ ἀσειστῳ τρανώσει τῶν δείξεων ἔτ' ἔχομεν ἀμέλει τόδε προστιθέναι καὶ λέγειν τῷ παντὶ πρόχειρον καθορᾷν, ὡς ἄρ' ἐν παντοίαις καταμετρήσεσιν ἢ καθ' ὕψος, ἢ βάθος, ἢ πλατυκὰς διαστάσεις [5]) ἐν γαιωδαισίαις, ἐν οἰκοδομαῖς πάσαις, ὥςπερ ἀμέλει πλεῖστα δὴ τοιαῦθ' [6]) ἑκάστοτε κατ' ἀνθρώπους [7]), καὶ ὁ βίος ἀεὶ τῶν

---

3) ἤθους, ignorant Cdd. Aug. et Mon.

4) ἐπιστήμη, C. Mon. ἐπιστήμης.

5) πλατυκὰς διαστ. Sic Cdd. omnes; haud dubie librariorum socordia, nam voc. πλατυκός nulla exhibent Lexica. Scribendum esse putauerim contextu postulante: πλάτος καὶ διαστάσεις, vel πλατύτητος διαστάσεις.

6) τοιαῦθ', Cdd. Mon. et Aug. τὸ αὐθ'.

7) κατ' ἀνθρ. C. Mon. omittit κατ'.

γε τοιούτων καὶ αἱ πολιτεῖαι πλήρεις, πολλῷ κατ' ἀνάγκην χρειωδέστατον τὸ τῆς γεωμετρικῆς ἐπιστήμης εἴς τε τὰς ἑκάστων εὑρέσεις παντάπασιν ἀσφαλεῖς καὶ καταλήψεις τὸ πιστὸν ἐχούσας ἄσειστον, καὶ κατασκευὰς καὶ δημιουργίας μετὰ παντὸς ἀμέλει τοῦ γιγνομένου τῆς ἁρμονίας, καὶ μάλα καλλίστης εἰς τὸ βεβαίως ἔχειν τῆς διαθέσεως. Καὶ οὐκ ἄλλως ἔστιν ἢ οὕτω δὴ τοῦ βελτίστου καὶ προςήκοντος τυγχάνειν· ἀκόσμητα μέντ' ἂν εἴη, καὶ τῇ κατ' ὄψιν εὐθὺς ἐντυχίᾳ [8]), καὶ πρὸς λύσιν καὶ φθορὰν ἑτοίμως ἂν ἔχοι, εἰ μὴ οὕτω γίγνοιτο, καὶ ταῖς γεωμετρικαῖς ἀνάγκαις ἅμα τε ῥυθμίζοιτο, καὶ ἅμα τὸ [9]) διαρκὲς εἰς τὴν οἰκείαν ἕκαστα χρῆσιν λαμβάνοι. Καὶ πολλοῖς μὲν ἴσως ἀγνοεῖται ταῦθ' οὕτως ἔχοντα· ἔχει δ' ὅμως οὕτω ταῦτα πᾶσα ἀνάγκη, καὶ τοῖς ἐργολαβοῦσι τὴν τέχνην καὶ τὴν χεῖρα μόνον ἀλόγως διδοῦσι τοῖς ἔργοις, κατὰ καιρὸν ἀνύτουσι καὶ οὐδὲν ἧττον ἀγνοοῦσιν, ἢ καὶ οἱ πολλοὶ, καθ' ὅτι καλῶς ἔχοι, καὶ λόγῳ ξυμμετρεῖται παντὶ τὰ πραττόμενα καὶ καλῶς ἵστασθαι πέφυκεν. Ἀγνοοῦνται μὲν οἱ λόγοι τοῦτ' εὖ μάλα δὴ παντὶ δῆλον, ἀλλ' οἱ λόγοι μὴν [10]) τὸ πρῶτον τὰς ἀρχὰς εὕραντο τῶν γεγονότων καὶ γιγνομένων ἀεὶ, καὶ νομίμων ἑκάστων τῆς τέχνης, καὶ τὰ πρῶτα θέμεθλα

---

8) ἐντυχ. C. Mon. εὐτυχίᾳ.

9) τὸ, abest a C. Mon.

10) μὴν, C. Aug. μέν.

τῇ πείρᾳ, καὶ παντὸς τοῦ εἰκότος ἀλογίστῳ χρήσει πόῤῥωθεν ἄρα ἐκεῖθεν πέπηγε, καὶ παλαιὸς ἥκοι[11]) κλῆρος ἐκ διαδοχῆς προβαίνων, εἰ καὶ μὴ τοῖς νόμοις τῆς ἐπιστήμης εὐσύνετος τοῖς τεχνιτεύουσι καὶ δημιουργουμένοις, ἀλλ' ἀσφαλῶς ἐκεῖθεν παραπεμπόμενος, καὶ τοῦτο δὴ[12]) μόνον καθάπαξ οὐκ ἀγνοούμενος τοῖς γε νοῦν ἔχουσιν, καὶ ὡς ἐκ τῶν τῆς σοφίας καὶ θεωρίας κατ' ἐπιστήμην ἀκλόνητον εὑρέσεων καὶ συμπερασμάτων εὐγενῶς ἔχει· μᾶλλον δὲ τὴν ἀρχὴν οὐσιώδη, καὶ τῷ βίῳ μάλιστ' ἐπαρκεῖ χρήσιμός τε καὶ σπουδῆς πάσης ἀξιούμενος καὶ ἐπιμελείας εἰς τὸ κοινὸν ἀνθρώποις. Καὶ μὴν ἔτι τὰ τῶν μηχανοποιῶν ἔργα καὶ μαγκανεύματα[13]), καὶ καθόλου[14]) μὲν ἐν πᾶσι πράγμασι, μάλιστα δ' ἐν τοῖς κατὰ πολέμους καὶ μάχας ἔργοις, ὁπόσα δύναται καὶ σφόδρ' ἀνύτει κατὰ καιρὸν, καὶ πολὺ πρὸς τὰς ἑκάστοτε χρείας ὀνησιμώτατ' ἐστὶ, τίς ἀγνοεῖ τῶν ἁπάντων; τοῦτο μὲν ἐκ τῶν καθ' ἑκάστην γιγνομένων

---

11) ἥκοι, fors. ἥκει.

12) δὴ, C. Aug. μή.

13) μαγκαν. sic Cdd. omnes: an μηχανεύματα l. μηχανήματα? Postea dicc. μηχανικῆς τέχνης ἔργα καὶ σοφίσματα. Cum vero μάγγανον etiam dicatur de machinis bellicis, quibus lapides et sagittae mittebantur, legendum videtur: μαγγανεύματα, ita, vt Theodoro, nouatori multorum vocabulorum, sint i. q. μάγγανα, μηχανήματα, machinae bellicae: cf. ad μάγγανον Meurs. Glossar. graecobarb. et Suid. ad φεσκέσιον, et Etymol. M. ad ἑλεπόλεις.

14) καὶ καθόλου usque ad καὶ μάχας C. Aug. omittit.

καὶ ὁρωμένων ἐκδηλότατα, τοῦτο δὲ [14a]) καὶ ἐξ ἱστοριῶν τε καὶ παλαιῶν συγγραμμάτων. Ταῦτα μέν γε ἐκδηλότατα πάντως ἅπαντι συνιδεῖν, καὶ ὃς οὐ πάντ' εὐμαθής ἐστιν, ὅτι τῆς μαθηματικῆς καὶ γεωμετρικῆς ἐπιστήμης ἐστὶν ἐκτόκια [14b]), πᾶσαν ἐκεῖθεν τὴν τέχνην ἔχοντα καὶ τὴν τῆς δυνάμεως διοίκησιν καὶ παρασκευήν. Καὶ ἃ γὰρ κατὰ τὰς χρήσεις ἑκάστας περαίνει κατὰ μέρος, καθόλου γεωμετρικῶν εἰσὶν ἀποδείξεων συμπεράσματα, καὶ συλλογισμῶν ἐκεῖθεν ἀνάγκην ἔχει, καὶ διὰ τὰς ἐκεῖθεν πίστεις καὶ δείξεις τὸ ἄσειστον φέρεται καὶ ἀσφαλὲς ἔργον· καὶ οὐκ ἄλλως ὅτι μὴ κατὰ τὰ [15]) τῆς ἐπιστήμης νόμιμα τὸ δρᾶν ἔχει, καὶ ὥςπερ ἐπαγωγικά τινα μαρτύρια τῶν καθόλου δογμάτων εἰσὶ, καὶ διανοητικῶν ἀποφάνσεων, καὶ μετὰ τῆς ὕλης κἀν [16]) τῇ ὕλῃ τῆς ἐπιστήμης ὑποδείγματα, καὶ παραδεικνύντα τῆς ἀΰλου θεωρίας, καὶ ὄντως ἔξω τῆς αἰσθήσεως ἀναχωρούσης ἰδίᾳ καθ' ἑαυτὴν πραγματείᾳ τιμιωτέρᾳ καρποὺς κατ' αἴσθησιν καὶ ζωὴν αἰσθητικὴν, ὧν ἀμέλει σπουδῇ πάσῃ τὴν ἐποπτείαν ἀφαιρούμεθα· τῷ νῷ καὶ ἀμιγῶς πολιτευόμεθα τῆς σωματικῆς χρήσεως, ἄγε πλέον ὁτιοῦν τοῦ προχείρου τοῦδε ζῶντες, καὶ μὴ καθ' ἃ μόνον ὁρῶμεν, καθ' ἃ μόνον ἁπτόμεθα, καὶ ὅλως ἐσμὲν ταῖς αἰσθή-

---

14a) τοῦτο δὲ, C. Aug. τοῦτο δή.

14b) ἐκτόκια, an ἐκτόπια?

15) τά, deest in C. Aug.

16) κάν, C. Mon. καί.

σεσι· τοὺς γὰρ πολλοὺς ἑλεπόλεις αὗται καὶ μηχαναὶ τῆς ὕλης ἀχώριστοι παντοῖαι τῶν τοιούτων ἔργων, οὐκ οἶδ' ὅ τι φῶ, χειραγωγοῦσιν, ἢ βιάζονται πρὸς τὸ λογίζεσθαι καὶ βιοῦν ὁπηοῦν [17]) αὐτῇ τῇ τελεωτέρᾳ φύσει καὶ τῷ λογικῷ τῆς ψυχῆς, κατασυλλογιζομένους ἐντεῦθεν ἐπὶ τῆς διανοίας ἄττα δὴ τοῦ προχείρου καὶ βοσκηματώδους ἄνω βίου. Καὶ τοῦτο μὲν, ὡς οὕτως ἔχει, δῆλον, καὶ ἴσως μέν ἐστιν ἔτι προςτιθέναι περὶ τούτων καὶ [18]) οὐκ ἔξω τοῦ καιροῦ· εὐλαβητέον δ' ἂν εἴη περαιτέρω, καὶ οἶμαί γε ξὺν λόγῳ φεύγοντας ἄκαιρον αὖθις μῆκος λόγων ἔξω τοῦ νυνὶ σκοποῦ. Ἀτὰρ δῆθ' ὅπερ ἐβουλόμην, ὅσοις ἄρα τῶν ἐν πολιορκίαις τοὺς ἐσχάτους προςδοκώντων προδήλως κινδύνους τὰκ τῆς μηχανικῆς ταύτης τέχνης ἔργα καὶ σοφίσματα τὰς ἀργαλεωτάτας συμφορὰς καὶ τοὺς βαρυτάτους καὶ ἀπευκταιοτάτους θανάτους ἀπώσατο, καὶ ζωῆς [19]) ἔτ' ἔδωκε προςθήκην καὶ ἀριθμοὺς, καὶ ἀπὸ λοιγὸν ἤμυνεν [20]). Ὅσοις δ' αὖ τἀντεῦθεν ὁπλίσματα καὶ παρασκευαὶ πάντων πραγμάτων κρατοῦσαι συγκατεπράξαντο θαυμαστὰ καὶ μέγιστ' ἔργα, καὶ νίκας, καὶ κατασφὰς [21]) πόλεων καὶ θριάμβων ἐχορήγησαν

---

17) ὁπηοῦν, omissum in C. Mon.

18) καὶ, abest a C. Aug.

19) ζωῆς, C. Mon. ζωῇ.

20) ἤμυνεν, Cdd. Aug. et Mon. ἤμηνεν.

21) κατασφὰς, sic Cdd. omnes; at leg. κατασκαφάς.

ἀφορμάς. Καὶ πλεῖστ' ἔχομεν ἐνταῦθα νέα τε προφέρειν εἰς πίστωσιν τῷ λόγῳ, καὶ παλαιὰ συγγραφόντων ἀξιολόγων ἀνδρῶν, καὶ οἷς πάνυ τοι τῆς ἀληθείας ἐμέλησε. Πλούταρχος μέν γε, ὁ ἐκ Χαιρωνείας, πλεῖστ' ἀνὴρ οὗτος δὴ προς τοῖς ἄλλοις, οἷς ἐνευδοκιμεῖ τῇ σοφίᾳ καὶ περὶ τὰς παλαιὰς πρὸ αὐτοῦ πάσας ἱστορίας πονήσας, καὶ πολυμαθέστατος, καὶ πολυμαθίας χρησίμων ἔργων διδάσκαλος ἀνθρώποις, καὶ χορηγὸς τῷ βίῳ καὶ τοῖς περὶ λόγοις σπουδάζουσι, συγγραφόμενος τὸν Μαρκέλλου τοῦ Ῥωμαίων στρατηγοῦ βίον καὶ πράξεις μεγίστας, ἔργα διέξεισιν Ἀρχιμήδους τοῦ μαθηματικοῦ κατὰ τὴν πολιορκίαν Συρακουσῶν [22]) ξενίζοντα καὶ τερατώδη μηχανικῆς σοφίας, ἃ κατὰ τῶν Μαρκέλλου παμπλείστων στρατευμάτων καὶ τῆς ῥωμαϊκῆς δυσαντιβλέπτου κατὰ τῆς αὐτοῦ πατρίδος ἐπιχειρήσεως σὺν μεγάλῃ τῇ δόξῃ καὶ τῷ φοβοῦντι κράτει τῆς Ῥώμης τὲ καὶ τοῦ θαυμαστοῦ Μαρκέλλου, ἀντεπεδείκνυτο καὶ ἀντεπεχείρει λίθων τὲ καὶ βελῶν παντοίων ἐξ ἀφανοῦς, [23]) ἀφέσεις ὁμοῦ ἀνυπονοήτους τὲ [24]) καὶ ἀνυποίστους, καὶ νηῶν προσαραγμοὺς ἀλλήλαις, καὶ νηῶν αἰωρήσεις καὶ καταδύσεις, καὶ πάντα χαλεπὰ, καὶ μυριαρίθμους Ῥωμαίων θανάτους, ἃ κἂν ἠπιστεῖτο καὶ μάται' ἀναπλάσματα καὶ μυθώδη

22) Συρακουσῶν, vid. Plut. Marcell. c. 15 et 16.

23) ἐξ ἀφ. C. Aug. ἐξ ἀμφανοῦς.

24) τὲ, C. Mon. non habet.

πολλοῖς ἔδοξεν, εἰ μὴ τῆς τοῦ Πλουτάρχου σοφίας, καὶ περὶ τὴν ἀλήθειαν εὐλαβείας ἱστορούσης ἐτύγχανε, καὶ πολλῆς κατὰ πάσης ἀκοῆς ἐν προλήψει δόξης· ὑφ᾽ ὧν δὴ καὶ τελευτῶν ὁ πάντα ἀήττητος ἀπειπὼν Μάρκελλος ἀνεχώρει τῶν ἐπιχειρήσεων καὶ κινδύνων τῆς μάχης, καὶ προςέχειν ἠξίου μόνῳ τῷ χρόνῳ καὶ τῇ τριβῇ τῆς πολιορκίας τὴν ὑποποίησιν τῆς πόλεως οὐκ ἄλλως, ἢ τῇ τῶν ἀναγκαίων ἐνδείᾳ θαῤῥῶν καὶ τῶν ἔργων ἀφιστάμενος τῆς μάχης, ἃ μηδὲν ἑώρα κατὰ τῆς Ἀρχιμήδους σοφίας ὀχυρὸν ἔχοντα, ἀλλ᾽ ἐκεῖνον ἐν γωνίᾳ καθήμενον πάντ᾽ ἀναλύοντα, καὶ χωρὶς ὅπλων νικῶντα ῥᾷστα. Καὶ τὰ μὲν Πλουτάρχου περὶ Ἀρχιμήδους τοιαῦτα, καὶ ἄλλων δὲ περὶ ἄλλων τοιαῦτα μὲν ὡς ἀληθῶς οὐκέτι, παραπλήσια δὲ τῇ τῆς τέχνης δυνάμει τῶν συγγραφῶν ἔστι πλεῖστα λαβεῖν· κἂν εἴ τις βούλοιτο μάλα δὴ πειρᾶσθαι, καὶ νὴ ὁρᾶν ἀεὶ, καὶ κατελλογίζεσθαι [25]) τὸ ἐντεῦθεν χρήσιμον, ἢ ἀμυνομένοις, ἢ ἐπιτιθεμένοις ταῖς γεωμετρικαῖς ἀνάγκαις καὶ ἀποδείξεσι πορι-ζόμενον, ἵν᾽ οἰκείως κατὰ γεωμέτρας εἴποιμι, τὸ πᾶν εἶναι τῇ μαθηματικῇ ἐπιστήμῃ ξυνορῶν ἀληθῶς [26]) περὶ τὰ νοητὰ καὶ ἀσώματα, κἀνταῦθα περαίνουσαν ταύτην τὰς θεωρίας τῇ τοῦ [27]) βιώσει καὶ πολιτείᾳ, τοῦ παντὸς ἄξιον

25) κατελλογ. C. Mon. κατεσυλλογίζεσθαι: Aug. κατασυλλογίζεσθαι.

26) ἀληθ. C. Aug. ἀληθῶν.

27) τοῦ, nil habet, ad quod referatur. Sine dubio excidit vocabulum. Cod. Paris. Reg. inserit: νοῦ.

τῷ ὄντι χρῆμα τοῖς ἐπαΐειν ἔχουσιν, οἱ δ' ἀμύητοι θύρας ἐπιθέσθων, ἐν βεβήλοις γὰρ ἀποτετάχαται. Οὐ μὴν ἀλλὰ καὶ τῶν νοητῶν τε καὶ ὑπὲρ τὸ σῶμα συννοούμενος, ὡς ἄρα φέρονται πολλοὶ, κατὰ χρείας ἑκάστοτε τῆς ἐπιστήμης, κατὰ τὴν ὕλην καὶ μετὰ τῆς ὕλης πορίσματα ἀνάγκῃ πάσῃ τῶν ἀΰλων εὑρημάτων ἐπιφαινόμενα, καὶ ξυνέπεσθαι μάλιστ᾽ αὐτόθεν ἀπαραιτήτως ἔχοντα, ὡς εἶναι καὶ τὰ παρελκόμενα τῇ ἐπιστήμῃ ὁδοῦ φασὶ πάρεργα πολὺ βιωφελέστατα, καὶ σπουδῆς ἂν εἰκότως ἀξιούμενα μεγίστης, καὶ ἡμῖν πιστούμενα κομιδῇ τὴν νῦν τοῦ λόγου πρόθεσιν, ὡς ἄρα πολλὴν ἔχει τὴν ὄνησιν τἀνθρώπινα κατὰ τὸν βίον πράγματα τοῦ μαθηματικοῦ τῆς φιλοσοφίας εἴδους, προχειρισαμένους εἰς εὐσύνοπτον καὶ καταδηλοτάτην χρῆσιν τὰ παρὰ τῆς γεωμετρικῆς εἰς τὴν μηχανικὴν καὶ ὀργανικὴν τέχνην χορηγούμενα. Καὶ οὐδὲν ἂν εἴη μέγα καὶ τῶν ἄλλων τοῦ μαθηματικοῦ τμημάτων, εἰ βούλοιτό τις καὶ ἅμα καλῶς ἂν ἔχοι κατασκέπτεσθαι τὰ χρήσιμα πρὸς τὸν βίον καὶ τὴν ἀνθρωπίνην καθ' ὁτιοῦν εὐζωΐαν προστιθέναι καὶ τοῖς ἀγνοοῦσι τρανοῦν φιλονεικίας πάσης ἀκαίρως ἐπηρεαζούσης ἐκ ποδῶν οὔσης.

ΚΕΦ. οα΄. *)

Περὶ Πλουτάρχου.

Περὶ δὲ Πλουτάρχου καὶ τῆς [1]) κατὰ τὴν σοφίαν περιουσίας τἀνδρὸς μεμνημένον νῦν, ῥᾴδιον μὲν ἴσως ἐρεῖν ἄττα δὴ, καὶ ὥςπερ ἐκ πολλῶν παρόντων μετ᾽ ἀδείας ἁπάσης ἔχοντα λαβέσθαι τινῶν ἀμέλει μετρίων· ἴσως δ᾽ οὐ πάνυ τοι ῥᾴδιον, οὐδὲ παντὶ χρήσασθαι, καὶ πολλῶν παρόντων ἀπολεξάμενον ἄττα δὴ προλαβεῖν καὶ πρὸς ἑαυτοῦ ποιήσασθαι· ῥητέον δ᾽, ὅπως [2]) ἂν ἐπίῃ τῷ λόγῳ μνησθέντι νῦν εἶναι, τυχὸν οὕτω δὴ μνησθῆναι [3]). Πάντως δ᾽ ἐφ᾽ ἡμῖν ἐστιν, ἅττ᾽ ἂν βουλοίμεθα καὶ οἷοί τ᾽ εἴημεν ἐρεῖν, καὶ πρὸς οὐδεμίαν ἀνάγκην παραβαλλόμεθα, οὐδ᾽ ἔχοι τὶς ἡμῶν ὁτιοῦν ὀφειλόμενον πράττεσθαι, καὶ πρός γ᾽ ἔτι καὶ εὐθύνειν ὅμως [4]), ἣν μὴ τὸ εἰκὸς ἐξείη γε νῦν ἡμῖν ἀποδιδόναι. Πλουτάρχῳ τοίνυν φύσις τε ἔοικε πρὸς πᾶσαν σοφίαν εὔθηκτος εἶναι, καὶ ῥᾷστ᾽ ἔχει χρῆσθαι περὶ πάντα, καὶ πρὸς οὐδὲν τῶν κατὰ τὴν παιδείαν εἰδῶν τε καὶ μερῶν ἀποπέφυκεν ἀνὴρ, ὅστις εὖ μάλα πειρώμενος ξυνορᾷν ἔχοι καὶ μετασυλλογίζεσθαι, ὥςπερ ἄρα πολλοί τινες τῶν εὐγε-

*) Hoc Cap. οα΄ insertum est Actt. Societ. lat. Lips. Vol. 2. p. 266. sqq.

1) τῆς, male C. Mon. τήν.

2) ὅπως, C. Aug. ὅπερ.

3) δὴ μνησθ. C. Mon. μνησθῆναι δή.

4) εὐθύνειν ὅμως, C. Mon. εὐθύνει, omisso ὅμως.

νῶν ἀνδρῶν καὶ ἀστείων πάλαι τὲ καὶ ἴσως νῦν πρὸς τάδε μὲν ἔχουσι τῶν τῆς σοφίας κατὰ φύσιν εὖ ἀνύτειν καὶ χρῆσθαι, πρὸς τάδε δ' οὔ, ἀλλ' ἔχουσι δυςαγώγως 5) καὶ δυςξύβλητοί 6) πως εἰσὶν, ὥςτε καὶ ῥᾷστα συνεῖναι, ὥςπερ καὶ οἷςτισινοῦν ἄλλοις τῶν τῆς σοφίας κομμάτων καὶ τυποῦσθαι· καὶ τινὲς μὲν ἄλλων ἄλλοι παρὰ τὰ πλείω πεφύκασι, καὶ τὰ πλείονος ἴσως ἄξια λόγου, τινὲς δ' οὔ· πρὸς ἐλάττω δὲ ἄττα δὴ καὶ τῶν ἐν πλείονι λόγων καὶ τῶν ἐν δευτέρῳ τοῖς ἐρασταῖς τῶν καλῶν καὶ φιλολόγοις. Πλούταρχος δ', ἧπερ ἔφην, οἰκείως τὲ ἔχει τῇ φύσει πρὸς πάντα, καὶ ἃ βούλοιτ' ἂν, τῶν τῆς παιδείας μείζω τὲ καὶ ἥττω, καὶ οὐδὲν μᾶλλον οὐδ' ἧττον τῇδε ἢ τῇδε 7), καὶ ἅμα πάντων ἐραστής ἐστι, καὶ οὐδέν ἐστιν, οὗ μὴ καὶ ἅπτεσθαι δεῖν ἡγεῖται τῇ περὶ πάντ' ἀπληστίᾳ καὶ λιχνείᾳ πάσης πολυμαθίας καὶ φιλοπλουτίας πάντων 8), πάντων δὴ τῶν βελτίστων, ἃ κατὰ μέρη τινὲς ἀποτεμνόμενοι, καὶ ὡς ἂν ἀμέλει δύναιντό τε καὶ αἱροῖντο, περὶ ταῦθ' ὅλως τὸν ἅπαντα βίον τρίβουσι, καὶ ἀποχρώντως ἔχειν καὶ ἱκανῶς οἴονται, καὶ ἀξιοῦσι τιμᾶσθαι καὶ 9) προςέχειν σφίσιν ἅπαντας, ἢ φύσεως ὀλιγότητι, ἢ τοῦ περὶ τὰ κάλλιστ' ἔρωτος ὀλιγαρκεῖς τινὲς,

5) δυςαγώγως, in marg. γρ. ἀναγώγως.

6) δυςξύβλ. sic Cdd. nostri, sed legendum δυςξύμβλητοι.

7) ἢ τῇδε, C. Mon. non habet.

8) πάντων, omissum in Cdd. Aug. et Mon.

9) καὶ, deest in C. Mon.

καὶ οὐκ ἀηδῶς ὀλίγοις οἷστισιν ἄρα χρώμενοι. Πλουτάρχῳ δὲ πρὸς πάνθ' ἡ φύσις, ὡς ἔφην, οἰκείως ἔχει, καὶ πάντων ἐμέλησεν αὐτῷ, καὶ οὐκ ἀποτυγχάνει γε σπουδάσας, εἰ καὶ μᾶλλον ἐπί τινων ἀνύσας ἐστὶν, ἢ κατ' ἄλλα δὴ, περὶ ἃ μὴ πλεῖστον τῆς σχολῆς ἐμοὶ δοκεῖν ἠξίωσε νεῖμαι, ἀλλ' ὀλιγωρίσας ἀμωσγέπως τὰ δεύτερα περὶ ταῦτα φέρεται· φιλοσοφίαν μὲν γὰρ προΐσταται τοῦ βίου, καὶ ταύτῃ γε μάλιστα δῆλος ἐστὶ χρώμενος καὶ λέγων καὶ βιοτεύων, καὶ ταύτης γέ τοι μάλιστα τῷ γνωστικῷ τε καὶ κριτικῷ περὶ τὴν τοῦ βίου χρῆσιν. Ταῦτ' ἄρα καὶ τὰ πλείω τῶν αὐτῷ ξυγγεγραμμένων εἰς ἤθους [10]) νομοθεσίαν φέρει, καὶ πολιτικῶν ἐπικρίσεις, καὶ πρακτέων ἐπιμέλειαν, καὶ βασανίζει τὰ γεγονότα τοῖς πρὸ αὐτοῦ, καὶ οἷς χρὴ βιοῦν. Δογματικῶν δὲ περὶ τὴν φύσιν ἧττον αὐτῷ μέλει, ἢ ὧν εἴρηται, ἔτι δ' ἀμφοῖν ἧττον, καὶ πολλῷ γε μὴν τοῦτο δῆλον, τῶν μαθηματικῶν αὐτῷ μέλει. Δῆλος δ' ὅμως καὶ οὕτως ἐστὶν οὐκ ἀνικάνως ἔχων πρὸς ταῦτα, οὐδὲ καθάπαξ ἀποποιούμενος, πόθεν; ὅςγε καὶ πρὸς τοὺς Στωϊκοὺς ἀπομάχεται [11]) καὶ περί τε φυσικὰ δόγματα καὶ περὶ πάντ' ἄλλα κατελέγχει, καὶ κατελέγχει γε τἀναντιώτατα μὴ μόνον τοῖς οὖσιν, ἀλλὰ καὶ ἑαυτοῖς λέγοντας. Καὶ ὅλως πολύς ἐστι κατ' αὐτῶν, οἳ μάλιστα τῶν φιλο-

---

10) ἤθους, C. Mon. ἔθους.

11) ἀπομάχεται, C. Mon. ἀπομάχεσθαι.

σόφων αἱρέσεων ἤκμασαν ἐπὶ τῶν αὐτοῦ χρόνων, καὶ μικρὸν ἔτι πω πρὸ αὐτοῦ τε καὶ μετ᾽ αὐτὸν, καὶ μάλιστα φιλοσόφων περὶ το δογματικὸν καὶ φυσικὸν ἐσπούδασαν, καὶ τεχνολογίαν τινὰ δι᾽ ἀσκήσεως πάσης τὴν περὶ ταῦτα λέγχην [12]) καὶ τὸν μολὺν [13]) πόνον ἐπεδείξαντο. Ἔτι γε μὴν καὶ οὐκ ὀλίγας ἐκδόσεις περὶ τῶν φυσικῶν αὐτος προβλημάτων φιλοπονεῖ, καὶ μάλ᾽ ἐπιμελῶς ἐπεξεργάζεται, καὶ τῶν κατὰ τὴν μαθηματικὴν ἕξιν ἐν πολλοῖς τῶν αὐτοῦ μέμνηται μετ᾽ ἐπικρίσεων, ὡς ἀμέλει σχολάσας μάλιστ᾽ ἐν τούτοις, καὶ λέγειν ἱκανὸς, καὶ κομιδῇ πρὸς τοὺς ἀρχηγέτας καὶ τοὺς ἐξαιρέτους αὐτῶν πρὸ αὐτοῦ, Πυθαγόραν, καὶ τοὺς ἐξ αὐτοῦ, καὶ Εὐκλείδην, καὶ Πλάτωνα, καὶ Ἱππάρχους, καὶ Ἀρχιμήδην, καὶ ὅσοι τοῦ κατ αὐτοὺς χοροῦ καὶ συντάγματος ἀναφέρων. Οὔπω γὰρ καὶ [14]) εἰς αὐτὸν ἔτι τότε Πτολεμαῖοι καὶ Θέωνες, καὶ ὅλως περὶ πάντα τῆς φιλοσοφίας εἴδη τὸ κατ᾽ αὐτὸν φιλομαθὲς καὶ πολυαρκὲς, καὶ τὰς μακρὰς οὐσίας καὶ τοὺς ἐνόντας θησαυροὺς τῆς σοφίας ἐπιδείκνυται. Καί μοι δοκεῖ σφόδρα ἂν ἀλγῆσαι καὶ ὀργῇ χρήσασθαι, εἴ τις αὐτὸν ἐξωθεῖ τῶν γε τοιούτων, ὅπως ἄρα ἤ τ᾽ ἄκοντά γε, ἢ καὶ ἴσως ἑκόντα, καὶ μάλιστ᾽ ἐν δεινῷ θέσθαι, ὡς μέγιστα τῆς αὐτοῦ πολυμαθίας ἀφαιρούμενος.

---

12) λέγχην, C. Paris. Reg. λέσχην. Cl. Beck. in Actt. supra laudatis p. 268. coniicit μελέτην. Cap. ξά Theodor. vtitur eodem voc. λέγχη, vbi C. Paris. Reg. etiam λέσχην.

13) μολὺν, Cdd. Aug. et Mon. et Pariss. recte πολύν.

14) γὰρ καί, Cdd. Mon. et Aug. γὰρ δὴ καί.

Φιλοτιμότατος γαρ δὴ μάλιστα γενέσθαι δοκεῖ μοι περὶ πᾶσαν εἴδησιν καὶ πολυμαθίαν καὶ μνήμην ὁ ἀνὴρ, οὐκ οἶδ᾽ ὡς εἴ τις καὶ ἄλλος τῶν ἀπὸ τοῦ παντὸς αἰῶνος σοφῶν, καὶ πάντ᾽ ἐκμαθεῖν ἐπιδείκνυται τὰ τῆς σοφίας καὶ τῶν ὁπηοῦν πονησάντων αὐτῇ κατὰ πᾶσαν ἰδέαν, καὶ πάνθ᾽ ὡς ἀληθῶς πράγματα πρὸ αὐτοῦ, καὶ πάντων [15]*, ὡς εἰπεῖν, ἀνθρώπων, καὶ οὐδὲν εὐπεριφρόνητον ἔοικε νομίζειν πρὸς ἁπλῆν μάθησιν καὶ πεῖραν τῶν τε ἀνθρωπίνων καὶ θείων. Καὶ πᾶσι κοινός ἐστιν ἐπόπτης, ὅς γε καὶ οὐδὲ μιᾷ* [16] *δή τινι τῶν κατὰ φιλοσόφους αἱρέσεων πρόσκειται, οὐδ᾽ ἀπ᾽ αὐτῆς εἶναι βούλεται καὶ καλεῖσθαι, ὥςπερ δὴ καὶ ἄλλοι πάντες σχεδὸν τῶν φιλοσοφίας τροφίμων. Καὶ μάλιστ᾽ ἦν τοῦτό γ᾽ ἐπὶ τῶν αὐτοῦ χρόνων, καὶ μικρὸν πρὸς ἔτι καὶ μετ᾽ αὐτὸν, οὐδὲ πλατωνικός εις, οὐδ᾽ ἀριστοτελικὸς, εἴτουν* [17] *ἐκ τοῦ περιπάτου, ἢ ἄλλος ὁςτιςοῦν μᾶλλον, ἢ ἧττόν γε μὴν ἠξίωσε βιώσας τῇ φιλοσοφίᾳ καὶ ἰδί᾽ ἀποτεμόμενος* [18] *ἑαυτὸν νεῖμαι τινὶ τούτων χρήσει καὶ κλήσει. Ἀλλὰ πάντα μὲν εἰδέναι πρὸς αὐτοῦ* [19] *ποιεῖται, καὶ οὐδὲν μήποτ᾽ ἀγνοεῖν, καὶ κοινὸν*

---

15) *πάντων*, C. Aug. *πάντως*.

16) *οὐδὲ μιᾷ*, C. Aug. *οὐδεμίῃ*: leg. *οὐδεμίᾳ*.

17) *εἴτουν*, sic semper pro *εἴτ᾽ οὖν*, h. e. *ἤ*, non vero *ἤγουν*, vt in Actis Sem. Philol. Lips. p. 268.

18) *ἀποτεμ.* sic Cdd. omnes; verum leg. vel *ἀποταμόμενος* l. vt in Actt. Lips. *ἀποτεμνόμενος*.

19) *πρὸς αὐτοῦ*, fors. *πρὸς αὑτοῦ*.

φίλον ἑαυτὸν τάττει τοῖς ἐξαιρέτοις τῆς πάσης φιλοσοφίας καὶ καθηγεμόσι πᾶσι, καὶ ὥςπερ ἑλλανοδίκης τὶς καὶ [20]) κριτὴς ἐπόπτης ἄνωθεν ἥκων τῶν τῆς φιλοσοφίας ἀγώνων καὶ ἀθλητῶν τε καὶ ἀγωνιστῶν, οὐδενὶ προῖκα ἀξιοῖ χαρίζεσθαι, ἀλλὰ προσίεται μὲν τὰ ἑκάστων καὶ τὴν κοινὴν ἐξ ἁπάντων συντέλειαν τῇ φιλοσοφίᾳ καὶ τῷ βίῳ. Πάντων δ' ἀποφέρεται καὶ κερβαίνειν ἀξιοῖ τὸ χρήσιμον τῷ γ' αὐτὸς αὐτοῦ βίῳ καὶ τῇ σοφίᾳ, καὶ τὰ πάντων ἐπικρίνων μάλιστ' ἀηδῶς ἔχει καὶ ἀπεναντίως [21]) φέρεται τοῖς ἐξ Ἐπικούρου, καὶ πάντ' ἀντιπράττει καὶ κατεπείγεται τοῦδε τοῦ συστήματος ὅλῃ ῥύμῃ γνώμης. Καὶ γὰρ δὴ μάλιστ' ἐοικέναι μοι δοκεῖ τοῦτο τῇ ἀνδρὸς προθέσει τοῦ βίου τε καὶ τῶν λόγων· ὁ μὲν γὰρ ἀρετῆς ἐστὶ καὶ κοσμιότητος πάσης περὶ τὸν βίον διδάσκαλος, καὶ πάσης περὶ τὸ θεῖον εὐλαβείας, οὐδὲν ἀπαξιῶν οὐδ' ἀπωθούμενος καὶ ἀτιμάζων τῶν ἄλλων παρ' ἄλλοις νομίμων τῆς περὶ τὸ θεῖον ἁγιστείας. Ἐπίκουρος δὲ πᾶν τοὐναντίον φιλονεικεῖ καὶ κατελέγχειν πειρᾶται, καὶ περιτρέπειν τὴν τοῦ θείου περὶ τῶν ἀνθρωπίνων ἐποπτείαν καὶ πρόνοιαν, καὶ πάντ' ἀνθρώπων περὶ τοῦ Θεοῦ νόμιμα, καὶ διδάσκαλος ὕβρεώς ἐστι πάσης καὶ ἀκοσμίας περί τε τὰ θεῖα καὶ τὴν τῆς ἀρετῆς

---

20) καί, non agnoscunt Cdd. Mon. et Aug.

21) ἀπεναντίως, Cdd. Mon. et Aug. ἀπ' ἐναντίας: Actt. Lips. ἀπεναντίος, e coniectura Cl. Beckii.

ἐπιμέλειαν, ὡς οὐδὲν ἐντεῦθεν ὀνήσιμον ὄν, ἀλλὰ μάταια διανοίας ἀναπλάσματα, καὶ κενὴν μακαρίαν κατὰ τὸν λόγον καὶ μακρὸν λῆρον κατὰ τῶν μὴ ὄντων, καὶ μηδὲν χρησίμων, καὶ κατὰ τῆς σωματικῆς ἐλευθερίας καὶ ἀχρηστίας, καὶ ἀδικίαν καὶ δυναστείαν ἐπαχθεστάτην, καὶ ἄλλ' οἶμαι δὴ παραπλήσια, καὶ ἅπασι σωφρονικοῖς ἀνδράσι, καὶ γενναίοις ἀληθείας καὶ τοῦ καλοῦ προστάταις, καὶ τῷ σοφῷ Πλουτάρχῳ πάνυ τοι διαβέβληται, καὶ φιλοσοφίας ἀλλότρια καθάπαξ κρίνεται, καὶ Σαρδαναπάλῳ καὶ τοῖς κατ' αὐτὸν παραπέμπεται. Ἀλλ', ὅπερ ἔλεγον, Πλούταρχος δὴ πάντα μὲν τὰ παρὰ πάντων προσίεται ὁπηοῦν ἐκ φιλοσοφίας πρόσχημ' ἔχοντα, καὶ οὐδὲν ἄκαρπον αὐτῷ, οὐδ' ἐπιτιμητικός ἐστιν εὖ μάλα ῥᾷστα, καὶ εἴ τις μὴ πάντα διὰ πάντων καλὸς καὶ καίριος χρῆσθαι, ἀλλ' ἔχει μὲν τῶν κρειττόνων καὶ πλουτούντων ἐν καλοῖς τὰ κρείττω καὶ πλεῖστα· ἔχει δὲ καὶ τῶν ὁπηοῦν ἀγαθῶν καὶ συντελούντων τῇ παρασκευῇ τῆς εὐγενοῦς ὁτιοῦν ἕξεως ἄττα δή [22]), καὶ οὐκ ἀξιοῖ καὶ ἀπωθεῖται καθάπαξ τὰ παρ' αὐτῶν, καὶ πᾶσιν εἰδέναι χάριν ἕτοιμός ἐστιν ὑπὸ μετριότητος καὶ ἀβαροῦς ἤθους καὶ φιλανθρώπου καὶ εὐγνωμονικοῦ δή τινος, καὶ ἅμα μὲν ἀλαζονείας, ἅμα δὲ βασκανίας ἔξω κατὰ το συνοῖσον ὁπηοῦν ἄρα χρῆται, πλὴν δ' ὅμως Ἐπικούρου τὲ καὶ τῶν ἐξ αὐτοῦ, πρὸς οὓς καὶ

22) ἐξ. ἄττα δή, Cdd. Mon. et Aug. ἕξεως, ἄττα δή.

ἄσπονδον καὶ ἀκήρυκτον διὰ πάσης τῆς αὑτοῦ ζωῆς εἵλετο πόλεμον· καίτοι γε καὶ τούτων αὐτῶν τὴν μὲν γνώμην καὶ τὰ δόγματα τῆς ἐπικήρου καὶ βδελυρᾶς [23]) σοφίας, καὶ τὰς τῶν κρίσεων ἀσελγείας καὶ τὸν φορτικὸν σαρκασμὸν ὅλῃ ῥοπῇ τῆς ψυχῆς ἐκτρέπεται. Καὶ δῆλός ἐστι πάσαις ἐπιχειρήσεσι κατ᾽ αὐτῶν ἀπομαχόμενος, καὶ τἀναντιώτατα νομίζων· εἰ δέ τί που καὶ παρ᾽ αὐτῶν ὁπηοῦν ἀπαντᾷ μνήμης ἄξιον καὶ χρήσεως κατὰ καιρὸν, ἐν οἷς ἂν [24]) ἑκάστοτε σοπυδάζοι πρὸς αὑτοῦ, καὶ τοῦτο ποιεῖται, καὶ οὐκ αἰσχύνεται φέρειν εἰς μέσον διὰ τὸ καθόλου πρὸς ἐκείνους μάχιμον, ὅ τι ποτ᾽ ἔστι φέρειν ἐκεῖθεν χρήσιμον, ἡγούμενος οἶμαι μὴ φίλους μήδ᾽ ἐχθροὺς ὁρᾷν, ἐν οἷς ὄνησίς τίς ἐστιν ἢ τοὐναντίον, καὶ προσπαθείαις [25]) ἐχόμενον κρίνειν, ἀλλὰ δοκιμάζειν ἐν πᾶσιν, εἴ τί ποτ᾽ ἐστὶ παραπλησίως βέλτιστον, καὶ παρορᾷν πᾶν ἀνόνητον, κἂν ἄρα σπουδαίων ἀνδρῶν ᾖ καὶ φίλων ἁμάρτημα, καὶ τῇ χρήσει μὴ [26]) τῆς ἀληθείας καὶ τοῦ καλοῦ τὸ πᾶν νέμειν, ἀλλὰ μὴ φίλοις ἀνδράσι, καὶ ὧν εὐγενὴς ἡ πλείων τῷ βίῳ φορά. Τοιγαροῦν καὶ πρὸς Ἐπίκουρον οὕτω χρῆται, καὶ εἰ μὴ φίλα Πλουτάρχῳ πρὸς τὸν ἄνδρ᾽ ἐστὶ, καὶ πολλάκις ἐν τοῖς αὑτοῦ, καὶ

23) βδελυρᾶς, Cdd. Aug. et Mon. βδελλυρᾶς.

24) ἂν, deest in C. Mon.

25) προσπαθ. C. Mon. προσπαθείας.

26) μὴ, in C. Ciz. lineola est notatum, et in Cdd. Mon. et Aug. plane omissum.

τῶν ἐξ Ἐπικούρου κατὰ καιρὸν μέμνηται, πρὸς τὴν χρῆσιν ἀνύτων ἀμέλει. Καὶ πλουτῶν γὰρ ὁρᾶται καθόλου ταῖς ἐπιβολαῖς, ἐν οἷς ἑκάστοτε προτίθεται καὶ πολύχους ὢν ταῖς οἴκοθεν ἐργασίαις, καὶ μάλιστα δὴ ποριμώτατος, εἴ τις ἄρα καὶ ἄλλος, ἐννοῆσαι καὶ μετ' εὐκολίας ἐρεῖν εἰς ἃ δοκιμάζει, καὶ ὧν ἑκάστοτε διδάσκαλός ἐστι, τῷ παραδειγματικῷ πλεῖστον τρόπῳ χρῆται, κάλλιστ' εὐφυῶς καὶ οἰκείως θαυμαστῶς ὅπως, καὶ τῇ συνεχείᾳ τῶν γε τοιούτων ὁ λόγος αὐτῷ μεμέστωται, καὶ τῶν ἐξ ἱστορίας καὶ χρειῶν ἀρχαίων καὶ γνωμῶν ἀστείων εἰς τὰ προκείμενα, καὶ οὐκ ἀρχαίων μόνον καὶ τῷ χρόνῳ τὸ σεμνὸν ἐχόντων καὶ τίμιον, ἀλλὰ καὶ τῶν ἔγγιστ' αὐτοῦ [27]) καὶ νέων ἐκλέγων βασκανίας ἁπάσης δίχα καὶ περιφρονήσεως τὰ χρήσιμα κατὰ σκοπὸν, κἂν ἐκ μεγάλων ἀνδρῶν καὶ περιφανῶν ἢ βίου, ἢ παιδείας δόξῃ, κἂν ἐξ ἀφανῶν τε καὶ πολλοῖς ἀγνοουμένων, καὶ ὧν ὀλίγος ὁ λόγος [28]), παραπλησίως δὲ κἀκ πάντων πραγμάτων, καὶ ὧν ὄγκος μέγας καὶ τύχη πλεῖστον ἀκμάσασα, καὶ μὴ τοιούτων, ἀλλὰ μηδὲ τοῖς ἐκ γειτόνων συναίσθησιν τινὰ δόντων. Καὶ ὅλως πάνυ τοι περὶ ταῦτ' ἔχει Πλούταρχος, καὶ ταῖς πραγματειώδεσιν ἐπιβολαῖς καὶ χρήσεσι πιστοῦται, καὶ περαίνει τὰ σπουδαζόμενα. Καὶ πυκνὸς οὐ

27) αὐτοῦ, C. Mon. αὐτῶν.

28) ὀλίγ. ὁ λόγος, C. Mon. ὁ λόγος ὀλίγος: in C. Aug. deest ὀλίγος.

μόνον ἐστὶν ἔν γε τοιούτοις, ἀλλὰ καὶ, ὡς οὐκ ἂν ἄλλός τις ἐπινοήσειεν, αὐτὸς ἱκανός ἐστι περιουσίᾳ καὶ κράτει καὶ γνώμης εὐεξίᾳ, καὶ ἀφ' ὡντινωνοῦν φέρεσθαί τι, καὶ ποιεῖν καὶ μεταποιεῖν πορισμοὺς αὐτῷ, καὶ κατασκευὰς εἰς τοὺς λόγους ἑκάστους, καὶ τανῦν ἑκάστοτε προβλήματα, καὶ τὴν αὐτοῦ σπουδὴν, καὶ μὴ φειδόμενος οὔτ' εὐτελῶν τῶν λόγων, ὧν ἡ μνήμη, μήτ' εὐτελῶν καὶ πολλοῖς εὐπεριφρονήτων τῶν ἔργων, οἷς χρῆται πρὸς συμμαχίαν τῆς προθέσεως ἑκάστης, ἐμοὶ δοκεῖν ἅμα μὲν εἰς ἐπίδειξιν τοῦ γενναίου μάλιστα τοῦ ἤθους, κἀκ πάντων ἀνύτοντος, καὶ οἷς μή τις ἄλλος ἐννοεῖ χρῆσθαι μήδ' ἀξιοῖ, ἅμα δὲ καὶ τῆς αὐτοῦ πολυμαθίας ἐπίδειξιν, μέχρι καὶ τῶν ὀλίγου λόγου καὶ ἀφανεστάτων ἰχνουμένην, καθὼς τοῖς ἐν μεγάλαις οὐσίαις καὶ βαθεῖ βιοῦσι πλούτῳ, πάσης εἰσὶ χρείας παρασκευαὶ, καὶ ταμιεύονται [29]) ῥᾷστ' ἐκ τοῦ προχείρου λαβεῖν πάντα, καὶ τὰ τῆς εὐτελεστάτης ἀποσκευῆς ἐπίχρεια. Καὶ ὡς ἀληθῶς οὐδενί γε τῶν ἀπὸ τοῦ παντὸς αἰῶνος σοφῶν ἐμέλησεν ἐμοὶ δοκεῖν ὡς αὐτῷ Πλουτάρχῳ, πάντα πρὸ αὐτοῦ καὶ παρὰ πᾶσιν Ἕλλησί τε καὶ Ῥωμαίοις, καὶ πᾶσιν ἀνθρώποις πράγματ' εἰδέναι, καὶ συναγαγεῖν ὁμοῦ τοῖς τῆς μνήμης [30]) ταμείοις, καὶ ἀναζωγραφῆ-

---

29) ταμιευ. in Actt. Lips. socordia operarum: ταμιεύοντας, et mox ἐπίγεια pro ἐπίχρεια.

30) μνήμης vsque ad φαντασίας desunt in C. Aug.

σαι ῥᾷστα δὴ καθορᾷν τοῖς τῆς φαντασίας πίναξι, καὶ προχειρίζεσθαι τὴν τῶν ἀνθρωπίνων καὶ τοῦ βίου παντὸς ἐξ ἀρχῆς ἀγωγὴν, καὶ ἀρχὰς ἄλλας μετ' ἄλλας, καὶ ἥττονας καὶ μείζονας, καὶ κοινοπολιτείας ἄλλας παρ' ἄλλοις [31]), καὶ νόμιμα παντοῖα, καὶ χρῆσιν βίου, καὶ τεχνῶν εὑρέσεις [32]), καὶ τεχνῶν ἀσκήσεις, καὶ μετοικίας ἀνθρώπων καὶ ἀποικίας ἀρχηγετῶν, καὶ πολέμους ἐθνῶν καὶ μάχιμ' ἔργα, καὶ παντοίας σοφίας ἀρχὰς, καὶ ὅσοι τῶν τῆς παιδείας ἁπάντων εἰδῶν καὶ μερῶν ἀρχηγοὶ, καὶ μάλιστ' ἐπίλεκτοι προστάται, καὶ τῆς φιλοσοφίας αἱρεσιῶται διάφοροι, καὶ περὶ ἃ διηνέχθησαν ἢ τῶν θείων, ἢ τῶν φυσικῶν, ἢ τῶν περὶ τὰ πρακτέα δογμάτων, καὶ τοῦ πολιτικοῦ καὶ κατ' ἀνθρώπους [33]) ἰδίᾳ τε καὶ κοινῇ βελτίσταυ. Καὶ ταῦτα δὴ πάντα, τί γὰρ δεῖ πλέον ἔτ' ἐπεξιόντα τρίβειν ἐκ τῶν τοῦ Πλουτάρχου συντάξεων μάλισθ' ἡμῖν, ἢ καὶ τῶν ἄλλων ὁμοῦ σχεδὸν πασῶν τῶν ἄλλων, καὶ πάνυ τοι πλείστων, ἃς ὁ χρόνος θησαυρίζει τοῖς ὀψὲ τῶν χρόνων ἡμῖν ἥκουσι καὶ ξυλλαχοῦσι τῷ βίῳ, ὅσοις τοι φιλοπονεῖν ἐν τούτοις ἔρως ἐστί· καὶ ὅστις βούλεται τὰ πάντα σχεδὸν εἰδέναι, ὅσα δῆτα πρὸ τῆς Πλουτάρχου κατὰ τὸν βίον παρόδου καὶ φιλοπονίας καὶ σπουδῆς, ἢ πάντα ζητεῖν

---

31) παρ' ἄλλοις, ita Cdd. nostri; fors. legendum παρ' ἄλλαις.

32) εὑρέσεις, C. Mon. εὑρήσεις.

33) καὶ κατ' ἀνθρ. Cdd. Aug. et Mon. καὶ τ' ἀνθρώπους.

ἀνάγκην ἔχει τὰ τῶν πρὸ αὐτοῦ καὶ κατ' αὐτὸν συντάγματα, καὶ πλεῖστα δὴ πονεῖν πᾶσα ἀνάγκη, ἢ μόνα τὰ τοῦ ἀνδρὸς τοῦδε ζητεῖν, κἀντεῦθεν περὶ πάντων χρῆσθαι. Καὶ μάταιος ἂν ἴσως εἴη πόνος, εἰ ἄρα τὶς τούτου γ' εἵνεκα περὶ πλεῖστ' ἔχειν αἱροῖτο, καὶ πράγματα μάλιστ' ἔχειν, ἐνὸν ἐκ τοῦ προχείρου ῥᾷον οὕτω δη πάνυ τοι τῷ ἀνδρὶ χρῆσθαι, καὶ τὰ παρὰ πάντων ἔχειν αὐτοῦ μόνου περὶ πάντων, καὶ ὧν ἐπείγει τὶς χρῆσις, καὶ ὧν μή. Καὶ παγκόσμιον ἐστὶ πάσης ἱστορίας καὶ μαθήσεως ἀνὴρ ταμεῖον, καὶ ὥσπερ ἀγορά τις τῆς σοφίας καθ' αἵρεσιν ὁτῳοῦν καὶ κατὰ χρείαν ἀμέλει πᾶσαν ἀπραγμόνως 34) πορίζεσθαι. Καὶ τί δεῖ πόῤῥωθεν ἄρα καὶ παρὰ πολλοῖς ἄλλοις ἄλλῃ πως ἐμπορεύεσθαι; Καὶ ἡ μὲν οὐσία τῆς σοφίας τἀνδρὶ τοσαύτη, καὶ οὕτω δὴ πάνυ τοι φιλότιμός ἐστι περὶ τὸν τῆς διανοίας πλοῦτον καὶ γεννικῶς ἔχων, καὶ μάλ' ἰσχύων κατὰ τῇ φύσει 35) πλεῖστον ἔκ τε παρασκευῆς πάσης δύναται χρῆσθαι καθ' ὅ τι ἂν αἱροῖτο, καὶ προθέμενος ἀνύτει. Τοῦ μέντοι λεκτικοῦ καὶ τῆς φωνῆς ἀνεπιμέλητός ἐστι, καὶ πάσης μάλισθ' ὥρας, ἅμα δὲ καὶ ἀκμῆς περὶ τὸ φαινόμενον τῆς λέξεως ὀλιγωρεῖ, καὶ ῥέει κατὰ φύσιν ἄπλαστος οὑτωσί, καὶ ἀποίητος τῶν 36) ἔξωθεν κόσμων καὶ περιβλημάτων τῆς

---

34) ἀπραγμ. C. Mon. ἀπραγμόνων.

35) κατὰ τῇ φύσει, nonne κατὰ τὴν φύσιν, vt postea κατὰ φύσιν?

36) τῶν, omissum in C. Mon.

διανοίας κατὰ τὸ τῇ φιλοσόφῳ προθέσει πρέπον τὲ καὶ οἰκεῖον ἔθος τὲ καὶ ἦθος χρώμενος, καὶ ῥητορικῆς ἔξω πάσης περιεργίας, ἢ κατα χάριν, ἢ κατὰ δείνωσιν οὐκ ἀνίκανος ὢν [37]), εἴ τις ὀρθῇ προσέχων τὸν νοῦν, ἀλλὰ δῆλος ὢν εὖ μάλα μὴ μέλον αὐτῷ τῶν γε τοιούτων καταγλωττισμάτων, ἀλλὰ βλέπων εἰς ἄλλα· καὶ ταῦτ' ἀποποιούμενος καὶ ἀπαξιῶν, καὶ μέχρι τοσούτου τὴν γλῶτταν ἐνεργὸς ὢν, ὅσον ἀμέλει πᾶσα ἀνάγκη πρὸς δήλωσιν καὶ παραπομπὴν καὶ ἀγγελίαν τῆς διανοίας· καὶ ὡς ἄρα μὴ ἐξὸν τὰν βάθει προφέρειν καὶ κινεῖσθαι, καὶ τὸν νοῦν ἑρμηνείᾳ προδεικνύειν ἀνθρώποις, ἢ ὀχήματι τῇ φωνῇ χρώμενον. Τοιγαροῦν πάσης, ὡς ἔφην, ἐπιμελείας τὲ καὶ ὥρας ἀλλότριος ὁ λόγος αὐτῷ, ἀλλὰ καὶ ἀκμῆς κατὰ τὸ λεκτικὸν ὀλίγον αὐτῷ μέλει καὶ ἀξιώματος ὡσαύτως, ὅτι μὴ καθ' ὅσον εἰς τὴν διάνοιαν τείνει. Ἐνταῦθα γὰρ δὴ μάλιστα τοῦ κατα φύσιν ἀξιώματος καὶ τοῦ σεμνοῦ πλήρης ἐστί. Καὶ πᾶς γὰρ ἐν τούτοις ἐστὶν ὁ σκοπὸς ὄντως καὶ ἡ πρόθεσις τοῦ λέγειν, καὶ ὥςπερ οὐδὲ ζῆν ὅλως χωρὶς ἐστὶ τοῦ πλεῖν, οὐδὲ τούτων ἄνευ ἐκ φιλοσοφίας καὶ μετὰ φιλοσόφου προθέσεως ὁπηοῦν φθέγγεσθαι. Ἀλλ' ἄρα δὴ [38]) τῷ σεμνῷ κατὰ φύσιν καὶ ἀξιωματικῷ κατὰ νοῦν τὰ παρὰ φιλοσοφίας οὐσίωται

37) ὢν usque ad εὖ μάλα desunt in C. Mon.

38) δὴ, C. Mon. non exhibet.

σπουδάσματα, κἂν ἔξωθεν ἀπημελήτως [39]) ἔχῃ. Καὶ τοῦτο δι' ὄγκον οἶμαι καὶ φρόνημα μεγάλοις πρέπον, καὶ πάσης εὐτραπελίας καὶ κομμωτικῆς χρήσεως καὶ στιλπνότητος, ἢ καὶ ὁπλισμῶν καὶ φραγμάτων ἔξωθεν ἀλλοτρίων καὶ ἐπιποιήτων. Ἀλλότριον καὶ οἷς ὅλως οἱ κρατοῦντες παντὶ τρόπῳ καὶ ἀπάταις γε μὴν ἔστιν οὗ κατὰ τῶν πολλῶν ἀδίκως ἀξιοῦσι χρῆσθαι. Ταῦτ' ἄρα καὶ τῷ τοῦ Πλουτάρχου [40]) λόγῳ σχημάτων ἐναλλαγῆς καὶ διοικήσεως περὶ τὴν λέξιν καὶ τοὺς τρόπους τῆς ἑρμηνείας οὐδ' ὅλως μέτεστιν, οὐδὲ γοργότητος, οὐδ' ἐπιδρομῆς, οὐδ' ἤθους ὁπηοῦν κλέπτοντος, εἰ καὶ μὴ παντάπασιν ἐπ' ἀληθείας ἐρεῖν, ἤθους παθητικοῦ καὶ διάθεσιν ἡντιναοῦν ἐμποιοῦντος τῇ ἀκροάσει, καὶ κίνησιν κράσεως. Καὶ ταῦτα δὴ μετ' ἀπλαστίας [41]) ὡς οἷόν τε καὶ κατὰ φύσιν, ὡς εἰπεῖν, οὐκ ἀλλοτριῶται. Ἔστι γὰρ οὐ τῶν αὐτοῦ λόγων Πλούταρχος οὐκ ἀνέορτος τῶν τοιούτων, οὐδ' ἐρημία καθάπαξ ἐμψύχου φάναι συνουσίας, καὶ πάσης κατὰ τὴν φωνὴν ποιότητος ἔξω σύνοικος, οὐδ' ἄλλως οὕτω φέρεται τὴν ἀπὸ Σκυθῶν ἡμῖν, εἰ καὶ μάλιστα τοῦτο κατάσκοπον ἔχῃ τὰ τῆς γλώττης ἀνεπιμέλητον, καὶ σχῆμα, καὶ λέξιν, καὶ μεθόδῳ πασῶν τρόπους,

---

39) ἀπημελ. sic Cdd. nostri. Leg. ἀνεπιμελήτως, vt postea: τὸ τῆς γλώττης ἀνεπιμέλητον, et antea: τῆς φωνῆς ἀνεπιμέλητος.

40) ταῦτ' — Πλουτάρχου, mutilata exhibet C. Mon. ταῦτ' ἄρχου.

41) ἀπλαστ. C. Mon. ἀπληστίας.

καὶ μόνου τοῦ κατὰ νοῦν ἀνύτειν ἐστὶ, καὶ ὡς ἐπέλθοι φορεῖται, ὥςπερ γε μὴν ἤθους ἐνίοτ᾽ ἔφημεν ἀποιήτως αὐτῷ μέτεστιν, ὡς εἰπεῖν. Καὶ τοῦτο μόνον αὐτῷ τῶν περὶ τὴν φωνὴν χρωμάτων ἐπανθεῖ, ξυμβὰν οὕτω δὴ, ἀτὰρ δὴ πολλάκις καὶ τῷ τῶν ὀνομάτων εὐσήμῳ χρῆται, καὶ τῆς φύσεως αὐτῆς τῶν πραγμάτων ἀρυτόμενος, καὶ οἱονεὶ βάπτων ἐκεῖθεν τὸν κάλαμον, εὖ μάλ᾽ ἐμφαντικῶς καταγράφει τὰ τῶν πραγμάτων αὐτῶν καὶ τῶν ἔργων ὀνόματα, δριμύταθ᾽ ἁπτόμενος καὶ καθιστορῶν, ἃ βούλεται, καὶ καιρίως μάλιστ᾽ ἐν τούτοις ἐνεργῶν κατ᾽ εὐχρηστίαν πᾶσαν, καὶ βραχὺ ῥημάτιον πολλάκις αὐτῷ καιρίως τυγχάνει τοῦ σκοποῦ, καὶ τοῖς ἐπόπταις καὶ ἀκροαταῖς τρανῶς προδεικνύει [42]) νοῦν κάλλιστον, καὶ οὐδ᾽ ἀμελῶς ἐν τούτοις ἔχων, οὐδ᾽, ὡς ἔτυχεν, ἀνὴρ τρέχων ὁρᾶται· ἀλλὰ ῥᾷστα μὲν τῷ ὄντι πλεῖν ἢ κατ᾽ ἄλλους τῶν ἐπαινετῶν χρησίμων [43]) αὐτοῦ τῷ νῷ, καὶ ἄπονος, ὡς ξυνορᾷν ἐστιν [44]), ἀλλὰ φιλοτίμως μὲν ὁπηοῦν, κατὰ καιρὸν δ᾽ αὖθις, καὶ τὰ τῆς ἐπιμελείας ἀμέλει ταύτης ἀνδρὶ φιλοσόφῳ καὶ ἐλευθέρῳ τὴν γλῶτταν, καὶ πάσης ἀνωτέρω κολακείας, ἢ ἀπάτης, ἢ λεκτικῆς ὅλως κομψότητος ἐπιτρέπει.

---

42) *προδεικν.* C. Mon. *προδεικνύειν.*

43) *ἐπαιν. χρησίμων*, Cdd. Aug. et Mon. *ἐπαινετῶν τὴν γλῶτταν, καὶ πάνυ τοι ταχὺς* (C. Mon. *ταχέως*) *τυγχάνει τῶν χρησίμων.*

44) *ἐστιν*, Cdd. Mon. et Aug. *ἐστὶν οὐ* (Aug. *τοῦ*) *κατημελήτως* (*ἀτημελήτως*) *δ᾽ ὅμως χρῆσθαι δῆλός ἐστιν, ἀλλά.*

Καὶ τοῦτο μὲν οὕτω δή. Ὡς δ' ἄρα τῆς τοῦ λέγειν τέχνης, εἰ καὶ μὴ κατ' αὐτὴν χρῆται, μέτεστι τῷ ἀνδρὶ, καὶ ῥητορικῆς εὖ μάλ' ἕξεως ἐστὶν ἐν πείρᾳ, καὶ τῆς ἐπαινετῆς εὐστομίας οἷός τέ ἐστι τυγχάνειν, δείκνυσι μὲν ἀμηγέπη καὶ οἷς αὐτὸς ἐνίοτε λέγει καὶ χρῆται. Οὐ γὰρ πάντα διὰ πάντων εὐτέλεια σύνεστι, καὶ τῆς γλώττης καθάπαξ ὠλιγώρηκεν, ἀλλ' ἔστιν οὗ διαίρεται, καὶ τῇ ἑρμηνείᾳ καὶ καλλιεπείᾳ τονοῖ [45]) καὶ κοσμεῖ τὰ λεγόμενα, ἢ τυχὸν οὕτω ξυμβαῖνον, καὶ ὁσάκις ἂν ἐπίοι ξυγχωρῶν ἑαυτῷ καὶ τῇ δυνάμει τῆς ἕξεως, ἢ καὶ ἴσως κατὰ σκοπὸν, ὡς ἂν [46]) ἀπόδειξις ἐντεῦθεν εἴη, ὅτι μὴ διὰ τὸ ἀνικάνως καὶ ἀφυῶς ἔχειν πρὸς εὐφωνίαν χρῆται τῷ λέγειν, ὡς ἄρα δὴ χρῆται, ἀλλ' ἑκὼν γε εἶναι τῷ κατὰ φιλοσοφίαν ἤθει προςανέχει, παρ' αὐτῷ δ' ἐστὶ καὶ ἄλλως, εἰ βούλοιτ' ἂν, χρῆσθαι ῥᾷστα καὶ κοσμεῖν τοῖς ἔξωθεν κάλλεσι τὰ σεμνὰ κατὰ φύσιν ἐκ φιλοσοφίας σπουδάσματα. Μάλιστα δ' ἂν εἴη τοῦ νῦν γε τούτου λόγου πίστις καὶ τεκμήριον εὖ μάλ' ἐναργέστατον [47]), εἴ τις ξυνίησι καὶ προςέχει [48]) τὸν νοῦν, οἷς πολλαχοῦ περὶ ῥητόρων ἀνδρῶν κρίνει, καὶ τῆς τοῦ λέγειν αὐτῶν ἑκάστων ἰδέας, καὶ ὡς ἄρα πεφύκασι πρὸς τὴν τέχνην, καὶ οἷα διαφέρουσι, καὶ ἄλλος

45) τονοῖ, C. Aug. mire τὸν οἶκον.

46) ὡς ἂν, C. Mon. ὡσανεί.

47) ἐναργ. C. Mon. ἐνεργέστατον.

48) προςέχει, C. Mon. προςέχειν, vt etiam deinde κρίνειν.

ἄλλου βελτίων καὶ ἥττων ἐστί. Διαιρεῖται γὰρ ἐν τούτοις καὶ κατατεχνιτεύει τοὺς κρινομένους λόγους ἐπιεικῶς ἄριστα, καὶ καθάπαξ ὡς αὐτὸς μάλιστ᾽ ἐπίβολος, καὶ ἱκανῶς ἔχων τῶν τῆς τέχνης νομίμων, καὶ ὧν κρίνειν οὕτω δὴ καὶ χρῆσθαι πάντως ἔξεστιν, εἰ αἱροῖτ᾽ ἂν 49), καὶ οὐκ ἀγνοῶν ἀποτυγχάνει, ἀλλ᾽ ἑκών γε εἶναι κατ᾽ ἄλλον τῷ ὄντι σκοπὸν ἀνύτων, ὡς ἀμέλει βούλεται. Καὶ πολλαχοῦ μέν ἐστιν ἐντυχεῖν αὐτῷ τὰ κατὰ ῥητορικὴν καὶ ῥήτορας ἄνδρας ἐπισκεπτομένῳ καὶ τελεώτατα διαιρουμένῳ τὲ καὶ φιλοκρινοῦντι τὰς αὐτῶν περὶ τὸ λέγειν δυνάμεις καὶ χρήσεις, καὶ οὐκ ἂν μωμήσαιτό τις, ἃ κἀνταῦθα φθέγγεται· ἀλλ᾽ οὐχ ἥκιστα κἂν τούτοις ὄψεται τὴν τοῦ Πλουτάρχου περίνοιαν καὶ τὸ καίριον τῆς κρίσεως. Ὃ δὲ δὴ πεποίηταί οἱ σύνταγμα περὶ Ὁμήρου θαυμάσιον, πάσης ἡγεμόνα 50) σχεδὸν αὐτὸν σοφίας ἀποδεικνύον, καὶ τοῦτο δὴ πιστὸν ποιούμενον ἐκ τῶν ἐκείνου κατὰ μέρος ἐπῶν, ἀπόδειξιν μὲν ἄρα βελτίστην ἔχει, πόσον ἐστὶ 51) πάσῃ σοφίᾳ το χρήσιμον ἐκ τῆς Ὁμήρου φύσεως, καὶ ὧν διέξεισιν, ὑποβάλλων σπέρματα καὶ ἀρχικὰς ὑποθέσεις τῆς περὶ πάντα τὰ μέρη τῆς παιδείας μεθύστερον 52) εὐφορίας καὶ ἀκμῆς τῶν γεννικῶν

49) εἰ αἱροῖτ᾽ ἂν usque ad εἶναι desiderantur in C. Mon.

50) ἡγεμ. C. Mon. ἡγεμονίας. De Vita Homeri a Plutarcho scripta et deperdita cf. Fabricius in Bibl. Gr. Vol. V. p. 176.

51) πόσον ἐστὶ, C. Mon. πόσον ἐπί.

52) μεθύστ. Cdd. Aug. et Mon. μεθ᾽ ὕστερον.

ἐκείνων καὶ λογάδων ἀνδρῶν ἄλλων περὶ ἄλλα δοκίμων, καὶ μάλα δὴ κράτιστα φιλοπονησάντων εἰς τὸ κοινὸν κατὰ τὴν σοφίαν ἀνθρώποις, καὶ κατὰ μέρη θαυμάζειν ἀξίων, καὶ ἀξίων ἀπολαμβάνειν χάριτας ὑπὲρ τῆς καθ' ἑαυτὸν ἕκαστον συντελείας. Οὐ μὴν ἀλλὰ καὶ ἀπόδειξιν ἔχει τοῦτ' αὐτὸ μηδὲν ἧττον, ὅτι μὴ καὶ μᾶλλον τῆς τοῦ Πλουτάρχου περιουσίας κατὰ τὴν τῆς σοφίας ἕξιν καὶ κτῆσιν καὶ τῆς περὶ πάντα πολυμαθίας καὶ περινοίας, καὶ τῶν τῆς διανοίας αὐτοῦ θησαυρῶν, καὶ ὧν ἐναπέθετο παντοίων κόσμων καὶ κειμηλίων, καὶ ὡς κατ' οὐδὲν ἀνὴρ ἐνδεής. Οὐδέ τί ποτ' ἐστὶ κατὰ τὴν παιδείαν κόμμα, πρὸς ὃ [53]) μὴ πέφυκε μηδὲ κεχάρακται καὶ κάλλισθ' [54]) ἡ διάνοιά οἱ σφραγῖδα καὶ διάθεσιν ἔχει. Τά τε ἄλλα δηλαδὴ καὶ περὶ τὰ τῆς ῥητορικῆς τέχνης κρατήσαντα νόμιμα, καὶ πᾶσαν τὴν ἐγγυμνασθεῖσαν τῷ βίῳ σύνταξιν, καὶ περὶ τὴν τῆς γραμματικῆς κατὰ τὴν φωνὴν βάσανον, ἐν οἷς γὰρ τὰ καὶ τὰ [55]) περὶ τούτων καιριώτατα διαιρεῖ τε καὶ καθιστορεῖ πάντα, καὶ πάντων αὐτὸν Ὅμηρον ἡγεμόνα καὶ χορηγὸν εἰς ἀνθρώπους εὖ μάλ' ἐπαρκοῦντα. Δῆλός ἐστιν αὐτόθεν πολυμαθέστατος περὶ πάντων ὁ Πλούταρχος, ἀκριβῶς εἰδὼς καὶ διεξιών, καὶ [56])

53) ὃ, deest in C. Mon.

54) κάλλισθ', C. Mon. μάλισθ'.

55) τά, omissum in C. Mon.

56) καί, abest a Cdd. Aug. et Mon.

οὐκ ἀποτυγχάνων τῶν δικαίων ἑκάστου, μηδὲ τῶν ἐφ᾽ ἑκάστου δικαίων ἂν ἐπαίνων αὐτός. Οὕτω δὴ περὶ πάντα βέλτιστ᾽ ἀνὴρ κατατεχνιτεύει καὶ διέξεισι πᾶν τὸ γιγνόμενον, καθ᾽ ἕκαστ᾽ ἀποδιδοὺς, καὶ Ὁμήρῳ τὴν ἀρχηγετικὴν προνομίαν καὶ προεδρίαν περὶ πάντων, καὶ ἑαυτῷ [57] πάρεργον ὁδοῦ φασι τὴν περὶ πάντα μάθησιν καὶ ἀκρίβειαν, καὶ τὸν τῆς σοφίας ἁπάσης πλοῦτον, καὶ ὄναιτό γε τῆς εἰς τὸ κοινὸν εὐποιΐας ἄνθρωπος, καὶ ἅμα ἑαυτῷ χρήσιμος γιγνόμενος.

ΚΕΦ. οβ'.

Θεωρία εἰς το ἔπος [1]) τὸ, λάθε βιώσας.

Λάθε βιώσας φησὶ τὸ ἔπος· ἀλλ᾽ ἐπισκεπτέον ἐστὶν, εἰ ἄρ᾽ ἔξεστι τοῦτο λαθεῖν βιώσαντα. Ἂν μὲν οὖν ἀβέλτερός τις εἴη, καὶ οἷος δὴ ῥᾷστα βιοῦν, καὶ μὴ μόνον ἔξω φθόνου καὶ πάσης ἐπηρείας ἀντιπραττούσης, ἀλλὰ καὶ ἀγνοῶν σχεδὸν αὐτὸς, εἰ ὅλως ἐν ἀνθρώποις ἐστὶ, καὶ λανθάνων ἑαυτὸν, ὡς εἰπεῖν, ὅτι ζῇ καὶ βιοῖ, τούτῳ δὴ μηδὲν [2]) μήποτ᾽ ἂν εἴη πρᾶγμα κατὰ τὸν βίον ὁρῶντι τε καὶ ὁρωμένῳ, καὶ κατ᾽ ἀνθρώπους βιοτεύοντι [3]). Τίς γὰρ πρός γε τὸν

---

57) ἑαυτῷ, C. Mon. ἑαυτόν.

1) ἔπος, C. Aug. male ἔθος.

2) μηδὲν, Cdd. Mon. et Aug. ignorant.

3) βιοτ. C. Mon. βιοτεύοντα.

τοιοῦτον ἀντίπραξις ἐπιφύεται; τίς δὲ βασκανία; τίς δὲ δόλος ἀπαντᾷ δυσμενῶν οὐκ οἶδ' ὥντινων ἄρα; τίς δ' ἐπήρεια κόπτουσα; καὶ παραπλήσιον ἐνταῦθα, ὥςπερ οὐδὲ λέων κατὰ τὴν παροιμίαν, οὐδ' ἀλώπηξ μύρμηκος οὐκ ἀλεγίζει, πάνθ' ὡς ὁρῶμεν πονοῦντος καὶ πλανωμένου τηνάλλως [4]) καὶ πράγματ' ἔχοντος, ὥς γε δοκεῖ, καθ' ὁτιοῦν ἔργον πολυφρόντιδος φύσεως. Εἰ δέ τις εἴη τῶν ἀστείων καὶ προεχόντων ἢ γνώμῃ τινὶ καὶ φυσικῷ κράτει, ἢ κλήρῳ τύχης καὶ δόξῃ τινὶ καὶ πλούτου περιφανείᾳ, καὶ φθάσας ἐν μετουσίᾳ τῶνγε τοιούτων, ἢ πάντων ἴσως ὁμοῦ, ἢ τινῶν γένοιτο, δυςχερὲς κομιδῇ καὶ πάντων ὡς ἀληθῶς ἐργωδέστατον, τὸ μὴ τούτοις ὁπηοῦν ὀγκοῦσθαι, καὶ μάλα τοι θαῤῥεῖν ἑαυτῷ χρῆσθαι, καὶ παραβάλλεσθαι μετ' ἐλπίδων χρηστῶν πρὸς πάντα πράγματα καὶ πάντας ἀνθρώπους. Καὶ τίς οὕτω μεγαλόφρων καὶ γεννικὸς καὶ κατὰ παντὸς ἐπαγωγοῦ τε καὶ τῷ καθηδύνοντι καὶ θέλγοντι δυναστεύοντος, ὃς ὑπερέσχε τῶν εἰρημένων κρείττων, καὶ παρεῖδε φυγὼν εὖ μάλα τὰ παρόντα τῆς ἀγαθῆς ξυντυχίας αὐτῷ, ὡς τοῦτ' ὂν αὐτῷ μάλιστα βέλτιστον, καὶ λαθεῖν καθάπαξ ἀνθρώπους εἵλετο κατὰ τὸ ἔπος; Καὶ τοῦτο τοίνυν, ὡς ἔφην, πάντων ἐργωδέστατον, καὶ ἅμα πῶς ἂν καὶ οἷός τ' εἴη διαδράναι καὶ παρελθεῖν τὴν περὶ αὐτοῦ καὶ τῶν κατ' αὐτὸν τῶν πολλῶν ἐπίγνωσιν, καὶ εἰ μάλ' αἱροῖτο καὶ

4) τηνάλλως, C. Aug. τὴν ἄλλως: Mon. τηνάλλων.

λαθεῖν ἀξιοῖ; φθάσας γὰρ ἔχεται καὶ ἤλειπται [5]), παντάπασιν ἄφυκτα τοῖς πολλοῖς ὁρῶσι, καὶ μάλιστ᾽ ἔν γε τοῖς τοιούτοις εὖ μάλ᾽ ὁρῶσι· τἀλλότρια γὰρ δὴ πλεῖστοι ἄνθρωποι πολυπραγμονοῦσι καὶ ὀξυβλεπτοῦσι, καὶ μάλισθ᾽ ὅσῳ δή τινος εὐφορίας τυγχάνει, καὶ φθόνων ἀφορμὰς καὶ ὕλην παρέχεται. Καὶ τούτοις γὰρ αὐτόθεν ἐφεδρεύουσι καὶ δυςνοοῦσι καὶ πάντ᾽ ἐντεῦθεν κινεῖται μάχιμα, καὶ φιλονεικίαι καὶ ἐπιβουλαὶ, καὶ ἀντιθέσεων ἅμιλλαι, καὶ οὐχ οἷόν τε καλῶς ὁτιοῦν ἔχοντα κρύπτεσθαι, οὐδ᾽ οἷόν τε μὴ πράγματ᾽ ἔχειν, μηδὲ ξυμπίπτειν ἑκόντα τὲ καὶ ἄκοντα τὸ μέρος πολλαῖς ταῖς φροντίσι, καὶ πλεῖν ἢ καὶ [6]) τέως ᾠήθη ποτ᾽ ἂν, καὶ φεύγοντι καθ᾽ αἵρεσιν ἀδύνατον διαδράναι καὶ ἠρέμα σχεῖν, ὥςπερ οὐδ᾽ ἔστιν ἑαυτοῦ γενέσθαι πως ἔξω ζῶντα, ἀλλ᾽ ἀνάγκῃ δέδεται, καὶ χρῆσθαι λοιπὸν ὡς οἷόν τ᾽ εὖ ὁπηοῦν ἀπαραίτητον ἀνάγκῃ πάσῃ, καὶ πρὸς τοῦθ᾽ ἁμιλλᾶσθαι πάσῃ σπουδῇ καὶ διακαρτερεῖν μένοντα, καὶ πρὸς εὔπλοιαν πᾶσαν, καὶ πρὸς τοὐναντίον ἀμηγέπη παραβαλλόμενον, καὶ τοῖς κατ᾽ εὐχὴν αἱρόμενον [7]) ὡς βέλτιστα, καὶ βέλτιστ᾽ ἂν εἴη τῷ ὄντι, εἰ σωφρονικῶς [8]) μὲν οὖν ἔπειτα καὶ τοῖς ἀντιπράττουσιν ὡς ἔνι μάλιστα μὴ ταπεινούμενον, μήδ᾽ ὑποχω-

5) ἤλειπται, an εἴληπται?

6) καὶ, C. Mon. non habet.

7) αἱρόμ. C. Mon. αἰρούμενον: Aug. αἰρόμενον.

8) σωφρ. C. Aug. σωφρονικῶν.

ροῦντα καὶ διδόντα νῶτα τοῖς ἐγκειμένοις ἐπιδραμεῖν, καὶ παντάπασιν αἴσχιστα καταστρέψασθαι. Οὐ μέντ' ἂν ἀνεμέσητον ἐν τούτοις εἴη τὸ δι' ἀτυχίαν λειποτακτεῖν, καὶ πολύ γ' ἀηδέστατον τὸ δι' ἀτυχίαν λειποτακτεῖν τὰ πράγματα δοκεῖν, οὐ δι' εὐγένειάν τινα γνώμης καὶ μεγαλοφροσυνην [9]), ὃ μάλιστ' ἐν τούτοις ἕπεται. Καὶ πολλοὶ τῶν ἀνθρώπων ἐξ ἀνάγκης ὁμόσε πᾶσι πράγμασιν ἐντεῦθεν ἔμπληκτοι φέρονται, οἱ δ' ἀλγοῦντες μὲν καὶ μάλα τοι πονήρως καὶ παρὰ γνώμην, βιάζονται δ' ὅμως παραμένειν [10]) οἷς εἰσὶ, καὶ διαεθλεύειν ὅποι ποτ' ἂν ἄγοιντο, καὶ ὅπως ἄρα, δεξιῶς τε καὶ μή. Καὶ οὐκ ἔστιν ἄλλως ἔξω πραγμάτων καθάπαξ γενέσθαι, ὅτι μὴ καθάπαξ πράξαντα κακῶς, καὶ τελευτῶντ' ἴσως τοῖς ἐχθροῖς ἐν οἴκτῳ γενόμενον, ἢ περιφρονηθέντα παντάπασι καὶ πάσης ἀπεγνωσμένον καὶ ἀλλοτριωθέντα χρηστῆς προςδοκίας.

ΚΕΦ. ογ'.

Εἰ προσίσταται τῷ χριστιανικῶς ζῆν τὸ μετὰ [1]) πολλῶν ζῆν, καὶ ἐν πολλοῖς πράγμασι ζῆν.

Πολλάκις ἔπεισί μοι τοῖς λογισμοῖς ἐπισκέπτεσθαι καὶ βασανίζειν, εἰ ἄρα πως ἀντιπράττει καὶ λυμαίνεται τῷ χριστιανικῶς [2]) ζῆν τὸ βιοῦν

9) μεγαλ. C. Mon. μεγαλοφροσύνης.
10) παραμ. Cdd. Aug. et Mon. παραμένει.
1) μετὰ, C. Aug. κατά.
2) χριστιαν. C. Aug. χριστιανικῶν.

ἐν πράγμασι καὶ πολιτικῇ κοινωνίᾳ καὶ χρήσει πολλοῖς συμβιοῦντα, καὶ πᾶσα ἀνάγκη συμπλεκόμενον, νῦν μὲν ἴσως ἐν εὐφορίᾳ καὶ ῥαστώνῃ χρώμενον, νῦν δὲ καὶ τοὐναντίον, καὶ λυπούμενον τοῖς ξυμπίπτουσι, καὶ λύπης ἀφορμὰς διδόντα καὶ πολλοῖς ἀπεχθανόμενον, καὶ πολλοὺς ἀνιῶντα τὰ μὲν ἐνδίκως, τὰ δὲ καὶ μὴ, καὶ φόβοις καὶ ὑπονοίαις καὶ θυμοῖς ταραττόμενον, καὶ καθάπαξ μὴ γαλήνην ἔχειν τῷ νῷ ξυγχωρούμενον, καὶ προσέχειν ὁπηοῦν Θεῷ, καὶ προσέχειν τοῖς νομίμοις αὐτοῦ, καὶ οἷς κατ᾽ ἐπιταγὴν ἀπαραίτητον ὀφειλέτης ἐστί. Καὶ σχεδὸν οὐκ ἔστιν ἄλλως θεοσεβεῖν, καὶ κατὰ Χριστιανοὺς ὅλως ἄγεσθαι, καὶ οἷς ἐπὶ προκοπῇ καὶ μετουσίᾳ τινὸς ἀμείνονος, καὶ ὑπὲρ τοὺς πολλοὺς ἕξεως νομοθετούμεθα, καὶ πρὸς τὰ τελειοποιὰ τῆς ἀρετῆς, καὶ ὑπὲρ τὴν ἀναγκαστὴν καὶ ἀπαραίτητον χρῆσιν ὑπὸ δεσποτικῆς φιλανθρωπίας πάντα βουλομένης ἡμῖν ἀγαθὰ, καὶ τὰ πάντων κάλλιστα προδεικνύσης εὖ μάλ᾽ ἀναγόμεθα· καὶ ἃ μᾶλλόν ἐστιν ἀνύτειν καὶ ῥᾷον πλεονεκτεῖν τοὺς πολλοὺς τὴν ἀμείνονα κατὰ βίον ἕξιν καὶ χρῆσιν, μὴ πολλοῖς τοῖς πράγμασι συνδούμενον, καὶ πολλοῖς ἀγχόμενον [3]) τοῖς φροντίσμασιν, ὑφ᾽ ὧν ἐστὶν ὡς ἀληθῶς παντάπασιν ἐκπίπτειν τῆς βελτίστης [4]) ἕξεώς τε καὶ ἀγωγῆς καὶ καταβαπτίζεσθαι, καὶ ναυαγεῖν πᾶσαν τὴν εὐχρηστίαν

3) ἀγχόμ. C. Mon. non habet.

4) βελτίστ. omissum in C. Mon.

τοῦ βίου, ἢ μάλιστ' ἐργωδέστατον βίον [5]) εἰς τὴν τοῦ ἀγαθοῦ μετουσίαν ἀνύτειν, καὶ ἀεὶ κινδύνοις παλαίειν, καὶ διαεθλεύοντα κατορθοῦν ὁτιοῦν τὸν βίον εἰς τὰ τῆς χριστιανικῆς θεοσεβείας νόμιμα. Κἂν εἴ τις καλῶς ἄγοιτο, καὶ τοῦτο πῶς ἄρα καὶ πόσον δή; ἄγεσθαι μὲν εὖ δῆλον [6]) οὐ καθάπαξ, οὐδὲ τελείως, ἄγεσθαι δὲ πόνῳ τοι πλείστῳ, καὶ πολλαῖς ἀντιπράξεσι καὶ ποικίλαις δυσχερῶς ὠθούμενον καὶ κοπτόμενον, καὶ τὰ μὲν περιγιγνόμενον, τὰ δὲ καὶ συγκλώμενον καὶ καταπίπτοντα. Ταῦτ' ἄρα καὶ τούτων μάλισθ' εἵνεκα πλεῖστοι καὶ φεύγουσιν ὅλῃ φορᾷ τὰς μετὰ τῶν πολλῶν κοινωνίας καὶ τὰ πράγματα, καὶ ἀνθαιροῦνται τὴν ἐρημίαν καὶ τὸ ἄπραγμον καὶ ἀκοινώνητον τῶν πολλῶν, οὐ μισανθρωπίαν ἀσκοῦντες· πόῤῥω γὰρ δὴ τοῦτο πάνυ τοι τῆς χριστιανικῆς νομοθεσίας, καὶ τῶν καθ' ἡμᾶς, ὡς οὐκ ἄλλο τι, καθάπαξ ἀλλοτριώτατον. Πόθεν; οἵ γε τοῦτο καὶ μάλιστα πρὸ τῶν ἄλλων ἔχομεν τοὐπίσημον τῆς Χριστοῦ μαθητείας καὶ πίστεως τὴν πρὸς ἀλλήλους ἀγάπην καὶ τὸ φιλητικὸν, οὐ φίλοι πρὸς φίλους μόνον καὶ συνήθεις, καὶ οἷς ὀφείλομεν, ἀλλὰ καὶ πρός τινας τἀναντία πράττοντας· ἀλλ' ἀσφαλιζόμενοι σφίσι τὸν βίον οἱ τοῦτο δρῶντες τοὺς ἀπὸ τῶν πολλῶν δρασμοὺς τούτους

---

5) βίον, in C. Mon. deest.

6) εὖ δῆλ. C. Mon. εὔδηλον.

αἱροῦνται, καὶ ἀεὶ φυγίαν [7]) τῶν ἐν τῇ μετὰ τῶν πολλῶν ζωῇ δυσχερῶν καὶ φροντισμάτων, καὶ ὀχλούντων καὶ ταραττόντων ἀεὶ, καὶ μέγιστα δὴ προςισταμένων πρὸς τὴν εὐγενῆ καὶ κατὰ Χριστὸν πολιτείαν καὶ ἀγωγὴν τοῦ βίου, καὶ φέρουσιν ἔξω τῶν ἐπιθέσεων ἑαυτοὺς καὶ τῆς εἰς τὸ κινδυνεύειν τὰ κάλλισθ᾽ ἑτοιμότητος· ὡς ἄρα τὴν ἐρημίαν καὶ τὴν τῶν πολλῶν καὶ τῶν πραγμάτων μάλιστα φυγὴν ἐλευθέραν οὖσαν κομιδῇ πολλῶν ἀντιπράξεων, αἳ πεφύκασιν ἐν τῷ πολλὰ πράττειν καὶ ξὺν πολλοῖς πᾶσα ἀνάγκη, καὶ πολλὴν εὐκολίαν ἔχουσαν εἰς τὸ τὰ τοῦ Χριστοῦ συντηρεῖν δόγματα, καὶ προςανέχειν ἀτρέπτως, καὶ πλάνων δίχα μεγάλων καὶ πλείστων, καὶ διασπασμῶν ἄλλων ἄλλοθεν, οἷς ἐκλείσθησαν νομίμοις τῆς πίστεως, ὥςπερ ἐκ πονηρᾶς τινος συνοικίσης [8]) καὶ νοσερᾶς καὶ δυςχρήστου, καὶ πλεῖστον ἐπικινδύνου πρὸς ἐῤῥαστωνευμένον βίοτον, καὶ γαλήνης γέμοντα μετοικιζόμενοι, καὶ ἀποχωροῦντες πολλῶν ἐπιβουλῶν καὶ ἀντιπράξεων καὶ πολυμόχθου ζωῆς κατὰ καιρὸν ἀνύτειν τῷ Χριστῷ καὶ τῇ παρ᾽ αὐτοῦ διδασκαλίᾳ, καὶ ἧς τυχεῖν τε, καὶ ἧς μὴ τυχεῖν οὐκ ὀλίγον ἔπειτα πρᾶγμα [9]). Οὕτω μὲν οὖν πολλοὶ τῶν ἀνθρώπων ἔρωτι τῆς τοῦ Χριστοῦ λατρείας

7) φυγίαν, an φυγὴν, vt mox dicitur? sed φυγία iterum occurrit c. 86. et Cdd. Aug. et Mon. concinunt.

8) συνοικίσης, nonne συνοικίσεως, vel συνοικήσεως? C. Paris. Reg. συνοικίας.

9) πρᾶγμα, C. Mon. πράγματα.

φευκτέον εἶναι τὸ μετὰ πολλῶν βιοτεύειν ἀξιοῦσι, καὶ ἀποτρέπονται παντὶ τρόπῳ πρὸς πλεῖσθ' ὁρᾷν, καὶ συνεῖναι διαπαντὸς πράγμασι [10]) καὶ δεσμοῖς τοῦ βίου. Καὶ ὡς ἀληθῶς οὐκ ὀλίγος ἐνταῦθα πόνος πρὸς τὴν ἐν Χριστῷ ζωὴν, καὶ τὸ τῶν αὐτοῦ δογμάτων καὶ τῆς διδασκαλίας ἀντιποιεῖσθαι. Οὐ μὴν ἀλλ' οὐκ ἄγ φαίημεν, οὐδ' εὔλογον μὲν οὖν ἐστὶν, οὐδὲ λυσιτελὲς ἡμῖν τοῖς ἐχθροῖς τῆς πίστεως τούτοις τοῖς λόγοις χώραν διδόναι καὶ ἀφορμὰς καὶ παῤῥησίαν, ὡς ἄρ' ὁ τοῦ Χριστοῦ νόμος, καὶ τὸ παρ' ἡμῖν δόγμα καὶ πολίτευμα φθορὰν τοῦ βίου καὶ κατάλυσιν τῶν ὑποδεχομένων πράττεται καὶ νομοθετεῖ κατὰ τῆς ἀνθρώπων κοινωνίας καὶ συνδιαγωγῆς· καὶ ὡς ἐντεῦθεν οὐκ ἂν εἴη οὔτε γένεσις ἀνθρώπων, οὔτε κόσμου παράτασις ἐκ διαδοχῆς, οὔτε πολιτεύματα, πάντων φευγόντων ἀλλήλους καὶ γάμον, καὶ παιδοποιΐαν καὶ κοινὰς ὅλως πράξεις, καὶ δεσμὸν καὶ συνέχειαν βιώσεως [11]), καὶ καθόλου γ' ἐρεῖν, ἐξ ὧν ἐστι συμμαχεῖσθαι τὸ διαρκὲς τῆς τοῦ πρώτου δημιουργοῦ καὶ δεσπότου καλλίστης ἐργασίας, καὶ τὸ κατὰ φύσιν ἀνθρώποις κοινωνικὸν καὶ ἀγελαῖον ὁμοῦ, καὶ τἀνθρώπινα συννόμια, ἃ καὶ λόγοι θεῖοι καὶ φύσις διδάσκουσι. Καὶ πολλοὶ τῶν περὶ φύσεως καὶ τῆς τῶν ὄντων διοικήσεως πολυπραγμονησάντων καὶ δια βασά-

10) πράγμασι, C. Mon. πράγματος, in ora γρ. πράγμασι.
11) βιώσεως, C. Mon. βιώσεων.

νου πάσης ἀκριβωσαμένων ὁρίζονται φύσει κατ' ἀνθρώπους εἶναι τὸ κοινοπραγεῖν, καὶ συμβιοῦν ἀλλήλοις, καὶ μήποτ' ἐξόν· ὥςπερ τοῦτο καὶ περὶ πλεῖστ' ἄλλα τῶν ζώων ὁρᾶται, διατετμημένως ἀλλήλων καθάπαξ εἶναι, καὶ ἰδιοπραγεῖν ἀκοινώνητά τε καὶ ἀπολίτευτα. Καὶ εἰ τοῦτο κατὰ φύσιν ἄρα, καὶ δῆλον εὖ μάλα τοῦτο παντὶ, ἦ μάταιον ἂν εἴη τὸ παρὰ τοῦτ' ἄλλως πράττειν αἱρεῖσθαι, καὶ παντάπασιν νομίζειν κατὰ τῶν ὄντων ἀδύνατα, καὶ ἃ μήποτε φύσιν ἔχει περαίνειν τοῦ πρώτου δημιουργοῦ λόγου τῇ φύσει μένοντος, ἢ τἀναντία φέρεσθαι, καὶ ἀντιπαλᾶσθαι [12]), καὶ κατεπείγεσθαι κατὰ τῆς τοῦ Θεοῦ σοφίας καὶ προνοίας, καὶ κατὰ τῆς αὐτοῦ βουλήσεως ἀντεπιχειρεῖν καὶ λύειν πειρᾶσθαι τάξιν καὶ νόμους Θεοῦ, καὶ περιτρέπειν τὰ καλῶς εἶναι δόξαντα, ὡς ἂν μὴ καλῶς δόξαντα, μηδὲ κρατοῦντα καλῶς τῷ τὴν ἀρχὴν κεκινηκότι δημιουργῷ καὶ μέχρι νῦν τοῖς αὐτοῖς ὅροις ἄγοντι, καὶ φρονεῖν ἄλλως ἔχοντα βέλτιον ἔχειν, καὶ λυόμενα καὶ μὴ μένονθ' ὡς ἕστηκε πάλαι πρὸς ἄρα κρεῖττον χωρεῖν καὶ μεταποιεῖσθαι. Οὐ μέντ' ἂν εἴη τοῦτ' ἄλλων ἢ μελαγχολώντων ἀνδρῶν ἢ κινούντων κατὰ τὸν λόγον τἀκίνητα, καὶ κόσμου τάξιν ἀλλαττόντων, καὶ δόγματα φύσεως καὶ δόγματ' ἀσάλευτα Θεοῦ, ὃ πολλοῦ δέοι τις ἂν εὖ φρονῶν ὅλως φάναι καὶ βουλεύειν, ὡς βέλτιστ' ἄρ' ἔχον

12) ἀντιπαλ. C. Mon. ἀντιπαλαμᾶσθαι.

καθόλου, ἢ τῷ παντὶ ἢ μάλισθ' ἑαυτῷ. Ἀλλ' ἀνθεκτέον[13]) *μέν ἐστι πᾶσα ἀνάγκη τῶν νομίμων τοῦ καλοῦ καὶ τῆς ἀληθινῆς ταύτης καθ' ἡμᾶς τοῦ Χριστοῦ θεοσεβείας καὶ πίστεως, κἀνταῦθα τὸ καλῶς εἶναι καὶ οὐκ ἄλλως βιοῦν οἰητέον, καὶ πάντων ἄλλων καταγνωστέον ἁπάσαις ψήφοις ἀπάτην καὶ λῆρον καὶ ψεῦδος αὐτόθεν εὐέλεκτον*[14]), *καὶ οὐδὲν μήποθ' ἑστὼς ἔχον, μήδ' ἐνταῦθα τυπούμενον*[15]). *Εἰ δ' ἄρα τὸ τοῦ ἀγαθοῦ καθάπαξ ἀντιουργὸν*[16]) *ἐργῶδες μηκέτ' ἀποφευκτέον, μήδ' ἀπογνωστέον τῶν ἐπ' αὐτῷ καὶ περὶ τῆς αὐτοῦ κτήσεως πόνων, ἀλλὰ προβαλλομένους τὰς καλὰς ἄνωθεν*[17]) *ἐλπίδας καὶ συμμαχίας ἐπιμελητέον*[18]), *ὡς ἂν ἕκαστος οἷός τ' εἴη, πράττειν εἰς τὸν σκοπὸν αὐτὸν κοινὸν πᾶσιν ἐκκείμενον, καὶ τοῖς μὲν ἴσως μᾶλλον, τοῖς δ' ἧττον ἀνύσιμον. Ἀδύνατον μὲν γὰρ τῶν παρὰ Θεοῦ νομίμων οὐδὲν οὐκ ἂν μήποτέ τις εὖ φρονῶν φαίη, ἄλλῳ δ' ἄλλου περὶ ταῦτ' ἂν ἐξείη*[19]) *περαίνειν βέλτιόν τε καὶ μή, καθὼς αἱροῖτ' ἂν καὶ δύναιτο. Πάν-*

---

13) *ἀνθεκτ.* C. Mon. *ἀνθεκτέων*, male.

14) *εὐέλεκτον*, sic Cdd. nostri. Leg. *εὐέλεγκτον*, *quod facile refelli potest.*

15) *μήδ' ἐντ. τυπούμ.* Cdd. Mon. et Aug. *μήδ' ἐνταῦθα μένον ἀκλόνητον, μήδ' ἐν καλοῖς, ὅπως ἄρα τυπούμενον.*

16) *ἀντιουργ.* Cdd. Aug. et Mon. *ἀρτιουργόν.*

17) *ἄνωθεν*, C. Mon. *ἄνω.*

18) *ἐπιμελ.* C. Mon. *ἔστι μελητέον.* Saepius occurrit *ἐπιμελητέον.*

19) *ἐξείη*, C. Mon. *ἐξήει*; sic etiam postea.

τως δ' ἂν ἐξείη παντὶ καλῶς ὁπηοῦν χρῆσθαι, καὶ οὐδὲν τῶν ἁπάντων καθάπαξ εἴργει τῆς εὐγενοῦς καὶ γνώμης καὶ χρήσεως οὐδένα τῶν ἁπάντων οὐ χρόνος, οὐ τύχη πᾶσα, οὐ πάνθ' ἃ κατὰ τὸν βίον εὖ τε καὶ μη, καὶ μᾶλλον μὲν οὖν καὶ ἧττον ξυμπίπτει πράγματα.

ΚΕΦ. οδ'.

Ὅτι τὸ μὴ μετὰ πολλῶν βιοῦν πραγμάτων εὐκολίαν φέρει εἰς τὴν [1]) τήρησιν τῶν τῆς χριστιανικῆς εὐσεβείας νομίμων.

Ἔστι μέν γε ὡς ἀληθῶς τὸ μὴ πολιτεύεσθαι μηδὲ κοινῇ μετὰ πλείστων βιοῦν μάλιστα δὴ φέρον εὐκολίαν, ὥςτε καλῶς τοῖς ὁρισθεῖσι χριστιανικοῖς νομίμοις καὶ δόγμασι βιοῦν, καὶ πολλὰς προσκοπῶν εἰς τοῦθ' ὑποθέσεις [2]) ἀφαιρεῖται· καὶ πορείαν ἔχουσιν ἀνύτειν [3]) βιώσιμον οἱ οὕτως ἑλόμενοι ζῆν καὶ ἰδιοπραγεῖν τὰ καθ' ἑαυτοὺς μόνα, καὶ μὴ πολλοῖς παραβάλλεσθαι καὶ συμφέρεσθαι μὴ δίχα καμάτων πολλῶν καὶ σκώλων ἐν μέσῳ, καὶ τρέχουσι μάλιστα δεσμῶν ἐλεύθεροι πλείστων ἐπεχόντων, καὶ πλεῖστα παρεχομένων τῷ τρέχειν πράγματα, ὥςπερ ἄρ' ἔχει τοῦτο τοῖς ἐν τῷ πολιτεύεσθαι μεριζομένοις εἰς πλεῖστα, καὶ μὴ τὰ οἰκεῖα ζῆν ἀνάγκην

---

1) τὴν, omissum in C. Aug. vti deinde νομίμων in C. Mon.

2) ὑποθέσ. male Cod. Mon. ὑποθέσεως.

3) ἀνύτειν, Cdd. Aug. et Mon. ἀνύτει, vitiose.

ἔχουσιν, ἀλλὰ καὶ πλείστοις ἄλλοις 4), ἀλλ' οὐχ ἑαυτοῖς τοῖς μόνοις ζῆν, μάλιστα μὲν δεσπόταις αὐτοῖς, ὅσοις τοι ξυνέλαχεν ὑπὸ δεσπότας εἶναι, ἔπειτα δὲ καὶ πλείστοις ἄλλοις, οἷς πᾶσα ἀνάγκη συνεῖναι καὶ συμπολιτεύεσθαι. Δεσπόταις μέν γε πάντα πείθεσθαι καὶ πρὸς μηδὲν ἀντιτείνειν, μήδ' ἄλλως, ἢ ὡς ἐκεῖνοι νομίζουσι, ζῆν, καὶ νόμοι καθ' ἡμᾶς θεῖοι πάνυ τοι καταναγκάζουσι, καὶ πάντ' ἀνθρώπων νόμιμα καὶ πάντων ἐθνῶν, καὶ περὶ τὰ θεῖα διαφόρως θρησκευόντων πάλαι τὲ καὶ νῦν, καὶ βαρβάρων τὲ καὶ ἑλληνικῶν καὶ σοφῶν τἀνθρώπινα καὶ μὴ τοιούτων, καὶ 5) ἄλλων ἄλλα νομιζόντων καὶ διαφερομένων τῇ χρήσει τοῦ βίου καὶ τῷ 6) πολιτεύεσθαι. Κοινή γε ὅμως εἰς τοῦτο παρὰ πάντων συμφωνία τοῖς ἄρχουσι τοὺς ὑποτεταγμένους πάντα πείθεσθαι καὶ μὴ φιλονεικεῖν, μήδ' ἐναντιοπραγεῖν ὅλως αἱρεῖσθαι, εἰ μέλλοι καλῶς ἕξειν κοινῇ καὶ ἄρχουσι καὶ ἀρχομένοις τὰ πράγματα· καὶ οὐκ ἄλλως ἔστι καλῶς χρῆσθαι καὶ βιοῦν. Μᾶλλον μὲν οὖν οὐθ' ὅλως ἔσται βιοῦν ἐν ἀνθρώποις καὶ πολιτεύεσθαι τοῖς ὑπ' ἄλλοις λαχοῦσι ζῆν καὶ βιοῦν, ὅτι μὴ πάντα καθ' ἡδονὴν ἀγομένοις, καὶ πᾶν ἀποπιμπλᾶσι τὸ γιγνόμενον εὐπειθείᾳ, εἰ δὲ μή, πάντως κλαιήσουσι καὶ κακῶν αἴτιοι σφίσιν αὐτοῖς γεγονό-

---

4) ἄλλοις, deest in Cdd. Aug. et Mon.

5) καί, omissum in C. Aug.

6) τῷ, C. Mon. τό.

τες γνώσονται, καὶ ἴσως ἔστιν ὅτε καὶ εἰσὶν ὄντως οἳ οὐδ' ἐπάνοδόν τιν' ἕξουσιν εἰς τὸ τυχεῖν αὖθις χώρας ἐπανορθοῦν τὰ [7]) φθάσαντα, καὶ ξυνδιατίθεσθαι τοῖς δεσπόταις βέλτιον, καὶ ὡς ἂν ἀμφοτέροις συνοίσει, φθάσαντες ἐξώλεις γενόμενοι καὶ τοῖς ἐσχάτοις ἐμπεσόντες κινδύνοις. Καὶ τοίνυν ὅσοις μὲν δὴ ξυνέτυχε δεσποτῶν πειραθῆναι χρηστῶν, ἔστι μὲν καὶ οὕτως ἐργῶδες πάνυ τοι τὸ πάντα διὰ πάντων, καὶ τοῖς γε τοιούτοις πείθεσθαι, καὶ μὴ ἄλλως ἢ ἐκείνοις ζῆν· ὅμως δ' οὖν ἀνεκτῶς ἴσως, εἴπερ ἄρα τὸ πρᾶγμ' ἔχει, καὶ φέρειν ἀνάγκην ἔχοντες κατὰ Πίνδαρον [8]) ἀλλότρια μεριμνάματα, καὶ κέαρ ἀλλοτρίας φύσεως, καὶ ὥςπερ [9]) ὑποκρίνεσθαι προσωπεῖα ξένα καθ' ἑαυτοὺς ζῶντες φερόντων [10]) εὐγενῶς ἀμέλει, καὶ ὥςπερ ἐν δράματι βιοῦντες ἀλλοτρίως ἑαυτοῖς χρώμενοι, δοκούντων συμφωνεῖν θαυμαζόμενοι τῷ μὴ ἀποπεφυκέναι, οἷς δ' ὁ δαίμων παραφρονοῦντας καὶ μαινομένους καὶ τραχυτέρους ἀμέλει δεσπότας ἐπέθηκε, τί ποτ' ἂν οὗτοι καὶ δράσαιεν; ἀνάγκη μετέχειν πάντως αὐτοὺς τῶν κακῶν δὴ πάντων οὐχ ἑαυτοῖς, ἀλλὰ τῷ ἐωνημένῳ παρὰ τῆς τύχης κατὰ τὸν κωμικὸν ζῶντας λόγον, καὶ πάντ' ἀθλίως φέρεσθαι, καὶ ὁρῶντα μὴ ὁρᾶν,

---

7) ἐπαν. τὰ, C. Mon. iunctim ἐπανορθοῦντα.

8) Πίνδαρον: haec in Pindaro, quem iam habemus, non leguntur.

9) ὥςπερ, C. Mon. ὥςπερ ὑπερ, ὑποκρ.

10) φερόντων, Cdd. Aug. et Mon. φερόντως.

καὶ φρονοῦντας ὅ τί ποτ᾽ ἄρα βέλτιστα μὴ φρονεῖν ἔπειτα, μηδὲ πνεῖν ὅλως ἀφ᾽ ἑαυτῶν, καὶ τοῖςγε τοιούτοις, καὶ μὴ διαδράναι δυναμένοις ὅλως, ἀλλ᾽ ἐχομένοις καθάπαξ ἄψυχτα. Αἶ αἲ, τί ποτ᾽ ἂν εἴη χρῆμ᾽ ἀλεξιτήριον πονηρᾶς οὕτω βιοτῆς; καὶ πῶς ἂν οὗτοι τοῖς σώμασιν ἢ ταῖς γε ψυχαῖς γεννικῶς χρήσαιντο καὶ κοσμίως; ἢ πῶς ἂν οὗτοι μάλιστα καὶ τῶν θείων νομίμων καὶ τῆς ὡρισμένης χριστιανικῆς ἀγωγῆς κατὰ τὸν βίον φροντίδ᾽ ἀπαραίτητον ἔχοντες, καὶ πρώτην μάλιστ᾽ ἀνάγκην δεσποτικῆς εὐπειθείας ταύτην ἀπαιτούμενοι δύναιντ᾽ ἂν ἀμφότερ᾽ εἶναι καὶ ἀμφοτέροις ἀρκεῖν, καὶ πᾶν ἀποδιδόναι τὸ κατ᾽ ὀφειλὴν, καὶ ταῦτα τοῦ δεσποτικοῦ φθάσαντος λόγου κηρύττοντος μετὰ πάσης αὐτόθεν ἐκ τῶν πραγμάτων ἐπιδηλοτάτου τῆς ἀληθείας, καὶ ἀπαγορεύοντος ἀμήχανον εἶναι πρὸς ἀμφότερα μερίζεσθαι, καὶ δρᾷν τοῦ προςήκοντος ἀμφοτέροις ἐπιτυχῶς; Τὰ μὲν οὖν περὶ τοὺς δεσπότας τοῖς ἀρχομένοις δυςχερῆ τοιαῦτα καὶ παραπλήσι᾽ ἕτερα πάνυ τοι πλεῖστα· ἀλλὰ μὴν οὐχ ἥκιστα καὶ περὶ τοὺς συμπολιτευομένους πλείστοις ἀεὶ παραβάλλονται καὶ παλαίουσιν ἐργώδεσι καὶ πᾶσι τρόποις ἐκκρούουσι τῆς περὶ τὰς ἀγαθὰς αὐτουργίας καὶ δεσποτικὰς ἐντολὰς ἐπιμελείας καὶ σχολῆς· ἅμιλλαι γὰρ καὶ φιλονεικίαι, καὶ βασκανίαι, καὶ φιλαυτιαι, καὶ φιλαρχίαι, καὶ φιλοπρωτεῖαι κατὰ τῶν ἐφαμίλλων τὲ καὶ συμβιούντων, καὶ πᾶσαι προςπαθειῶν ὑποθέσεις, καὶ δόλοι καὶ ἀπάται καὶ

ψεύδη, καὶ κατεπιχειρήσεις ἀφανεῖς καὶ φαινόμεναι, καὶ κακουργίαι πᾶσι τρόποις, καὶ πάντα δὲ τὰ τοιαῦτα, καὶ ὅσοις [11]) καταβαπτίζονται πάντες οἱ κοινῶς μετ' ἀλλήλων βιοῦντες. Τί μὲν εὐμενῶς χρώμενοι τῇ τύχῃ, καὶ τοῖς ἔξωθεν πράγμασι; τί δὲ καὶ κακῶς πράττοντες, καὶ νῦν μὲν μᾶλλον, νῦν δὲ καὶ ἧττον; καὶ τοῦτο μὲν ὑπὸ τῶν ἐχθίστων καὶ πάλαι πρότερον ἀλλοτριωθέντων, καὶ ἀντιτεταγμένων, τοῦτο δὲ καὶ ὑφ' ὧν τέως οὐκ ᾔσθοντο [12]), οὐδ' ᾠήθησαν ἀδόκητα καὶ ἀπροόπτως συμπεπτωκότες. Τούτοις δὴ πᾶσι καὶ πολλοῖς γε μὴν ἄλλοις, ἃ μὴ ῥᾳδίως ἐστὶ προςτιθέναι, οἷς κατὰ πᾶσαν ἀνάγκην ἀεὶ συντυγχάνειν ἐστὶ τοὺς ἐν πράγμασιν, οὐκ ἔστι μὴ κάμνειν κομιδῇ καὶ χαλεπῶς φέρεσθαι, καὶ νοσερῶς περὶ τὰ καίρια τῶν θείων νομίμων, καὶ τῆς κατ' ἀρετὴν εὐχρηστίας, καὶ ἴσως γ' ἐνίους καὶ προθεμένους εὐγενῶς ἀνύτειν, ἐκπίπτειν ἐντεῦθεν ταῖς ἑκάστοτ' ἐπηρείαις, καὶ συνεχέσιν ἀντισπάσεσιν, ὧν ἔρως εἶχε, καὶ πάνυ τοι προὔθεντο [12]), καὶ ἅμα μὲν ἀπέχεσθαι τὴν τῶν καλῶν ἔργων καὶ πράξεων διάθεσιν ἀστείαν καὶ φορὰν, ἅμα δὲ καὶ ναυαγεῖν μάλιστα τὰ κτηθέντα κατὰ βίον βέλτιστα περὶ τὴν τῆς ἀρετῆς σπουδὴν, καὶ οὐ μόνον ἀλγεινότατα βιοῦν, ἀλλὰ καὶ πάσης ἀπογινώσκειν ἔπειτα

11) ὅσοις, C. Mon. 8.

12) ᾔσθοντο, C. Mon. ᾔσθοντο.

12) προὔθεντο, C. Mon. προὔθετο.

καὶ ἀποτρέπεσθαι καθάπαξ τῆς περὶ τὸ καλον ῥοπῆς, ὡς [13]) οὐκ ὂν ὅλως βιωτὸν ἀνθρώπῳ περὶ ταῦθ', ὅπερ εἴρηται, μάλιστ' ἔχοντί τε καὶ ἐχομένῳ κατὰ τοὺς θείους τύπους καὶ νόμους τῆς ἡμετέρας θεοσεβείας. Ταῦτ' ἄρα καὶ δοκεῖ, καὶ ἔστι μὲν οὖν ὡς ἀληθῶς χρήσιμον εἰς ἀνδραγαθίαν τὸ φυγεῖν παντὶ τρόπῳ τὰ πράγματα, καὶ τὴν μετὰ τῶν πολλῶν συμβίωσιν, καὶ ἰδιοπραγεῖν τὸν βίον προελόμενον ἑαυτῷ ζῆν μόνον, καὶ ἀνεκφοίτητον ἐν ἑαυτοῦ μένειν, καὶ μη τοῖς πολλοῖς χρώμενον, καὶ προςχωροῦντα προνοίας ἐκτὸς τοῦ συνοίσοντος ὠθεῖν καὶ ὠθεῖσθαι, καὶ κινδυνεύειν περὶ τὰ καίρια, καὶ τὴν τῆς ἀρετῆς ἕξιν καὶ χρῆσιν, καὶ πολλαῖς ἐναντιώσεσι κόπτεσθαι τὴν κατ' αὐτὴν ἐνέργειαν· ἐν μὲν γὰρ τῷ μετὰ πολλῶν πράγματ' ἔχειν οὐκ ἔστιν ἐν γαλήνῃ βιοῦν, ὃς δ' ἂν ἐν φροντίσιν ἀεὶ συνεξετάζηται καὶ ἀγῶσι πολλὴν ἀπαιτοῦσι πρόνοιαν ἑαυτῷ προσέχειν, καὶ ἀεὶ μετα κινδύνων καὶ μόχθων καὶ πολέμων βιοῖ. Χαλεπὸν, εἰ πάντα κατορθοῦν ευ μάλ' οἷός τ' ἂν εἴη, καὶ τὸ παραιτεῖσθαι καὶ οἰκονομεῖν φευκτέον εἶναι τρόπῳ γέ τινι τὰς ὑπόπτους ἀεὶ ξυμπλοκὰς, καὶ κίνδυνον ῥᾷστ' ἀπειλούσας νοῦν ἔχοντος ἂν εἴη πάντως ἀνδρὸς, καὶ προνοουμένου μετ' ἀσφαλείας τὰ βέλτιστ' ἑαυτῷ. Οὐ γὰρ λειποτακτεῖν τοῦτ' ἐστὶν, ὡς ἂν ἄρα τις ἴσως φαίη, τὴν ἐπιμέλειαν τοῦ καλοῦ καὶ περι-

13) ὡς, ex C. Mon. exulat.

ποίησιν, ἀλλ' ἐπικαίρως ἀναχωρεῖν. Ἔνθα δῆτ'[14]) ἀεὶ καὶ ἀντιπράττουσι, καὶ οὐδ' ἐπιτιμᾶσθαι δίκαιος οὐδὲ μέμφεσθαι. Πολλῶν μέντ' ἂν καὶ μᾶλλον ἀξιοῦσθαι τῶν ἐπαίνων, ὅςτις αὐτὸς προνοῶν ἐπ' ἀσφαλοῦς αἱροῖτ' ἂν ἵστασθαι τῶν πολλῶν καμάτων καὶ τῆς κινδυνώδους ἀναστροφῆς ἑαυτὸν ὑπεξάγων, καὶ τὴν ἀκύμονα καὶ γαληναίαν ἀγωγὴν πρὸς ἑαυτοῦ ποιούμενος, καὶ χρώμενος ἐπ' ἐξουσίας ἐλεύθερος ἑαυτῷ, καὶ διαδρὰς κατὰ τὸ ἔπος [15]) ἔκ θ' αἵματος, ἔκ τ' ἀνδροκτασίης, ἔκ τε κυδοιμοῦ, καὶ καθορῶν ἄλλους ἐν πελάγει μυρίοις πόνοις καὶ ἀηδίᾳ τὸν πλοῦν ἀνύτοντας, αὐτὸς ἐπιμελιμένος ἑστὼς καὶ χρώμενος ἔξω πάσης δυςχερείας καθ' αἵρεσιν ἑαυτῷ.

ΚΕΦ. οε'.

Ὅτι καὶ τοῖς ἐν κοινῷ [a]) πολιτευομένοις ἔξεστι καλῶς βιοῦν τῇ ἀρετῇ καὶ τοῖς τῆς θεοσεβείας νομίμοις.

Οὐ μὴν ἀλλ' εἴπερ ἐν τῷ ἰδιοπραγεῖν τὸν βίον, ὡς εἴρηται, εὐπραγεῖν ἐστι κατὰ τὴν ὀφειλομένην τοῖς χριστιανικοῖς ἔργοις καὶ νομίμοις ζωὴν καὶ βέλτιστα φέρεσθαι, ἀλλ' οὐκ ἀποτρεπτέον παντάπασι καὶ τῆς μετα τῶν πολλῶν

14) δῆτ', hic inserunt Cdd. Aug. et Mon. οὐκ εὐεπιχείρητος ἂν εἴη, τίς ἐπιβούλοις.

15) κατὰ τὸ ἔπος, Hom. Il. XI, 164. cf. ibi Heyne.

a) ἐν κοινῷ, C. Mon. ἐν τῷ κοινῷ.

κοινωνίας καὶ συμβιώσεως, καὶ τοῦ πολιτικὰ πράττειν ἄττα δὴ κατὰ καιρὸν, καὶ χρῆσθαι τοῖς ξυμπίπτουσι ἑκάστοτε γεννικῶς, ἀντεχομένους καὶ τῆς [2]) χριστιανοῖς προσηκούσης ἀγωγῆς, οὐδ' ἀπογνωστέον ἐστὶ καθάπαξ μὴ κἂν τούτοις ἔχοντας, καὶ καθ' ὅσον οἷόν τ' ἐστὶν ἐπιμελουμένους τῆς ἐν αὐτοῖς προκοπῆς καὶ δοκιμασίας τῶν ὀφειλομένων τοῖς κατὰ θειας ἐντολὰς ζῶσιν, ὅμως αὖθις ἀντιποιεῖσθαι, καὶ βέλτιστ' ἀμέλει κἀνταῦθ' ἀνύτειν, κἂν εἰ μή τι πλέον συγγνωστῶς καὶ ἀνεμεσήτως ὡς μάλιστα τὴν τοῦ βίου χρῆσιν ἐν τοῖς θείοις νομίμοις ἐπιδείκνυσθαι, καὶ διοικεῖν ἀστείως. Εἰ γὰρ μὴ τοῦτ' ἦν, φθορᾶς ἂν εἰσήγησις ἦν [3]) καὶ νομοθεσία τὸ χριστιανικῶς ζῆν τοῦ βίου καὶ τῆς ὅλης ἀνθρωπίνης οὐσιώσεως καὶ δημιουργίας, ὡς ἄρα καὶ πρότερον εἴρηται, καὶ ἀνήνυτος πάντα τρόπον ἐπιχείρησις, καὶ πολύ γε δῆλον αὐτόθεν ἀνόνητος, ὁπότε μὴ πέφυκεν ἐν τοῖς κοινοῖς ἀνθρώπων πράγμασι, καὶ τῇ πολιτικῇ κατὰ φύσιν συμβιώσει ξυνεῖναι τὰ κατὰ Χριστὸν καὶ σωτήρια νόμιμα, ὃ δὴ πολλοῦ δέει φάναι νοῦν ὅλως ἔχοντα τινὰ, καὶ τὰ Χριστοῦ μάλιστα τιμᾶσθαι καὶ κρατεῖν βουλόμενον. Τοὐναντίον μὲν γὰρ ἐντεῦθεν ἐξ ἀνάγκης ἕποιτ' ἂν, καὶ ῥᾷστ' ἔξεστι συλλογίζεσθαι ζημία μεγίστη τοῖς Χριστοῦ δόγμασι καὶ κατασκευὴ φεύγειν ὡς ἀδυνάτων αὐτῶν,

2) τῆς, C. Mon. τοῖς.
3) ἦν, abest a C. Aug.

καὶ μὴ χρῆσθαι· πεφυκότων ἀνθρώποις, καὶ κατὰ τῆς φύσεως καὶ τῶν ὄντων νομοθετούντων, ἃ μὴ πάντως ἐστὶ πείθεσθαι, μηδὲ προςέχειν ὅλως ἀξιοῦν. Καὶ φειστέον ἔτι πω προςτιθέναι πλείω τούτοις ἑξῆς ἑπόμενα, μήποτε καὶ λάθοιμεν ἐχθροῖς τε καὶ ἀλλοτριόφροσι τῶν καλῶν καὶ δυςνουστάτοις τῇ καθ' ἡμᾶς ἀληθεῖ θεοσεβείᾳ χώραν καθ' ἡμῶν δόντες [4]) κακουργεῖν, καὶ αὐτοί γε πλατεῖ στόματι προφέροντες ἀνευλαβῶς, ἃ μὴ χρῆν. Ἀλλ' οὐκ ἔστιν ἅπερ ἐλέγεθ', ὡς ἀληθῶς [5]) οὐκ ἔστιν, εἰ μή τις συκοφαντεῖν αἱροῖτο καὶ παραληρεῖν, καὶ παντάπασιν ἔξω τοῦ καιροῦ σπουδάζειν, ἀλλὰ καὶ οἱ δεσποτικοὶ λόγοι καὶ νόμοι καὶ τὰ θεῖα δόγματα, καθόλου δὴ κατὰ πάντων ἀνθρώπων καὶ πάσης βίων αἱρέσεως, καὶ οὐ τούτων μὲν δὴ, τῶν δ' οὔ, οὐδὲ τῶν μὲν ἀμέλει μᾶλλον, τῶν δ' ἔλαττον, ἀλλ', ὡς εἴρηται, καθ' ὁμοῦ πάντων καὶ πάσης βιώσεως. Καὶ οὐκ ἀδύνατά γε μην ἐπιτάττουσιν, οὐδὲ τὰ μὴ πεφυκότα νομίζουσιν, οὐδ', ἃ μηδόλως οἷόν τε, πράττονται· καὶ πολλοί γ' ἐπὶ πάσης ἰδέας βίων, καὶ μετὰ τῶν πραγμάτων καὶ πραγμάτων ἐκτὸς, καὶ τοῦ ἑλληνικοῦ καὶ τοῦ [6]) βαρβαρικοῦ, καὶ μέρους ἄῤῥενος καὶ μηδὲν ἧττον θήλεος, καὶ νέοι καὶ νέαι, καὶ πρεςβύται δὴ καὶ πρεςβύτιδες, καὶ καθόλου

4) δόντες vsque ad ἀνευλαβῶς desiderantur in C. Mon.

5) ἀληθως, deest in C. Mon.

6) τοῦ, C. Mon. omittit.

πάσης τάξεως ἄνθρωποι καὶ πάσης βιοτῆς καὶ τροφῆς, καὶ νόμων ἀνθρωπίνων ἄλλων παρ' ἄλλοις κρατούντων, ἐθάδες [7]), ὡς ἂν μὴ ἀδυνάτοις τοῖς καθ' ἡμᾶς τούτοις θείοις προσανέχουσι νόμοις καὶ δόγμασι, καὶ κατ' αὐτοὺς δῆλοί γ' εἰσὶν, οἷοί τε ὄντες ἄγεσθαι. Καὶ ὁρῶμεν γὰρ, ὡς ἀνύτουσιν ἐν τούτοις εὖ καὶ χρῶνται σπουδῇ πάσῃ καὶ [8]) κάλλιστ' ἐπιμελῶς ἱχνούμενοι, κἂν ὁ μὲν πλέον ἴσως, ὁ δ' ἔλαττον ἄλλος ἄλλου, καθάπερ καὶ ἐπὶ πάσης ἄλλης τοῦτ' ἔχει προθέσεως τοῦ βίου καὶ χρήσεως, καὶ σοφίας, κτήσεως καὶ πάσης τεχνῶν ἀσκήσεως [9]), ἄλλων ἄλλοι πεφύκασι καὶ αἱροῦνται πλέον καὶ ἔλαττον, καὶ ἐνεργεῖς εἰσὶν, ὧν ἕκαστοι πειρῶνται, οὐδ' ἴσα φέρονται καὶ χωροῦσι ξυμμετρούμενοι αὐτοῖς φασὶν οἱ λόγοι δακτύλοις, αὐτοῖς πήχεσιν, αὐτοῖς σταδίοις· ἀλλ' οἱ μὲν καὶ δολιχεύουσι μεῖζον καὶ τάχιον καὶ ὑπερβάθμιον, ἢ κατ' ἄλλους ἐν τοῖς βελτίστοις τείνουσι πόδα, οἱ δὲ καὶ τὰ τούτων αὖ ἐναντία ὑστερίζουσί τε καὶ τὰ δεύτερα ἔχουσι τῆς ἀγωνίας καὶ τῶν δρόμων, πάντες δ' ὅμως οἷοί τ' εἰσὶν αὐτοῖς χρῆσθαι, καὶ φέρειν εἰς τὴν κοινὴν τῶν καλῶν συντέλειαν ἀπρόσκοποι καθάπαξ ἄττα [10]) δὴ, καὶ οὔτ' ἐρημία προσίσταται τῷ καλλίστῳ σκοπῷ, οὔτε

---

7) ἐθάδες, C. Mon. ἐνθάδε.

8) καὶ, non legitur in C. Mon.

9) καὶ πάσης — ἀσκήσεως, absunt a C. Mon.

10) ἄττα, Cdd. Aug. et Mon. ἅττα.

κοινὰ πράγματα, καὶ μετὰ πολλῶν ἄλλων βιώσεις καὶ πολιτεύματα, οὐ πᾶσα τύχης ὑπόθεσις [11]), οὐ πᾶσ' ἄσκησις βίου, οὐ ξυμπίπτοντ' ἄλλ' ἄλλοις πράγματα, οὐ τοῖς αὐτοῖς ἄλλοτ' ἄλλα καὶ μεταβάλλοντα ἢ πρότερον ἦν· ἔξεστι γὰρ ἐν πᾶσιν ὄντα, καὶ πάντα δὴ πράττοντα πράγματα, καὶ πλείστοις ὅσοις συμβιοῦντα καὶ συνεξεταζόμενον, μηδὲν ὅμως ἐξίστασθαι τῶν δοθέντων ὅρων, ἀλλὰ συντηρεῖν τὲ καὶ δικαιοπραγεῖν ἅπαντα τὰ τοῦ Θεοῦ νόμιμα· ἔξεστι πρὸς πᾶσαν τύχην, ᾗ [12]) σύνεστί τις εὖ τε καὶ ὡς ἑτέρως πράττων, καὶ μᾶλλον ἢ ἧττον, πρότερον ἢ νῦν, σώφρασιν ἀεὶ συνεῖναι λογισμοῖς, καὶ πρὸς τὴν θείαν ἐντολὴν ἑαυτόν τε καὶ τὸν βίον εὐθύνειν, καὶ μήτ' αἵρεσθαι, μήτε πίπτειν, κἂν εἰ ἐργῶδες τοῦτο πολλάκις, ἀλλ' οὐκ ἀνέφικτον [13]) οὔποτε μέτροις ὁρίζεσθαι τοῦ καλου καὶ τῆς ἀρετῆς κατὰ πᾶν τὸ γιγνόμενον, καὶ χρῆσθαι βέλτισθ' ἑαυτῷ καὶ τοῖς ἄλλοις πρὸς τὰ ξυμπίπτοντα πάνθ' ἕκαστα νόμοις ἐκ παραδόσεως καὶ λογισμῶν ἀληθῶν ὅπως δέοι ἂν ἔχοντα χρῆσθαι, καὶ κατ' ἐκείνους ἑαυτὸν συντείνοντα, καὶ πάνθ' ὥσπερ ἐκ παρασκευῆς ὅροις τακτοῖς ἠκρίβωνται, καὶ πρὸς πάνθ' ὡς ἐπὶ ῥητοῖς βιοῦμεν. Καὶ οὐ νόμοι μόνον θεῖοι πάντων ἐξηγηταὶ, ἀλλὰ καὶ λόγος αὐτόθεν τοῦ

---

11) τύχης ὑπόθ., οὐ πᾶσ', in Cod. Mon. desunt.

12) σύνεστί — usque ad ἧττον desiderantur in C. Mon.

13) ἀνέφ. C. Aug. ἀνέφεκτον, corrupte.

συνειδότος ἡγεμων καὶ διδάσκαλος καθ' ὅτι [14]) τε χρηστέον ἐστὶ καὶ καθ' ὅτι μὴ, καὶ ὅπως ἄρα τῶν μὲν ἀντιποιητέον ἐστὶ, τῶν δὲ φευκτέον, καὶ τῶν μὲν ὅλῃ ῥοπῇ ψυχῆς, τῶν δὲ καὶ μετρίως ἴσως. Καὶ τί μὲν ἀντιτεινομένους, τί δὲ ἀνιέντας καὶ κλωμένους ἀμηγέπη, καὶ ξὺν παῤῥησίᾳ ἀνύτοντας, καὶ μεταχειρίζοντας αὖ καὶ [15]) διοικοῦντας ὑπὸ Θεῷ καὶ ἑαυτοῖς μάρτυσιν; ἅττα τοὺς πολλοὺς λανθάνει, καὶ βέλτιον ἐστὶν ἀγνοεῖσθαι. Καὶ εἰ ταῦτα δῆτ' ἐργώδη πολὺ μάλιστ' ἢ τοῖς ἐπ' ἐρημίας ἑαυτοῖς μόνοις ζῶσι, καὶ τὰ καθ' ἑαυτοὺς ῥᾷστ' ἰδιοπραγοῦσιν ἐν τῇ τοῦ ἀγαθοῦ ἕξει, ἀλλ' οὐκ ἔξω τοῦ δυνατοῦ καὶ τῆς φύσεως, ὡς εἴρηται, ἀλλὰ καὶ ἴσως ἐπαίνων ἀφορμὰς χορηγοῦντα πλείστας, εἴ τις εὐγενὴς ἐν τούτοις εἴη, καὶ παντὸς ἐπιτυχὴς τοῦ εἰκότος ὁρῷτο ἐν ἄθλοις πλείστοις νικῶν, ἐν πολυστρόφοις τοῖς πράγμασι καὶ ταῖς χρείαις πάντα στρεφόμενος εὖ, καὶ τῷ λόγῳ μένων ἴσος [16]) καὶ ὀρθὸς, μηδὲν ἧττον ἢ εἰ [17]) τὴν αὐτὴν ἀκλινὴς ἐχώρει προβαίνων ἀεί· εἰ γὰρ δή τις κρημνοβατῶν κατ' ἀνάγκην πᾶσαν καὶ μὴ δι' ἀλείας καὶ ἀπροςκόπτου [18]) φέρων πρὸ ὁδοῦ γένοιτο καὶ τύχοι τοῦ κατὰ σκοπὸν φθάσας

14) καθ' ὅτι, C. Mon. καθότι hic et postea.
15) αὖ καὶ, Cdd. Aug. et Mon. καὶ αὖ.
16) ἴσος, C. Mon. ἴσως.
17) ἢ εἰ, C. Mon. εἴη, et ἀκλινὴν pro ἀκλινὴς.
18) ἀπροςκόπτου, sic Cdd. nostri: alias ἀπροςκόπου.

οἷ χρῆν, πολλῷ θαυμάζειν ἴσως ἄξιος, ἢ ὁ ῥᾶστα δραμὼν καὶ ἀνύσας ἐπὶ τῆς ὁμαλῆς καὶ μηδὲν ἐργῶδες ἐχούσης, οἷος ἐστὶν ὁ μέσον [19]) τῶν πραγμάτων καὶ πολλῶν τῶν ἀντισπώντων ὄχλων εὐδοκιμῶν πρὸς τὸ φυγόντα τὰ πράγματα καὶ πάσης ἀπηλλαγμένον ἐπηρείας καὶ ἀντιπράξεως ἐπὶ τῇ τῶν καλλίστων ἐπιμελείᾳ καὶ καθ' αἵρεσιν ἐλευθέρᾳ χρήσει. Ὡς δ' ἔστιν ἄρα μὴ παντάπασιν ἀποπίπτειν τῆς ἀγαθῆς ἕξεως μετὰ τῶν πραγμάτων βιοῦντα καὶ κοινῇ μετὰ πολλῶν συστρεφόμενον, πάλαι τε καὶ νῦν οὐκ ὀλίγοι πιστοῦνται τὸν λόγον. Καὶ πολὺς ἂν καὶ μάταιος ἴσως εἴη πόνος καταριθμεῖσθαι νῦν εἶναι τοὺς ἐν ταῖς βιωτικαῖς [20]) πολυασχόλοις ἀγωγαῖς πολλὴν ποιησαμένους ἢ ποιουμένους τὸν ἀεὶ χρόνον φροντίδα τῶν θείων ἐντολῶν ἔχεσθαι, καὶ συντείνειν ἑαυτοὺς πρὸς ἀνδραγαθίαν, καὶ πάσης, ὡς οἷόν τε, κακίας ἀποχώρησιν. Οἷς οἶμαι καὶ τὸ ἐκπίπτειν ὁπηοῦν τῆς ἀκριβείας τῶν νομίμων καὶ τελειότητος συγγνωστὸν μᾶλλον ἂν εἴη, ἢ τοῖς ἐν ἀπραγμοσύνῃ καὶ πάντων τῶν κατα τὸν βίον φυγῇ διὰ τὴν ἐπιμέλειαν μόνην αὐτὴν τῶν τῆς ἀρετῆς ἔργων μὴ παντὸς τυγχάνουσι τοῦ ταύτῃ προσήκοντος· τῶν μὲν γάρ ἐστιν ἀπολογία πρὸς τὴν τῆς συγγνώμης εἴςπραξιν ἡ μετα τῶν εἰρημένων λογισμῶν τῶν πραγμάτων ἀποχώρησις, τῶν τοῦ κόσμου φυγάδων ἐκείνων

19) ὁ μέσον, C. Mon. ὁ μέσος: Aug. ὁ μέσων.

20) βιωτ. C. Aug. βιοτικαῖς.

ἀνδρῶν τῇ ἀρετῇ τῇ διὰ τὰς ἐν αὐτῷ δυςχερείας. Δῆλον γὰρ τὸ ἐπικίνδυνον ἐνταῦθα χρωμένοις, τοῖς δὲ τὸ συγγνωμονικὸν κλείεται καὶ πᾶσαν ἀπολογίαν ἀφῄρηνται, τῷ μετὰ τοὺς ἐκ τῶν πραγμάτων καὶ τῶν ἐπιδήλων κινδύνων δρασμοὺς, καὶ τὴν φθάσασαν τῆς ἀσφαλείας πρόνοιαν τοῖς [21]) αυτοῖς κατ᾽ ἐκείνους ἐμπίπτειν ὀλισθήμασι. Καὶ οὐκ οἶδ᾽ ὅποι τὸ πλεῖον [22]) νέμειν ἐστὶν, ἢ τῷ περὶ τὴν ἀραθοεργίαν ἑτοιμοτέρῳ βίῳ, ἢ ᾧ τὸ σύγγνωμον ἑτοιμότερον, ἐν οἷς ἡ φύσις εὐόλισθος, ὡς ἐκεῖνοι πάντως οἱ θατέρου [23]) μέρους προκηρύττουσι μάλιστα καὶ προμαρτύρονται, καὶ ψηφιζόμενοι φθάνουσιν, οἷς ἄρ᾽ ἑαυτοὺς ἀσφαλιζόμενοι φεύγουσι τὰ πράγματα.

ΚΕΦ. οστ'.

Εἰ γαμητέον ἐστὶν ἢ μὴ τοῖς ἐπιμέλειαν ἔχουσι καὶ φροντίδα τῆς κατ᾽ ἀρετὴν ζωῆς.

Τῆς δ᾽ αὐτῆς ἐπισκέψεως ἐστὶν οἶμαι καὶ θεωρίας ἀναζητῆσαι, καὶ εἰ γαμητέον ἐστὶν εἴτε μὴ, ὡς ἄρα τινὰ τὸ γαμῆσαι μάλιστ᾽ ἐγκοπὴν καὶ ζημίαν, εἴτουν πόνων καὶ ἀντιστάσεων συνέχειαν ἐμποιοῦν αὐτόθεν τοῖς κατὰ Χριστὸν ζῆν ἑλομένοις, καὶ τοῖς αὐτοῦ προςέχειν εὖ μάλα

21) τοῖς, abest a Cdd. Mon. et Aug.

22) τὸ πλεῖον, C. Mon. τὸν πλεῖον.

23) θατέρου, Cdd. Aug. et Mon. θατέρους.

καὶ χρῆσθαι διδάγμασι καὶ νομοθεσίαις. Τῷ ὄντι γὰρ πολὺς ὁ δεσμὸς τοῦ γάμου τῷ βίῳ καὶ ταῖς ἐντεῦθεν βιαίαις ἐπηρείαις χώρα πᾶσα πολὺ μάλιστα καθ' ἡμῶν κρατεῖν καὶ συνέχειν ἄφυκτα τὸν νοῦν πλάνῃ πάσῃ καὶ στροφαῖς παντοίαις, καὶ κλύδωνι τῶν ἔξωθεν ξυμπιπτόντων ἑκάστοτε, ἃ ῥᾷον ἐστὶν ἐνεγκεῖν καὶ παριδεῖν τε καὶ ὑπερθέσθαι, καὶ [1]) ἀπονώτερον ὑπεκδραμεῖν μόνον ἐν βίῳ κοφότερον [2]) πλέοντα ὅπως ἄρα, ἢ γυναικὶ συμβιοῦντα καὶ τέκνοις σπουδάζοντα, καὶ πᾶσαν ἀνάγκην περὶ αὐτοῖς [3]) ἔχοντα καλῶς ἄγεσθαι κατὰ τὴν χρείαν καὶ ὑπὲρ τὴν χρείαν μάλιστα. Τοῦτο γὰρ οὐ φιλοϋλία μᾶλλον καὶ φιλοπλουτία ποιεῖν εἴωθεν, ἢ καὶ φιλαυτία καθόλου πάντων κρατοῦσα, καὶ μηδὲν ἐπὶ πάντων πραγμάτων [4]), ὡς ἄρ' οἱόν τ' ἔστιν, ὅλως μέτρον ὁρίζουσα. Καὶ τὸ νικᾷν ἐν τοῖς κατὰ τὸν βίον καλοῖς, καὶ πλεῖστον ἢ κατὰ πάντας ἀνθρώπους ἐνευθηνεῖσθαι οὐκ οἶδα τίς ἂν τῶν ἁπάντων, ἐξὸν ἔπειθ' ὁπηοῦν, οὐκ ἂν ἕλοιτο, μᾶλλον δ' οὐκ ἂν πάσῃ σπουδῇ καὶ πᾶσι πόνοις ἑαυτὸν τούτου γ' ἕνεκα δοίη, μεγάλην δόξαν εἰς κλῆρον καὶ χρημάτων θησαυροὺς καὶ μακρῶν προσόδους οὐσιῶν τέκνοις ἐκ παρασκευῆς ἐπιμελοῦς παραπέμψαι, καὶ ζῶν ἔτ' αὐτὸς καὶ μετὰ τελευτὴν

---

1) καὶ, delent Cdd. Mon. et Aug. cum commate.

2) κοφ. sic C. Aug. etiam, sed Mon. κουφότερον.

3) περὶ αὐτοῖς, scriptum est supra οἷς, ὧν: ergo legendum: περὶ αὐτῶν, quod Cdd. Aug. et Mon. non exhibent.

4) πραγμάτων, in C. Mon. omissum.

χρόνοις ὕστερον, ἃ δὴ καὶ κτήσασθαι πάντως καὶ τηρῆσαι φιλτάτοις ἀζήμια καὶ ἀλώβητα, μὴ οὐ τῶν ῥᾳδίων ἢ καὶ χωρὶς πόνων μεγίστων, καὶ πολλῆς τῆς ἐνασχολήσεως καὶ πολυμόχθου φροντίδος πᾶσιν ἀφειδῶς ἐγχειροῦντα καὶ προςκείμενον εὖ μάλα καρτερῶς, κἂν οὐκ ἔξω κινδύνων καὶ μεγίστης τῆς δυςχερείας, κἂν εἰ δικαίως τὲ καὶ ἀδίκως ἐνίοτε. Καὶ μὴν ὁ μὲν [5]) γάμος τεκνοποιΐας ἕνεκα μάλιστα καιρὸν ἔχει καὶ νενόμισται, ὡς ἂν δολιχεύειν τῇ συνεχείᾳ τῆς διαδοχῆς μικροῦ καὶ εἰς ἀθανασίαν τὴν φύσιν καὶ τὴν τὸ διαρκὲς κατὰ μέρος οὐκ ἔχουσαν μηχανᾶται σοφῶς [6]) ἡ κινήσασα τὴν ἀρχὴν πρόνοια διοικήσει καλλίστῃ ταῖς ἐπ' ἀλλήλοις διαδοχαῖςποῤῥωτάτω κομιδῇ διαρκεῖν καὶ ἱκνεῖσθαι. Κἂν εἰ μὴ τοῦτο προςείη [7]) τῷ γάμῳ, μηδὲ τοῦ σκοποῦ τυγχάνοι τῆς φύσεως, ἀλλ' ἐρημία τοῦ χρησίμου καὶ βιωφελοῦς ὄντως συνὼν ὁρῷτο, πάντων ἀηδέστατον τοῦτο, καὶ ζῶσιν οἱ γαμήσαντες αὐτόθεν νεκροὶ [8]), καὶ ὡς ἀληθῶς γῆς ἤχθη [9]) μόνον ἀσυντελεῖς ἑαυτοῖς καὶ τῷ κόσμῳ, ὥςπερ τὰ τῶν σκευῶν ἀχρεῖα τοῖς οἴκοι [10]) παρέῤῥιπται μηδενὸς λόγου καὶ αὐτοὶ τῷ βίῳ δικαίως ἂν ἄξιοι τῇ καθάπαξ ἀφυΐᾳ τῆς χρήσεως. Εἰ

5) καὶ μὴν ὁ μὲν, C. Mon. καὶ μὲν ὁ.

6) σοφῶς, C. Mon. σαφῶς, sed in margine σοφῶς.

7) προςείη, C. Mon. προςήει.

8) νεκροὶ, Cdd. Aug. et Mon. νεκρός.

9) ἤχθη, sic Cdd. nostri; at leg. ἄχθη.

10) οἴκοι, C. Mon. οἴκοις.

δ' ἄρ' ὁ γάμος ἐνεργὸς ᾖ πρὸς τὸν σκοπὸν τῆς φύσεως καὶ τέκνων εὐφορία λαμπρὰ, ἐντεῦθεν ἐκεῖνα πάντα τὰ χαλεπὰ κατὰ πᾶσαν ἀνάγκην ἕπεται, καὶ βάρη κατάχοντα [11]) φροντισμάτων, καὶ κύματ' ἐπ' ἀλλήλοις ἐγειρόμενα, καὶ κλύδωνες ἐνίοτε καὶ ναυάγια, καὶ οὐ μᾶλλόν γε σωμάτων ἢ ψυχῶν, καὶ πάντα πράγματα τοὺς λογισμοὺς ἀποστρέφοντα πρὸς ὀλιγωρίαν τῶν ὀφειλομένων τῇ κατὰ Χριστὸν βιοτῇ νόμων, καὶ τῆς εὐγενοῦς τοῦ βίου χρήσεως. Τἄλλα γὰρ νῦν ἐατέον ἴσως οὐκ ἔξω τοῦ καιροῦ, ὅσα καὶ κατὰ τὸν βίον αὐτὸν ἐντεῦθνν ξυνέπεται δυσχερῆ, καὶ οὐδὲν ἧττον ταῖς εὐτεκνίαις, ἢ ταῖς κακοτεκνίαις, ὅσα καὶ δούλους τριοβολιμαίους, καὶ πάσης ἐμπαροινήσεως ἀξίους καὶ χλεύης ἀποδεικνύοντα τοὺς τεκνοποιοὺς αὐτοὺς ὑπηρέτας τῆς φύσεως, ὡς μὴ ὄφελον. Καὶ πολλοὶ γὰρ αὐτῶν πανώλειαν ἑαυτῶν κατηύξαντο, πρὶν ἢ καὶ πειραθῆναι τοῦ γάμου, καὶ τοσούτων [12]) πειραθῆναι τῶν ἐξ αὐτοῦ καὶ τῆς εὐκταίας [13]) τεκνώσεως δυσχερῶν. Καὶ οὕτω μὲν τὰ τοῦ γάμου δοκεῖ, καὶ τῆς ἀληθείας οὐ παντάπασιν ἔξω δοκεῖ. Οὐ μὴν ἀλλ' ὃ καὶ φθάσαν ἤδη πρότερον εἴρηται, τὸ ταῦτα δὴ βούλεσθαι καὶ λέγειν ἀσύμφωνον παντάπασιν ἐστὶ

---

11) κατάχοντα, consonant Cdd. Aug. et Mon. et Paris. Germ. C. Paris. κατάγχοντα.

12) τοσούτων, C. Mon. τοσοῦτον.

13) εὐκταίας, Cdd. Aug. et Mon. εὐτέλας.

τῷ θείῳ σκοπῷ, καὶ πρὸς τὴν ἐξ ἀρχῆς τοῦ Θεοῦ περὶ τῶν ὄντων πρόνοιάν τε καὶ βούλησιν, καὶ κατὰ τῆς οὐσίας ὁρμαὶ ταῦτα καὶ βουλεύματα, καὶ πρόθεσις εἰς τοὐναντίον λύσιν τῆς φύσεως καὶ τῶν ὄντων φθορὰν ἀνέδην ἀνακηρύττουσα, καὶ πόλεμον ἄσπονδον ἀναιρουμένη [14]) κατὰ τῆς δημιουργίας τοῦ κόσμου καὶ τῆς μονῆς, ἣν ἀγαθότης ἐκίνησεν ἀεὶ τηροῦσα προνοίᾳ καλλίστῃ, ὡς ἄρ᾽ ἐστὶν εἰκὸς τοῦ ποιήματος τὸν ποιήσαντα προνοεῖν ἐκ παντὸς τρόπου, καὶ οὐκ ἀφειδὲς μόνον τῶν εἰκότων λογισμῶν εἰς τὴν περὶ Θεοῦ καὶ τῶν θείων εὐλάβειαν τὸ ταῦτ᾽ ἀξιοῦν ἐν ἀνθρώποις καὶ πείθειν καὶ τόλμης μεγίστης, ἀλλὰ καὶ κατὰ τῶν ἀδυνάτων καὶ φύσιν ὅλως οὐκ ἐχόντων, ἀνόητος ἐπιχείρησις μάτην πονοῦσα. Καὶ οἷα πολλάκις ἐν ὕπνοις ὄναρ ἀγωνίζονται [15]), καὶ σπουδάζουσι δῆθεν ἐν ἀναπλάσμασι φαντασίας ἄνθρωποι μετ᾽ ἀδείας ῥᾳστώνης, εὖ μάλα ῥᾷστα ποιούσης καὶ μεταποιούσης πάντα πράγματα, καὶ τὰ [16]) καθάπαξ ἔξω τῶν ὄντων καὶ τῆς φύσεως ἀνατυπούσης μόνον ὡς ἐν πίναξιν ἄπρακτα μὲν, ἀπρόσκοπα δέ. Καὶ οὐδὲν οὕτως ἄρα ταχὺ [17]) καὶ ῥᾴδιον, ὡς ἡ φανταστικὴ γραφὴ, καὶ τὰ κατὰ λογισμοὺς ἀνενέργητα δημιουργήματα. Καὶ δρᾷν γάρ ἐστιν

---

14) ἀναιρ. C. Aug. ἀναιρουμένην.

15) ἀγωνίζ. C. Mon. ἀγωνίζοντες.

16) τὰ, omittit C. Mon.

17) ταχὺ, C. Aug. τυχὴ.

αὐτόθεν εὖ μάλ᾽ ἀνυσίμως, ἃ μὴ πέφυκεν ὅλως καὶ τίθεσθαι καὶ πολιτεύεσθαι λόγοις μόνοις εὔδρομα καὶ φεύγειν, ὧν οὐκ ἔξεστι καὶ λύειν, καταστρέφειν καὶ παραπέμπειν φθορᾷ, καὶ φέρεσθαι, καθ᾽ ὧν ἂν ἐπίῃ τῷ λογισμῷ τρόπαια, καὶ τὰ κίνητα [18]) κινεῖν, καὶ ῥᾷον ἢ καὶ τὰ παίδων καὶ νηπίων ἀθύρματ᾽ ἔχει, καὶ δράματα, ἀρχὰς καὶ πολέμους, καὶ νίκας, καὶ γάμους, καὶ συμπόσια καὶ φιλοτησίας, καὶ πάντων πραγμάτων διαπλαττομένων ἀφελείας εὐκολίᾳ σκηνὴν, καὶ πειθόντων ἑαυτοὺς ἀνύτειν ἑκάστοτε κατὰ πρόθεσιν, ὥςτε καὶ τοῖς πραττομένοις εὖ μάλα ἥδεσθαι πάντ᾽ ἀλόγως καὶ μάτην πονοῦντας, χωρὶς δὲ τούτων οὐδ᾽ ἄλλως εὔλογον φεύγειν ἄττα [19]) δὴ καθάπαξ τῶν πραγμάτων καὶ ἀποτρέπεσθαι διὰ τὰς ἑπομένας ἔστιν ἃς δυςχερείας αὐτοῖς. Ἀλλ᾽ ἀγαπητὸν μὲν ἴσως, μᾶλλον δ᾽ εὐκταῖον ὄντως εἰς [20]) ῥᾷστ᾽ ἔχει παντάπασι τὰ κατ᾽ ἀνθρώπους πρακτέα, καὶ οἷς ἐστι χρῆσθαι, ὡς ἂν καὶ μεθ᾽ ἡδονῆς ἦν πειρᾶσθαι, ὧν δέοι ἂν πειρᾶσθαι καὶ πόνων ἐλευθερίας ἁπάντων. Ὅτε δὲ τοῦτ᾽ οὐκ [21]) ἔστιν οὐδὲ δίδωσιν ἡ φύσις καθόλου γ᾽, ὡς ἔπος εἰπεῖν, ἐπὶ πάντων πραγμάτων, ὅτε δὴ πᾶσα ἀνάγκη πειρᾶσθαι, ὧντινων ἄρα καὶ μάλιστα χρειωδέστατον ἡμῖν ἐστι·

18) τὰ κίνητα, C. Mon. τ᾽ ἀκίνητα.

19) ἄττα, Cdd. Aug. et Mon. ἅττα.

20) εἰς, C. Mon. non habet.

21) τοῦτ᾽ οὐκ, C. Mon. τ᾽ οὐκ.

πειρατέον εὖ μάλα, κἂν εἰ πάνυ τοι καματηρῶς εἴη, καὶ οὐκ ἀποδειλιατέον, οὐδ' ἀποτρεπτέον καθάπαξ τῶν βελτίστων ὅ τί ποτ' ἄρα τῷ βίῳ, δι' ἃ πέφυκεν ἀκολουθεῖν ἐν τούτοις ἐργώδη καὶ πονηρὰν ἐμποιοῦντα τὴν χρῆσιν. Οὐδὲν γὰρ ἂν τῶν χρησίμων καὶ μειζόνων τὲ καὶ ἡττόνων ἐν ἀνθρώποις ἀνύσιμον εἴη τούτου προηγουμένου τοῦ δέους, καὶ τῶν περὶ αὐτοῦ φροντισμάτων καὶ λογισμῶν, οὔτε πλευσεῖταί τις θάλασσαν διὰ τὴν ἐκ τῶν χειμώνων καὶ πάσης ἀντιπνοίας ἐπήρειαν, οὔτ' ἀρόσεται γῆν καὶ κατ' αὐτῆς θησαυρίσει σπέρματα φεύγων τὰ ξυνεπόμενα πλεῖσθ' ὅσα τῇδ' ἐναντίως ἔχοντα καὶ ζημιοῦντα πολλάκις μέγιστα, οὔτε φυτεύσει τὶς, οὔτε ζωοτροφήσει, οὔτ' ἐμπορεύσεται, οὔτε πᾶν ἄλλ' ὁτιοῦν διαπράξεται, οὐ τῶν ἐν μεγίστῳ λόγῳ, οὐ τῶν βαναύσων καὶ αὐτουργικῶν ἔργων, δι' ἃ πρόσεστιν ἑκάστοις ἐργώδη. Καὶ ξυμβαίνει πολλάκις δυςπραγήματα, καὶ βιωτέον ἂν εἴη, εἰ καὶ ὅλως εἴη, κατὰ τὸν Ὁμήρου Μαργίτην μηδὲν πονοῦντα, μηδενὸς ἐπαΐοντα. Ἀλλ' ἄκαιρος ὁ λόγος οὗτος καθάπαξ, καὶ πολλὴ ἀηδία καὶ νοεῖν ὅλως ταῦτα καὶ λέγειν, ἀλλ' ἀντιληπτέον ὧν δεῖ, καὶ ὧν ἔστι [22]) τις ὄνησις, ἢ τὶς ἐπείγουσ' ἀνάγκη καὶ χρῆσις, κἂν εἰ μάλιστά τινα καματηρὰ προςείη· ἔστι γὰρ καὶ ἀνύτειν ἐν σπουδῇ κατὰ λόγον καὶ ἀγαθῇ τύχῃ χρώμενον, ὥςπερ ἄρα καὶ περὶ τὸ γαμεῖν ὁρᾶν

22) ὧν ἔστι, Cdd. Aug. et Mon. ᾧ ἔστι.

ἐστιν, εἴ τις οἷός τ᾽ ἐστὶν ὁρᾷν, εὖ κἂν εἰ βέλτιον ἴσως τοῖς θείοις νόμοις ἡ ἀγαμία, ἀλλ᾽ οὐ καθόλου νόμος καὶ ἀνάγκη μὴ ἄλλως χρῆσθαι, ἀλλὰ καὶ γαμεῖν ἔξεστιν ἐπ᾽ εὐφορίᾳ καὶ ῥᾳστώνῃ κατὰ τὸν βίον, καὶ ἅμα μηδὲ τῶν θείων ἐκ τούτου νομίμων ὀλιγωρεῖν· οὐκ ἀδύνατον γάρ.

ΚΕΦ. οζ'.

Ὅτι παντὶ τρόπῳ τῷ πολιτικῷ ἀντιποιητέον εἰρήνης.

Ἔργον ἂν εἴη κοινὸν πολιτικῷ τε ἀνδρὶ καὶ ἅμα ζῆν ᾑρημένῳ χριστιανικῶς εἰρήνης ἐπιμέλεια κατὰ πάνθ᾽ ὡς οἷόν τε τρόπον οἴκοι τὲ καὶ πρὸς τοὺς ἐκ γειτόνων [1]), μεθ᾽ ὧν ἐστι πράγματ᾽ ἔχειν. Εἰρηνεύειν μέν γε μετ᾽ ἀλλήλων καὶ μετὰ πάντων ὡς ἔστιν εἰ δή τι καὶ ἄλλο τῶν ἁπάντων ἀναγκαιότατον χριστιανοῖς δόγμα καὶ ὄφλημα, καὶ δεῖγμα καὶ πίστις τῆς καθ᾽ ἡμᾶς θεοσεβείας, τίς ἀγνοεῖ; καὶ περιττὸν ἂν εἴη νῦν γε εἶναι λόγοις πολλοῖς ἀναδιδάσκειν καὶ πείθειν ἀξιοῦν, ὡς ἄρ᾽ ἀνθρώποις καλῶς τὰ θεῖα βιοῦσι χρήσιμον. Οὐ μὴν ἀλλὰ καὶ ἄλλως τοῖς κατὰ βίον πράγμασι μάλιστα σπουδαστέον ἐστὶν, ὡς ἄρα δὴ καρποφόρον παντὸς ἀγαθοῦ, καὶ οὐκ ἄλλως ἐστὶν εὐθηνεῖσθαι καὶ

1) ἐκ γειτόνων, scl. οἴκων. cf. Schaef. ad Lamb. Bos. Ellips. gr. p. 296. Saepius scribitur iunctim ἐκγειτόνων, vt c. 95. Fortasse hic legendum, vt in Cap. seq. ἐγγειτόνων et Capp. 71. 57. 58. et 40.

καλῶς πράττειν καὶ ἄρχουσι καὶ ἀρχομένοις· ὅτι μὴ ξὺν εἰρήνῃ πάσης ἀσχολίας ἀπηλλαγμένους καὶ πρὸς τὴν οἰκείαν εὐεξίαν πάντα τὸν νοῦν στρέφοντας, καὶ σπουδὴν πᾶσαν ποιουμένους ῥᾶστα προκόπτειν ἐν βελτίστοις. Καὶ βιοτῆς γὰρ ἐντεῦθεν πᾶσα ῥαστώνη καὶ οὐσιῶν αὔξησις καὶ προςοδημάτων πάντων, καὶ δυναμοποιόν ἐστιν εἰρήνη μάλιστα κράτος καὶ κατασκευάζειν κομιδῇ πᾶσαν χρείαν πέφυκεν εὔνομον, καὶ κόσμους ἐπὶ τῇ χρείᾳ, καὶ οἷα τρυφώντων ἀνθρώπων, καὶ ὥςπερ ἐνεορταζόντων τῇ ζωῇ, καὶ χρωμένων ὡς ἥδιστα, καὶ πᾶσαν τεχνῶν ἄσκησιν προάγει, καὶ σοφίας ἀπρόςκοπον καθάπαξ φοράν, καὶ χρῆσιν βιωφελεστάτην κοινῇ τε καὶ ἰδίᾳ, καὶ παλαιοῖς ἐπιδιδοῦσαν καὶ νέοις εὑρήμασι, καὶ πρεσβύτας τέρπουσαν καὶ καλλύνουσαν, καὶ νέους ἄγουσαν εὖ μάλα παντὶ τῷ πρέποντι, καὶ ταῖς ἄλλαις ἐνακμάζουσαν ἡλικίαις. Καὶ καθόλου γ' ἐρεῖν, οὐδενὶ τῶν κακίστων καὶ ἀλυσιτελῶν τοῖς κοινοῖς τε καὶ ἰδίοις τῶν ἀνθρώπων δίδωσι χώραν εἰρήνη τιμωμένη, καὶ σπουδῆς ἔργον οὖσα, ὥςπερ δῆθ' ἡ μάχιμος καὶ πολεμοποιὸς χρῆσις ἅπαν τοὐναντίον αὖθις· καὶ τὰ χαλεπὰ πάντα καὶ ἀποτρόπαια, καὶ ἀπευκταῖα ταύτῃ συνεισάγεται, καὶ παῤῥησίαν αὐτόθεν ἔχει πᾶσιν ἀνθρώποις, καὶ τῷ κοινῷ βίῳ δυςχρηστία καὶ δυςπραγία, ὕβρις, ἀπείθεια νόμων, ἀλογία τάξεως ἐθίμου καλῶς κρατούσης, τιμῆς ἱερῶν, τιμῆς γονέων, τιμῆς ἀρετῇ καὶ ἡλικίᾳ προεχόντων, καὶ γεραρῶν ἀνδρῶν, καὶ τιμᾶσθαι δικαίων,

ἔρις πρὸς ἀλλήλους, καὶ φθόνος, ἀναίδεια, θράσος, προπέτεια, ἁρπάγματα καὶ κλοπαὶ δημοσίων χρησίμων, ἁρπάγματα καὶ κλοπαὶ χρησίμων, χρήματα [1b]) πρὸς γυναῖκας, πρὸς ἱερῶν ἀσυλίαν· ἔτ' ἄλλ' ἐπὶ τούτοις χαλεπὰ, οἰκιῶν κατασκαφαὶ, κοινῶν τε καὶ ἰδιωτικῶν ἀγρῶν δηώσεις [2]), βοσκημάτων φθοραὶ, ἀργία πάντων τῶν εἰς τὸν βίον ὀνησίμων καὶ πάσης πορισμῶν ἀφορμῆς, καὶ οὐδὲν ὅ τι οὐ [3]) τῶν δεινῶν οὐκ ἐν πράγμασιν, οὐκ ἐν λόγοις, οὐκ ἐν παντὶ τρόπῳ. Καὶ τίς ἂν πάντα κατὰ θνητῶν ἀνθρώπων μυθήσαιτο, ἃ ξυνέπεται πάντα τῷ τῆς εἰρηνικῆς ἕξεως καὶ ἀγωγῆς ἀλλοτρίῳ βίῳ καὶ φθοροποιῷ πάντων ἀγαθῶν; Χωρὶς δὲ τούτων ὡς ἄρα δὴ καὶ τῶν θείων νομίμων καὶ τῆς ἱερᾶς ἁγιστείας καὶ περὶ τὰ θεῖα τιμῆς καὶ εὐλαβείας πᾶσα ξυνέπεται μάλιστ' αὐτόθεν ὀλιγωρία, καὶ περιφρονοῦνται μὲν ἑορταὶ καὶ τελεταὶ καὶ μυστήρια χρόνια καλῶς καὶ σεβάσμια σπουδαζόμενα, καὶ κοιναὶ συναυλίαι καὶ πάνδημοι κρότοι περὶ τὰ θεῖα, καὶ παντοῖα κάλλη [4]) καὶ φαιδρότητες· περιφρονεῖται δ' ἀρετῆς ἰδίᾳ πάσης ἐπιμέλεια, καὶ κοσμιότης βίου μετὰ τῶν [5]) ἐντολῶν τοῦ

1 b) χρήματα, Cdd. Mon. et Aug. sic supplent: χρήματα ἰδί' ἑκάστῳ πάντες βίαιοι τρόποι πρός.

2) δηώσεις, C. Mon. male δυνήσεις.

3) οὐ, Cdd. Aug. et Mon. οὔ.

4) καὶ παντοῖα κάλλη, omissa in C. Mon. orae tantum sunt adscripta.

5) τῶν, C. Mon. non exhibet.

Χριστοῦ, καὶ κατ' ὀλίγον ὑποχωρεῖ καὶ φθίνει τελευτῶσα καθάπαξ. Τίς ἀγνοεῖ, ἢ τίς ἂν εἰδὼς εὖ μάλα ταῦτ' ἐν δευτέρῳ θεῖτο μελαγχολῶν, ἢ οὐκ οἶδ' ὅ τι φῶ πρὸς τοσαύτην αλογιαν τὲ καὶ ἀναλγησίαν, καὶ βοσκηματώδη τρόπον ὄντως καὶ τῶν κατ' ἀνθρώπους ἀσύνετον βελτίστων; Καὶ μὴν εἰς τοῦτο δῆτ' ἄρα τὸ πολεμεῖν δεῆσαν, πολεμεῖν εὖ μάλ' οἷόν τ' εἶναι πολὺ τοῦτο βέλτιστ' ἔσται διὰ τῆς ἀποκαταστάσεως εἰρηναίας καὶ τῶν ἐντεῦθεν ἀγαθῶν παρασκευῆς εἰς τὸ πολεμεῖν. Καὶ οὐκ ἄλλως γε μὴν εἴη κἂν οἱςτισινοῦν πολεμητέα, ὅτι μὴ τέως φθάσασιν ἐνακμάσαι τοῖς τῆς εἰρήνης καλοῖς, καὶ κομιδῇ παρασκευάσασθαι γεννικῶς πρὸς τὴν τοῦ πολεμεῖν χρειαν. Ταῦτ' ἄρα καὶ παλαιός ἐστιν οὑτωσὶ λόγος κάλλιστ' εἰρημένος, ὡς ἄρ', ᾧ μάλιστα παρασκευαστέον ἐστὶν εἰς πόλεμον, ἐπιμελητέον αὐτῷ πρότερον ἂν εἴη μάλιστα τῆς εἰρήνης, ὡς ἐντεῦθεν πλείστην οὖσαν πορισμάτων καὶ δυνάμεως καὶ κράτους εὐκολίαν εἰς αὐτὴν τὴν τοῦ μάχεσθαι χρῆσιν προενσκευαζούσης καὶ ὁπλοποιούσης αὐτῆς μάλιστα τῆς εἰρήνης εἰς τοὺς ἑπομένους ἀναγκαστοὺς πολέμους, καὶ χορηγούσης τῶν κατὰ χρείαν τοῖς πολεμησείουσιν αὐτόθεν ἀφθονίαν τῆς τῶν οἰκείων ἀγαθῶν μετουσίας 6), ἃ πλεῖσθ', ἧπερ εἴρηται πρὸ βραχέος, εὖ δὴ μάλα κτᾶται τὸ πρότερον ἐν εἰρήνῃ βιοῦν καὶ ῥᾳστώνῃ πάντων

6) μετουσίας, C. Mon. μετουσίαν.

πορισμῶν, ὡς οὐδὲν μήποτ᾽ ἄλλο τῶν ἁπάντων πλούτου καὶ περιουσίας ἀναπηγάζον ῥεύματα καὶ κάλλιστ᾽ εὐφορίαν, ἢ τὸ εἰρηναῖον ἀμέλει καὶ ἀστασίαστον, καὶ μετὰ πάσης ἐντεῦθεν ἀδείας [7]), ὅποι ἂν δέοι, τὴν δὲ τῶν πολέμων αὐτῶν συνέχειαν ἐκτρύχουσαν καὶ οὐσίας καὶ σώματα, καὶ τὰς ἐσχάτας ἐπιφέρουσαν τελευτῶσαν ἀπορίας εἰς τὰ μάλιστ᾽ ἐπίχρεια, καὶ ἃ κατὰ πᾶσαν ἀνάγκην αἱ μάχαι πράττονται. Χρυσὸς γὰρ πολέμου νεῦρα, φασὶ, καὶ πλουτοῦσιν ὄντως ἐξέσται κρατερῶς ἀπομάχεσθαι, εἰ δὲ μὴ, κακῶς ἂν εἴη πράττειν αὐτίκα, καὶ πολύ γ᾽ ἧττω τῶν ἀκμαζόντων πλούτῳ κατὰ τὴν μάχην φέρεσθαι. Τοῦτο δὲ τῆς εἰρηναίας αἰτίας, ὡς ἔφην, ἐξῆπται, καὶ ποιηταὶ δὲ φασίν· ὦ γλυκεῖ᾽ εἰρήνη πλουτοδότειρα βροτοῖς.

ΚΕΦ. οή.

Ὅτι καὶ πρὸς τὸ πολεμεῖν παρασκευαστέον τῷ πολιτικῷ.

Παρασκευαστέον γε μὴν ἐστι τῷ πολιτικῷ, καθ᾽ ὅσον οἷόν τέ ἐστι, καὶ ὡς πολεμητέον αὐτῷ· καὶ πολεμητέον γὰρ ἐξ ἀνάγκης ἔσται, καὶ οὐκ ἀεὶ τὰ τῆς εἰρήνης ἀνθρώποις ἄτρεπτα μένειν πέφυκεν, οὐδ᾽, εἰ καὶ βούλεταί τις πάνυ τοι καὶ περὶ αὐτὴν ἐπιμελής ἐστι καὶ σπουδάζει κατ᾽ αὐτὴν χρῆσθαι παντὶ τρόπῳ, οἷός τέ ἐστιν

---

7) ἀδείας, Cdd. Aug. et Mon. ita supplent: ἀδείας θησαυρίζων βιώσεως ἀπορίαν πᾶσαν, καὶ χρίας (χρείας).

ἀεὶ κατ' αὐτὴν χρῆσθαι, καὶ τοῦ σκοποῦ τυγχάνειν, οὐδὲ συμφώνων τὸν ἀεὶ χρόνον περὶ αὐτὴν τῶν περὶ αὐτὸν [1]) καὶ συνεραστῶν εἰρήνης, καὶ ὁμοφρονούντων τὰ καλὰ πάντων ἐστὶ πειρᾶσθαι. Ἀλλ' εἰσὶ πάντως, οἳ καὶ τἀναντί' αἱροῦνται καὶ δυςέρωτές εἰσι τῶν φαύλων καὶ ἀλυσιτελῶν, καὶ ἢ βασκαίνουσιν, ἢ κατολιγωροῦσι τοῦ σωφρονικοῦ καὶ τῆς φιλοκαλίας, καὶ περιφρονοῦσιν ὡς εὐτελείας καὶ μικρογνωμοσύνης καὶ ἀνανδρίας κατὰ φύσιν, ὡς ἀνδρεῖοι δή τινες ὄντες αὐτοὶ καὶ δραστικοὶ [2]) μάλιστα καὶ κρατεῖν ἄξιοι, καὶ μετ' αὐτῆς δὴ τῆς φιλαυτίας ἢ προπετείας ἢ φιλέριδος καὶ μαχίμου γνώμης οὐ τελεσφορεῖν ξυγχωροῦσι τῷ βίῳ κατ' ἀνθρώπους τὰ κάλλιστα, ἀλλ' οἷοί τ' εἰσὶν ἑαυτοῖς καὶ ἄλλοις παρέχειν πράγματα, καὶ ἀναγκάζουσιν ἐκτρέπεσθαι τὰς ἐπαινετὰς αἱρέσεις καὶ τὰ περὶ τῶν καλῶν δόγματα. Καὶ γὰρ δὴ καὶ εὔσειστόν [3]) ἐστι κατ' ἀνθρώπους τἀγαθὸν καὶ σφόδρ' εὐεπιχείρητον [4]), καὶ ῥᾷστα δὴ καὶ παρὰ πλείστων πολεμούμενον καὶ πάσαις ἐπηρείαις ἀντιπραττούσαις ἐπιβούλως τὲ καὶ ἐπιμελῶς πολιορκεῖται κατὰ τὸν βίον, καὶ τοίνυν ἐξ ἀνάγκης καὶ τοῖς φίλοις μάλιστα τῆς εἰρήνης πολεμητέα, κἂν εἰ μὴ βούλοιντο, κἂν εἰ μάλιστα τῶν ἐναν-

---

1) περὶ αὐτὸν, C. Mon. περὶ αὐτῶν.

2) δραστικοί, Cdd. Aug. et Mon. στρατικοί. fors. στρατιοί.

3) εὔσειστον, C. Aug. vitiose ἔνσειστον.

4) εὐεπιχ. C. Mon. ἐπιχείριτον.

τίων σφᾶς πόθος ἔχοι. Ταῦτ᾽ ἄρα καὶ βιοτεύων τὶς μετὰ τοῦ τῆς εἰρήνης ἀσφαλοῦς ἐν ῥαστώνῃ καὶ διὰ σπουδῆς τὰ κατ᾽ αὐτὴν ποιούμενος, οὐδὲν ἧττον φροντίδα ποιείσθω καὶ τοῦ περὶ πολεμεῖν [5]) ἀσφαλοῦς, καὶ παρασκευαζέσθω πρὸς τὸ πολεμεῖν [ἀσφαλοῦς, καὶ παρασκευαζέσθω πρὸς τὸ πολεμεῖν] [6]) εὖ μάλ᾽, ὅτε δέοι ἂν, καὶ ἀεὶ παρασκευαζέσθω. Ὥςπερ γὰρ δὴ τοῖς πολεμησείουσιν, ᾗ δὴ πρότερον εἴρηται, τῶν τῆς εἰρήνης τέως ἀγαθῶν ἐξέσται πολεμεῖν, καὶ οὐκ ἄλλως ἐστὶν, ὅτι μὴ πρότερον ὡπλισμένοις [7]) ἐκεῖθεν ἐκ τῆς εἰρηνικῆς ῥαστώνης πρὸς τὴν μαχητικὴν εὐχρηστίαν, καὶ τούτου γε ἕνεκα μάλιστα δὴ σπουδαστέον ἐστὶν αὐτοῖς καὶ φροντιστέον περὶ τῆς εἰρήνης καὶ τῶν ἐξ αὐτῆς βελτίστων εἰς τὴν χρείαν καὶ τοὺς τῶν πολέμων ἔρωτας, τὸν αὐτὸν ἄρα τρόπον ἀνάπαλιν ἢ κατ᾽ ἐκείνους τοῖς μάλιστ᾽ ἐρῶσιν εἰρηνικῆς εὐνομίας καὶ γαλήνης παρασκευαστέον ἐστὶν ἐξ ἀνάγκης εὖ τὰ πολέμια, καὶ ὥςπερ ἀμέλει μαχουμένοις περὶ τοῦ παντὸς ὅσον οὐκ ἤδη, πάντα πόνον καὶ σπουδὴν πᾶσαν συνειςακτέον καὶ συντακτέον [8]), ὡς ἂν κράτιστ᾽ ἔχειν εἰς πολέμους καὶ τὰ τῶν πολέμων ἔργα, οὐ

5) περὶ πολ. C. Mon. iunctim περιπολεμεῖν.

6) ἀσφαλοῦς, καὶ παρασκευαζέσθω πρὸς τὸ πολεμεῖν, non repetuntur in Cdd. Mon. et Aug. Sine dubio a scriptore C. Ciz. temere sunt repetita. Vncis inclusimus.

7) ὡπλισμ. Cdd. Aug. et Mon. ὡπλισμένους.

8) καὶ συντακτ. desunt in C. Mon.

πόῤῥω δὴ τοῦ πολεμεῖν ὄντας, ἀλλ' αὐτίκα δὴ καὶ μετὰ δευτέραν 9) ἢ τρίτην τάχισθ' ἡμέραν μαχησομένους. Σχεδὸν γὰρ τοῖς οὕτω δὴ παρασκευαζομένοις καὶ προδιοικοῦσι τὴν χρείαν ἐξέσται μάλιστ' εἰρήνῃ 10) βιοῦν, καὶ τῆς μαχίμου δυναστείας καὶ βίας ἀπηλλάχθαι· οἷς δ' ὀλίγον μέλει τῆς περὶ τοὺς πολέμους παρασκευῆς καὶ ζῶσι πρὸς ἓν μόνον ὁρῶντες, καὶ τούτῳ καθάπαξ τὸν νοῦν προσέχοντες, ὡς ἂν τὸν ἅπαντα χρόνον ἐν εἰρήνῃ βιωσόμενοι, καὶ πόῤῥω δὴ παντάπασι τῶν πολεμίων ἔργων, τούτοις οὐκ ἐξέσται κατὰ σκοπὸν μάλιστα ζῆν, ἀλλ' ἢ δούλοις καὶ πάντα φέρουσιν ἀνύποιστα καὶ ἀδόκητα, ἢ πολεμεῖν γε πᾶσαν ἀνάγκην ἔχουσιν ἀπαρασκεύοις καὶ κακῶς χρῆσθαι τῷ καιρῷ τῶν ἔργων τὰ τῆς χρείας φιλοπονοῦσιν, ὃ πάντων ἐστὶν ἐργωδέστατον. Πάντες γάρ, ὡς εἰπεῖν, τῶν ἀνθρώπων ὡς πρὸς ἑτοίμην τὴν λείαν καὶ κέρδη ῥᾴδια μηδένα τῶν δικαίων λόγον ποιούμενοι, μάλιστ' ἐπιτίθενται τοῖς εἰρήνην μόνην ἔχουσιν ἔργον, καὶ ταύτῃ θαῤῥοῦσι, καὶ πᾶσαν τὴν τῆς ζωῆς χρῆσιν ἀξιοῦσιν, ἀτρέπτως ταύτῃ προσέχειν ἀμελῶς παντάπασι καὶ ἀλογίστως τῶν τῆς μάχης πόνων τε καὶ ὁπλισμάτων. Τοῦτο μέν γε καὶ ἀκριβῶς οἶδ' ἔγωγε καὶ πεπείραμαι μάλιστ', εἰ δή τις τῶν ἐν λόγοις τραφέντων, καὶ

---

9) καὶ μετὰ δευτέραν, C. Mon. modo margini adscripta exhibet.

10) εἰρήνῃ βιοῦν, fors. ἐν εἰρ. βιοῦν, vt mox dic. ἐν εἰρήνῃ βιωσόμενοι.

αὐτὸς συμβιώσας τοιοῖςδε πράγμασι, καὶ συνὼν τὸν ἀεὶ χρόνον σχεδὸν εἰρηναίοις καὶ μαχίμοις ἔργοις καὶ πολιτεύμασιν ἐπὶ τῶν κοινῶν τῆς καθ᾽ ἡμᾶς ἡγεμονίας φροντίζειν ἔχων καὶ παραβάλλεσθαι καιρῶν τῶνδε καὶ πραγμάτων τῶνδε νοσερῶς ἀγομένων, καὶ οὐκ ἐῤῥαστωνευμένως ὁπηοῦν [11]), οἴκοι τε καὶ τῶν ἐγγειτόνων [12]) δεσποτῶν οὐκ ἀσεβῶν μόνον, ἀλλὰ καὶ οἷς κοινὴ κατὰ Χριστὸν πίστις, καὶ θεοσεβείας δόγματα, μεθ᾽ ὧν ἡμῖν ἐστιν ἀνάγκη συνδιαφέρειν τὸν βίον ἐπὶ ῥητοῖς, καὶ παντοῖ᾽ ἔχειν συνθήματα, τοῦτο μὲν εἰρηναῖα, τοῦτο δὲ πολέμια. Κἄγωγ᾽ αὐτὸς ταύτῃ γ᾽ ἐχρησάμην πάνυ τοι καὶ πρεςβείαις τέως ἐκλόγιμος ἐννεάσας, καὶ πόλλ᾽ ἔτη γε ἤδη τῷ δεσπότῃ συντελῶν πᾶν τὸ γιγνόμενον ἐπὶ τῇ κοινῇ διοικήσει, τὰ μὲν ἤθους πίστει, τὰ δὲ καὶ συνέσεως ὅτῳ [13]) δή. Καὶ σιωπητέον εὐλαβούμενον πρὸς νέμεσιν, πλήν γε ὅτι περιῆν [14]) νῦν ὁ λόγος, εὖ μάλα δὴ πεπειραμένος φημὶ, πλεῖστον ἐνασχοληθεὶς καὶ τὸν ἀεὶ χρόνον τούτοις ἐνασχολούμενος. Καί φημί γε, ὡς ᾧ τὰ κατ᾽ εἰρήνην βιοῦν, καὶ τὰ τῆς εἰρήνης ἀγαθὰ μέλει, καὶ δίκαιόν ἐστι μέλειν οὕτω δὴ παντὶ

---

11) ὁπηοῦν, C. Aug. ὁποιοῦν.

12) ἐγγειτόνων, consonant Cdd. Aug. et Mon. an legendum, vt C. οζ΄. init., ἐκ γειτόνων? minime, nam ἀνθρώπων ἐγγειτόνων Theodor. iam exhibuit c. 38. 40. et 71.

13) ὅτῳ, C. Aug. οὕτῳ.

14) περιῆν, Cdd. Mon. et Aug. περὶ ἦν.

πειρατέον εὖ μάλα, κἂν εἰ πάνυ τοι καματηρῶς εἴη, καὶ οὐκ ἀποδειλιατέον, οὐδ' ἀποτρεπτέον καθάπαξ τῶν βελτίστων ὅ τί ποτ' ἄρα τῷ βίῳ, δι' ἃ πέφυκεν ἀκολουθεῖν ἐν τούτοις ἐργώδη καὶ πονηρὰν ἐμποιοῦντα τὴν χρῆσιν. Οὐδὲν γὰρ ἂν τῶν χρησίμων καὶ μειζόνων τὲ καὶ ἡττόνων ἐν ἀνθρώποις ἀνύσιμον εἴη τούτου προηγουμένου τοῦ δέους, καὶ τῶν περὶ αὐτοῦ φροντισμάτων καὶ λογισμῶν, οὔτε πλευσεῖταί τις θάλασσαν διὰ τὴν ἐκ τῶν χειμώνων καὶ πάσης ἀντιπνοίας ἐπήρειαν, οὔτ' ἀρόσεται γῆν καὶ κατ' αὐτῆς θησαυρίσει σπέρματα φεύγων τὰ ξυνεπόμενα πλεῖσθ' ὅσα τῇδ' ἐναντίως ἔχοντα καὶ ζημιοῦντα πολλάκις μέγιστα, οὔτε φυτεύσει τὶς, οὔτε ζωοτροφήσει, οὔτ' ἐμπορεύσεται, οὔτε πᾶν ἄλλ' ὁτιοῦν διαπράξεται, οὐ τῶν ἐν μεγίστῳ λόγῳ, οὐ τῶν βαναύσων καὶ αὐτουργικῶν ἔργων, δι' ἃ πρόσεστιν ἑκάστοις ἐργώδη. Καὶ ξυμβαίνει πολλάκις δυςπραγήματα, καὶ βιωτέον ἂν εἴη, εἰ καὶ ὅλως εἴη, κατὰ τὸν Ὁμήρου Μαργίτην μηδὲν πονοῦντα, μηδενὸς ἐπαΐοντα. Ἀλλ' ἄκαιρος ὁ λόγος οὗτος καθάπαξ, καὶ πολλὴ ἀηδία καὶ νοεῖν ὅλως ταῦτα καὶ λέγειν, ἀλλ' ἀντιληπτέον ὧν δεῖ, καὶ ὧν ἔστι [22]) τις ὄνησις, ἢ τὶς ἐπείγουσ' ἀνάγκη καὶ χρῆσις, κἂν εἰ μάλιστά τινα καματηρὰ προςείη· ἔστι γὰρ καὶ ἀνύτειν ἐν σπουδῇ κατὰ λόγον καὶ ἀγαθῇ τύχῃ χρώμενον, ὥςπερ ἄρα καὶ περὶ τὸ γαμεῖν ὁρᾷν

22) ὧν ἔστι, Cdd. Aug. et Mon. ᾧ ἔστι.

ἐστιν, εἴ τις οἷός τ' ἐστὶν ὁρᾷν, εὖ κἂν εἰ βέλτιον ἴσως τοῖς θείοις νόμοις ἡ ἀγαμία, ἀλλ' οὐ καθόλου νόμος καὶ ἀνάγκη μὴ ἄλλως χρῆσθαι, ἀλλὰ καὶ γαμεῖν ἔξεστιν ἐπ' εὐφορίᾳ καὶ ῥᾳστώνῃ κατὰ τὸν βίον, καὶ ἅμα μηδὲ τῶν θείων ἐκ τούτου νομίμων ὀλιγωρεῖν· οὐκ ἀδύνατον γάρ.

ΚΕΦ. οζ'.

Ὅτι παντὶ τρόπῳ τῷ πολιτικῷ ἀντιποιητέον εἰρήνης.

Ἔργον ἂν εἴη κοινὸν πολιτικῷ τε ἀνδρὶ καὶ ἅμα ζῆν ᾑρημένῳ χριστιανικῶς εἰρήνης ἐπιμέλεια κατὰ πάνθ' ὡς οἷόν τε τρόπον οἴκοι τὲ καὶ πρὸς τοὺς ἐκ γειτόνων [1]), μεθ' ὧν ἐστι πράγματ' ἔχειν. Εἰρηνεύειν μέν γε μετ' ἀλλήλων καὶ μετὰ πάντων ὡς ἔστιν εἰ δή τι καὶ ἄλλο τῶν ἁπάντων ἀναγκαιότατον χριστιανοῖς δόγμα καὶ ὄφλημα, καὶ δεῖγμα καὶ πίστις τῆς καθ' ἡμᾶς θεοσεβείας, τίς ἀγνοεῖ; καὶ περιττὸν ἂν εἴη νῦν γε εἶναι λόγοις πολλοῖς ἀναδιδάσκειν καὶ πείθειν ἀξιοῦν, ὡς ἄρ' ἀνθρώποις καλῶς τὰ θεῖα βιοῦσι χρήσιμον. Οὐ μὴν ἀλλὰ καὶ ἄλλως τοῖς κατὰ βίον πράγμασι μάλιστα σπουδαστέον ἐστὶν, ὡς ἄρα δὴ καρποφόρον παντὸς ἀγαθοῦ, καὶ οὐκ ἄλλως ἐστὶν εὐθηνεῖσθαι καὶ

---

1) ἐκ γειτόνων, scl. οἴκων. cf. Schaef. ad Lamb. Bos. Ellips. gr. p. 296. Saepius scribitur iunctim ἐκγειτόνων, vt c. 95. Fortasse hic legendum, vt in Cap. seq. ἐγγειτόνων et Capp. 71. 57. 58. et 40.

καλῶς πράττειν καὶ ἄρχουσι καὶ ἀρχομένοις· ὅτι μὴ ξὺν εἰρήνῃ πάσης ἀσχολίας ἀπηλλαγμένους καὶ πρὸς τὴν οἰκείαν εὐεξίαν πάντα τὸν νοῦν στρέφοντας, καὶ σπουδὴν πᾶσαν ποιουμένους ῥᾶστα προκόπτειν ἐν βελτίστοις. Καὶ βιοτῆς γὰρ ἐντεῦθεν πᾶσα ῥαστώνη καὶ οὐσιῶν αὔξησις καὶ προσοδημάτων πάντων, καὶ δυναμοποιόν ἐστιν εἰρήνη μάλιστα κράτος καὶ κατασκευάζειν κομιδῇ πᾶσαν χρείαν πέφυκεν εὔνομον, καὶ κόσμους ἐπὶ τῇ χρείᾳ, καὶ οἷα τρυφώντων ἀνθρώπων, καὶ ὥσπερ ἐνεορταζόντων τῇ ζωῇ, καὶ χρωμένων ὡς ἥδιστα, καὶ πᾶσαν τεχνῶν ἄσκησιν προάγει, καὶ σοφίας ἀπρόσκοπον καθάπαξ φορὰν, καὶ χρῆσιν βιωφελεστάτην κοινῇ τε καὶ ἰδίᾳ, καὶ παλαιοῖς ἐπιδιδοῦσαν καὶ νέοις εὑρήμασι, καὶ πρεσβύτας τέρπουσαν καὶ καλλύνουσαν, καὶ νέους ἄγουσαν εὖ μάλα παντὶ τῷ πρέποντι, καὶ ταῖς ἄλλαις ἐνακμάζουσαν ἡλικίαις. Καὶ καθόλου γ' ἐρεῖν, οὐδενὶ τῶν κακίστων καὶ ἀλυσιτελῶν τοῖς κοινοῖς τε καὶ ἰδίοις τῶν ἀνθρώπων δίδωσι χώραν εἰρήνη τιμωμένη, καὶ σπουδῆς ἔργον οὖσα, ὥσπερ δῆθ' ἡ μάχιμος καὶ πολεμοποιὸς χρῆσις ἅπαν τοὐναντίον αὖθις· καὶ τὰ χαλεπὰ πάντα καὶ ἀποτρόπαια, καὶ ἀπευκταῖα ταύτῃ συνεισάγεται, καὶ παῤῥησίαν αὐτόθεν ἔχει πᾶσιν ἀνθρώποις, καὶ τῷ κοινῷ βίῳ δυσχρηστία καὶ δυσπραγία, ὕβρις, ἀπείθεια νόμων, ἀλογία τάξεως ἐθίμου καλῶς κρατούσης, τιμῆς ἱερῶν, τιμῆς γονέων, τιμῆς ἀρετῇ καὶ ἡλικίᾳ προεχόντων, καὶ γεραρῶν ἀνδρῶν, καὶ τιμᾶσθαι δικαίων,

ἔρις πρὸς ἀλλήλους. καὶ φθόνος, ἀναίδεια, θράσος, προπέτεια, ἁρπάγματα καὶ κλοπαὶ δημοσίων χρησίμων, ἁρπάγματα καὶ κλοπαὶ χρησίμων, χρήματα [1 b]) πρὸς γυναῖκας, πρὸς ἱερῶν ἀσυλίαν· ἔτ' ἄλλ' ἐπὶ τούτοις χαλεπὰ, οἰκιῶν κατασκαφαὶ, κοινῶν τε καὶ ἰδιωτικῶν ἀγρῶν δηώσεις [2]), βοσκημάτων φθοραὶ, ἀργία πάντων τῶν εἰς τὸν βίον ὀνησίμων καὶ πάσης πορισμῶν ἀφορμῆς, καὶ οὐδὲν ὅ τι οὐ [3]) τῶν δεινῶν οὐκ ἐν πράγμασιν, οὐκ ἐν λόγοις, οὐκ ἐν παντὶ τρόπῳ. Καὶ τίς ἂν πάντα κατὰ θνητῶν ἀνθρώπων μυθήσαιτο, ἃ ξυνέπεται πάντα τῷ τῆς εἰρηνικῆς ἕξεως καὶ ἀγωγῆς ἀλλοτρίῳ βίῳ καὶ φθοροποιῷ πάντων ἀγαθῶν; Χωρὶς δὲ τούτων ὡς ἄρα δὴ καὶ τῶν θείων νομίμων καὶ τῆς ἱερᾶς ἁγιστείας καὶ περὶ τὰ θεῖα τιμῆς καὶ εὐλαβείας πᾶσα ξυνέπεται μάλιστ' αὐτόθεν ὀλιγωρία, καὶ περιφρονοῦνται μὲν ἑορταὶ καὶ τελεταὶ καὶ μυστήρια χρόνια καλῶς καὶ σεβάσμια σπουδαζόμενα, καὶ κοιναὶ συναυλίαι καὶ πάνδημοι κρότοι περὶ τὰ θεῖα, καὶ παντοῖα κάλλη [4]) καὶ φαιδρότητες· περιφρονεῖται δ' ἀρετῆς ἰδίᾳ πάσης ἐπιμέλεια, καὶ κοσμιότης βίου μετὰ τῶν [5]) ἐντολῶν τοῦ

1 b) χρήματα, Cdd. Mon. et Aug. sic supplent: χρήματα ἰδίᾳ ἑκάστῳ πάντες βίαιοι τρόποι πρός.

2) δηώσεις, C. Mon. male δυνήσεις.

3) οὐ, Cdd. Aug. et Mon. οὗ.

4) καὶ παντοῖα κάλλη, omissa in C. Mon. orae tantum sunt adscripta.

5) τῶν, C. Mon. non exhibet.

Χριστοῦ, καὶ κατ' ὀλίγον ὑποχωρεῖ καὶ φθίνει τελευτῶσα καθάπαξ. Τίς ἀγνοεῖ, ἢ τίς ἂν εἰδὼς εὖ μάλα ταῦτ' ἐν δευτέρῳ θεῖτο μελαγχολῶν, ἢ οὐκ οἶδ' ὅ τι φῶ πρὸς τοσαύτην αλογιαν τε καὶ ἀναλγησίαν, καὶ βοσκηματώδη τρόπον ὄντως καὶ τῶν κατ' ἀνθρώπους ἀσύνετον βελτίστων; Καὶ μὴν εἰς τοῦτο δῆτ' ἄρα τὸ πολεμεῖν δεῆσαν, πολεμεῖν εὖ μάλ' οἷόν τ' εἶναι πολὺ τοῦτο βέλτιστ' ἔσται διὰ τῆς ἀποκαταστάσεως εἰρηναίας καὶ τῶν ἐντεῦθεν ἀγαθῶν παρασκευῆς εἰς τὸ πολεμεῖν. Καὶ οὐκ ἄλλως γε μὴν εἴη κἂν οἷςτισινοῦν πολεμητέα, ὅτι μὴ τέως φθάσασιν ἐνακμάσαι τοῖς τῆς εἰρήνης καλοῖς, καὶ κομιδῇ παρασκευάσασθαι γεννικῶς πρὸς τὴν τοῦ πολεμεῖν χρειαν. Ταῦτ' ἄρα καὶ παλαιὸς ἐστιν οὑτωσὶ λόγος κάλλιστ' εἰρημένος, ὡς ἄρ', ᾧ μάλιστα παρασκευαστέον ἐστὶν εἰς πόλεμον, ἐπιμελητέον αὐτῷ πρότερον ἂν εἴη μάλιστα τῆς εἰρήνης, ὡς ἐντεῦθεν πλείστην οὖσαν πορισμάτων καὶ δυνάμεως καὶ κράτους εὐκολίαν εἰς αὐτὴν τὴν τοῦ μάχεσθαι χρῆσιν προενσκευαζούσης καὶ ὁπλοποιούσης αὐτῆς μάλιστα τῆς εἰρήνης εἰς τοὺς ἑπομένους ἀναγκαστοὺς πολέμους, καὶ χορηγούσης τῶν κατὰ χρείαν τοῖς πολεμησείουσιν αὐτόθεν ἀφθονίαν τῆς τῶν οἰκείων ἀγαθῶν μετουσίας [6]), ἃ πλεῖσθ', ἧπερ εἴρηται πρὸ βραχέος, εὖ δὴ μάλα κτᾶται τὸ πρότερον ἐν εἰρήνῃ βιοῦν καὶ ῥᾳστώνῃ πάντων

6) μετουσίας, C. Mon. μετουσίαν.

πορισμῶν, ὡς οὐδὲν μήποτ' ἄλλο τῶν ἁπάντων πλούτου καὶ περιουσίας ἀναπηγάζον ῥεύματα καὶ κάλλιστ' εὐφορίαν, ἢ τὸ εἰρηναῖον ἀμέλει καὶ ἀστασίαστον, καὶ μετὰ πάσης ἐντεῦθεν ἀδείας 7), ὅποι ἂν δέοι, τὴν δὲ τῶν πολέμων αὐτῶν συνέχειαν ἐκτρύχουσαν καὶ οὐσίας καὶ σώματα, καὶ τὰς ἐσχάτας ἐπιφέρουσαν τελευτῶσαν ἀπορίας εἰς τὰ μάλιστ' ἐπίχρεια, καὶ ἃ κατὰ πᾶσαν ἀνάγκην αἱ μάχαι πράττονται. Χρυσὸς γὰρ πολέμου νεῦρα, φασὶ, καὶ πλουτοῦσιν ὄντως ἐξέσται κρατερῶς ἀπομάχεσθαι, εἰ δὲ μὴ, κακῶς ἂν εἴη πράττειν αὐτίκα, καὶ πολύ γ' ἥττω τῶν ἀκμαζόντων πλούτῳ κατὰ τὴν μάχην φέρεσθαι. Τοῦτο δὲ τῆς εἰρηναίας αἰτίας, ὡς ἔφην, ἐξῆπται, καὶ ποιηταὶ δὲ φασίν· ὦ γλυκεῖ' εἰρήνη πλουτοδότειρα βροτοῖς.

ΚΕΦ. οή.

Ὅτι καὶ πρὸς τὸ πολεμεῖν παρασκευαστέον τῷ πολιτικῷ.

Παρασκευαστέον γε μὴν ἐστι τῷ πολιτικῷ, καθ' ὅσον οἷόν τέ ἐστι, καὶ ὡς πολεμητέον αὐτῷ· καὶ πολεμητέον γὰρ ἐξ ἀνάγκης ἔσται, καὶ οὐκ ἀεὶ τὰ τῆς εἰρήνης ἀνθρώποις ἄτρεπτα μένειν πέφυκεν, οὐδ', εἰ καὶ βούλεταί τις πάνυ τοι καὶ περὶ αὐτὴν ἐπιμελής ἐστι καὶ σπουδάζει κατ' αὐτὴν χρῆσθαι παντὶ τρόπῳ, οἷός τέ ἐστιν

7) ἀδείας, Cdd. Aug. et Mon. ita supplent: ἀδείας θησαυρίζων βιώσεως ἀπορίαν πᾶσαν, καὶ χρίας (χρείας).

ἀεὶ κατ' αὐτὴν χρῆσθαι, καὶ τοῦ σκοποῦ τυγχάνειν, οὐδὲ συμφώνων τὸν ἀεὶ χρόνον περὶ αὐτὴν τῶν περὶ αὐτὸν [1]) καὶ συνεραστῶν εἰρήνης, καὶ ὁμοφρονούντων τὰ καλὰ πάντων ἐστὶ πειρᾶσθαι. Ἀλλ' εἰσὶ πάντως, οἳ καὶ τἀναντί' αἱροῦνται καὶ δυςέρωτές εἰσι τῶν φαύλων καὶ ἀλυσιτελῶν, καὶ ἢ βασκαίνουσιν, ἢ κατολιγωροῦσι τοῦ σωφρονικοῦ καὶ τῆς φιλοκαλίας, καὶ περιφρονοῦσιν ὡς εὐτελείας καὶ μικρογνωμοσύνης καὶ ἀνανδρίας κατὰ φύσιν, ὡς ἀνδρεῖοι δή τινες ὄντες αὐτοὶ καὶ δραστικοὶ [2]) μάλιστα καὶ κρατεῖν ἄξιοι, καὶ μετ' αὐτῆς δὴ τῆς φιλαυτίας ἢ προπετείας ἢ φιλέριδος καὶ μαχίμου γνώμης οὐ τελεσφορεῖν ξυγχωροῦσι τῷ βίῳ κατ' ἀνθρώπους τὰ κάλλιστα, ἀλλ' οἷοί τ' εἰσὶν ἑαυτοῖς καὶ ἄλλοις παρέχειν πράγματα, καὶ ἀναγκάζουσιν ἐκτρέπεσθαι τὰς ἐπαινετὰς αἱρέσεις καὶ τὰ περὶ τῶν καλῶν δόγματα. Καὶ γὰρ δὴ καὶ εὔσειστόν [3]) ἐστι κατ' ἀνθρώπους τἀγαθὸν καὶ σφόδρ' εὐεπιχείρητον [4]), καὶ ῥᾷστα δὴ καὶ παρὰ πλείστων πολεμούμενον καὶ πάσαις ἐπηρείαις ἀντιπραττούσαις ἐπιβούλως τε καὶ ἐπιμελῶς πολιορκεῖται κατὰ τὸν βίον, καὶ τοίνυν ἐξ ἀνάγκης καὶ τοῖς φίλοις μάλιστα τῆς εἰρήνης πολεμητέα, κἂν εἰ μὴ βούλοιντο, κἂν εἰ μάλιστα τῶν ἐναν-

---

1) περὶ αὐτὸν, C. Mon. περὶ αὐτῶν.

2) δραστικοί, Cdd. Aug. et Mon. στρατικοί, fors. στρατιοί.

3) εὔσειστον, C. Aug. vitiose ἔνσειστον.

4) εὐεπιχ. C. Mon. ἐπιχείρητον.

τίων σφᾶς πόθος ἔχοι. Ταῦτ' ἄρα καὶ βιοτεύων τὶς μετὰ τοῦ τῆς εἰρήνης ἀσφαλοῦς ἐν ῥαστώνῃ καὶ διὰ σπουδῆς τὰ κατ' αὐτὴν ποιούμενος, οὐδὲν ἧττον φροντίδα ποιείσθω καὶ τοῦ περὶ πολεμεῖν [5]) ἀσφαλοῦς, καὶ παρασκευαζέσθω πρὸς τὸ πολεμεῖν [ἀσφαλοῦς, καὶ παρασκευαζέσθω πρὸς τὸ πολεμεῖν] [6]) εὖ μάλ', ὅτε δέοι ἄν, καὶ ἀεὶ παρασκευαζέσθω. Ὥςπερ γὰρ δὴ τοῖς πολεμησείουσιν, ᾗ δὴ πρότερον εἴρηται, τῶν τῆς εἰρήνης τέως ἀγαθῶν ἐξέσται πολεμεῖν, καὶ οὐκ ἄλλως ἐστὶν, ὅτι μὴ πρότερον ὡπλισμένοις [7]) ἐκεῖθεν ἐκ τῆς εἰρηνικῆς ῥαστώνης πρὸς τὴν μαχητικὴν εὐχρηστίαν, καὶ τούτου γε ἕνεκα μάλιστα δὴ σπουδαστέον ἐστὶν αὐτοῖς καὶ φροντιστέον περὶ τῆς εἰρήνης καὶ τῶν ἐξ αὐτῆς βελτίστων εἰς τὴν χρείαν καὶ τοὺς τῶν πολέμων ἔρωτας, τὸν αὐτὸν ἄρα τρόπον ἀνάπαλιν ἢ κατ' ἐκείνους τοῖς μάλιστ' ἐρῶσιν εἰρηνικῆς εὐνομίας καὶ γαλήνης παρασκευαστέον ἐστὶν ἐξ ἀνάγκης εὖ τὰ πολέμια, καὶ ὥςπερ ἀμέλει μαχουμένοις περὶ τοῦ παντὸς ὅσον οὐκ ἤδη, πάντα πόνον καὶ σπουδὴν πᾶσαν συνεισακτέον καὶ συνταχτέον [8]), ὡς ἂν κράτιστ' ἔχειν εἰς πολέμους καὶ τὰ τῶν πολέμων ἔργα, οὐ

---

5) περὶ πολ. C. Mon. iunctim περιπολεμεῖν.

6) ἀσφαλοῦς, καὶ παρασκευαζέσθω πρὸς τὸ πολεμεῖν, non repetuntur in Cdd. Mon. et Aug. Sine dubio a scriptore C. Ciz. temere sunt repetita. Vncis inclusimus.

7) ὡπλισμ. Cdd. Aug. et Mon. ὡπλισμένους.

8) καὶ συντακτ. desunt in C. Mon.

πόῤῥω δὴ τοῦ πολεμεῖν ὄντας, ἀλλ᾽ αὐτίκα δὴ καὶ μετὰ δευτέραν [9]) ἢ τρίτην τάχισθ᾽ ἡμέραν μαχησομένους. Σχεδὸν γὰρ τοῖς οὕτω δὴ παρασκευαζομένοις καὶ προδιοικοῦσι τὴν χρείαν ἐξέσται μάλιστ᾽ εἰρήνῃ [10]) βιοῦν, καὶ τῆς μαχίμου δυναστείας καὶ βίας ἀπηλλάχθαι· οἷς δ᾽ ὀλίγον μέλει τῆς περὶ τοὺς πολέμους παρασκευῆς καὶ ζῶσι πρὸς ἓν μόνον ὁρῶντες, καὶ τούτῳ καθάπαξ τὸν νοῦν προσέχοντες, ὡς ἂν τὸν ἅπαντα χρόνον ἐν εἰρήνῃ βιωσόμενοι, καὶ πόῤῥω δὴ παντάπασι τῶν πολεμίων ἔργων, τούτοις οὐκ ἐξέσται κατὰ σκοπὸν μάλιστα ζῇν, ἀλλ᾽ ἢ δούλοις καὶ πάντα φέρουσιν ἀνύποιστα καὶ ἀδόκητα, ἢ πολεμεῖν γε πᾶσαν ἀνάγκην ἔχουσιν ἀπαρασκεύοις καὶ κακῶς χρῆσθαι τῷ καιρῷ τῶν ἔργων τὰ τῆς χρείας φιλοπονοῦσιν, ὃ πάντων ἐστὶν ἐργωδέστατον. Πάντες γὰρ, ὡς εἰπεῖν, τῶν ἀνθρώπων ὡς πρὸς ἑτοίμην τὴν λεὶαν καὶ κέρδη ῥᾴδια μηδένα τῶν δικαίων λόγον ποιούμενοι, μάλιστ᾽ ἐπιτίθενται τοῖς εἰρήνην μόνην ἔχουσιν ἔργον, καὶ ταύτῃ θαῤῥοῦσι, καὶ πᾶσαν τὴν τῆς ζωῆς χρῆσιν ἀξιοῦσιν, ἀτρέπτως ταύτῃ προσέχειν ἀμελῶς παντάπασι καὶ ἀλογίστως τῶν τῆς μάχης πόνων τε καὶ ὁπλισμάτων. Τοῦτο μέν γε καὶ ἀκριβῶς οἶδ᾽ ἔγωγε καὶ πεπείραμαι μάλιστ᾽, εἰ δή τις τῶν ἐν λόγοις τραφέντων, καὶ

---

9) καὶ μετὰ δευτέραν, C. Mon. modo margini adscripta exhibet.

10) εἰρήνῃ βιοῦν, fors. ἐν εἰρ. βιοῦν, vt mox dic. ἐν εἰρήνῃ βιωσόμενοι.

αὐτὸς συμβιώσας τοιοῖςδε πράγμασι, καὶ συνὼν τὸν ἀεὶ χρόνον σχεδὸν εἰρηναίοις καὶ μαχίμοις ἔργοις καὶ πολιτεύμασιν ἐπὶ τῶν κοινῶν τῆς καθ' ἡμᾶς ἡγεμονίας φροντίζειν ἔχων καὶ παραβάλλεσθαι καιρῶν τῶνδε καὶ πραγμάτων τῶνδε νοσερῶς ἀγομένων, καὶ οὐκ ἐῤῥαστωνευμένως ὁπηοῦν [11]), οἴκοι τε καὶ τῶν ἐγγειτόνων [12]) δεσποτῶν οὐκ ἀσεβῶν μόνον, ἀλλὰ καὶ οἷς κοινὴ κατὰ Χριστὸν πίστις, καὶ θεοσεβείας δόγματα, μεθ' ὧν ἡμῖν ἐστιν ἀνάγκη συνδιαφέρειν τὸν βίον ἐπὶ ῥητοῖς, καὶ παντοῖ' ἔχειν συνθήματα, τοῦτο μὲν εἰρηναῖα, τοῦτο δὲ πολέμια. Κἄγωγ' αὐτὸς ταύτῃ γ' ἐχρησάμην πάνυ τοι καὶ πρεςβείαις τέως ἐκλόγιμος ἐννεάσας, καὶ πόλλ' ἔτη γε ἤδη τῷ δεσπότῃ συντελῶν πᾶν τὸ γιγνόμενον ἐπὶ τῇ κοινῇ διοικήσει, τὰ μὲν ἤθους πίστει, τὰ δὲ καὶ συνέσεως ὅτῳ [13]) δή. Καὶ σιωπητέον εὐλαβούμενον πρὸς νέμεσιν, πλήν γε ὅτι περιῆν [14]) νῦν ὁ λόγος, εὖ μάλα δὴ πεπειραμένος φημὶ, πλεῖστον ἐνασχοληθεὶς καὶ τὸν ἀεὶ χρόνον τούτοις ἐνασχολούμενος. Καί φημί γε, ὡς ᾧ τὰ κατ' εἰρήνην βιοῦν, καὶ τὰ τῆς εἰρήνης ἀγαθὰ μέλει, καὶ δίκαιόν ἐστι μέλειν οὕτω δὴ παντὶ

---

11) ὁπηοῦν, C. Aug. ὁποιοῦν.

12) ἐγγειτόνων, consonant Cdd. Aug. et Mon. an legendum, vt C. οζ'. init., ἐκ γειτόνων? minime, nam ἀνθρώπων ἐγγειτόνων Theodor. iam exhibuit c. 38. 40. et 71.

13) ὅτῳ, C. Aug. οὕτῳ.

14) περιῆν, Cdd. Mon. et Aug. περὶ ἦν.

σώφροσι λογισμοῖς καὶ χριστιανικοῖς ἀγομένῳ [15]) φροντιστέον εὖ μάλα τῆς κατὰ πόλεμον ἀσκήσεως καὶ πάσης χρείας. Καὶ παντὶ τῷ δυνατῷ τρόπῳ κομιδῇ παρασκευαστέον ὡς πολεμησείον τι [16]), οὐ γὰρ ἀποκεκλήρωνται τἀνθρώπινα, καὶ μάλιστα τῶν νῦν τούτων καθ' ἡμᾶς χρόνων, καὶ τῶν νῦν τούτων καθ' ἡμᾶς ἀνθρώπων καὶ δεσποτῶν, ἐγγύς τε καὶ πόῤῥω καθάπαξ τῇ εἰρήνῃ. Οὐδὲ μὲν οὖν τοῦτο πέφυκεν, ἀλλ' ἐξ ἀνάγκης καὶ ἀκόντων γε τἀναντία ἔστιν ὅτε καὶ πλεῖστον ταῦτα κρατεῖ καὶ πολεμεῖν ἐστιν ἀνάγκη, καὶ οὐκ ἀδόκητά [17]) γε τοῖς εὖ συλλογιζομένοις. Ταῦτ' ἄρα καὶ τούτου μέν γ' ἕνεκα παρασκευαστέον, ὡς ἔφην, πρὸς τὸ πολεμεῖν εὖ μάλα τῷ πολιτικῷ, κἂν εἰ μάλιστ' εἰρήνην σπουδάζῃ, ὡς ἔστι δίκαιον, καὶ ἅμα ὡς ἂν καὶ μάλιστ' εἰρήνης ἐντεῦθεν ἀπολαύειν ἔχοι, καὶ τοῖς αὐτῆς ἀγαθοῖς χρῆσθαι.

ΚΕΦ. οθ'.

Ὅτι μὴ διὰ τὰς [1]) ἀτυχίας καὶ τὸ κακῶς πολλάκις πράττειν ἀποτρεπτέον τοῦ πράττειν.

Ἐπιμελητέον οὖν κατ' ἀμφότερ', ὡς ἔφην, χρῆσθαι τῷ πολιτικῷ καὶ εἰρήνην τε καὶ μάχην,

---

15) ἀγομένῳ, C. Mon. ἀγομένων.

16) τι, Cdd. Aug. et Mon. τε.

17) ἀδόκητα, C. Mon. ἀδίκητα.

1) τάς, C. Mon. τό.

καὶ παρασκευαστέον εὖ μάλα εὖ τε φερομένῳ τῇ χρήσει καὶ κατὰ βούλησιν, καὶ μὴ οὕτω δή, ἀλλὰ καὶ τοὐναντίον πολλάκις κακῶς ἀμέλει πράττοντι, καὶ οὐκ ἀπογνωστέον ἐν τῷ πράττειν κατὰ πᾶν τὸ γιγνόμενον τῇ χρήσει, οὐδ' ἀποτρεπτέον, ἂν μὴ πάντα διὰ πάντων εὖ πράττειν ἐξείη, μηδὲ τὰς ἀτυχίας αἰτιατέον τῆς ἀπραξίας, ἀλλὰ χρηστέον ἀεὶ κατὰ τὸ ξυμπίπτον τοῦ προσήκοντος ἑκάστοτε φροντίζοντα, καὶ ὥςπερ ἐγγυμναζόμενον, καὶ συνασκούμενον ἐπιμελῶς τοῖς πόνοις ἐπὶ παντὶ τῷ πεφυκότι τοῖς πράγμασιν· ἐπεὶ τὸ φεύγειν παρὰ τὰ λυποῦντα τὸ πράττειν καὶ τῷ δυςχερῶς καὶ μὴ ἐῤῥωμενως φέρεσθαι, τὸ μηδόλως χρῆσθαι μάλισθ' αἱρεῖσθαι ὅμοιον ὥςπερ ἂν ἰατρῶν παῖδες τοὺς τῆς γυμναστικῆς πόνους ἐπὶ τῷ βελτίστῳ τοῖς χρωμένοις τὴν ἀρχὴν καλῶς νομισθέντας διὰ τὸ καματηρόν τε καὶ ὁτιοῦν ἐργῶδες ἀπαγορεύοιεν, ὥστε μὴ χρῆσθαι, καὶ μάλιστ' εὐδρομοῦντες τῇ τῶν νοσούντων ἐπιμελείᾳ, καὶ καλῶς πειρώμενοι [2]) τῆς τέχνης ἀξιοῖεν ἂν αὐτῇ χρῆσθαι πρὸς βοήθειαν τῆς φύσεως, καὶ τῶν δι' αὐτῆς συγγενῶν καμνόντων· ἂν δ' ἄρ' ὁπηοῦν τὰ δυςτυχῆ περιγένοιτο [3]) καὶ νικᾷ τὴν τεχνικὴν ἐργασίαν τἀσθενῆ τῆς φύσεως κατὰ πάσης ἐπιμελείας κρατοῦντα, δραπετεύοιεν αὐτόθεν ἑξῆς ἔπειτα τὴν χρῆσιν τῆς τέχνης. Ἀλλ' οὐκ ἔστι

---

2) πειρώμ C. Mon. πειράμενοι.

3) περιγίν. Cdd. Aug. et Mon. περιγίνοιτο.

τοῦτο καλῶς κρίνοντος, οὐδὲ τὴν ἀρχὴν εἰδότος ὃ βούλεται, οὐδ' ᾧ προτίθεται χρῆσθαι, οὐ γὰρ πάντ' ἰᾶσθαι καὶ πάντα περιγίγνεσθαι τῆς τέχνης ἡ ἐπαγγελία, οὐδὲ πρόγραμμα ποιεῖται τεχνικὸς ἀνὴρ ἰατρικὸς, καὶ κηρύττει τὴν ἀρχὴν ἁπτόμενος τῆς τέχνης, καὶ χρῆσθαι κατ' αὐτὴν ἐπιβάλλων, ὡς ἄρα πάντ' ἰάσεται, καὶ λύσει τῆς φύσεως ἁμαρτήματα, καὶ ἀπαλλάξει πάσης δυστυχίας ἐπιπεσούσης. Ἀλλ' εἰς τοῦτο μὲν εὖ μάλ' ἐπιμελήσεται, καὶ τοῦτο προΐσταται τὴν τέχνην, πᾶν τὸ εἰκὸς ἀποδοῦναι τῇ χρήσει, καὶ διακαρτερῆσαι πάντα τρόπον πονῶν καὶ βοηθῶν τῇ φύσει καμνούσῃ, Θεοῦ δ' ἑξῆς ἂν εἴη καὶ τῆς ἐκεῖθεν ῥοπῆς συμπεράναι τὸ πρᾶγμα κατ' ἔφεσιν, ἢ μὴ [4]) καὶ οὔτε τυγχάνων τοῦ σκοποῦ ἀμέλει, καὶ νικηφόρος κατεπιχειρῶν ἐπὶ ταῖς τῶν σωμάτων συμφοραῖς γιγνόμενος, οὔτε μὴ τυγχάνων ἀποτρέπεσθαι τῆς τέχνης αὐτὸς ἀξιοῖ, οὔτε φαῦλος ἂν ταύτης ἐπώνυμος καὶ ἀνάξιος ἀκούειν δίκαιος εἴη. Ἀλλὰ καὶ κυβερνήτης καὶ πᾶς ἄρα θαλαττουργὸς ἄνθρωπος οὐ διὰ κλύδωνας καὶ ναυάγι' ἐνίοτε ἀποποιεῖται τὴν ἐργασίαν, οὐδὲ γὰρ ἐπὶ ῥητοῖς ὡς ἀεὶ ἐπὶ πάντων πραγμάτων καὶ καιρῶν εὔδρομα πλευσεῖται, πλοῦ καὶ θαλάττης ἅπτεται, ἀλλ' ὡς εὖ ἀμέλει χρησόμενος τῇ τέχνῃ πρὸς εἰρηναίαν τὴν θάλασσαν, καὶ πνεύματ' εὐφορίας, καὶ πρὸς χειμῶνα καὶ πᾶσαν ἐπήρειαν πᾶν ἀποδιδοὺς

4) ἢ μὴ, C. Mon. ὃ μή.

τὸ εἰκὸς ἑκάστοις, ὃς δ' ἂν τοὺς μὲν τῆς γαλήνης καιροὺς πρὸς ἑαυτοῦ ποιεῖται, τὰ δὲ τῆς θαλάττης ἀνήμερα καὶ τοὺς χειμῶνας οἷός τ' ἔστιν εὖ μάλα δραπετεύειν καὶ προδιδόναι τὴν τέχνην καὶ προλείπειν αὐτίκα αὐτόθεν, οὐχ ἑαυτῷ πρέποντα δρῴη ἂν, οὐδ' ἀνεμέσητος ἔπειτ' ἀπαλλάττοιτο. Καὶ τοίνυν παραπλησίως οὐδὲ τῷ πολιτικῷ χρηστέον ἂν εἴη τῇ δυνάμει καιροῖς μόνον εὐφορίας καὶ πραγμάτων ἔαρι, ἀλλα μηδὲν ἧττον ἐπιμελητέον κἂν τοῖς ἄλλως ἔχουσι καιροῖς καὶ πράγμασι καὶ πρὸς πᾶσαν δυςχέρειαν ὁπλιστέον, καὶ παλαίσματ' ἐπικινδυνότατα· τοῦ γὰρ αὐτοῦ πάντως ἐφ' ἑκάτερα χρῆσθαι, καὶ τὸ μὲν οἰκεῖον αὐτὸς ὀφείλει συντελεῖν καὶ φέρειν παντὶ τῷ ξυμπίπτοντι. Ἡ τύχη δὲ τῶνδε [5]) τῶν πραγμάτων κυρία, μᾶλλον δὲ τἀληθὲς ἐρεῖν, ἡ πάντ' ἄγουσα πρόνοια, καὶ οὐδεὶς ἐλέγχεται φαῦλος σὺν δίκῃ πονηροῖς ξυντυχὼν πράγμασι καὶ κακῶς ἀπαλλάξας, ἀλλ' ὃς ἂν μὴ τὸ προςῆκον πᾶν ἀποδιδοίη πρὸς τὴν ἑκάστοτε χρείαν [6]), εἴτ' εὐτυχῶν, εἴτε καὶ μὴ πάντως ὑπαίτιος, καὶ κακῶς ἀκούειν ὡς ἀληθῶς δίκαιος. Καὶ τοίνυν Θεὸς μὲν ἐν πᾶσιν ἔργοις ἡγείσθω τε καὶ κεκλήσθω τῷ πράττοντι· οὐ γὰρ ἂν ἄλλως σῶφρον εἴη, ὅτι μὴ μετὰ τῆς θείας ἐλπίδος ἐπιχειρεῖν, καὶ τῆς εὐκταίας ἐκεῖθεν ἐπικουρίας. Τῶν πραγμάτων δ' ἀμέλει πάντων ὁ πολιτικὸς

5) δὲ τῶνδε, Cdd. Mon. et Aug. omittunt.

6) χρείαν, abest a C. Mon.

ὡς ἂν ἔχοι πειρώμενος κατ' ὀφειλὴν, καὶ τὰ μηδὲν ἀποφεύγων οὐδὲ προλείπων τὴν τάξιν, καὶ καθ' ὅσον οἷόν τ' ἐστὶν ἐπιμελῶς προςέχων ἑκάστοις τὸν νοῦν, εὖ μὲν παραστὰν κατα βούλησιν ἀνύτων καὶ κατορθῶν ἐν τοῖς πρακτέοις μακάριος ἂν εἴη, καὶ οὐκ ἐπαινετὸς μόνον, ἀποτυγχάνων δὲ καιρῶν ἐπηρείᾳ καὶ πραγμάτων καὶ τύχης ἀντιπνοίᾳ τὲ καὶ ἐναντιώσει, καὶ πάνθ' ὑστερίζων καὶ μὴ περιγιγνόμενος ὁτιοῦν, καὶ πᾶν ὅμως τὸ γιγνόμενον ἀποδιδοὺς τῇ χρήσει. Κακῶς μὲν οὖν οὕτω δὴ πράττων καὶ δυςτυχῶς φερόμενος ἐλέους ἂν εἴη μᾶλλον, οὐκ εὐθύνης ἄξιος, ἔχοιτο δ' ἂν καὶ οὕτως, ἃ χρὴ ποιῶν εἰς τέλος τῆς ἐξ ἀρχῆς ἐνστάσεως, ἐκεῖνο κατὰ νοῦν ἴσως ἄγων τὸ τοῦ Δωριέως κυβερνήτου, ὃς ἐν μεγίστῳ κλύδωνι καὶ τοῖς ἐσχάτοις κινδύνοις ὅμως καὶ ἀεὶ παλαίων καὶ ἀντέχων εἰς τέλος· Ἀλλ' ἐγώ τοι, ἔφησε, καὶ οὕτως οὐ μεταστήσομαι τῶν οἰάκων, ἀλλ' ὀρθὰν τὰν ναῦν καταδύσω.

ΚΕΦ. π'.

Ὅτι τῶν φιλοσόφων οἱ πλείους ἢ πάντες σχεδὸν περὶ τὸ λέγειν διέτριψαν μόνον, μὴ χρήσιμοι γενόμενοι ταῖς περὶ τὸ πολιτικὸν ἐργασίαις [1]).

Οἱ πλείους δὴ τῶν περὶ την φιλοσοφίαν ἐσχολακότων περὶ τὸ θεωρητικὸν καὶ δογματικὸν

---

1) ἐργασίαις, C. Aug. θεωρίαις cum Fabric. in Bibl. Gr.

καὶ τὰς διαλέξεις διατρίψαντες τὸν ἅπαντα σχεδὸν βίον, βραχύ τι προςένειμαν ἑαυτοὺς τῷ πρακτικῷ· εἰ δὲ καὶ τῆς κατὰ τοῦτο φιλοσοφίας ἐμέλησεν αὐτοῖς τὸ μέρος, παρὰ τοσοῦτον δῆτ' ἐμέλησεν, ὅσον γε περὶ τοῦ ἠθικοῦ λόγον ποιήσασθαι, καὶ διδάσκοντας περὶ αὐτοῦ καὶ χρωμένους αὐτοὺς, ὡς οἷοί τε γένοιντο. Καὶ τοίνυν τὰ μὲν κατ' ἦθος ἀνθρώποις νόμιμα καλῶς ἔδοξαν οὐκ ὀλίγοι καὶ συνετάξαντο καὶ κατεκόσμησαν ἑαυτοὺς ὡς βέλτιστα ταῖς ἠθικαῖς ἀρεταῖς καὶ τῇ κατὰ τὸν βίον εὐχρηστίᾳ, εἰ καὶ μὴ πάντες συμφώνως ἀλλήλοις, πάντες δ' ὡς ἀληθῶς οὐκ ἔξω τοῦ καιροῦ· καὶ νομίζουσι γὰρ ἐν τούτοις καὶ δογματίζουσιν ἕκαστος ἐπαινετῶς, καὶ ὡς ἂν εἴ τις χρήσαιτο, κάλλιστ' ἀγάσαιτο καὶ ἀγασθείη [2]) τοῖς πολλοῖς, ὡς εὖ δὴ μάλιστ' ἀνύσας καὶ κατορθώσας εὐγενῶς τὸν βίον. Τοῦτο πολιτικοῦ δὲ πέρι ὀλίγοι δή τινες ἐπίσκεψιν ἐποιήσαντο, καὶ ἄλλως ἄλλοι, καὶ οὐκ ἠλλοτρίωται μόνον τὰ βιβλία σφίσι περὶ τούτου μάλιστ' ἀλλήλοις, ἀλλὰ καὶ κομιδῇ διαφόρως ἔχει, καὶ μαχιμώτατα ταῖς αἱρέσεσι. Καὶ πάντες γε, ὡς ἔπος εἰπεῖν, οὐ κατὰ καιρὸν, ἀλλ' ὡς ἀληθῶς, εἰ καὶ μὴ πάντα, τὰ πλείω δ' οὖν ἔξω τοῦ χρησίμου καὶ δυνατοῦ κατ' ἀνθρώπους συντάττουσι, καὶ ἅττα [3]) δὴ περὶ τούτων φθέγγονται καὶ νομοθετοῦσι, καὶ μά-

2) ἀγασθείη, C. Mon. ἀγάθειη.

3) ἅττα, Cdd. Aug. et Mon. ἄττα.

λισθ' οἱ βέλτιστοι καὶ προέχοντες, τί τίς ἂν λέγοι; παντάπασιν ἀλλότρι' ἀνθρωπίνης χρήσεως, καὶ λόγοι μόνον ἔξω τῶν ἔργων, εἰ καὶ ἴσως ἔν τισιν ἐπαινετῶς ἔχοντες καὶ περινοίας θαυμάζειν ἀξίας, λόγοι δ' οὖν ἄλλως καὶ πρὸς τὸν σκοπὸν ἀνήνυτοι, καὶ οὐδένες οὔτε τῶν εἰπόντων, οὔτε τῶν τοῖς εἰποῦσιν ἐπιτηδείων καὶ κληρονομησάντων τοὺς λόγους, οὔτ' ἐχρήσαντ' ἄρα κατὰ τοὺς λόγους αὐτῶν, οὔτε μήποτε χρήσαιντο, ὅτι μήδ' οἷόν τε, ἀλλ' ἔξω τῆς ἀνθρωπίνης τὸ ἐξ ἀρχῆς ἀγωγῆς καθάπαξ φέρονται, καὶ ἃ μὴ πέφυκεν, εὐκολίᾳ γλώττης ἀναζωγραφοῦσι καὶ ὑποτίθενται. Καὶ τοιαῦτα μὲν τὰ Ζήνωνος, τοιαῦτα δὲ τὰ Χρυσίππου, τοιαῦτα δὲ τὰ Θεοφράστου, καὶ οὐκ οἶδ' ὧντινων ἄλλων πάντα παραπλήσια, ἃ καὶ κακῶς γε ποιῶν ὁ χρόνος ἐλέγχει καὶ ἀφανῆ τίθησιν, ὡς ἀσυντελῆ καὶ ἀνόνητα τῷ βίῳ, καὶ μηδὲν ἀλλ' ἢ γέλωτα πλατὺν κατὰ τῶν συνταξαμένων κινοῦντα. Τοιαῦτα δὲ καὶ τοῦ θαυμαστοῦ Πλάτωνος, ἃ καὶ δι' εὐστομίας χάριν, οἷος ἐν πᾶσιν ἀνὴρ ἐκεῖνος περιττὸς τὴν γλῶτταν, ὁ χρόνος ἐκεῖθεν μέχρι καὶ εἰς ἡμᾶς ταμιεύει, ὥσπερ περὶ Κενταύρων καὶ τραγελάφων ἀνενέργητα διηγήματα φωνῇ καλλίστῃ, καὶ ἧς τὴν ἄσκησιν ἐπαινεῖν ἄν τις ἔχοι, ὡς ἂν οἷός τ' εἴη 4) καὶ τῷ κατ' αὐτὴν χρησίμῳ πλάττειν ἑαυτὸν ἐρῴη πρὸς ἑαυτοῦ ποιούμενος τὸ ἀστεῖον τῆς ἕξεως. Ἀριστοτέλης

4) οἷός τ' εἴη, C. Mon. οἷς τ' εἴη.

δὲ συντάττειν καὶ αὐτὸς κατὰ τὸ εἰκὸς περὶ τῶν πολιτικῶν δεῖν ἐγνωκὼς, δῆλος ἐστὶ μὴ διακρινόμενος περὶ τῶν χρησίμων, καὶ ὧν δεῖ [5]) κατ' ἀλήθειαν ἐν ἔργοις τῷ πολιτεύεσθαι, ἀλλ' ἢ ἐν παρασκευαῖς καὶ ἐπαγγελίαις ἐλπίδας ὑποτείνει καὶ ὑποτίθεται, πάνυ τοι λυσιτελήσειν κἀν τούτῳ τῆς σοφίας καὶ τῆς ἀνθρωπίνης χρείας τῷ μέρει, ἐπαντᾷ [6]) δ' οὐδὲν, ἔπειτα πολὺς καὶ ἀνάλογος ταῖς ἐπαγγελίαις, οὐδὲ τρανῶς ἀνύτει καὶ ὑποτυποῖ καὶ διατίθεται ἄττα [7]) δὴ πρὸς τὴν πρόθεσιν, οἷος ἐκεῖνος δοξοσοφῶν περὶ πάντων καὶ πλεῖστον ἐπειγόμενος ὑπὲρ τοῦ δοκεῖν πάντ' εἰδέναι, καὶ ἃ μὴ κατὰ φιλοσόφους ἐνίοτ' αὐτῷ προςήκει, καὶ πάνθ' ἱκανὸς εἶναι καὶ γνώμων τῆς φύσεως καὶ τῶν ὄντων, καὶ πρὸς πάντα τὰ τῶν ἀνθρώπων ἀρτιόχρειος ἐπιβάλλειν μὲν ἀξιοῖ πάσῃ γνωστικῇ χρήσει, καὶ φαντάζειν πειρᾶται πάντων μάλιστ' αὐτὸς ἔχειν τὰ καίρια, καὶ, περὶ ὧν προτίθεται, κατερεῖν. Ἐν οἷς δ' οὐκ εὔπορός ἐστιν ἢ διὰ πραγμάτων ἀσάφειαν καὶ ἀδηλίαν τῆς ἀκριβείας, ἢ διὰ πραγμάτων ἀοριστίαν, οἷα δὴ μάλιστα τἀνθρώπινα, καὶ καθόλου γ' ἐρεῖν πάνθ' ὅσ' ὑπὸ γένεσιν καὶ ῥοὴν, καὶ ἐν μεταβολαῖς ἀεὶ, ταχὺς ἔπειτ' ἀπαλλάττεται καὶ οὐ τρίβει, οὐδ' ἱκανῶς οὐδὲ σαφῶς ἐπεξεργάζεται κατὰ τὴν ἑκάστοτε πρόθεσιν τὰ

5) δεῖ, C. Mon. δή.

6) ἐπαντᾷ, sic Cdd. nostri: leg. ἀπαντᾷ.

7) ἄττα, Cdd. Mon. et Aug. ἅττα.

καὶ τὰ πάνθ' ἕκαστα, ὅσα τῆς προκειμένης χρείας ἐστὶν, ἀλλ' ἐν ἀκαίροις μηκύνας καὶ ἃ μὴ καρποὺς ἔχει τοῖς πράγμασι καὶ διάταξιν ἀνύσιμον καὶ διωρισμένην, καὶ ἐνεργὸν πρὸς τὴν ἐλπίδα καὶ ὑπόσχεσιν. Ἔπειτα σοφίζεται μηδὲν εἰρηκὼς ἱκανώσασθαι τὸ πᾶν δοκεῖν, καὶ φεύγει καταλιπὼν ἐν ἐλπίσι τοὺς ἀκροωμένους, καὶ πλάνῃ τοῦ δοκεῖν ἔχειν ἐξ αὐτοῦ τὶ μὴ ἔχοντας, καὶ τυχεῖν λαβόντας, ὧν δεῖ [8]) μὴ τυχόντας ταῖς ἀληθείαις. Καὶ τοῦτό οἱ σκευωρεῖται φεύγοντι τοὺς ἐλέγχους ἐμοὶ δοκεῖν ὡς τὰ πολλὰ, περὶ ὧν πάντες ἂν λόγοι ἐπιλήψεις ἔχωσι τῶν ἀντιτάττεσθαι βουληθέντων ἂν, ἢ διὰ τὴν ἀσάφειαν, ἢ διὰ τὴν ἀοριστίαν, ὡς εἴρηται, τῶν πραγμάτων. Οὐ γὰρ ὥσπερ ἄρα δὴ Πλάτων ὀρθῶς καὶ ἀδολιεύτως, οἷς ἐπιβάλλειν ἀξιοῖ, χρῆται, ἐκεῖνος γὰρ δὴ πάνθ' ἁπλῶς τε καὶ τρανῶς φησὶν, ἃ φησὶ, καὶ οὐδὲν ἐπιλυγάζεται [9]) περὶ ὧν ἐρεῖν δοκιμάζει, πλεῖστον, ὡς ἔοικεν, ἑαυτῷ θαῤῥῶν, καὶ μηδὲν προορώμενος κακουργικὸν τῶν μετ' αὐτὸν κατ' [10]) αὐτοῦ. Ἀριστοτέλης δ' οὐχ οὕτω, ἀλλὰ τὰ μὲν μάλα δὴ τρανῶς πεποιθὼς λέγει, περὶ ὧν καθάπαξ εὖ γε δῆλον βέβαιός ἐστι, τὰ δὲ καὶ ἄλλως, δραπετεύων παντὶ τρόπῳ ληφθῆναι, καὶ δῆλος γενέσθαι λέγων ἄττα [11]) δὴ κρίσεσι καὶ βασάνοις

8) ὧν δεῖ, C. Mon. καὶ ὧν δή.

9) ἐπιλυγ. C. Mon. ἐπιλυγάζεσθαι.

10) αὐτὸν κατ', desunt in C. Mon.

11) ἄττα, Cdd. Mon. et Aug. more suo ἅττα.

ὑπεύθυνα, δι' ἃς προείπομεν αἰτίας. Καὶ τοῦτο μὲν οὕτως ἔχει, τὰ γὰρ [12]), ὅπερ ἦν νῦν ὁ λόγος, ὀλίγοις τῶν κατὰ φιλοσοφίαν ἐξαιρέτων ἐκείνων ἀνδρῶν τοῦ ἑλληνικοῦ τῆς κατὰ πολιτικὸν φιλοσοφίας εἶδος διδασκαλίας ἐμέλησε, καὶ οἷς ἐμέλησεν [13]), ἀσύμφωνα τὰ περὶ τούτου συντάγματα, καὶ τὰ πλεῖστα τῆς συνήθους κατ' ἀνθρώπους χρήσεως ἀλλότρια, καὶ οὔτε τοῖς κατ' αὐτοὺς χρόνοις ἐνεργὰ, οὔτε μεθ' ὕστερον, καὶ οἱςτισινοῦν ἀνθρώποις ἐσπουδάσθησαν, οὐχ Ἕλλησιν, οὐ βαρβάροις, οὐδ' εἶδεν ἥλιος πολιτεύμαθ' ὅλως κατὰ τὰ δόξαντα Πλάτωνι, ἢ Χρυσίππῳ, ἢ Θεοφράστῳ, ἢ Ζήνωνι, ἢ Ἀριστοτέλει, ἢ ἄλλῳ τῳ [14]) τῶν ἐνταῦθα τῇ φιλοσοφίᾳ πονησάντων Ἑλλήνων. Ὥςπερ τοῖς Νουμᾶ Πομπηλίου νόμοις καὶ πολιτεύμασιν ἐχρήσαντο Ῥωμαῖοι πόλλ' ἔτη, ἐξ οὗ βασιλεὺς ἐκεῖνος τῆς Ῥώμης καὶ νομοθέτης ἀνεδείχθη κάλλιστα καὶ διαταξάμενος καὶ χρησάμενος αὐτὸς τῷ κατ' αὐτὸν βίῳ, καὶ τῇ πολυετεῖ κατὰ θεῖον ἴσως γενομένῃ βασιλείᾳ, οἷς ἔγνω νόμοις, καὶ παραπέμψας τοῖς μετ' αὐτὸν ἄρχουσι τὲ καὶ ἀρχομένοις κατὰ φύσιν τοῖς ἀνθρώποις. Καὶ οἰκείως ἄρ' [15]) ἐστὶν αὐτόθεν συλλογίζεσθαι τῷ χρονίῳ κράτει παρὰ πᾶσαν τὴν τῆς Ῥώμης τύχην κἂν

12) τὰ γὰρ, Cdd. Aug. et Mon. ἀτάρ.

13) καὶ οἷς ἐμέλ. desiderantur in C. Mon.

14) τῳ, Cdd. Aug. et Mon. non agnoscunt.

15) οἰκείως ἄρ': inter οἰκείως et ἄρ' Cdd. Aug. et Mon. haec suppeditant: ἔχοντας καὶ πολὺ τὸ ἐπαγωγὸν χρῆσθαι, ὡς.

πᾶσι καὶ μικροῖς ἔτι καὶ μεγίστοις αὐτῆς πράγμασιν ἐξ ἐκείνου, καθὼς ἔφην, μέχρι καὶ εἰς τοὺς Ῥωμαίων καθ᾽ ἡμᾶς αὐτοκράτορας, οἳ μετὰ τῶν χριστιανικῶν νομίμων ἐπὶ τῆς βασιλείας Ῥωμαίων ἔστησαν. Καὶ ὥςπερ αὖθις Πέρσαι τοῖς Ζοροάστρου καὶ Κύρου τοῦ θαυμαστοῦ μεθ᾽ ὕστερον ἐκοσμήσαντο πολιτεύμασι, καὶ ὅροις περὶ πάντα κοινά τε καὶ ἴδια πράγματα, καὶ τὴν καθ᾽ ἕκαστον καὶ κοινὴν τοῦ βίου χρῆσιν. Καὶ ὥςπερ αὖθις τοῖς Ἄννωνος [16]) Καρχηδόνιοι· οὗτοι μέν γε καὶ πολὺ τὸ ξενίζον ἔχουσι καὶ παρηλλαγμένον, ἢ κατὰ πᾶσαν ἀνθρώπων σχεδὸν ἄλλων χρῆσιν καὶ παντάπασιν ἀκοινώνητον, καὶ ἐχρήσαντό γε πλεῖστον δὴ τὸν χρόνον, μέχρις οὗ καὶ περιῆσαν μάλιστα περιφανεῖς τὸ ἀρχαῖον ἐκεῖνοι τῷ βίῳ καὶ κατ᾽ ἀνθρώπους γενόμενοι, καὶ Λιβύης ὅσον σχεδὸν οἰκούμενον ὑφ᾽ ἑαυτοὺς [17]) ποιησάμενοι, πολλῶν δὲ καὶ ἄλλων ἐθνῶν κρατήσαντες, καὶ Σικελίας ἐπιβάντες, καὶ κατὰ τῶν ἐν Εὐρώπῃ καὶ κατὰ τῆς Ἰταλίας καὶ Ῥωμαίων ἐνακμάσαντες ὑπερβαλλόντως ἢ κατ᾽ ἄλλους πάντας ἀνθρώπους, μέχρις οὗ τῇ προνοίᾳ κατὰ πάντων ἀνθρώπων ἐπιστῆσαι τὸ Ῥωμαίων ἔδοξε κράτος. Ἀλλ᾽, ὅπερ ἔλεγον, τοῖς μὲν τῶν εἰρημένων ἀνδρῶν νομίμοις ἐπολιτεύσαντ᾽ ἐκεῖνα δῆτ᾽ ἔθνη μέχρι παντὸς κάλλισθ᾽ ἑπόμενοι καὶ τηροῦντες καθάπαξ, καὶ ἄλλων

---

16) Ἄννωνος, Cdd. Aug. et Mon. Ἄνωνος.

17) ὑφ᾽ ἑαυτ. C. Mon. ἀφ᾽ ἑαυτούς.

ἄλλοι δή τινες πλείστων πλεῖστοι, καὶ οὐκ οἶδ' ἔγωγε νῦν ἀριθμεῖσθαι, τοῖς δ' ἐκ φιλοσόφων ἀξιωμάτων καὶ περινοίας δὴ τελευτέρας ἐν Ἕλλησι πολιτικοῖς δόγμασιν εὖ μάλ' ἐπιλελογισμένοις καὶ πολὺ τὸ κατεγλωττισμένον καὶ ἔντεχνον ἔχουσι Πλάτωνος καὶ Ἀριστοτέλους καὶ τῶν ἄλλων ἐξαιρέτων τῆς φιλοσοφίας ἀνδρῶν οὐδὲν ἔθνος ἠξίωσαν χρῆσθαι οὐχ ἑλληνικὸν, οὐ βαρβαρικὸν, οὐκ ἐπὶ τῶν αὐτῶν χρόνων, οὐκ αὖθις ὕστερον. Καίτοι μεγάλης ἔτυχον παρὰ πάντας ἀνθρώπους δόξης ἄνδρες ἐκεῖνοι, καὶ κλέους ἐπὶ σοφίᾳ, καὶ μέγιστ' ἐθαυμάσθησαν, καὶ πολλοὶ τὰ κατ' αὐτοὺς ἐσπούδασαν οὐχ Ἕλληνες μόνον καὶ γνησίως ἔχοντες τῷ γένει τε καὶ τῇ φωνῇ, ἀλλ' ἄρα καὶ πολλοὶ τῶν ἐγχωρίων ἔξω καὶ τοῦ γένους ἀλλότριοι καθάπαξ ἄνθρωποι, ἢ μηδὲ [18]) τὴν ἀρχὴν ὅλως ἁψάμενοι διὰ τὸ ἀνοίκειον ἔοικε τῆς κατ' ἀνθρώπους ἀμηγέπη χρήσεως, ὡς αὐτίκα μόνον ἔγνωσαν, ἢ εἰ καὶ ἥψαντό τινες, ὡς ἄρα δὴ λέγονται τινὲς τῶν ἐν Σικελίᾳ σπουδάσαντος Δίωνος τῶν [19]) τοῦ Πλάτωνος πολιτικῶν πειράσασθαι αὐτόθεν ἀποδραπετεύσαντες τῷ μηδὲν ἐν τούτοις ἀνύσιμον ὁρᾶν, καὶ οἷον πεφυκὸς κατ' ἀνθρώπους πᾶσαν ἐκ πρώτης [20]) πείρας καταγνόντες αὐτῶν ἀχρηστίαν, καὶ λόγων ἀναπλάσματα παντάπασιν

---

18) μηδὲ, C. Aug. μηδέν.

19) τῶν, non agnoscit C. Mon.

20) πρώτης, Cdd. Aug. et Mon. πρώτης τῆς.

ἔξω τοῦ καιροῦ καὶ τῶν πραγμάτων ταῦτα συλλογισάμενοι.

ΚΕΦ. πά.

Ὅτι πάντες σχεδὸν τῶν [1]) ἐν Ἕλλησι φιλοσοφησάντων τοῦ πολιτεύεσθαι καὶ τὰ κοινὰ πράττειν ἀπέστησαν.

Πάντες δὲ σχεδὸν τῶν φιλοσοφησάντων ἐν Ἕλλησι πλὴν ὀλίγων, καὶ οὐκ οἶδ' ὅσων δή τινων οὐδ' ὡντινων ἄρα τοῦ πολιτεύεσθαι καὶ τῆς πολιτικῆς κατὰ φιλοσοφίαν ἐργασίας ἀπέστησαν ἑαυτοὺς, καὶ ἰδιοπραγεῖν εἵλοντο τὰς μετὰ τῶν πολλῶν φυγόντες κοινωνίας καὶ πράξεις, καὶ μόνη τῇ κατ' ἦθος φιλοσοφίᾳ τὸ πρακτικὸν αὐτῆς ἐνεργὸν, ὡς ἔοικε, δείξαντες· ζητοῦντες γὰρ, ἐμοὶ δοκεῖν, οὐ χρήσαιντο τῇ κατ' αὐτοὺς ὁριζομένῃ πολιτικῇ, καὶ οὐχ εὑρίσκοντες χώραν, οὐδ' ὁπηοῦν ἐν τῇ κατὰ βίον ἀνθρωπίνῃ χρήσει, ὅπῃ ποτ' [2]) ἄρα χρήσαιντο, δυοῖν ἀνάγκῃ θάτερον, ἢ κενολογίαν μόνον καὶ μακρὸν λῆρον καὶ διαλέξεων ἀνύπαρκτον ἀνάπλασμα καὶ λέσχης ὑπόθεσιν, τὸν κατ' αὐτοὺς καὶ πολιτικὸν καὶ βασιλικὸν καὶ ἡγεμονικὸν ἔξω τοῦ γιγνομένου παντὸς κατ' ἀνθρώπους δεικνύουσι, καὶ οὐχ οἷον ἐν ἀνθρώποις ὁρᾶσθαι, ἀλλ' ἀλλότριον καθάπαξ ἀνθρωπίνης οὐσίας καὶ χρήσεως [3]). Ἡ

1) τῶν, C. Aug. mendose τόν.

2) ὅπῃ ποτ', C. Mon. ὅπηποτ': Aug. ὁπῆκοτ'.

3) καὶ χρήσεως usque ad εἶχον omnia desunt in C. Mon.

γὰρ ἂν καὶ ἑωρᾶτο ποτὲ πάντως καὶ κατ' ἀνθρώπους εἶχον καὶ αὐτοὶ χρῆσθαι, καὶ ὁ βίος ἂν εἶχε καὶ οἱ λόγοι τῶν δογμάτων ἐνεργοὺς τῶν δογμάτων αὐτούς, ἢ πάντως ἑαυτοὺς ἀνικάνους πρὸς τὴν χρῆσιν τῆς πολιτικῆς φιλοσοφίας καὶ ἀγωγῆς ἐπιδηλότατα προδεικνύντες ἔφευγον τὰ πράγματα τοὺς ἐλέγχους ἐπὶ τῇ χρήσει φεύγοντες, καὶ μὴ βουλόμενοι τοῖς πολλοῖς ξυναναμίγνυσθαι [4]), ἀσυντελεῖς ἄνθρωποι τοῖς πολλοῖς καὶ τῇ κοινῇ χρήσει, ἀσυντελεῖς τῷ βίῳ, ἀσυντελεῖς ἑαυτοῖς καὶ τοῖς αὐτῶν δόγμασι καὶ κρίσεσι, καὶ μηδὲν ὅ τί ποτ' ἄρα χρήσιμοι μηδὲ πίστιν ἑαυτοῖς ἐμποιοῦντες αἰδοῦς παρὰ τῶν πολλῶν, μηδ' οἷς ἐνόμισαν, ὃ πολλοῦ δέουσιν, ἂν κατερεῖν ἅπαντες, καὶ συνθέσθαι καὶ καταπροδοῦναι σφᾶς αὐτοὺς καὶ τὰ δόγματα, καὶ θριαμβεῦσαι τὴν ἑαυτῶν ὀλιγότητα καὶ ἀχρηστίαν καὶ δυστυχίαν τῆς φύσεως, καὶ ἀτυχίαν τῆς κατ' αὐτοὺς φορᾶς αὐτῆς δὴ τῆς φύσεως, ὡς ἀνόνητα σφᾶς αὐτοὺς ἔργα προενεγκούσης, καὶ γῆς μόνον ἄχθη, καὶ μηδὲν μήθ' ἑαυτοῖς, μήτε τῷ βίῳ λυσιτελοῦντα. Καὶ οὕτω δὴ πάλιν εἰς κενολογίαν συμπεραίνει σφίσιν ἡ πᾶσα σπουδὴ καὶ καθ' ἑαυτῶν ἠγωνίσαντο· ἀλλ' ἔγωγ' οἶμαι τὸν πολιτικὸν ἀνάγκην ἔχειν, οἷς ξυνέλαχε πράγμασιν, ὡς ἂν οἷόν τ' εἴη, χρῆσθαι καὶ μεταχειρίζειν, ὡς ἄρα πέφυκεν εἰς τὸ βέλτιον ἀεί, τοὺς δ' ἄρα τὸ ῥᾴδιον εὖ μάλ' αἱρουμένους τὰ

4) ξυναναμ. C. Aug. ξυναμίγνυσθαι.

λέγειν εὖ, καὶ τὴν ἐν πράγμασιν ἀρετὴν, καθὼς ἂν ἕκαστος οἷός τ' ᾖ εἰς τὸ φύσει κάλλιστον καὶ βέλτιστον δοκιμάσαι, καὶ κατασυλλογίσασθαι [5]) καὶ συνιδεῖν ἀνιστοροῦντας καὶ καταγράφοντας, μηδένα δὲ ποιήσασθαι λόγον, εἰ ἄρ' ἔπειτα πέφυκεν ἐν ἀνθρώποις ἐνεργὰ δείκνυσθαι τὰ λεγόμενα. Καὶ καθάπαξ δύναται πλήθη καὶ συστήματα παντοῖα ἀνθρώπων συμφωνεῖν κατὰ πᾶσαν αἵρεσιν καὶ ἀκριβείας τελειότητα, ἢ συντέλειαν εἰς τὴν τοῦ καλοῦ κατὰ φύσιν καὶ βελτίστου τὸν ἅπαντα τρόπον ἕξιν τε καὶ χρῆσιν, καὶ ὁρᾶσθαι ὡς ἕν τί ποτε πρᾶγμα ἢ σῶμα κάλλιστον διὰ πάντων ὁρᾷν τε καὶ χρῆσθαι ὅμοιον ἑαυτῷ. Τὸ δὲ παντὸς μᾶλλον ἀδύνατον τῇ φύσει καὶ κατ' ἀνθρώπους, ὅπου γε μηδ' ἄνθρωπον ἕνα, μηδένα μάλιστα δὴ καὶ σωφρονικὸν ἐκ φύσεως οἴκοθεν, καὶ λόγου παιδείᾳ [6]) καὶ ἀσκήσει κατορθούμενον [7]) εἶναι, καὶ διὰ πάντων εἰς τὴν τοῦ ἀγαθοῦ σπουδὴν ὅμοιον ἑαυτῷ καὶ τέλειον. Καὶ μὴν καὶ τὸ κάλλος ἐν ἀνθρώποις καὶ διὰ παντὸς τοῦ σώματος ἔλλογον καὶ προςφυὲς, καὶ κατὰ καιρὸν, ἑκάστου τε τῶν μελῶν ἰδίᾳ τῆς ὥρας εὖ μάλ' ἔχοντος [8]), καὶ κοινῇ πάντων πρὸς ἄλληλα πεφυκότων εἰς τὸ τελειότατον τῆς κατὰ φύσιν εὐγε-

5) καὶ κατασυλλ. usque ad ἀνιστοροῦντας a C. Aug. absunt.

6) παιδείᾳ, Cdd. Aug. et Mon. παιδίᾳ.

7) κατορθούμενον, post hoc voc. Cdd. Aug. et Mon. inserunt: ῥᾴδιόν ἐστιν ἑαυτῷ καθάπαξ σύμφωνον.

8) ἔχοντος, C. Mon. ἔχοντες.

νείας καὶ ἀρετῆς, λόγος μὲν ἴσως γραφεὺς, μᾶλλον δὲ γραφικὴ τάχα τέχνη καθιστορεῖν δύναιτ' ἂν εὖ μάλα. Τίς δ' ὅμως κατεῖδέ ποτ' ἐν ἀνθρώποις ἢ ὅλως ὄψεται τοιοῦτον δὴ σώματος ἀνθρωπίνου κάλλος [9]) διὰ πάντων ἠκριβωμένον καὶ καθάπαξ ἀλώβητον καὶ ἀρτιουργὸν [10]) τῇ φύσει, καὶ μηδενί πω τῶν αὐτοῦ καθυστερίζον ἔπειτα, ἢ ὡς ἡ [11]) γραφὴ προδείκνυσιν; ἔστι δ' ὅμως καὶ οὕτως ἐν ἀνθρώποις κάλλος καὶ μακαρίζεταί τις ὡς εὖ ὥρας πεφυκὼς, καὶ ἄλλος [12]) ἄλλου μᾶλλον, καὶ τὴν πολιτικὴν τοίνυν ἀκρίβειαν ῥᾴδιον ἴσως ἀνιστορεῖν καὶ ὑποτυποῦσθαι συλλογιζόμενον, ὡς ἂν ἕκαστός τις δύναιτο ξυνορᾷν· τοῖς ἔργοις δ' ὅμως αὐτοῖς οὐ πέφυκε τὸ κάλλος τῆς πολιτικῆς ἐνεργείας καὶ χρήσεως οὐκ ἄν ποτ' ἐνεργὸν διὰ πάντων ὀφθῆναι. Καὶ τοίνυν ἐνεργητέον ὡς πέφυκε καὶ χρηστέον ἑαυτῷ καὶ τοῖς πράγμασι κατὰ το ἐγχωροῦν ἑκάστοτε, ἀλλ' οὐ τριπτέον ἀεὶ τοῖς λόγοις μόνον καὶ τῇ περὶ τοῦ πράγματος θεωρίᾳ, ὃ ῥᾴδιον ἴσως φιλοσοφεῖν καὶ καταλογίζεσθαι τὰ καὶ τὰ, πάνθ' ἕκαστα τῆς τῶν πραγμάτων ἔξω χρήσεως. Χωρὶς δὲ τούτων εἰ μὲν οὐκ ἔχουσιν ὅλως τῷ πολιτεύεσθαι χρῆσθαι, καὶ ἑαυτοῖς καὶ τοῖς πολλοῖς καὶ ταῖς πράγμασιν ἄλλως, ἢ ὡς

9) κάλλος, C. Mon. κάλλους.

10) ἀρτ. C. Mon. αἰτιουργόν.

11) ἡ, omittit C. Mon.

12) ἄλλος, C. Mon. non habet.

αὐτοὶ κρίνουσί τε καὶ δογματίζουσι, ταῦτα δὲ παντάπασιν ἐν ἀνθρώποις ἀδύνατα, καὶ οὔτ' ἐγένετό ποτε πρότερον ἀεὶ, οὔτε μήποτε γένηται[13])· ἢ γὰρ ἂν ἐγένετο, τί ποτ' εἰσὶ χρήσιμοι, ἢ τί ποτὲ κατ' αὐτοὺς ἡ πολιτικὴ φιλοσοφία λυσιτελὴς τῷ βίῳ κατὰ τῶν μὴ ὄντων τρίβουσα καὶ νομοθετοῦσα, ἃ μήτ' ἔστι, μήτ' ἐγένετο [14]), μήτε ποτὲ γενήσεται; Εἰ δ' ἔστιν αὐτοῖς καὶ ἄλλως ὁτιποτοῦν ἀνύτειν χρωμένοις, καὶ βέλτιστα συντελεῖν [15]), ἐν οἷς ὁ βίος ἑκάστοτε καὶ βοηθεῖν ὅπως ἄρα, καὶ μέτρι' ἄττα δὴ τοῖς ἀνθρωπίνοις καὶ κοινοῖς πράγμασιν, οὐχ αἱροῦνται δὲ, ὅ τι μὴ κατὰ βούλησιν αὐτοῖς ἐστιν, ἀλλ' ἄλλως, ἢ ὡς αὐτοὶ καθόλου κρίνουσι καὶ δογματίζουσιν, οὐκ εὐγνώμονες δή τινες εἰσὶν, οὐδὲ φιλάνθρωποι βοηθεῖν ἄττα δύναιντ' ἂν, καὶ τοῖς πράγμασιν ἐγχωρεῖ τοῖς ἀνθρωπίνοις νοσήμασιν, οὐδὲ τοσοῦτο μᾶλλον ἑαυτοῖς καὶ τῇ φιλοσοφίᾳ χρήσιμοι καὶ οἷοί τε βοηθεῖν, τὸ καὶ ὁτιοῦν εἰςφέρειν τῷ βίῳ καὶ τῇ κοινῇ συντελείᾳ, ἀλλὰ ξυγχωρεῖν κατατρέχειν τοὺς πολλοὺς καὶ καταμωκᾶσθαι φιλοσοφίας τε καὶ σφῶν αὐτῶν καὶ καταψηφίζεσθαι παντάπασιν ἀχρηστίαν, καὶ οὐδὲν ἀλλ' ἢ κενολογίαν ἄπρακτον καὶ ἀνόνητον. Εἰ δ' ἀηδίζονται καὶ ἀπα-

---

13) γένηται, legendum γενήσεται, nam media syllaba σε a librario est omissa.

14) μήτ' ἐγένετο vsque ad ἄλλως in C. Mon. desiderantur.

15) συντελ. C. Aug. συντελῶν.

ξιοῦσι τῷ μὴ τυγχάνειν, ὡς βούλονται, καὶ δι' ὑποψίαν ἔστιν οὗ τῆς ἀτευξίας, φεύγουσι καθάπαξ το πράττειν, κἂν εἰ ἄττα δὴ λυσιτελεῖν δύναιντο καὶ καλῶς ἀνύτειν τῷ μετὰ τῶν πολλῶν βίῳ καὶ τῷ πολιτεύεσθαι, οὐκ ἂν φθάνοιεν αὖθις ἀδικώτατοι καὶ κακοὶ κακῶς ἐλεγχόμενοι, μὴ πᾶν τὸ γιγνόμενον ἑκόντες ὄντες μάλα πρόθυμοι συντελοῦντες, καὶ συνειςφέροντες τῇ κοινῇ χρήσει, ὡς ἂν ὁπηοῦν [16]) βέλτιον ἔχοι, ἀλλὰ ζημιοῦντες ἑαυτοὺς [17]) οὐ δόξης μᾶλλον οὐδ' ἐπαίνων, οὐδὲ μακαρισμῶν, ἢ φιλανθρώπων ἐνεργημάτων καὶ ὑποθέσεων βιωφελῶν ἐπιδείξεων. Ὥςπερ ἂν καὶ ἰατροὶ κακῶς ἀκούειν δικαίως εἶεν ἄξιοι, καὶ πάσης ἐπιτιμίας καὶ εὐθύνης, οἳ δι' ὑπόπτους ἀτυχίας καὶ δέος ἔστιν, οὗ τοῦ μὴ κατευστοχῆσαι τῆς χρήσεως αἱροῖντ' ἂν πᾶσαν ἀποφεύγειν βοήθειαν ἀνθρωπίνην ἐν ταῖς συμφοραῖς τοῦ σώματος, καὶ ἃ δύναιντ' [18]) ἂν εἶναι χρήσιμοι καὶ φιλάνθρωποι ἑκόντες ὄντες μύοντες ἀποτρέποιντο. Φαῦλον ὡς ἀληθῶς καὶ κατάπτυστον, εἴ τις οὕτω λέγοι, εἴ τις οὕτως αἱροῖτο, καὶ ἢ ψευδομένων ἀνδρῶν, ἢ πάνυ τοι τῷ κοινῷ βίῳ κατ' ἀνθρώπους δυςνουστάτων.

---

16) ὁπηοῦν, Cdd. Mon. et Aug. ὁποιοῦν.

17) ζημ. ἑαυτούς. Inter ζημ. et ἑαυτοὺς ex Cdd. Mon. et Aug. inserenda sunt haec: τὸν βίον καὶ τὰ κοινὰ πράγματα τῆς παρ' ἑαυτῶν εὐχρηστίας καὶ βοηθείας, καὶ ζημιοῦντες.

18) δύναιντ', C. Aug. δύναιτ'.

ΚΕΦ. πβ'.

Ὅτι ἐπιμελητέον βασιλεῖ μάλιστα περὶ τὸ [1]) πορίζεσθαι χρηματισμούς [2]).

Βασιλεῖ δὲ ἄρα τῶν κοινῶν προσόδων καὶ τοῦ ποριστικοῦ περὶ τὰ χρήματα πολὺ μάλιστα μέλλειν ἀνάγκη, καὶ πονητέον ἐνταῦθα παντὶ τρόπῳ καὶ φροντιστέον, ὡς οἷόν τε, εἰ μέλλοι καλῶς ἕξειν αὐτῷ τὰ πράγματα, τά τε ἄλλα καὶ μάλιστα τὰ πολέμια, ὧν δὴ πᾶσα ἀνάγκη χρῆσις ἔσται. Καὶ πάντα τρόπον εἰς τοῦτό γε παρασκευαστέον, ὡς οὐκ ἔστιν ἀτρέπτως εἰρηνεύειν ἀεὶ, καὶ μάλ' αἱρούμενον καὶ προθυμούμενον, καὶ κατὰ πᾶν τὸ ἐγχωροῦν μεταχειρίζονθ' ὅσα φέρει πρὸς τοῦτο, ἀλλ' ἄκοντά γε ὄντα πολλάκις καὶ παρὰ γνώμην πᾶσαν καὶ [3]) ἀδοκήτως ἐμπίπτειν εἰς τἀναντία καὶ μάχαις ἀπαραιτήτως παραβάλλεσθαι. Τοιγαροῦν ἐπιμελητέον τούτου γ' ἕνεκα καὶ τῶν ἄλλων γε μὴν ἁπάντων ἕνεκεν, εἰ καὶ τούτου πλέον τοῦ ποριστικοῦ περὶ τὰ χρήμαθ', ὡς ἔφην, ὡς οὐκ ἔστιν εὐπεριφρονητότερον τοῖς ὑπὸ χεῖρα καὶ τοῖς ἀλλοτρίοις καὶ εὐεπιχειρητότερον ῥᾷστ' αὐτόθεν πένητος ἄρχοντος, καὶ αἰδὼς γὰρ πᾶσα παρὰ τῶν ὑπὸ χεῖρα,

---

1) περὶ τὸ, sic Cdd. nostri et Fabric. in Bibl. Gr. sed Bloch. p. 134. περὶ τοῦ. Infra nostri Cdd. non solum ἐπιμελητέον βασιλεῖ περὶ τούτου, sed etiam mox init. huius Cap. περὶ τὰ χρήματα μέλλειν.

2) χρηματισμούς, Cdd. Mon. et Aug. vti etiam Bloch. addunt τῇ ἀρχῇ. In Indice Capp. supra C. Ciz. etiam adiecit.

3) καὶ, abest a C. Aug.

καὶ πάσης ὕβρεως [4]) καὶ φιλοστοργίας τῶν ὑπηκόων ὁλκή τε καὶ ἀφορμὴ, καὶ κόσμοι πάντες ἐν εἰρήνῃ, καὶ σεμνότης μεγάλαις τύχαις πρέπουσα, οὗ δεῖ κατὰ πᾶσαν ἀνάγκην ἄρχουσι, καὶ μεγίστη καὶ ἀπαραίτητος τούτου χρεία, καὶ φιλότιμοι μεταδόσεις ἐλευθερίως, οὐ πρὸς οἰκείους μόνον ἀλλὰ καὶ ἀλλοτρίους ἔξωθεν. Καὶ ταῦτα γὰρ ἐπίχρεια πάντα, καὶ πάνυ τοι κατὰ καιρὸν ἔχει τοῖς ἄρχουσι, καὶ πολέμων αὖ χρήσεις αὐτόθεν τὲ κινουμένοις κρίσει καὶ ψηφίσμασι τοῦ συνοίσοντος, ὅτε δέοι ἂν, πάντως δὲ δεήσειν ἐπελθὸν [5]) οὕτω, καὶ οὐκ ἐκ προγνώσεώς τινος, οὐδ' ἐκ παρασκευῆς πόῤῥωθεν [6]) τῶν λογισμῶν, ἴσως δὲ καὶ ἐκ παρασκευῆς ἐνίοτε πόῤῥωθεν τῶν λογισμῶν διοικούντων ξὺν τῷ καιρίῳ, ἀλλὰ καὶ ἀμυνομένοις κατὰ πᾶσαν ἀνάγκην ἐχθρῶν βασκανίαις καὶ πλεονεξίαις καὶ ἐπιθέσεσι. Καὶ ταῦτα δὴ πάντα καὶ πλεῖσθ' ἕτερα χρημάτων εὐπορίας ἄνευ καὶ μακρῶν οὐσιῶν [7]) καὶ ταμείων πληθόντων, καὶ ῥᾷστ' ἐκ προχείρου βρυόντων εὖ μάλα κατὰ χρείαν ἑκάστην, καὶ ὑπὲρ τὴν χρείαν ἴσως οὐκ ἂν μήποτε γένοιτο βέλτιστα, καὶ ὡς ἂν ἀμέλει προςήκειν [8])

---

4) πάσης ὕβρ. Inter πάσης et ὕβρεως Cdd. Mon. et Aug. habent: εὐπειθείας ἀνάγκην καὶ ἀποτροπή.

5) ἐπελθὸν, C. Mon. ἐπελθών.

6) πόῤῥωθ. Scriptor C. Mon. ab hoc πόῤῥωθεν ad seq. aberrans omisit interposita.

7) οὐσιῶν, C. Aug. non habet.

8) προςήκ. C. Mon. προςήκει.

ἑκάστοτε. Καὶ τοίνυν ἐπιμελητέον ἂν εἴη περὶ τούτου βασιλεῖ παντὶ καὶ πολλῶν ἄρχοντι, καὶ πάντ᾽ ἀνθαιρετέον τούτου πόνον [9]) καὶ πᾶσαν φροντίδα, ὥςτ᾽ ἂν εὑρίσκειν καὶ σοφίζεσθαι πάντοτε πηγὰς [10]) περιουσίας χρημάτων καὶ πόρους, οὓς πάντας ἔξεστιν, ὡς οὐκ ἄλλως ὂν [11]) αὐτῷ βιοτὸν ἐν ἀρχικῇ τύχῃ, ὅτι μὴ πλουτοῦντι χρημάτων, κἀντεῦθεν χερσὶ χρῆσθαι πρὸς τὸ εὖ ποιεῖν ἔχοντι. Εἴρηται καὶ ἅμα ἐνεθυμήθην, ὅτι δῆθ᾽ ὥςπερ χεῖρες ἀρχῆς καὶ πρακτική τις ἐνέργεια καὶ χρῆσις καὶ δύναμις τὸ πλουτεῖν ἐστι, καὶ δι᾽ αὐτοῦ πάντ᾽ ἐνεργόν ἐστι δείκνυσθαι τὸν ἄρχοντα καὶ πεφυκότα πράττειν καὶ κινεῖσθαι, καὶ ὅλως εἶναι. Μᾶλλον μὲν οὖν, ὥςπερ οὐδὲ ζῆν ἐστιν ὅλως ἄνευ ἀέρος πνοῆς, οὕτως οὐδ᾽ ἡγεμονεύειν οὐδὲ πολλῶν κρατεῖν ἐθνῶν καὶ πόλεων, καὶ πᾶν τὸ γιγνόμενον ἀποδιδόναι τῇ διοικήσει τῆς ἀρχῆς χωρὶς τῆς ἐν τῷ πλουτεῖν χρήσεως. Δεῆσαν γὰρ ἀποδιδόναι πρὸς τἀναγκαῖα καὶ χρήσιμα τῆς ἀρχῆς, πάντως δὲ δεήσει τοῦτο μὲν στρατεύμασι πεζοῖς τε καὶ ναυτικοῖς, εἰ ἔστι, κατὰ θάλατταν χρῆσθαι δεσπόζοντα, τοῦτο δὲ φρουραῖς πόλεων [12]), τοῦτο δὲ πάσαις ἀναγκαίαις παρασκευαῖς καὶ χρείαις τοῦ πολεμεῖν, νῦν μὲν ἐπὶ ῥητοῖς, νῦν δ᾽ ὡς ἂν

9) πόνον, C. Mon. πόνου.
10) πηγὰς, abest a C. Mon.
11) ὂν, C. Mon. ἦν.
12) τοῦτο — πόλεων, in C. Mon. sunt neglecta.

ἐπίοι· κατὰ γὰρ τὸν παλαιὸν λόγον, καὶ τὸ τοῦ βασιλέως Λακεδαιμονίων [13]) ἀπόφθεγμα, ὁ πόλεμος οὐ τεταγμένα σιτεῖται· τοῦτο δὲ πρεσβείαις χρηματίζειν, καὶ πᾶσι τοῖς τῆς ἀρχῆς νομίμοις πλείστοις, ὅσοις καὶ ῥητοῖς καὶ ἀῤῥήτοις ξυμπίπτουσι ἑκάστοτε. Μὴ ἔχων ἔπειτα μηδ' εὐπορῶν [14]) ὁ βασιλεύων ἐν τοῖς τοιούτοις τί ποτ' ἂν χρήσαιτο [15]), ἢ πῶς οὐκ αὐτίκα ταχὺς αὐτός τε φθάσας οἰχήσεται, καὶ τὰ πράγματα τῆς ἀρχῆς [16]) καθάπαξ αὐτῷ συνοιχήσεται; καὶ πρός γ' ἔτι καὶ γέλωτ' ὀφλήσει μὴ καλῶς ξυνορῶν, μηδ' ἐκ μακροῦ προνοῶν, ὡς ἄρ' ἔστιν ἄρχειν, ἀλλ' ὡς ἔτυχεν ἁπτόμενος ἀλογίστως καὶ πειρώμενος ὥςπερ ἐν πεττείαις τῆς ἀρχῆς, μᾶλλον δ' ὡς ἀληθῶς παίζων ἐν οὐ παικτοῖς, καὶ ἀπροόπτως ἑαυτῷ τε καὶ πολλοῖς προμνώμενος θάνατον, οὐκ ἐννοῶν οἷ φέρεται, οὐδ' ὧν αὐτῷ δεῖ καὶ τῇ ἀρχῇ, οὐδ' οἷ τελευτᾷν αὐτὸν ἀνάγκη, ὅμοιον ὥςπερ δὴ τὰ νήπια πρὸς τὴν λαμπρότητα τῆς φλογὸς ἀγαλλόμενα προςάπτεσθαι, καὶ χεῖρας ἐπιβάλλειν ὁρμᾷ, μὴ ξυλλογιζόμενα, ὡς ἄρ' αὐτίκα κλαιήσει [17]) μόνον ἁπτόμενα, καὶ δεήσει κακῶς ἐκεῖθεν ἀπαλλάττειν αὐτά. Ἄμεινον μέντ' ἂν αὐτοῖς ἔχοι πολὺ,

13) βασιλ. Λακεδαιμ. Archidami, cf. Plut. Apophth. ed. Reisk. Vol. VI. p. 719 et 819.

14) εὐπ. C. Mon. εὐπορῶς.

15) χρήσαιτο, C. Mon. male χρίσαιτο.

16) τῆς ἀρχ. C. Mon. τὴν ἀρχήν.

17) κλαιήσει, C. Mon. καὶ κλαιήσει.

εἰ μὴ χεῖρας ἐπὶ τῷ λαμπρῷ τῆς φλογὸς κινοῖεν, μηδ' ἅπτοιντο, καὶ τοῖς ἀρχῆς ἐφιεμένοις ἀλογίστως, καὶ προςαπτομένοις ἐμπλήκτως τῶν κατ' αὐτὴν πραγμάτων ἐφέσει τῆς ἐμφαινομένης δῆθεν λαμπρότητος, καὶ μηδὲν ὑπ' ἀμαθίας προορωμένοις, ὧν ἄρα τῇ ἀρχῇ δεῖ, ὥςτ' ἐν ἀσφαλεῖ καὶ καλῶς ἔχειν, καὶ ὧν ἄνευ ἀκινδύνως οὐκ ἔστιν ἀπαλλάττειν, ὥςπερ δὴ περὶ χρημάτων καὶ πόῤῥων [18]) *τῆς διοικήσεως εἴρηται. Πάντων μάλιστα βέλτιον ἂν ἦν οἶμαι πολὺ καθ' ἑαυτοὺς ἔχειν, καὶ τοὺς πόδας ἔξω τῶν τῆς ἀρχῆς πραγμάτων ἱστᾶν, ὡς ἄρα κακοὺς* [19]) *κακῶς μετ' ὀλίγον τῷ πάντοθεν δυςχερῶς ἔχειν καὶ κακῶς πράττειν ἀπαλλαξείοντας. Τὸν μὲν οὖν τῶν Ἀχαιῶν ἡγεμόνα Φιλοποίμενα, στρατηγικὸν μὲν ἄνδρα καὶ σωφρόνως βιοῦντα καὶ τὰ τῶν μαχίμων εὖ μάλα ἐπιστήμονα, διὰ δὲ τὸ μὴ* [20]) *πορισμοὺς ἔχειν χρημάτων εἰς τὰς ἑκάστοτε χρείας ἀπορούμενον, καὶ τῶν πραγμάτων ἁπάντων* [21]) *ἐκπίπτοντα, καὶ οὐκ ἔχονθ'* [22]) *ἑαυτῷ χρῆσθαι, καὶ ταῖς καλαῖς ἴσως περὶ τῶν πρακτέων χρήσεσιν* [23])*, ἐπισκώπτων ὁ Ῥωμαῖος Φλα-*

---

18) *πόῤῥων*, C. Mon. *πόῤῥω*: fors. legendum *πόρων*.

19) *κακοὺς*, in C. Mon. deest.

20) *διὰ δὲ τὸ μὴ* vsque ad *χρείας* absunt a C. Mon.

21) *ἁπάντων*, deest in C. Aug.

22) *ἔχονθ'*, C. Aug. *ἔχοιθ'*, sed Mon. cum Ciz. *ἔχονθ'*.

23) *χρήσεσιν*, supra est scriptum *κρίσεσιν*, quod Cdd. Aug. et Mon. exhibent.

μίνιος [26]) Τίτος ἀντιστρατηγῶν ἔλεγε· χεῖρας μὲν ἔχειν Φιλοποίμενα καὶ πόδας, κοιλίαν δὲ μὴ ἔχειν. Καὶ γὰρ δὴ καὶ ξυνέτυχεν οὕτως ἔχειν αὐτὸν ἀφυῶς τῷ σώματι, ἐπέσκωπτε δ' ὅμως ὁ Τίτος ἐντεῦθεν τῷ φαινομένῳ κατὰ τοῦ ἀνδρὸς διὰ την τῶν χρημάτων ἀπορίαν καὶ στένωσιν εἰς τὰς ἀναγκαίας χρήσεις, πρὸς τὸ μεταδοτικὸν τῷ τροφίμῳ τῆς κοιλίας πᾶσι τοῖς τοῦ σώματος μέλεσιν εἰκάζων κατὰ καιρὸν ὄντως τὸ παρὰ τῆς τῶν χρημάτων εὐπορίας ἐπαρκοῦν ταῖς ἀπαραιτήτοις τῶν πραγμάτων χρήσεσιν, ὡς οὐκ ἄνευ τῆς ἐντεῦθεν ἀρδείας πεφυκὸς ὅλως ἀρχῆς ὁλομέλειαν ἐν τῷ καθεστῶτι καὶ προσήκοντι καὶ ἰδίᾳ ἑκάστοις καὶ κοινῇ πᾶσιν ἀσφαλῶς ἵστασθαι καὶ μένειν· βασιλεῖ δὲ μὴ [27]) χρηματικῆς εὐπορίας παρούσης μηδὲ παμμήκους καὶ παμπληθοῦς καὶ παμπλήρους ταμιευχίας ἀναδιδούσης ἱκανῶς ἑκάστοις ἑκάστοτε τὰ κατὰ χρείαν καὶ πρόςφορα, οὔτε χεῖρες οὔτε πόδες εἰσὶν, ὥςτε καὶ ὁπηοῦν ἐνεργεῖν καὶ κινεῖσθαι [28]), μᾶλλον δ', ὡς ἔπος εἰπεῖν, καὶ ὅλως εἶναι, ἀλλὰ κίνδυνος αὐτόθεν καὶ ταχίστη νέκρωσις καὶ ζωῆς ἐξώλεια. Καὶ τοίνυν ἐπιμελητέον, ὡς ἔφην,

---

26) Φλαμίνιος. Livius l. 34. eum nominat Titum Quinctium Flamininum: Plut. in Philopoem. c. 2. modo Titum, qui Philopoemeni dixisse tradit: ὡς καλὰς χεῖρας ἔχεις καὶ σκέλη, γαστέρα δ' οὐκ ἔχεις, sed alia ex causa, quam ea est, quae a Theodoro nominatur.

27) μὴ, C. Aug. καί.

28) καὶ κινεῖσθαι, desunt in C. Mon.

ὡς ἄρ᾽ ἔξεστι πάντα τρόπον ὥςπερ ζωηφόρου τινὸς καὶ οὐσιοποιοῦ χρήσεως τῶν χρηματικῶν [29]) προςόδων, καὶ τῆς ἐντεῦθεν ἐξ ἀφθόνου καὶ ἀμειώτου [30]) πηγῆς ἐξαρκούσης δυνάμεως· οὐ γὰρ ἔξεστιν ἄλλως ὅτι μὴ τὸν τρόπον τοῦτον βασιλεύειν καὶ χρῆσθαι τοῖς πράγμασι. Τὰ μὲν γὰρ ἄλλ᾽ ἔστι καὶ παρορᾶν ἴσως καὶ μέχρι τινὸς ὑπερτίθεσθαι, καὶ πολεμεῖν μετ᾽ εἰρήνην, καὶ μετὰ πόλεμον εἰρήνῃ χρῆσθαι καὶ στρατευμάτων πλήθη καὶ ἀρχόντων ἐπιλογὰς, καὶ ναυμαχιῶν κράτος ἐκ παρασκευῆς, καὶ πάνθ᾽ ὅσα ταῖς ἀρχαῖς ἐπίχρεια· χρημάτων δ᾽ ἐρημίας οὐκ ἔστιν ὅλως καιρὸς ἄρχοντι, οὐδὲ μέλησις ἂν εἴη τὶς ἀνεκτῶς ἐνταῦθα, οὐδ᾽ ἀκίνδυνος ὅλως ὑπέρθεσις, ἀλλ᾽ ἐν πάσῃ τῆς ἀρχῆς ἕξει καὶ πάσῃ διοικήσει συντόνῳ τε καὶ γαληναίᾳ καὶ πολυπράγμονι καὶ ἀπράγμονι πλούτου παρουσία χρῆμ᾽ ἀπαραίτητον βασιλεῦσι, καὶ ζῆν καὶ βασιλεύειν ὅλως χρημάτων ἄνευ οὐχ οἷόν τε.

ΚΕΦ. πγ΄.

Ὅτι μὴ καθάπαξ ἑαυτὸν δοτέον [1]) τῇ περὶ τὸ χρηματίζεσθαι ἐπιμελείᾳ τὸν βασιλέα, καὶ πάντα τρόπον εἰς τοῦτο σπουδαστέον [2]).

Οὐ μὴν ἀλλ᾽, εἰ καὶ μάλιστ᾽, ἐπιμελητέον ἐστὶ πάντα τρόπον βασιλεῦσι περὶ τὸ ποριστικὸν

29) χρηματικ. C. Mon. χρημάτων.

30) ἀμειώτ. C. Mon. ἀμεινώτου: in ora tamen ἀμειώτου.

1) δοτέον, C. Mon. δοτέον οὐ.

2) εἰς τοῦτο σπ. Supra in indice σπουδ. εἰς τοῦτο cum C. Aug.

τῶν χρημάτων ὡς ἀναγκαῖον ὄν, εἰ δή τι ἄλλο τῶν κατὰ τὴν ἀρχὴν, ἧπερ εἴρηται, φειστέον γε αὖθις ὅμως, μήποτ᾽ ἄρα προςανέχειν ταύτῃ γε γίνοιτο, ἢ δόξαι γε προςανέχειν πλέον τοῦ προςήκοντος καὶ μετρίου, καὶ πλεῖν ἢ βασιλεῦσιν ἁρμόζον ἡττῆσθαι τῆς περὶ τὴν [3]) ἀργυρίζεσθαι λιχνίας. Ἐπεὶ καὶ παραπλησίως γε φαῦλον, καὶ φαύλων ἀρχόντων καὶ ἀνδρῶν τό τε περὶ ταῦτ᾽ ἀφροντίστως ἔχειν ἀμαθίᾳ τοῦ βελτίστου καὶ μάλα τοι συνοίσοντος τοῖς πράγμασι, καὶ τὸ παντάπασιν ἐνταῦθα τοῖς λογισμοῖς ἠρτῆσθαι, καὶ λαθόντα σφόδρ᾽ ἁλώσιμον γενέσθαι, καὶ φιλουλίας καὶ μικρογνωμοσύνης ὑπεύθυνον, οὐ πρὸς τὴν χρείαν κατὰ καιρὸν ἐπειγόμενον, ἀλλ᾽ αὖ ἀλογίστῳ ῥοπῇ κάτοχον καὶ νοσοῦντα δεινῶς καὶ παθαινόμενον, καὶ ταπεινῶς πράττοντα καὶ ἀναξίως [4]) τῆς ἀρχῆς. Ὅπου γὰρ τοῦτο καὶ ἰδιώταις ἀνδράσι καθάπαξ αἴσχιστον καὶ νεμεσητὸν, τί ποτ᾽ ἂν φαίη τις, ἢ πόσον λογίσαιτ᾽ ἂν ἀνοίκιον [5]) βασιλεῦσι, καὶ πόῤῥω κομιδῇ τοῦ σφίσι πρέποντος [6]) καὶ σεμνοῦ καὶ κοσμίου τὴν περὶ τὰ χρήματ᾽ ἀπλη-

---

3) περὶ τὴν, vel leg. τὸ, vel cum Cod. Paris. Reg. περὶ τ᾽ ἀργυρίζεσθαι.

4) ἀναξίως — αἴσχιστον, C. Mon. ἀνάπαξ αἴσχιστον, vnde patet, Codicis scriptorem ab ἀνα (voc. ἀναξίως) ad καθάπαξ in vers. seq. aberrasse.

5) ἀνοίκιον, C. Mon. ἀνίκιον: vtrumque mendose. Legendum ἀνοίκειον. Verba βασιλεῦσι, καὶ ab una eademque manu margini adscripta leguntur, nam in contextu non occurrunt.

6) πρέπ. C. Aug. πρέπον, syllaba vltima, τος, omissa.

στίαν πάσης ἀνωτέραν ἄλλης ἀρχικῆς ἀσχολίας, καὶ τὸ πᾶσαν ἐνταῦθα δαπανᾷν ἀτρέπτως ἐργατικὴν καὶ λογιστικὴν χρῆσιν καὶ πόνον καὶ συντονίαν ἐπιμελείας, καὶ τὸν νοῦν ὅλον διδόναι ταύτῃ γ' ἐγκείμενον καὶ τρίβοντα, καὶ πᾶσαν ἐλπίδα μηδενὶ τῶν ἁπάντων ἄλλων ἢ χρήμασι μόνοις καὶ τῷ πλουτεῖν εὖ μάλ' ἀεὶ τιθέμενον; καὶ ὀλιγωρεῖν μὲν δίκης τούτου γ' ἕνεκεν, ὀλιγωρεῖν δ' εὐσχημοσύνης βασιλεῖ καὶ μεγάλῃ τύχῃ [7]) πρεπούσης, ὀλιγωρεῖν δὲ καθάπαξ ἐρεῖν τῶν ἄλλων τῆς ἀρχῆς ἀναγκαίων ἑκάστοτε, καὶ δικαίων ἀνδράσιν ἡγεμονικοῖς καὶ πολλῶν ἀξιοῦσι κρατεῖν· καὶ μάλιστ' εἰ καὶ δυοῖν θάτερον ἔπειθ' ἑξῆς ἕποιτο, ἢ κατασωτεύεσθαι τοῦ πλούτου καὶ τῶν χρημάτων, καὶ φαύλως [8]) καὶ ἀκαίρως ἐκδαπανᾷν, ἃ φαύλως ἂν καὶ ἀκαίρως πορίζοιντο, ἢ καταγλισχρεύεσθαι [9]) ταπεινῶς τῆς αὐτῶν χρήσεως, καὶ τοῦτο μόνον ἐπιμελὲς ἔχειν ἔργον, θύλακον [10]) εἶναι χρημάτων πλήθοντα καὶ μικροῦ ῥηγνύμενον, καὶ τὰ κιβώτι' αὔξειν ἀκένωτα καθάπαξ πάσῃ φιλοτίμῳ χρήσει, καὶ βασιλεῦσιν ἐθίμῳ τε καὶ νομίμῳ. Ὡς ἄρα δὴ ξυμβαίνειν, ὅπερ ἡ τοῦ Αἰσώπου ἀλώπηξ κατὰ τὸν [11]) μῦθον πρὸς τὸν λέοντ' ἔφησεν, ὡς ἴχνη

---

7) τύχῃ, abest a C. Mon.

8) φαύλως, C. Aug. φαύλῳ: male.

9) καταγλισχρ. C. Mon. καταγλισχεύεσθαι, male omissa littera ρ.

10) θύλακ. C. Mon. θύλλακον.

11) τόν, abest a Cod. Mon.

μὲν τῶν ζώων εἴσω δυομένων εἰς αὐτὸν ὁρᾷν ἐστιν, ἐξιόντων δ' οὐκέτι μηδένων μηδαμῶς ὁρᾶσθαι, καὶ τοῦ γε δὴ πλούτου καὶ τῶν χρημάτων εἴσω κατὰ τῶν ταμείων ὠθουμένων ἐπίγνωσιν εἶναι, διέξοδον δὲ τούτων καὶ χορηγίαν οὐδαμῶς ὁρᾶσθαι, οὐδ' ἐν οἷς δέοι ἄν, οὐδ' ἐν οἷς μὴ δέοι ἄν, ἀπαραιτήτως πολλῷ γ' ἔτι πλέον. Τοῦ γὰρ δὴ τοιούτου τρόπου καὶ τῆς τοιαύτης μικρολογίας οὐδὲν ἂν αὖθις ἔσται κέρδος, οὐδ' ὄνησις ἐπὶ τοῖς χρήμασιν, ἀλλὰ πᾶν τοὐναντίον κἀνταῦθα, ὥςπερ ἐπὶ τῆς ἀμελείας τῆς τοῦ πορίζεσθαι χρείας, καὶ τῶν προςόδων, καὶ κάκιστ' αὐτόθεν καὶ αἴσχιστα, καὶ μετὰ γέλωτος καὶ ὀνείδους ἀπαντῶσαν φθορὰν τῆς ἀρχῆς [12]) καὶ τῶν πραγμάτων, ὡς οὐδὲν μήποτ' ἔσται χρηστὸν τῶν ἀρχομένων τοιούτῳ δεσπότῃ γνίφωνι, καὶ παντάπασιν ἀπειροκάλως τε καὶ ἀνελευθέρως ἀπρὶξ ἐχομένῳ χρημάτων, μᾶλλον δ' ἐνσχεθέντι ταῖς τοῦ πλουτεῖν καὶ χρυσοῦ σειραῖς, καὶ τρίδουλον ἑαυτὸν ἐντεῦθεν ποιοῦντι. Τίς γὰρ ἂν εἴη παρὰ τῶν ὑπηκόων εὔνοι' αὐτῷ; τίς ἀσφάλεια περὶ τῆς ἀρχῆς; τίς μάλιστα περὶ τῆς ζωῆς ἀσφάλεια, ἣν ὥςπερ ἀπεμπολεῖ καὶ προΐεται τῶν εἴσω θησαυρῶν, καὶ διδοὺς ἑαυτῷ καὶ εἰςοικιζόμενος, καὶ λαμβάνων τὰ χρήματα ἀντιδίδωσιν ἑαυτὸν εὐεπιχειρήτως τοῖς ἐχθροῖς, καὶ ἀντιλαμβάνει κακὸς κακῶς πανώλειαν, καὶ λοιπὸν οὐχ ἑαυτὸν μόνον προδίδωσιν, ἀλλὰ καὶ

---

12) τῆς ἀρχῆς usque ad τῶν ἀρχομένων desiderantur in C. Aug.

τοὺς πολυεράστους καὶ πολυτιμήτους αὐτῷ θησαυρούς; Ταῦτ' ἄρα οὔτ' ἀμελητέον ἂν εἴη, ὥσπερ εἴρηται, τῆς τοῦ πορίζεσθαι προνοίας ἐν ταῖς ἀπαραιτήτοις τοῦ πλούτου χρήσεσιν, οὔτε μὴν ὅλον ἑαυτὸν τῇ περὶ τούτου δοτέον ἀσχολίᾳ καὶ καπηλείᾳ, καὶ πάσῃ πάντοθεν εἰς τὸ πορίζεσθαι περιεργίᾳ καὶ ἅμα ἀχρηστίᾳ, τὸ γὰρ ἄκρατον καὶ ἄμετρον ἐπ' ἀμφότερα κομιδῇ πάντων ἐπιζήμιον, καὶ πρὸς τὸ ἄρχειν ἐπικινδυνότατον, καὶ τελευτῶν, ὡς ἔπος εἰπεῖν, φθοροποιόν· τὸ γὰρ δὴ πᾶν μέτρον καὶ ἐν παντὶ πράγματι ἄριστον εἶναι κατὰ τὸν παλαιὸν λόγον καθόλου βέλτιστ' εἰρημένον καὶ χώραν ἔχον εὖ μάλιστα. Πολὺ δὴ νῦν ἐνταῦθα οἰκείως ἔχει τὸ κατὰ μέτρον ὅ τι δὴ ποιεῖσθαι τοῖς βασιλεῦσι τὰ μεγέθη τῶν οὐσιῶν καὶ τῶν κτήσεων, καὶ τὰς δαπάνας αὖ ξὺν λόγοις καὶ μέτροις καὶ σταθμοῖς ἐνεργεῖσθαι τῷ καιρίῳ [13]) τῆς χρήσεως, καὶ μηκέτ' ἐκτείνεσθαι πλεῖν ἢ δεῖ, μήτ' ἔλαττον αὖ ἔχειν, ἀλλ' ὀρθῷ βασιλικῇ κατὰ τον λόγον, καὶ τοῦτο νῦν οἰκείως ἥκειν καὶ δείκνυσθαι, καὶ ἅμα μὲν τοῦ προσήκοντος καὶ μετρίου τυγχάνειν τὴν τοῦ πλούτου καὶ τῶν χρημάτων ἐπιμέλειαν, ἅμα δὲ καὶ τἀναλώματ' [14]) αὐτοῦ [15]) πρὸς τὰς χρείας οὐκ ἀσώτως, οὐ μικρολόγως, ἀλλ' ὡς ἂν εὖ τε καὶ μετρίως ἔχειν.

---

13) καιρίῳ, C. Mon. καιρῷ, sed in ora γρ. καιρίῳ.

14) ἀναλώμ. C. Mon. ἀνώμαλα: in marg. γρ. ἀναλώματα.

15) αὐτοῦ, C. Mon. τοῦ.

Καὶ τούτου γαρ ἕνεκα τὸ ἐπιμελὲς καὶ ποριστικὸν τῶν χρημάτων νομίζεται· ἐπεὶ ἄλλως ἐνταῦθα πονοῦσι καὶ μὴ κατὰ τόνδε τὸν σκοπὸν τὸν νοῦν προςέχουσι, τηνάλλως ἂν εἴη πονεῖν, καὶ πράγματ' [16]) ἔχειν καὶ ἀσχολεῖσθαι. Καὶ φευκτέον τοιγαροῦν ἀμφότερα, καὶ τὸ κατολιγωρεῖν τοσούτου δὴ πράγματος ἀναγκαιοτάτου ταῖς ἀρχικαῖς ἐργασίαις, καὶ ἀλογίστως ἔχειν περὶ τὰ καιριώτατα καὶ μάλιστ' ἐπίχρεια τοῖς ἄρχειν ἀξιοῦσι πολλῶν ἐθνῶν καὶ πόλεων, καὶ δήμων, καὶ στρατευμάτων, καὶ κατ' ἐχθρῶν ἁμιλλᾶσθαι καὶ περιγίνεσθαι, καὶ τὸ πάντα καθάπαξ ἐνταῦθα τὸν νοῦν στρέφειν, καὶ ἀεὶ προςανέχειν τῇ περὶ ταῦτ' ἐπιμελείᾳ καὶ συντονίᾳ πᾶσι λογισμοῖς καὶ πόνοις, καὶ κατολιγωρεῖν αὖθις τῶν ἄλλων, ἃ προσήκει τῇ ἀρχῇ τοσούτων γε πλείστων, καὶ πλεῖστον ἀναγκαίων πονεῖν τε καὶ προςέχειν τὸν νοῦν, κἂν τούτῳ μόνῳ τὰς ἐλπίδας ἔχειν ἁπάσας, ἢ μηδ' ἐν τούτῳ μάλιστ' ἐνίοτε, ὅσοι δηλαδὴ μηδὲ χρήσιμα ποιοῦσιν αὐτοῖς τε καὶ τῇ ἀρχῇ τὰ χρήματα, τῷ μηδὲ χώραν διδόναι τῷ πλούτῳ τῆς κατὰ καιρὸν χρήσεως ἐν τοῖς πρακτέοις, ἀλλ' ἀποκλείειν αὐτῷ πᾶσαν διέξοδον, καὶ μὴ προφέρειν πρὸς ἡντιναοῦν ὄνησιν καὶ ἐργασίαν εὖ μάλ' ἀνύσιμον τοῖς τῆς ἀρχῆς πράγμασιν.

---

16) πράγματ', C. Mon. πρᾶγμα.

ΚΕΦ. πδʹ.

Ὅτι ἐπιμελητέον ἀνεμεσήτως περὶ οὐσίας [1]) καὶ πλούτου τῷ πολιτικῷ.

Τὸν αὐτὸν δὲ τρόπον καὶ ὅσοι πολιτικὸν εἵλοντο βίοτον, καὶ κοινωνικὴν μετὰ πολλῶν συνδιαγωγὴν καὶ συζυγίαν, καὶ φίλτατα καὶ ἑταιρείας [2]), καὶ νόμοις κοινοῖς ὑπεύθυνον ζωὴν καὶ περὶ πράγμαθ' οἷς κατὰ χώραν ξυλλαγχάνοιεν, καὶ οἷς ἂν ἐθίμως χρῷντο, καλῶς ἄγεσθαι καὶ οὐκ ἀφανῶς, ἀλλὰ περιδόξως ἀνύτειν, καὶ λόγου τυγχάνειν πλείονος, ἢ κατὰ πολλοὺς, καὶ διαδείκνυσθαι περιττοί τινες εἶναι καὶ θαυμάζειν ἄξιοι, καὶ λαμπρῶν ἄξιοι χρήσεων. Ἐπιμελητέον ἂν εἴη σφίσιν οὐχ ἥκιστα περὶ οὐσίας ἐν βίῳ καὶ ὄλβου, πολὺ γὰρ ἐπιτυχές ἐστιν εἰς τὸ πράττειν ἀνενδεῶς ἔχειν χρημάτων, καὶ οἷόν τ' εἶναι ῥᾷστα ταῖς κατὰ χρείαν ἀπαντᾷν δαπάναις, καὶ πολλῶν ἐστιν ὑστερίζειν παρὰ τὸ πένεσθαι, ἃ δόξης ἀφορμὰς δίδωσι, καὶ τοῖς κοινοῖς ὀνήσιμα πράγμασι, καὶ δι' ἑκάστοις ἐνίοτε διαφέρει [3]). Καὶ μέγ' οὐδέν ἐστι πράττειν ἀπορίᾳ χρημάτων ἐχόμενον, οὔτε δὴ μετὰ φρονήματος γεννικοῦ μεγάλοις ἐπιβάλλειν πράγμασι, καὶ παραβάλλεσθαι τῶν πολλῶν ὑπερτερεῖν, καὶ πλεῖον ὅ τί ποτ' ἄρα φέρεσθαι, καὶ πᾶσιν ἐνευδοκιμεῖν τοῖς πρακτέοις· ταπεινοῖ γὰρ ἄνδρα,

---

1) περὶ οὐσίας, Cdd. Aug. et Mon. περιουσίας.

2) ἑταιρ. C. Aug. male ἑτερείας.

3) διαφέρει, C. Mon. διαφέρειν.

φησὶν ἡ ποίησις [4]), πενία σύνοικος, κἂν θρασύσπλαγχνός τις. Καὶ προςκόπτων [5]) ἑκάστοτε περὶ τὸ πράττειν, ὅτι μὴ δύναται τοῖς πολλοῖς ἐντεῦθεν χρήσιμος εἶναι, καὶ κατευδρομεῖν εἰς τὰς ἐνδόξους τῆς τύχης ἐπιβολὰς, ἀποτρέπεται τῶν πραγμάτων, καὶ ταπεινῶς χρώμενος πολλοῖς, καὶ τῶν αὐτοῦ χειρόνων ἑαυτὸν ὑποτάττει, καὶ προπηλακίζεσθαι καὶ ἐμπαροινεῖσθαι τοῖς πρὸς τὸ ὑβρίζειν ἑτοίμοις. Αὐτόθεν ἕτοιμός ἐστιν ὑπόθεσις, καὶ θωπεύειν ἀνελευθέρως ἀνάγκην ἔχει καὶ συντετάχθαι κόλαξι, καὶ πάντα φέρειν, εἰ δὲ μὴ, κλαιήσει ἔτ' ἐπιεικῶς αἴσχιστα καὶ ἀλγεινότατα, οἱ δὲ καὶ φαύλως ἴσως ὑπὸ τῆς ἐνδείας τῶν κατὰ χρείαν, ὅσοι μὴ κομιδῇ τὰς γνώμας ἐῤῥωμένοι καὶ μάλ' ὑγιαίνοντες ἐκτρέπονται πρὸς ἔργα τινὰ φαῦλα, καὶ ὧν οὐκ ἂν ποθ' ἥψαντο πλουτοῦντες. Καὶ χεῖρας γὰρ ἐπιβάλλουσιν ἀδίκους ἄλλων βίοις κρύφα τε καὶ ἀναιδῶς ἴσως, καὶ δημοσίων ἁρπαγαῖς, καὶ συκοφαντίας ἐγείρουσι, καὶ δόλους κακοῤῥαφοῦσι καὶ παντοῖα μαγγανεύματα ἀλλοτρίοις ἀγαθοῖς ἐπιφυόμενοι καὶ ἐποφθαλμίζοντες, καὶ διορύττοντες οἰκίας μηδὲν ἀδικούντων, καὶ ἐπηρεάζοντες μὲν ἄλλοις, προδιδόντες δ' ὅμως σφᾶς αὐτοὺς ἀναιδείᾳ πάσῃ καὶ ἀσχημοσύνῃ, καὶ τοῖς

---

4) ποίησις. Est vers. Euripidis in Hippol. 424. qui vero pro ταπεινοῖ dat δουλοῖ, nec refert ad πενίαν σύνοικον, sed ad infamiam parentum. Theodorus loca poetarum immutatis nonnullis verbis saepius rei suae solet accommodare.

5) προςκόπτων, C. Mon. περισκόπτων.

αἰσχίστοις πάθεσιν ἀρνύμεναι κατα τὴν ποίησιν ἀλόχοις τ' ἠδὲ τέκνοις πόθον ἐδωδῆς τ' ἠδὲ πόσιος, καὶ κάκιστ' ἴσως ἐλεγχόμενοι πρὸς τὴν ἀπορίαν, καὶ τὴν ἔνδειαν καὶ τὴν ἄφυκτον ἀνάγκην τῆς χρείας καταφεύγοντες· καὶ καθόλου γ' ἐρεῖν, τί μὲν μὴ ποιοῦντες, τί δὲ μὴ λέγοντες αἰσχύνης καὶ ἀηδίας καὶ καταδίκης ἄξιον; Οἱ δὲ καὶ καθ' ἑαυτῶν ὁπλίζουσιν ἐνίοτε χεῖρας, καὶ βρόχους ἀγχόνης ἐξαρτῶσι, καὶ τὰ πάντων ἀνοσιώτατα καὶ ἀπευκταιότατα καὶ ψυχαῖς καὶ σώμασι καθ' ἑαυτῶν κακουργοῦσιν ἀποδιδράσκοντες πενίας βίαν, καὶ τὸ προσορᾶν, ὡς ἄλλοι μὲν εὐδαιμονοῦσι μακραῖς οὐσίαις καὶ τιμαῖς ἐντεῦθεν, καὶ μεγαλοδοξίαις, αὐτοὶ δ' ἔπειτα ταλαιπωροῦνται τοῖς ἀναγκαιοτάτοις τῇ χρήσει, καὶ περιφρονοῦνται, παρ' ὧν οὐ θέμις, οὐδ' ἄν ποτ' ᾠήθησαν, καὶ οὐδέν εἰσιν οὔθ' ἑαυτοῖς χρήσιμοι, οὔτε τοῖς οἴκοι φιλτάτοις, ἀλλ' ἀηδέστατα προςορῶσι καὶ προςορῶνται, καὶ καταισχύνονται τὸν ἥλιον, καὶ βίοτον ἀνιαρώτατον ἕλκουσι. Καὶ ταῦτα μὲν, καὶ τούτων ἔτι πλείω, καὶ ἴσως καὶ μείζω μάλιστα, καὶ μόνον ἀκούειν τε καὶ λέγειν πολλοῖς γε τῶν ἀνθρώπων ἐπὶ τῇ τῶν χρημάτων ἐνδείᾳ ξυμβαίνοντ' ἔστι πολλάκις ὁρᾶν. Καὶ μακρὰ [6]) λέγειν ἔτ' ἔχομεν ἐπὶ τούτοις καὶ προςτιθέναι· ἀτὰρ κἂν εἰ μή τις τοσαῦτά γε καὶ τοιαῦτα δυςτυχῆσαι σωφρονικὸς ἄνθρωπος καὶ λόγου κρίσει, καὶ θείοις νόμοις

---

6) μακρὰ, C. Aug. μακράν.

ἀγόμενος, τί ποτ᾽ ἂν ἄρα χρήσαιτο καταπολιορκούμενος ὑπ᾽ ἀχρηματίας αὐτός τε καὶ φίλτατα; ἢ τί ποτ᾽ ἂν ἐννοήσαι, ἢ διαπράξαιτο περιφανὲς ἔργον, καὶ τοῖς ἄλλοις πλουτοῦσι, καὶ ἴσως ἀδικώτατα τῇ 7) τῆς τύχης ἀλογίστῳ καὶ ἀκρίτῳ ῥοπῇ παραπλησίως; ἢ πρὸς τί ποτ᾽ ἂν ἀρθείη λογισμοῖς καὶ πράξεσι φιλότιμον καὶ πρέπον ἀνδράσιν εὐγενέσιν, ἢ θεῖον, ἢ ἀνθρώπινον; τίσιν ἐπαρκέσαι ἐνδεέσι καὶ γυμνιτεύουσι 8), καὶ βουλόμενος 9) ἀμέλει καὶ σφόδρα παθαινόμενος; πρὸς τίνας ἂν χρείας τοῦ γένους καὶ τῆς πατρίδος ταχὺς ἀπαντήσαι βοηθὸς καὶ χορηγὸς εὐγενής τε καὶ ἐλευθέριος δεῆσαν; Πάντως δὲ πολλάκις δεήσει, καὶ ταῦτα μεγαλοψυχίας ἀφορμαὶ καὶ ἤθους κάλλιστα φιλοτίμου ἐπίδειξιν πραττόμενα. Τίνας οἰκοδομὰς δημοσίας, καὶ τίνας κατασκευὰς ἢ κατ᾽ ἀνάγκην ἢ κατ᾽ ἐπίδειξιν; τίνας ἰδίας αὖθις ὡσαύτως λαμπρὰς λαμπρῶς ἀνιστᾷν ἐπιχειρήσας ἀνύτειν εἰς κόσμον καὶ κλέος ἔπειθ᾽ ἑξῆς ἑαυτῷ τε καὶ τῇ πατρίδι καὶ τύχης καὶ γνώμης ἀγλαΐαν, οἷός τ᾽ ἂν εἴη; Τίσιν ἀνθρώποις ἀνακειμένοις Θεῷ καὶ λατρευταῖς Θεοῦ, καὶ μόνῳ ζῆν ἑλομένοις 10) Θεῷ φιλάνθρωπος ὀφθείη, τὰ μὲν κατ᾽ ἐντολὴν θείαν, τα δὲ τῆς ἀρετῆς αἰδοῖ καὶ φύσεως ἀστειότητι, καὶ

7) τῇ, deest in C. Mon.

8) γυμνιτ. sic Cdd. nostri; verum legendum γυμνητεύουσι.

9) βουλ. C. Mon. βουλομένοις.

10) ἑλομ. C. Mon. ἑλομένους.

τοιούτοις ἐμπρέψαι μάλα μὲν ἔργοις τιμίοις, μάλα δὲ Θεῷ [11]) φίλοις, καὶ πολλὰ χρηστὰ ψυχαῖς, καὶ παρόντα νῦν εἶναι καὶ βέβαια μέλλοντα προμνωμένοις, πρὸς ἃ πολλοὺς μὲν ἐλευθέριοι καὶ φιλόκαλοι τρόποι πολλάκις ἐνάγουσι, καὶ διαθερμαίνουσι τοὺς λογισμοὺς ἔρωτες εὐαγεῖς τῶν βελτίστων· τὸ δ' ἀνικάνως ἔχειν, ἢ ὥστε τοιούτοις ἐπιχειρεῖν, ἀλγεινόταθ' ἀποτρέπει [12]), καὶ κινήματα ναρκώντων καὶ φάσματ' ἀναπλασμάτων ματαίων ἐλέγχει τὰ πρὸς ταῦτα διανοήματα. Καὶ τίς αἴσχιον ἢ ἀνιαρώτερον μετὰ πολλῶν ἐμπολιτεύσεται, ἢ ὅστις πολλῶν εἰσφερόντων ἐφαμίλλων, καὶ θέατρα καὶ γλώττας πάσας κινούντων ταῖς καθ' ἑαυτοὺς ἑκάστοις φιλοτίμοις καὶ ἁβραῖς ἐπιδείξεσι κοινῇ τε καὶ ἰδίᾳ καὶ χρήσεσιν εὐγενέσι τοῦ πλουτεῖν αὐτὸς ἐξαποροῖτο καὶ συγκαλύπτοιτο, καὶ ἀμηχανίᾳ πάσῃ φαῦλος φαύλως οὐδὲ προσορᾷν τοὺς πολλοὺς ἑαυτὸν ἀξιοῖ, ἀλλ' αἰσχύνοιτο καὶ τὰς ὑφ' ἡλίῳ μετ' αὐτῶν συνδιατριβὰς, καὶ φεύγειν αἱροῖτο τὰς κοινὰς παρόδους, καὶ τὴν παῤῥησίαν ὡς ἔλεγχον ἀτιμίας, καὶ τὴν ζωὴν αὐτὴν ἐπικρύπτειν καὶ συσκιάζειν τὸν βίοτον εὐκταῖον ἡγούμενος; Διὰ ταῦτα δὴ πρὸς τοῖς ἄλλοις, ἢ καὶ πρὸ τῶν ἄλλων ἴσως μάλισθ' ἃ σπουδάζεται τῷ πολιτικῷ καὶ βίον κοινὸν ἑλομένῳ μετὰ πολλῶν ἐπιμελητέον ἂν εἴη καὶ πορισμοῦ χρημάτων, καὶ

11) Θεῷ, Cdd. Aug. et Mon. Θεοῦ.

12) ἀποτρ. C. Aug. male ἀτρέπει.

ὅπως ἂν ἐν πλούτῳ βιοτεύων χρήσιμος εἴη, καὶ κομιδῇ κάλλιστ' ἐνεργὸς ἑαυτῷ τε καὶ τὴν ψυχὴν ἀληθῶς καὶ τὸ σῶμα, καὶ ταῖς κοινοῖς αὐτόθεν πράγμασι. Καὶ ἐπιμελητέον γε κατὰ πάνθ' ὃν ἂν δύναιτο τρόπον τοῦ μὴ τῶν ἄλλων ἐντεῦθεν ἐκπίπτειν καὶ δεύτερα φέρεσθαι, καὶ αὐτῶν γε τῶν πραγμάτων ἐκπίπτειν τῆς χρήσεως, καὶ ὑστερίζειν παρὰ τὴν ἔνδειαν, ὧν δέοι ἂν ταῖς χρήσεσι. Καὶ ὥςπερ γὰρ τῆς τε ἄλλης παρασκευῆς καὶ τῶν ὁπλισμῶν πρὸς τὸν κοινὸν αὐτὸν βίον δεῖ τῷ βιωσομένῳ πολιτικῶς, καὶ μὴ φυγόντι τὰς κοινὰς συνδιαγωγάς, οὕτως ἄρα δὴ καὶ αὐτῆς τῆς ἐκ τοῦ [13]) πλουτεῖν παρασκευῆς εἰς το βέλτιστ' ἀνύτειν κατὰ τὸν βίον μάλιστα δεῖ. Καὶ παρασκευαστέον ἀμέλει πρὸς τὴν οἰκονομίαν ταύτην εὖ μάλα σοφιζόμενον, ὅσ' ἔξεστιν ἀνεμεσήτως [14]), ὡς οὐκ ἂν ἄλλως βιοτὰν, ἀνδρὶ νοῦν ἔχοντι μετὰ πολλῶν, καὶ μὴ τὴν ἀπὸ τῶν πραγμάτων ἐρημίαν καὶ φυγὴν προελομένῳ καὶ πᾶσιν ἀπειπαμένῳ κοινωνικοῖς ἔργοις, καὶ συζυγίᾳ, καὶ φιλτάτοις, ὅτι μὴ τόνδε τὸν τρόπον. Καὶ ὁ Δημοσθένης [15]) γάρ, δεῖ δὴ χρημάτων, φησί, καὶ ἄνευ τούτων οὐδέν ἐστι τῶν δεόντων γενέσθαι, οὐ τῶν ἰδίων, οὐ τῶν κοινῶν, οὐ τῆς κατ' αὐτόν τινα ἕκαστον εὐζωΐας ἀνυσίμως, οὐ τοῦ συνοίσαντος φιλτάτοις, καὶ ζῶντος αὐτοῦ

---

13) ἐκ τοῦ, C. Aug. αὐτοῦ.
14) ἀνεμεσ. Cdd. Mon. et Aug. ἀνεμεσήτως.
15) Δημοσθένης, 15, 2. ed. Reisk.

τενος καὶ τελευτῶντος μεθ' ὕστερον [16]). Τέκνοις γὰρ πατρῷοι κλῆροι μέγ' ὄφελος, καὶ συνετοῖς μὲν οὖσι καὶ πεφυκόσιν ἀστείως κόσμος, καὶ δείξεως ἀφορμὴ καὶ εὐχρηστίας, ὥςτε καὶ τυχεῖν ἐκ προοιμίων ἐπαινετῆς εἰς τὰ πράγματα παρόδου· ἂν δ' ἄλλως ἔχωσι καὶ εὐγενῶς [17]) ἕπωνται καὶ πρὸς λόγον τοῖς φύσασιν, ἀναγκαῖος ὁ τῆς πατρικῆς περιουσίας κλῆρος, καὶ ὄναιντ' ἂν ἴσως ἐντεῦθεν, ὥςτε μὴ πράττειν ἀθλίως, καὶ θύρας καὶ χεῖρας ἀλλοτρίας ἐπιζητεῖν αἴσχιστα καὶ ἑαυτοῖς καὶ τοῖς φύσασιν.

ΚΕΦ. πέ.

Ὅτι οὐ καθάπαξ παντὶ τρόπῳ προςέχειν ἄξιον τὸν νοῦν τῷ πλουτεῖν.

Ἀλλ' οὐκ ἐν τῷ πλουτεῖν γε μὴν τὴν ἅπασαν αὖθις καθάπαξ ἐλπίδα θετέον, καὶ τὸ τοῦ νοὸς καὶ τῶν λογισμῶν ἐπιμελὲς ἐνταῦθα δὴ δαπανητέον τῷ πολιτικῷ, καθάπερ οὐδὲ τῷ πολλῶν ἄρχοντι πρότερον εἴρηται, ἐπεὶ κἀνταῦθα νόσημα τοῦτο καὶ πάθος αἴσχιστον τὸ πάσης ἀσχολίας ἀνώτερον ἔργον καὶ σπούδασμα τίθεσθαι τὸν τῶν χρημάτων ἔρωτα, καὶ τοῦτο μόνον ἔργον ποιεῖσθαι τὸ πάντοθεν καὶ πᾶσιν, οἷς [1]) ἔξεστι, τρόποις, καὶ ῥητοῖς καὶ ἀῤῥήτοις, καὶ δικαίοις

---

16) φιλτάτοις — μεθ' ὕστερον, omnia in C. Aug. desiderantur.

17) καὶ εὐγ. Inter καὶ et εὐγενῶς Cdd. Aug. et Mon. haec habent: τὸ καθ' ἑαυτοὺς οὐκ ἐπιτυχῶς ταῖς φύσεσιν οὐδ'.

1) οἷς, ignorat C. Mon.

καὶ μὴ, καὶ σεμνοῖς καὶ εὐσχήμοσι καὶ μὴ τοιούτοις αὔξειν καὶ πλείω ποιεῖν τὰ βαλάντια, καὶ τὰ ταμεῖα τῶν οὐσιῶν καὶ τοῦ πλούτου τὰ θησαυρίσματα, ἀμελοῦντας πάντων πραγμάτων, καὶ μήτε θείων μήτ' ἀνθρωπίνων νομίμων ἔννοιαν ὅλως τιθεμένους μήδ' ὁντιοῦν ὅρον ἐπὶ τῇ τῶν χρημάτων κτήσει καὶ τοῖς λογισμοῖς, ἀλλὰ τὴν ἀπειρίαν εἰς τὸ πλέον ἀεὶ κἀντεῦθεν ἀποδεικνύντας τῆς τῶν ἀριθμῶν φύσεως, καὶ μὴ τελευτῶντας τοὺς τῆς φιλοχρηματίας ἔρωτας, μήτε τὰς ἐπ' αὐτῇ καταριθμήσεις, καὶ κατ' ἀνάγκην ἔπειτ' ἀποτρεπομένους, ὡς οὐκ ἐπιμελητέον, οὐδὲ πονητέον ἔτι πω πλέον ξυμπεράναντας τὴν πρόθεσιν. Ὃ δὴ πολλοὺς ὁρᾷν ἐστι πάσχοντας, καὶ ὡς ἀληθῶς παντάπασιν ἀθλίως βιοῦντας, πλοῦτον ἀεὶ νοοῦντας, πλοῦτον μόνον πνέοντας, χρυσὸν ἐπὶ χρυσῷ, κτήσεις ἐπὶ κτήσεσι, προσόδους ἐπὶ προσόδοις, καὶ πάντα φροντίσματα περὶ τοῦτ' ἔχοντας, καὶ πάντα δαπανωμένους καὶ πράγματ' ἔχοντας τοῖς ἐνταῦθα καμάτοις καὶ ταῖς περινοίαις καὶ τοῖς σοφίσμασι, καὶ πρὸς μηδὲν φειδομένους, ὅ τί ποτ' ἂν κέρδος καὶ προςθήκην [2]) τοῦ πλούτου φέροι, μήδ' εὐλαβουμένους πρὸς πᾶσαν ἀνθρώπων κακηγορίαν, καὶ νέμεσιν, καὶ τοὺς ἐφέδρους ἐντεῦθεν κινδύνους, οἷς ἐνίοτ' ἐμπίπτειν συμβαίνει. Καὶ ὁρῶμεν γὰρ ἔνιοι πολλάκις προδοθέντες αὐτοῖς τοῖς πολυποθήτοις καὶ πολυτιμήτοις χρήμασιν,

---

2) προςθήκην, C. Aug. προθήκην.

οἷς ἐπιπλέουσι βασκανίᾳ καὶ κακεντρεχείᾳ κακίστων καὶ δυςνουστάτων καὶ τυμβωρύχων ἀνθρώπων κατεσυλήθησαν οὐ τὴν πολυέραστον αὐτῶν μόνον κτῆσιν, ἀλλὰ καὶ τὴν ζωὴν αὐτὴν, καὶ κακῶς ἀπήλλαξαν τὰ χαλεπώτατα παθόντες διὰ τοὺς ἀμέτρους καὶ ἀορίστους αὐτῶν ἔρωτας, καὶ τὰς μεγάλας οὐσίας, ἃς κατεκτήσαντο πᾶσι πόνοις καὶ πάσῃ σπουδῇ, ἀποτετμημένοι πάντων ἀλγεινότατα, καὶ τῆς ζωῆς αὐτῆς ἐπὶ πᾶσι τελευτῶντες· οἱ μὲν τοῦτο μόνον ὡς εἰκάσαι κατ' εὐχὴν εὑρόντες, ὅτι τῶν φιλτάτων προαπώλοντο, κἂν εἰ δι' αὐτὰ, οἱ δὲ καὶ τοῦτο προςθήκην ἔχοντες τῆς πικρᾶς τύχης, ὅτι δὴ πρότερον ἀφῃρημένοι τὰ χρήματα καὶ τυραννηθέντες τὴν [3]) αὐτῶν φθάσασαν ζημίαν, εἶτ' ἐπαπώλοντο. Οὕτω δὴ πάντα τρόπον εὐδιάβλητόν ἐστι καὶ δύςχρηστον καὶ μεγάλης αἰσχύνης αἴτιον καὶ ἐπικινδυνότατον τὸ φιλοπλουτεῖν ἀπέραντα, καὶ πάντα διὰ πάντων τοῦτο μόνον ἔχειν, καὶ τούτῳ μόνον ζῆν, καὶ προςανέχειν τούτῳ τὸν πάντα βίοτον· καὶ κατὰ τὸν Εὐριπίδου [4]) λόγον, ὅςτις εἰς τὸ κέρδος ἀεὶ λῆμμ' ἀνειμένον [5]) ἔχει, καὶ ὡς ἀληθῶς τὸν νοῦν παντάπασιν ἐξηρτημένον φίλοις ἄμικτος καὶ πάσῃ πόλει, καὶ αὖθις κατ' αὐτὸν φίλοις τ' ἄχρηστος καὶ συναλλάξαι βαρὺς, καὶ οὐ

3) τὴν, abest a C. Mon.

4) Εὐριπίδου, Heracl. v. 3. it. Fragm. Ixion, 11, 3. et Ino, Fragm. IV, 3. et 4.

5) ἀνειμ. C. Mon. ἀνῃμένον.

φίλοις μόνον ἄχρηστος [6]), ἀλλὰ καὶ πολλῷ πρότερον ἑαυτῷ, ὥςτε καὶ τελευτᾷν τῆς κακίστης ἐκείνης σπουδῆς, καὶ τῶν ἐχθίστων ἐρώτων ἀθλιώτατα, καὶ κατ' αὐτὸν καὶ πάλιν ἐρεῖν τὸν ποιητὴν, πάντοθεν τὸν πλοῦτον θηρώμενος σύμμικτα μὴ δίκαια, καὶ δίκαι' ὁμοῦ, ἔπειτ' ἀμᾶσθαι τῶνδε δύστηνον θέρος, καὶ μάζαν, κατὰ τὴν παροιμίαν, ἑαυτῷ μεμαγμένην ξὺν πολλῷ τῷ πόνῳ καὶ ταῖς φροντίσιν ἑτέροις καταλείπειν καὶ παρατίθεσθαι τοῖς πικρὸν ὄμμα καὶ φθονερὰν τὸν ἐπ' αὐτόν τε καὶ τὰ φίλτατα χρήματα διὰ τοὺς αὐτοὺς καὶ παραπλησίους ἴσως ἔρωτας ἐπιβάλλουσι. Τοιγαροῦν περὶ τῶν χρημάτων ἐπιμέλειαν ποιεῖσθαι διδόντες ἔργον τῷ πολιτικῷ ὡς μάλιστ' ἀναγκαῖον ὄν, καὶ κομιδῇ κατὰ χρείαν μέτρον ἐνταῦθα τῷ πονεῖν ὁρίζεσθαι φαμὲν δεῖν [7]) εἶναι, ὡς ἄρ' οὐκ ἀνεμέσητον ὂν, ἀλλὰ καὶ σφόδρα ἀλυσιτελὲς τὸ πλέον, ἢ κατὰ καιρὸν ἐνταῦθα χρῆσθαι. Καὶ ἐδεστέον γὰρ πᾶσα ἀνάγκη καὶ ποτέον, καὶ οὐκ ἔστιν ἄλλως ζῆν, ἂν δ' οἶμαι μὴ ξὺν μέτρῳ χρῷτό τις, ἀλλ' ἢ δεῖ πλέον πάνυ τοι, φθοροποιὸν ἔπειτα τόδε καὶ κινδύνων αἴτιον. Καὶ σοφίζεσθαι τοίνυν περὶ χρημάτων εὐπορίαν, καὶ πονεῖν ἐπιμελῶς, ἐπίχρειον ἀμέλει τοῦτο, καὶ λυσιτελὲς πάνυ τοι τοῖς ἐν κοινοῖς καὶ πολιτικοῖς πράγμασι παραβαλλομένοις, ζημιῶδές γε μὴν

6) ἄχρηστ. C. Mon. ἀχρήστοις, in marg. γρ. ἀχρηστός.
7) δεῖν, Cdd. Aug. et Mon. δεῖ.

ὄντως αὖθις, καὶ πολλῆς αἰσχύνης καὶ κατηγορίας ὑπαίτιον τὸ πᾶσαν καὶ ἐκ παντὸς τρόπου δικαίου τὲ καὶ μὴ, καὶ ἀκινδύνου τὲ καὶ ἐπικινδύνου σπουδήν τε καὶ ἐπιμέλειαν καὶ ἄπαυστον ἐργασίαν καὶ τέχνην φιλεργεῖν ἐνταῦθα, καὶ μόνον τοῦτο τῶν λογισμῶν φρόντισμα ποιεῖσθαι, καὶ μηδὲν ἔτι περαιτέρω, μήτε θεῖον, μήτ' ἀνθρώπινον· ἀλλ' ἀφειδεῖν μὲν νόμων ἱερῶν καὶ θείων ἐνταλμάτων τῆς χριστιανικῆς ἡμῶν [8]) θεοσεβείας, ἣν ἄρα κερδαίνειν ἐξείη καὶ πορίζεσθαι χρήματα, ἀφειδεῖν δὲ νομίμων κοινῶν καὶ συνθημάτων ἐν ταῖς πολιτικαῖς χρήσεσιν, ἀφειδεῖν δ' αἰσχύνης, ἀφειδεῖν δὲ καμάτων σώματος, ἀφειδεῖν δὲ φιλίας, καὶ δυσωπίας [9]), ἐν οἷς νενόμισται, καὶ πάντων ἄλλων πραγμάτων μηδένα λόγον ποιεῖσθαι, καὶ πάντ' ἀνέδην παρορᾷν, ὅσα κατ' ἀνθρώπους κόσμια, καὶ τακτοῖς ὅροις κέκλεισται τῆς φύσεως, καὶ πάλαι κρατεῖ καὶ συμπολιτεύεται τῷ βίῳ τὸν ἀεὶ χρόνον ὑπὲρ τοῦ τὴν οὐσίαν αὔξειν, καὶ τὸν πλοῦτον αἴρειν ἄπληστα διψῶντα, καὶ ἄπληστα φέροντα, καὶ τοῖς ὑδεριῶσι παραπλησίως νοσοῦντα, καὶ ἀμετρίᾳ φαύλῃ καὶ πληρώσει προσεπιφέροντα μέχρι καὶ θανασίμου τῆς ἀγχόνης, καὶ οὐκ ἄλλως ἢ τῷ τέλει τοῦ βίου τῆς νόσου καταπαύοντα φεῦ τῆς ἀπληστίας, φεῦ τῆς ἐπικινδύνου χρήσεως.

---

8) ἡμῶν, deest in C. Mon.

9) δυσωπ. C. Mon. δυσωπείας.

ΚΕΦ. πϛʹ.

Ὅτι πάντες σχεδὸν ἄνθρωποι [1]) *φιλοπλουτίας ἥττηνται.*

Ἀλλ᾽ ἄρ᾽ ἅπαντες σχεδὸν ἄνθρωποι, καὶ οὐκ οἶδ᾽ ἔγωγε πλὴν ὅσων δή τινων ἐρεῖν, τοῦ πλουτεῖν ἥττηνται πάνυ τοι, καὶ μᾶλλον μὲν ἄλλος ἄλλου, καὶ δυςτυχέστερον ἁλίσκονται τῆς περὶ τοῦτο λιχνείας [2]), *πολὺ δ᾽ ὅμως ἕκαστοι προςανέχουσιν ἐνταῦθα, καὶ κατεπείγονται περὶ τὴν τῶν χρημάτων κτῆσιν. Καὶ πόσοι δή τινες ἀνεμεσήτως τῆς σπουδῆς ταύτης ἔχουσί τε καὶ ἔχονται, καὶ βέλτιον ἢ ὡς αἰσχύνην εἶναι καὶ ἀηδίαν, χαλεπὸν ἴσως εὑρεῖν ἂν εἴη καὶ κατερεῖν, ἀλλ᾽ ἡλικίας ἄνθρωποι* [3]) *περὶ τὰ λήμματα ῥοπὴν ἔχουσι, καὶ ταῖς φιλοκερδείαις* [4]) *ἄγονται, καὶ οἱ μὲν αἰσχρῶς, ὡς εἴρηται, κεχηνότες* [5]), *οἱ δὲ καὶ ὅπως ἄρα. Καί τινες τῶν πολλῶν ἄμεινον φιλοσοφοῦντες ἐνταῦθα καὶ τἄλλα δὴ μάλιστα φιλοσοφοῦντες* [6]) *βέλτιστα, νοσοῦσιν ὅμως τὸ μέρος τοῦτο, καὶ οὐκ εἰσὶ καθάπαξ ὑπέρτεροι καὶ κρατεροὶ καὶ ἀήττητοι, καὶ τῶν* [7]) *τῆς φιλοπλουτίας ἑλεπόλεων κλίνουσί τε καὶ ἐκπολιορ-*

---

1) *σχεδὸν ἄνθ.* C. Aug. inuerso ordine *ἄνθρ. σχεδόν.*

2) *λιχνείας*, Cdd. Mon. et Aug. *λιχνίας.*

3) *ἡλικ. ἄνθρωποι*, Cdd. Mon. et Aug. sic supplent: *ἡλικ. πᾶσ᾽ ἀνθρώπων· ἢ μᾶλλον ἐξέτι νηπιώδους αὐτῆς ἡλικίας ἄνθρωποι.*

4) *φιλοκ.* C. Mon. *φιλοκερδίαις.*

5) *κεχην.* C. Mon. *κεχυνότες.*

6) *ἐνταῦθα καὶ — φιλοσοφοῦντες*, socordia librarii in C. Aug. sunt omissa.

7) *τῶν*, C. Mon. *τόν.*

κοῦνται [8]), καὶ φέρονταί πως ὑπὸ δούλειον τύχην αἰχμάλωτοι, καὶ χρυσέων βελέων ἐντὶ [9]) τραυματίαι, Πίνδαρος φησὶ, καὶ ἀφύλακτοι τὴν μάχην ταύτην ὁρῶνται, καὶ ῥᾷστ' εὐεπιχείρητοι καὶ ἄοπλοι, κἂν εἰ μάλιστ' ἐμπαράσκευοι δοκῶσιν ἐνίοτ' ἀντιτάττεσθαι, καὶ λαβάς γε διδόασι καθ' ἑαυτῶν ταῖς ἐντεῦθεν ἐπηρείαις, εἰ καὶ μὴ ἀνέδην ἴσως, κρύφα δ' οὖν γε καὶ δόλοις οὐκ ἀπέλαστοί τινες οὐδ' ἀζήμιοι. Καὶ λαμβάνειν ἐξὸν καὶ χρηματίζεσθαι ῥᾷστα, κἂν εἰ πλάττωνται κατολιγωρεῖν καὶ παρορᾷν ἀνεπιστρόφως καὶ παρατρέχειν, νύττει γ' ὅμως σφᾶς θέλγητρ' ἡδονᾶς [10]), φησὶν ἡ ποίησις· καὶ παριδόντες μᾶλλον αὐτόθεν τὴν γεννικὴν πρόθεσιν, καὶ τὸ τοῦ φρονήματος ἀκμαῖον, λαθόντες ἀμέλει οὐκ οἶδ' εἴτε τοὺς ἄλλους ἐρεῖν, εἴθ' ἑαυτοὺς ἔκλεναν ἀμηγέπη, καὶ πρὸς ἀργύριον ἔνευσαν ἤδη, καταχαλάσαντες τῆς εὐγενείας ὥςτε λαμβάνειν, καὶ λαμβάνειν δῆθεν ἐπὶ προφάσεσι, καὶ τὸ πρόςχημ' ὁτιοῦν εὐπρεπὲς προβάλλεσθαι τὰ καὶ τὰ δῆθεν ἐπείγοντα, σύζυγον ἴσως ἐνίοτ' εἰ ἔστι καὶ φίλτατα, γήρως βοήθειαν ἢ παρόντος νῦν εἶναι, ἢ ὅσον οὐκ ἤδη πάντως ἐσομένου, ἀφροντιστίαν τῆς σωματικῆς χρείας, καὶ τὸ ἀνεπίστρο-

8) ἐκπολ. C. Mon. ἐκπολιορκοῦντες.

9) ἐντὶ, C. Mon. perperam ἐν τῷ. Caeterum dictum Pindari hic a Theodoro laudatum in Pindaro, quem iam habemus, non extat.

10) ἡδονᾶς, Cdd. Aug. et Mon. ἡδονάς.

φον πρὸς τὴν τῶν ἀναγκαίων διενόχλησιν, καὶ τὴν ἀπρόςκοπον τῆς ἀρετῆς ἐπιμέλειαν, ἔτι γ' αὖθις βοήθειαν πενομένοις ἐπιτηδείοις, καὶ φιλανθρωπίαν ὀφειλομένην ἐπαίταις καὶ κάμνουσιν ἄλλοις τὰ σώματα· πόλλ' ἕτερ' ὑποκρίσεως καὶ σκηνῆς προβλήματα τῇ φιλαργυρίᾳ, ἣν ἐπὶ τῶν ἄλλων μὲν ὁρῶσι καὶ κατελέγχουσιν, ἐφ' ἑαυτῶν δ' οὐκέτι, ἀλλ' ἀβλεπτοῦσιν ὑπὸ φιλαυτίας ἐπιτειχιζόμενοι, καὶ νοσοῦντες παραπλήσια κατεπιχειροῦσιν ἄλλους ἰᾶσθαι, καὶ πρὸς τὸ διδάσκειν ὄντες πρόχειροι καὶ πολλοῖς χρήσιμοι, ἑαυτοῖς οὐκ εἰσὶ, καὶ οἷοί τ' ὄντες βελτιοῦν ἄλλους, ξυνορῶντες, ἃ κάλλισθ' ἑκάστοις, ἑαυτοὺς ἔγγισθ' ὑπὲρ πάντας οὐκ ἴσασιν, οὐδ' οἷοί τ' εἰσὶ βελτιοῦν. Οὕτω δὴ πολὺς ὁ πλάνος ἐν ἀνθρώποις, καὶ ἡ δυςχρηστία καὶ ἡ ἀμαθία περὶ τὸ χρηματίζεσθαι. Καὶ πάντα δὴ πεφυκότες ὀλισθηρῶς περὶ τὸ καλὸν, ἐν τούτῳ δὴ πλέον συνεκπίπτοντες ὁρώμεθα, κἂν ἄλλος ἄλλου κατατρέχειν τούτου γ' ἕνεκεν ἑτοίμως ἔχωμεν, καὶ καταψηφιζόμεθα μᾶλλον ἡμῶν αὐτῶν ὡς ἀληθῶς ἐντεῦθεν ταῖς κατὰ τῶν ἄλλων κρίσεσι, καὶ μὴ συγγνωμονικῶς τοῖς ἄλλοις ἔχοντες ἀσύγγνωστα πάντως αὐτοί γε συνεξολισθαίνομεν. Ὁ γὰρ ἁμαρτάνοντι ξυγγινώσκων, τοῖς αὐτοῖς καὶ παραπλησίοις καὶ αὐτὸς ἁλισκόμενος ἔοικεν ὡς ἄρα φθάσας ἐκ προπαρασκευῆς ἑαυτῷ προμνᾶται συγγνώμην, ὁ δ' ἀνύποιστος ἐν ταῖς κατὰ τῶν ἄλλων ἐπιτιμήσεσι καὶ διδασκαλίαις παντάπασιν ἀσύγγνωστος πᾶσι κριταῖς,

καὶ πρὸς [11]) πάντων ταῖς αὐτοῦ ψήφοις, καὶ οὐκ ἂν αἰτεῖν δίκαιος εἴη συγγνωμονικὸν ἔλεον, οὐδ' ἀποτυγχάνων ἄλλοις ἢ ἑαυτῷ μᾶλλον δίκαιος μέμφεσθαι. Οἵους ὁρᾷν ἐστιν, ὡς ἔφην, ὡς τὰ πολλὰ τοὺς περιφρονητὰς τῷ λόγῳ καὶ τῇ διδασκαλίᾳ τοῦ πλούτου καὶ τῶν χρημάτων, καὶ αὐτοὺς δὲ ὅμως ἡττωμένους τῆς νόσου καὶ συνεξαμαρτάνοντας, τοὺς μὲν, ἧπερ εἴρηται, μᾶλλον ἄλλους ἄλλων, τοὺς δ' ἧττον· οἱ μὲν γὰρ ἀσχημονέστερον ἀνεπιστρόφως τῶν πρὶν λόγων καὶ διδαγμάτων τῆς μεγαλοψυχίας ἅπτονται τῶν λημμάτων, ἣν [12]) ἄρα που ξυλλαχεῖν οἷοί τε γένοιντο, οἱ δὲ μεθ' ὑποστολῆς μὲν καὶ συσκιάζοντες ὅμως ὅση δύναμις ἑαυτούς· ἅπτονται δ' οὖν καθάπερ καὶ οἱ νοσεροὶ τὰ σώματα μᾶλλον καὶ ἧττον ἄλλων ἄλλοι νοσοῦσι, καὶ ἰάσεων μὲν οὗτοί γ' ἐνίοτε τυγχάνουσι τὰ σώματα, τοῖς δὲ τὸ νόσημα πάσης ἐπικρατέστερον ἰατρικῆς ἐπιμελείας καὶ τέχνης. Καὶ οὐχ οἷόν τε μὴ νοσεῖν αὐτοὺς, οὐδὲ νοσοῦντας ἰάσεων τυγχάνειν ἄλλως, ὅτι μὴ πάντ' ἀντιπραττούσης τῆς τύχης, καὶ πᾶσαν ἀφῃρημένης χορηγίαν καὶ πορισμῶν ὑπόθεσιν, καὶ βίᾳ λοιπὸν οὕτω δὴ πικρῶς καὶ ἀνιαρῶς σωφρονικοὺς ποιούσης καὶ τοῦ νοσήματος ἐλευθέρους. Καὶ τοῦτο μόνον ἔχουσιν ἀφορμὴν ὑγιαίνειν καὶ βοήθημα κατὰ τῆς νόσου, ὥςπερ τοῖς τὸ σῶμα νοσοῦσιν ἰατρῶν παῖδες,

11) παντάπασιν — καὶ πρὸς, desiderantur in C. Mon.

12) ἣν, Cdd. Aug. et Mon. ἦν.

σπανίως μὲν οὗτοι κατα τῶν ἀδιοικήτων [13]) ἄλλως νοσημάτων τελευτῶντες τὸ τέμνειν τὲ καὶ καίειν [14]) ἐπάγουσιν ἐκκόπτοντες τὰς τῶν σωματικῶν συμφορῶν αἰτίας. Καὶ πολλοί γε ἴσως κἀνταῦθα τῶν κατὰ τὸν βίον δυςπραγημάτων πρὸς ἀρετὴν ὤναντο, ὧν μὴ καθάπαξ ἔτυχον ὑπερορῶντες, καὶ τὴν ἀτυχίαν εὐτυχοῦς τε καὶ εὐγενοῦς ἀφορμὴν ἀγωγῆς λαμβάνοντες, καὶ ὧν ἄκοντες τὴν ἐρημίαν ἐκληρώθησαν ξυμβὰν ὅπως ἄρα μεταποιοῦντες ταῦτ᾽ εἰς φιλοσοφίαν, ὡς ἑκόντες περιφρονεῖν καὶ πρὸς ἑαυτῶν ποιούμενοι, καὶ σεμνοποιοῦντες ἑαυτοὺς ἐπὶ βελτίστῃ λοιπὸν τοῦ βίου χρήσει, καὶ οἷς ἂν ἐξήμαρτον προςτυχόντες μὴ προςτυχόντες [15]) ἀμέλει εὐτυχήσαντες, ὡς εἴρηται, κατὰ γνώμην [16]) ἔπειτα διαβέβληνται πρὸς ταῦτα, καὶ διαλοιδοροῦνται τοῖς ὑπ᾽ αὐτῶν μάλιστ᾽ ἐχομένοις, καὶ πράγματ᾽ ἔχουσι, καὶ κινδύνοις πᾶσι περιπίπτουσιν. Αὐτοί γε ῥᾷστ᾽ ἐλευθερίως ἀπὸ τούτων, ὃν εἴρηται τρόπον, ἀγόμενοι, καὶ λογισμοῖς τοῦ καλοῦ μετ᾽ εὐδρομίας τὴν ἄσκησιν τῆς τοῦ ζῆν ἀνύτοντες [17]) εὐχρηστίας, καὶ παρὰ τὸ μὴ πλείοσιν ἐξεῖναι χρῆσθαι φορτικῶς τε καὶ πονήρως εἰς τροφὴν εὐεκτικώτερον κρίνοντες, καὶ αὐτοὶ ξυγγυμναζόμενοι. Ἔνιοι δὲ τούτων κἂν αὐτῷ γε ὅμως

---

13) ἀδιοικ. C. Aug. ἀδιοικήτως.

14) καίειν, C. Mon. κάειν, Aug. κάειν.

15) μὴ προςτυχ. absunt a C. Mon. sed Aug. seruat.

16) κατὰ γν. C. Mon. καὶ κατὰ γνώμην.

17) ἀνύτ. C. Aug. ἀνύττοντες.

τῷ μεγαλόφρονι καὶ θαυμαστῷ βίῳ κατελέγχονται πολλάκις νοσοῦντες περὶ τὰ λήματ᾽ [18]) αὖθις, καὶ τοὺς τῶν χρημάτων ἔρωτας. Καὶ πολλοὶ γὰρ τῶν τὴν ἄμικτον ἑλομένων τῷ κόσμῳ καὶ τοῖς πολλοῖς ζωὴν καὶ ἀεὶ φυγίαν [19]) ἀπὸ τῶν ἀνθρωπίνων πάντων πραγμάτων, καὶ προθεμένων τοῦ βίου τὴν ἐρημίαν καὶ μόνωσιν, καὶ μάλιστα κατορθούντων καὶ προκοπτόντων τἆλλ᾽ ἅπαντα κατὰ τὴν ὑψηλὴν ταύτην καὶ θαυμασίαν αἵρεσιν. Κακῶς ὅμως ἐνταῦθα τῇ περὶ τὴν φιλαργυρίαν ἁλίσκονται νόσῳ, καὶ τὰ πλείω τῶν μετὰ τοῦ σώματος παθῶν, καὶ ὡς ἀληθῶς γε πλεῖστον ὀχληρὰ καὶ δυςαπάλλακτα κάλλισθ᾽ ὑπεραναβάντες, καὶ νικηταὶ κατὰ τῆς φύσεως τρόπαια στησάμενοι καταστρέφονται, καὶ ταπεινοὶ καταπίπτουσιν ἐνταῦθα, καὶ τοῖς πολλοῖς παραπλησίως νῶτα διδόασιν, ἡττώμενοι τοῖς δυςαντιβλέπτοις τοῦ χρυσοῦ βέλεσιν· οἱ μὲν καὶ ἀεὶ κἀκ τῶν προοιμίων αὐτῶν τοῦ καλλίστου καὶ γεννικοῦ βίου, οἱ δὲ καὶ τέως ἐπὶ πλεῖστον ἀπαθεῖς ἀνύσαντες καὶ γενόμενοι, καὶ παντάπασι κατωλιγωρηκότες τῆς ὕλης καρτεροὶ καὶ ὑψηλόφρονες, μεσοῦντες ὅμως τῶν δρόμων τρεπόμενοι καὶ μεταβάλλοντες αἴσχιστα τῆς ἀμείνονος ἕξεως εἰς [20]) ἀπευκταίαν καὶ ἣν πάσῃ σπουδῇ τε καὶ ῥύμῃ φεύγειν ἔκρινον, καὶ φεύ-

---

18) λήματ᾽, C. Mon. λήμματ᾽.

19) ἀεὶ φυγ. C. Mon. iunctim: ἀειφυγίαν: Aug. ἀειφ γίαν.

20) εἰς, omissum in C. Mon.

γοντες ἀηττήτως ἑωρῶντο. Οὕτω πολὺ κατὰ τῆς ἀνθρωπίνης φύσεως τὸ ἰσχυρὸν ἔχουσιν οἱ φιλοχρηματίας ἔρωτες, καὶ τὰς ἐνταῦθα λαβυρινθώδεις ἄρκυς χαλεπώτατόν ἐστι πάντων ἀποδράναι καὶ διελθεῖν, μὴ προςκόψοντα, μήδ' ἐνσχεθέντα, καὶ τὸν πάντα γεννικὸν καὶ ἀκμαῖον, καὶ μεγαλόφρονα, καὶ κατὰ πάσης νικητὴν κακίας, καὶ ἀντιπραττούσης ἐπηρείας καὶ δυναστείας παῤῥησίᾳ τὲ καὶ μηχανῇ πάσῃ καὶ τέχνῃ· καὶ τοῦτο μέν γε τοιοῦτον. Οἱ δὲ πολλοὶ τῶν ἐν βίῳ καθάπερ ἐκ προγράμματος τινὸς καὶ ἐπαγγελίας καὶ παρασκευῆς ἐπ' ἀλλήλους ἁμιλλῶνται, καὶ ζηλοτυποῦσι πρὸς ἀλλήλους καὶ τῆς φιλοπλουτίας ἀγῶνα προτίθενται. Τίς ἄρα τὸ πλέον ἕξει καὶ προςπεριβαλεῖται πλεῖσθ' ὅσα χρήματα τὲ καὶ κτημάτων προσόδους, καὶ κειμήλια χρυσοῦ καὶ ἀργύρου, καὶ λίθων πολυτιμήτων κατατεχνιτευομένων ἐπὶ κόσμῳ κατὰ πάντων τῶν τοῦ σώματος μερῶν εἰς ἐπίδειξιν οὐκ οἶδ' εἴτε τινὸς ὥρας, εἴτε τοῦ πλουτεῖν αὐτοῦ, εἴτε τῆς τοῦ πλουτεῖν ἀχρηστίας, ἢ ἀπληστίας; καὶ κλήρους ἐναποτιθέμενοι τέκνοις φιλονεικοῦσιν ἄλλος ἄλλον ὑπερβαλέσθαι, καὶ προικῴοις πολυταλάντοις ἀπεμπολοῦσι τὰ φίλτατα, καὶ ἐξωνοῦνται κήδη σεμνά τε καὶ τίμια, πρὸς τοὺς φθάσαντας ἐριστικῶς ἀεθλεύοντες καταλεῖψαι περιφανεστέραν ἐκγόνων διαδοχὴν, καὶ μέγιστα τεκμήρια τῆς κατ' αὐτοὺς εὐετηρίας ἐν βίῳ τοῖς μετ' αὐτοὺς ἑξῆς ἀνθρώποις, καὶ ὡς ἄρα δὴ περιττοί τινες γεγόνασιν εἴτε τὴν τύχην,

εἴτε τὴν γνώμην, καὶ πᾶσαν ἄλλην τῶν πρακτέων καὶ τῶν πολιτικῶν εὐδοκίμησιν. Ἐπειγόμεθα γὰρ ἐπ' ἀλλήλους καὶ παρ' ἀλλήλων εἰς ζῆλον νυττόμεθα [21]) κατὰ τὸν βίον ἄνθρωποι, οὐ τοσοῦτον γέ τινος ἀρετῆς ἕνεκεν καὶ χρηστῶν ἠθῶν, κἂν εἰ ἄρα καὶ τοῦτο δοίημεν, πόσον ἂν εἴη τοῦτο, καὶ πόσων; ἀλλὰ δόξης καὶ πλούτου καὶ περιουσίας ἕνεκεν ἐπειγόμεθα, καὶ πάντα ποιούμεθα λόγον καὶ φροντίδα καὶ πόνον καὶ ἐπιμέλειαν παρελθεῖν ἐν τούτοις [22]) ὡς ἂν οἷόν τ' εἴη, πλεῖστον ἀλλήλους, οἱ μὲν παντὶ τρόπῳ καὶ ξὺν δίκῃ τὲ καὶ μὴ, οἱ δὲ καὶ βραχεῖς ἴσως οὗτοι καὶ ὀλιγάριθμοι μετ' εὐλαβείας μὲν ὁπηοῦν τῆς περὶ τἄδικα ῥοπῆς καὶ κακεντρεχείας, φιλοτιμούμενοι δ' ὅμως μὴ δεύτεροί τινες ὀφθῆναι τῶν ἄλλων κατὰ τὴν σπουδαζομένην ἐπίδειξιν, ἢ μάλιστ' ἐρεῖν μὴ κατὰ βραχὺ προελθεῖν, ἀλλ' ἢ ὅσον σταδίοις τόσοις καὶ τόσοις ὑπερδραμεῖν καὶ μήκεσι παμμεγέθεσι. Καὶ χρηστὸς ἂν τις εἴη καὶ μάλ' εὐγενὴς, οἶμαι, εἰ μὴ μάλ' ἐντεῦθεν πλεονάζοι ταῖς ὕβρεσι, καὶ μάλ' ἔμπληκτος φέροιτο τῇ τύχῃ κατὰ πάντων ἐνασχημονῶν ἀνθρώπων, καὶ παρορῶν ἅπαντας ὡς καθάρματα, νομίζων ἀμηγέπη μετριότητα καὶ κοινῆς φύσεως αἰδῶ, καὶ δεδιὼς ἀδράστειαν, ἐπεὶ καὶ πολλάκις εἴωθε ταχεῖα τῆς τύχης ἀπαντᾷν ἡ ἀοριστία καὶ προδοσία, καὶ τὸ ῥευστ'

21) νυττόμ. Cdd. Aug. et Mon. νυτόμεθα.
22) τούτοις, C. Aug. τοῖς.

εὐμετάβολον, καὶ τὰς ἀφορμὰς τῶν ὕβρεων ἐκκόπτον [23]) ἀδόκητα, ταπεινὰ πράττειν καὶ μὴ φρονεῖν ἄμετρα, καὶ ὀφρυῶσθαι καταναγκάζον, καὶ τὰς ἐπιῤῥοίας ἀνακόπτον τοῦ πλούτου, καὶ μετοχετεῦον εἰς ἄλλους, τάχα μὲν τῶν ἐχθίστων, τάχα δὲ τῶν τέως εὐπεριφρονήτων καὶ κατολιγωρουμένων, ὡς μηδὲν μήποτ' ἐχόντων ἱερόν. Οἳ καὶ δέον τοῖς τῶν ἄλλων ὑποδείγμασι σωφρονικώτερον βιοῦν ἀξιοῦν τοῖς αὐτοῖς εἰσὶν ὑπεύθυνοι, καὶ ὀγκοῦνται παραπλησίως, καὶ μηδὲν ἧττον ἢ οἱ φθάσαντες καὶ παραῤῥεύσαντες [24]). Καὶ ἡ τοῦ πλουτεῖν αὖθις λιχνεία κἀνταῦθα κρατεῖ, καὶ ἡ περὶ ταυτὰ σπουδὴ καὶ ἀμετρία, ἃ πρότερον εἰς ἔλεγχον σφίσιν αὐτοῖς προὐβέβλητο [25]), καὶ κατηγορίας ἦν ὑπόθεσις, καὶ τί λέγω πρότερον, πολλάκις μὲν οὖν, ἃ κατ' ἄλλων προφέρομεν, αὐτουργοῦμεν μάλιστα, μὴ ξυνορῶντες αὐτοὶ, μήδ' ἐννοοῦντες, ἔοικεν, ὡς ὑπ' ἄλλων ὁρώμεθα, ταῖς αὐταῖς αἰτιάσεσιν ἔνοχοι. Καὶ πολλοί τ' ἂν [26]) τῶν ἀνθρώπων ξυλλογιζόμενοι πρὸς ἄλλους ὁρῶντες τὸ τοῦ πλούτου καὶ τὸ τῶν πραγμάτων ἀβέβαιον καὶ μηδενὶ πιστὸν, μήδ' ἑστὼς, καὶ ὅτι ῥᾳδίως ἢ ξυντυχίᾳ τινὶ κλονεῖται καὶ περιτρέπεται, ἢ θάνατος ἀθρόον ἁρπάζει τοὺς ἐπ' αὐτοῖς κεχηνότας, καὶ κατα-

---

23) ἐκκόπτον, C. Mon. ἐκκόπτων.

24) παραῤῥ. C. Aug. παρεύσαντες.

25) προὐβέβλ. C. Mon. προβέβλητο.

26) τ' ἂν, Cdd. Aug. et Mon. γ' ἂν.

λείπουσιν ἄλλοις καὶ τοῖς ἐχθίστοις ἐνίοτε τὰ πολυέραστα χρήματα, καὶ τὴν ἐκ πολλῶν μόχθων περιουσίαν ἀφαιρούμενοι πάντων ἀνόητοι, καὶ ταῦτα δὴ φιλοσοφοῦντες ἐν ἀλλοτρίοις καὶ κατὰ πᾶν ἀληθές τε καὶ δίκαιον ἐπιγιγνώσκοντες· ἔπειτα τἀναντία τοῖς αὐτῶν αὐτοὶ δόγμασι καὶ ταῖς ψήφοις ὁρῶνται σπουδάζοντες εὖ μάλα, καὶ συνεξολισθαίνοντες κατὰ τοὺς ἄλλους, καὶ τῶν χρημάτων ἀπλήστοις ἔρωσι ξυντηκόμενοι, καὶ τὸ πονεῖν ἐν τούτοις ἄμετρα δαπανῶντες, ἢ τούτῳ δαπανώμενοι, νομίζοντες ὥςπερ τἀγαθὰ τῆς τύχης αὐτοῖς ἑκάστοι μόνοις ἀσάλευτα καὶ δι' αἰῶνος μενοῦντα, ὅπου γε καὶ, εἰ τοῦτ' ἦν, μέγ' οὐδὲν ἴσως.

ΚΕΦ. πζ'.

Θεωρία ἐξ ὑποδείγματος περὶ τῆς κατὰ τὰ ἀνθρώπινα ἀστασίας.

Λόγος οὑτοσὶ παλαιὸς τῶν σοφῶν ἑνὸς πάνυ τοι κατὰ καιρὸν εἰρημένος ἐμοὶ δοκεῖν, ὅτι δὴ παραπλήσιον ἄρα, ὥςπερ ἐπὶ τῶν ποταμῶν, οὕτως ἀμέλει καὶ ἐπὶ τῶν ἀνθρωπίνων σωμάτων ὁρᾷν ἐστιν· ὀνόματι μὲν γὰρ καὶ ὅρῳ δή τινι καὶ θέσει ὁ αὐτός ἐστι ποταμὸς, τῇ δ' ἀληθείᾳ ῥέων ἀεὶ καὶ οὐδέποθ' ἑστὼς, ἀλλάττων δὲ μάλισθ' ἑαυτοῦ, καὶ πῶς ἂν εἴποι τις, ἀεὶ φθείρων τῷ σώματι, καὶ ἀεὶ γιγνόμενος οὐκ ἔστιν ὁ αὐτὸς, οὐδ' ἄρά ποτε τοῦ αὐτοῦ [1]) πίοι τις

1) αὐτοῦ, omissum in C. Mon.

ἂν δὶς ἀρυσάμενος, οὐδὲ μὲν οὖν οὐδὲ δὶς τὴν χεῖρα φασὶν ἐμβάψαι τῷ αὐτῷ ποταμῷ, οὐδ' ἅψαιτ' ἂν τοῦ αὐτοῦ ὕδατος, ἀλλ' ἄλλου μὲν πρότερον, ἄλλου δ' ὕστερον διὰ τὸ ἀστατοῦν αὐτοῦ καὶ ῥέον ἀεὶ καὶ μεταβάλλον καὶ τρεπόμενον [2]) μυρίαν ἀεὶ τροπὴν καὶ ἄπαυστον ἐξ αὐτῆς ἄρα τῆς γενέσεως εἰς τὴν ἐσχάτην φθοράν. Οὐδέ ποτ' ἂν εἴη ταῖς ἀληθείαις, οὐδὲ λέγοιτο [3]) τὸ αὐτὸ χρόνον ὅντινα ἄρα, οὐδὲ τοῦ αὐτοῦ δίς ποτ' ἂν ἅψαιο, ἀλλ' ὃ χθὲς καὶ πρὸ τρίτης, μᾶλλον δὲ πρὸ βραχείας ἦν ὥρας, νῦν ἄλλως ἔχει πειρωμένῳ, καὶ μεταβέβληται τῆς φύσεως ἀστασίᾳ καὶ ἀπιστίᾳ πρὸς τὸ εἶναι καὶ ταὐτὸ τῆς ἕξεως· κἂν εἰ μή τις παντάπασι τυφλώττοι μήδ' ἀναίσθητον ἕλκοι ζωὴν, χρῷ δῆλον τοῦτο κατὰ τὸν λόγον ἐκ μικροῦ ὅσαι ἡμέραι αὔξει, καὶ αὖθίς γ' ἐφ' ὁτῳοῦν στὰν τοῦ μήκους ἔπειτα συγκάπτει καὶ συνικάζει [4]) καὶ φθίνει καὶ μειοῦται κατ' ὀλίγον, ἐν ᾧ γε μὴν καὶ ἵστασθαι δοκεῖ, παντοίαν ὅμως ἀλλάττει τροπὴν ἐκ γυμνοῦ τέως καὶ παντάπασιν ἀνείμονος [5]) τὴν φύσιν, τρίχας [6]) φύει καὶ περιβάλλεται,

---

2) τρεπόμενον, ante hoc voc. Cdd. Aug. et Mon. hoc supplementum praemittunt: παραπλησίως τοίνυν τὸ σῶμα ῥέον, ἀεὶ μεταβάλλον καί.

3) λέγ. C. Mon. λέγοιντο, in marg. γρ. λέγοιτο.

4) συνικ. C. Mon. συνεικάζει: fors. συνικμάζει.

5) ἀνείμονος, sic C. Aug. sed Mon. ἀνεί... μόνος.

6) τρίχ. C. Aug. τρίχαις: Mon. τρύχαι.

καὶ νῦν μὲν [7]) μέλαινας [8]) αὐτὰς, νῦν δὲ καὶ [9]) πυρώδους τοῦ χρώματος, καὶ ἀνάπαλιν, μετ' οὐ πολὺ δὲ καὶ γιγνομένας πᾶσι λευκὰς, καὶ νῦν μὲν ὥςπερ τὰ πτίλα τοῖς ὄρνισιν ἀποῤῥίπτεται τῇ φύσει, καὶ φυλλοῤῥοεῖ τὸ χρῆμα τῶν τριχῶν, νῦν δ' αὔξει, νῦν δ' ἐπιφύεται, καὶ νῦν μὲν εὐεξίᾳ ἄνθρωπος, νῦν δὲ τῶν ὅρων ἐκτρέπεται τῆς κράσεως, νῦν ἐκ ψυχροῦ θερμὸς [10]), νῦν ἀνάπαλιν, νῦν μὲν τούτοις δὴ κατὰ φύσιν χαίρει, νῦν δὲ τοῖς τούτων καθάπαξ ἐναντίοις, καὶ διάφορος αὐτὸς ἑαυτῷ γίγνεται, καὶ, ὡς ἔπος εἰπεῖν, ἀπαύστως ἀεὶ χορεύει περιϊὼν ἄνω καὶ κάτω, καὶ ἀνίδρυτος καθ' ὁτιοῦν διὰ παντὸς μεταβάλλων ὥςπερ ἐν εὐρίποις τισὶ τῆς φύσεως ῥεύμασι καὶ φερόμενος. Ἀτὰρ ὅπερ ἐπὶ τοῦ σώματος ὁρῶμεν, τοῦτο δὴ κἀπὶ τῶν πραγμάτων αὐτῶν ἐστὶ ξυλλογίζεσθαι, καὶ οὐδέποτε τοῖς ἀνθρώποις ἐν ταυτότητι μένει, ἀλλ' ἀστατεῖ καὶ τρέπεται τὸν ἀεὶ χρόνον, καὶ κοινῇ μὲν καθόλου τῷ παντὶ βίῳ, εἴ τις ὡς ἕνα ποταμὸν ἐξ ἀρχῆς βούλοιθ' ὁρᾷν τὴν συνέχειαν τῶν χρόνων καὶ τὰ κατ' αὐτὴν ἀνθρώπινα πράγματα ῥέοντ' ἀεὶ καὶ μεταβάλλοντα, καὶ ἄλλοτ' ἄλλως ἔχοντα, καὶ πᾶσιν ἄλλως, καὶ οὐ τὸν αὐτὸν τρόπον, σήμερον δὲ πᾶσιν ἄλλως αὖθις ἢ χθὲς,

---

7) μὲν, deest in Cdd. Aug. et Mon.

8) μέλ. Cdd. Aug. et Mon. μέλανας.

9) καὶ, abest a C. Mon.

10) θερμὸς, C. Mon. θερμόν.

καὶ αὔριον ἄλλως καὶ εἰς τρίτην ἡμέραν ἑξῆς [11]) ἄλλως, καὶ μεθ' ὕστερόν ἀεὶ, τῶν μὲν ἀρχόντων, τῶν δὲ δουλευόντων, τῶν μὲν εὐπραγούντων, τῶν δὲ τοὐναντίον ἀθλιώτατα ζώντων, τῶν μὲν γιγνομένων, τῶν δὲ φθειρομένων [12]), τῶν μὲν αὐξόντων, τῶν δὲ φθινόντων, τῶν μὲν μετρίως χρωμένων, τῶν δ' ὑβριζόντων τοῖς αὐτοῖς πράγμασι, τῇ τύχῃ καὶ ταῦτ' ἐναλλὰξ καὶ ἀνάπαλιν μετατιθέμενα, καὶ περιϊόντα στρόμβων δίκην τοῖς ἀνθρώποις καὶ ἀστατοῦντα συνεχῶς, καὶ περιτρεπόμενα. Καὶ κοινῇ μὲν οὕτως, εἴ τις ὡς ἕνα ποταμὸν ὁρῴη τὸ ἐξ ἀρχῆς ἰόντα συνεχῆ τὸν βίον [13]) καὶ τἀνθρώπινα πράγματα, ἀλλὰ καὶ ἰδί' ἐφ' ἑκάστου τὸν αὐτὸν τρόπον ἔχει τὰ πράγματα, νῦν μὲν εὖ χρωμένου τῷ βίῳ, καὶ μακαρίζειν ἀξίως, νῦν δὲ ὡς ἀθλιώτατα, καὶ νῦν μὲν ὑβρίζοντος τῇ εὐφορίᾳ τῆς τύχης, νῦν δὲ ταπεινὰ πράττοντος τῇ κατ' αὐτὴν ἀπίστῳ καὶ ἀδοκήτῳ τροπῇ, καὶ νῦν μὲν μισουμένου, καὶ πάσαις [14]) ἀποβλήτου ψήφοις, νῦν δ' ἐλέους ἀξιουμένου καὶ γνώμης τῶν πολλῶν ἵλεω, καὶ νῦν μὲν τοῖσδέ τισι χαίροντος καὶ ἥδιστα συνόντος, νῦν δὲ πρὸς ταῦτ' ἀπεχθῶς πλεῖστον ὅσον ἔχοντος, καὶ τὰ τούτων ἐναντί' ἀντιλαμβάνοντος καὶ προσιεμένου, καὶ καθόλου γε τὸν ἀεὶ τῆς ζωῆς χρόνον οὐδέποτ' ἐν ταυτῷ μένοντος,

---

11) ἑξῆς, Cod. Mon. non habet.

12) τῶν μὲν γιγν. — φθειρομένων, absunt a C. Aug.

13) τὸν βίον, C. Mon. τοῦ βίου.

14) πάσαις, C. Mon. πάσης.

ἀλλ' ἀεὶ τρεπομένου καὶ ῥέοντος εἰς ἄλλα μετ' ἄλλα, καὶ ἀστατοῦντος, καὶ ἀεὶ φερομένου, καὶ κατ' οὐδὲν, ἀλλ' ἢ μόνον τῇ κλήσει κατὰ τὴν τῶν ποταμῶν εἰκόνα τοῦ αὐτοῦ μένοντος.

ΚΕΦ. πή.

Θεωρία ἐξ ὑποδείγματος περὶ τῆς τοῦ λόγου ¹) χρήσεως.

Πολλάκις καθορᾷν ἐστι καὶ συλλογίζεσθαι ὡς ἐμπίπτον τοῖς ὀφθαλμοῖς ἀλλότριον ὁτιοῦν ὑλῶδες καὶ ἀχλυῶδες περίττωμα ἐπιπωματίζει ²) τῷ κατ' αὐτοὺς αἰσθητικῷ, κἀντεῦθεν μὴ ξυγχωρούμενον ἐνεργὸν εἶναι, ἀλλ' ἐγκλεισθὲν καὶ μὴ θυροκοπούμενον ἔξωθεν, δοκεῖ μὴ εἶναι, ἂν δέ τις ἰατρικὸς ἀνὴρ ἐκ μέσου ποιήσαι τὸ ξυμπεσὸν ἐπιτείχισμα ἢ τομῇ ἢ ἄλλῳ δή τῳ τρόπῳ κατὰ τοὺς νόμους τῆς τέχνης χρησάμενος, αὐτόθεν μένον τε καὶ ὂν ἀναφαίνεται τῇ φύσει τὸ τέως διὰ τὸ ἀνενέργητον ἀπεῖναι δοκοῦν. Πολὺ γὰρ ἀγνοῶν ἐλέγχοιτ' ἂν, ὅςτις αὖ νέον τοῦτο γίγνεσθαι τῇ φύσει, καὶ ἥκειν δόξειεν ἄν, καὶ παντάπασιν ἀμαθὴς καὶ ἀβέλτερος. Παραπλησίως δ' ὡς ἀληθῶς ἐπισυμβαίνειν εἴωθε πολλάκις καὶ τοῖς λογικοῖς πράγμασι καὶ τῇ δυνάμει κατὰ φύσιν τῆς νοερᾶς ψυχῆς· ἐμπεφραγμένα γὰρ

---

1) λόγου, supra in Indice λογικοῦ cum Fabric. in Bibl. Gr. Cod. Aug. hoc Cap. ita inscripsit: περὶ τῶν αἰσθήσεων καὶ τῆς κυριότητος τοῦ νοός.

2) ἐπιπωμ. Cdd. Aug. et Mon. ἐπιπωτίζει, mendose.

συμβὰν οὕτως ἐξ ἀρχῆς περιττωματικοῖς ἔξωθεν ἀλλοτρίοις ἐπιτειχίσμασι τοῦ σώματος καὶ τῶν τοῦ σώματος χρήσεων δοκεῖ μὲν μὴ εἶναι καθάπαξ, ἀλλ' ὥςπερ τὰ κολοβὰ τῆς φύσεως καὶ διεφθαρμένα γεννήματα καὶ ἀμβλώματα ἐρημίᾳ τῶν καιριωτάτων δυστυχεῖν. Ἂν δ' ἄρα τὶς τεχνίτης ἀνὴρ τῆς φύσεως καὶ τῶν τῆς φύσεως οἰκείων καὶ τῆς κατὰ τὴν ψυχὴν εὐγενείας καὶ δυνάμενος φιλανθρώπως ἀνθρώποις νοοῦσι χρῆσθαι, ἰατρικαῖς τισι τεχνουργίαις καὶ σοφῇ διοικήσει, καί τισιν ὥςπερ σωφρονικαῖς τομαῖς ἐκκόψῃ τὰ παρὰ τῆς ὕλης ἐπικείμενα ταῦτ' ἀχλυώδη τῷ νοερῷ καὶ λογικῷ τῆς ψυχῆς ἐπιτειχίσματα ἀνακαθαίρων καὶ ὑπανοίγων, αὐτόθεν δῆλον ποιεῖται τὸ τῆς ψυχῆς κατὰ φύσιν μένον ἄρτιον, κἄν τι νοσήσῃ μὴ παντάπασιν ἐκλελοιπός. Καὶ πολλοί γε δὴ καὶ νοσήσαντες καὶ ἰαθέντες, ὃν εἴρηται τρόπον, κάλλιστ' ἔπειτ' ὤφθησαν ἀρτιουργοὶ τῇ φύσει, καὶ οὐχ ἑαυτοῖς μόνον, ἀλλ' ἐνίοτε καὶ τῷ βίῳ χρήσιμοι, μεταμαθόντες [3]) τὰ βέλτιστα τῷ πεφυκέναι πρὸς τοῦτο, καὶ μεταλαβόντες νοῦν ἐνεργὸν, καὶ οὐχ ἃ μὴ εἶχον κατὰ φύσιν, ἀλλ' ἃ [4]) τέως εἶχον οἰκουροῦντα καὶ καθειργμένα βίᾳ τινὶ καὶ τυραννίδι, καὶ συγκεκαλυμμένα, καὶ συγκεχωσμένα σωματικοῖς ἐπαχθίσμασι καὶ φορτικοῖς ὄχλοις ὑπὸ τῶν ἔξωθεν ἐμπεσοῦσι. Καὶ μήποτ' ἄρα τοῦτο δὴ

3) μεταμαθ. C. Mon. μαθόντες, Aug. μεταπαθόντες.
4) ἀλλ' ἃ, C. Mon. ἀλλά.

καθόλου Πλάτωνι καὶ Πλωτίνῳ, καὶ ὅσοι κατ' αὐτοὺς ἔδοξαν, ἀφορμὴν παρέσχετο μὴ εἶναι μαθήσεις τὰς δοκούσας μαθήσεις ἀποφαίνεσθαι, ἀλλ' ἀναμνήσεις τῇ ψυχῇ διὰ τὰς ἑκάστοθ' ὁρωμένας ἀνακαθάρσεις τοῦ λογικοῦ, καὶ βοηθείας σωστικὰς τῆς κατ' αὐτὸ χρήσεως εὖ μάλα σὺν λόγῳ καὶ τέχνῃ καθ' ὁδὸν καὶ προχώρησιν εἰς τἄμεινον ἐγκαινιζούσας τὴν τῆς ψυχῆς δύναμιν, καὶ τὰς ξυμπεσούσας ἁπάσας κῆρας, καὶ ξυνεθισθείσας ἀπωθουμένας τομαῖς δή τισι σωφρονικαῖς, ἢ ἄλλαις τισὶν ἐπιμελείαις τῆς τέχνης καὶ τρόποις ἰατρικοῖς. Ἀλλ' ὁρᾶν ἔστι γε μὴν, ὡς ἄρα καὶ γῆν ἐρήμην ἐξ ἀρχῆς καὶ [5]) ἀνήροτον καὶ χερσομανήσασαν ἀγρίαις καὶ ἀνονήτοις καθάπαξ ὕλης ἐκφύσεσιν ἄνδρες ἐργατικοὶ καὶ γεωργικῇ τέχνῃ καλῶς εἰδότες χρῆσθαι τῷ τῆς ἐπιμελείας παντὶ δυνατῷ καὶ εἰκότι κατασκευασάμενοι χρησίμην ἀποδεικνύουσιν ἐνεργὸν καὶ καρποφόρον ἀνθρώποις καὶ τῷ βίῳ, οὐκ αὐτόθεν μὲν οὖν ἔχουσαν τὰ σπέρματα, ἀλλ' οἴκοθέν γε μὴν φύσιν ἔχουσαν τοῖς βουληθεῖσι καὶ δυνηθεῖσιν ἐργάσασθαι, δέχεσθαι σπέρματα, καὶ φέρειν ἐκ τῶν σπερμάτων καρποὺς, καὶ ἀρχικὴν μὲν ἔχουσαν τέως οἰκουροῦσαν δύναμιν, οὐ μὴν ἀλλ' οἴκοθεν αὐτὴν μὴ φέρουσαν μόνην, ἂν μή τις ταύτην καινοποιήσαι [6]) πρὸς τὸ χρήσιμον, καὶ οὐχ ὑπανοίξαι, ἀλλ' ἀφορμὰς δοίη τῶν γιγνομένων τῆς φορᾶς.

---

5) καὶ, omissum in C. Aug.
6) καινοπ. C. Mon. καινοποιήσει, Aug. καινοποιήσας.

ΚΕΦ. πθ'.

Θεωρία ἐξ ὑποδείγματος [1]) περὶ τῶν αἰσθήσεων καὶ τῆς κυριότητος τοῦ νοός.

Τὰς τῶν αἰσθητῶν ἀντιλήψεις ἔξωθεν οὐκ ἄρα παντάπασιν ἀκαίρους εἶναι τῷ νῷ καθορᾶν ἐστιν οὐδ' ἀχρείους [2]), ἀλλὰ πολὺ μάλιστα συνειςφέρειν εἰς τὰ τοῦ νοὸς εἴσω βουλευτήρια, καὶ τὰς ψήφους καὶ χρήσεις τῶν κατ' αὐτὸν χρήσεων, καὶ περαίνειν εὖ μάλ' ἔχει πλεῖσθ' ὅσα λαμβάνων ὁ νοῦς [3]) τινὰς τὰς αἰσθήσεις ἡ φύσις πρὸ τῶν θυρῶν τῷ δεσπότῃ νῷ στήσασθαι [4]), αἳ τἄξωθεν αὐτῷ μηνύουσαι [5]) προφέρουσιν ὑπηρετούμεναι [6]), ὁ δὲ μανθάνων αὐτῶν περὶ ἑκάστων ἐτάζει, καὶ κατασκεπτόμενος, οἷός τέ ἐστι χρῆσθαι καὶ ἀποφαίνεσθαι, ᾗ δοκείη [7]) βέλτιον, συλλογιζόμενος αὐτὸς τῶν δεδομένων προτάσεων καὶ τῆς ὕλης, καὶ περαίνων αὐτοκρατορικῶς κατ' ἐξουσίαν ἀνεύθυνον μὲν, ἀσφαλῆ δὲ ἐπί τε τῇ θεωρίᾳ τῶν ὄντων καὶ τοῖς πρακτέοις. Καὶ τῶν μέν ἐστιν ὑπουργία μόνον καὶ ὑπομνήσεις περὶ πάντων, τοῦ δὲ οἱ νόμοι καὶ τἀπιτά-

---

1) ὑποδείγμ. C. Aug. ὑποδειγμάτων περὶ τῆς κατὰ νοῦν ζωῆς; quae est inscriptio Cap. seq.

2) ἀχρ. C. Aug. ἀχρείας.

3) ὁ νοῦς, post ὁ νοῦς Cdd. Aug. et Mon. haec inserunt: ἐντεῦθεν ἅττα δὴ, καὶ ἔοικεν ὥςπερ ἀγγελιαφόρους.

4) νῷ στήσ. C. Mon. νοσήσασθαι, Aug. omittit νῷ.

5) μηνύουσ. C. Mon. non exhibet.

6) ὑπηρ. C. Mon. ὑπηρετούμενα.

7) δοκείη, C. Aug. δοκοίη.

γματα, καὶ κατὰ τὸ καίριον τῆς τάξεως χρωμένων, αὗται μέν εἰσιν ἕνεκ' αὐτοῦ καὶ ὀργανικὰ, ὅσα καὶ θεράποντες πονοῦντες τῷ δεσπότῃ, αὐτὸς δ' οὗ ἕνεκα, καὶ πρὸς ὃν ἀνάγκην ἔχουσι τελευτᾶν, καὶ πρὸς ὃν ἀνάγκην ἔχουσι καθάπαξ ἠρτῆσθαι, ἀλλὰ μὴ ἀφηνιάζειν [8]), μηδὲ ἰδιοπραγεῖν αἱρεῖσθαι. Ἦ γὰρ ἂν, εἰ οὕτω γίγνοιτο, πάντ' ἄνω καὶ κάτω γίγνοιτο, καὶ μάλιστ' εἴπερ ἀμέλει τὴν δεσποτικὴν τοῦ νοὸς προεδρίαν καὶ προνομίαν αἱ αἰσθήσεις ἀντιλαβοῦσαι καὶ τυραννήσασαι συνέλκουσι [9]) πρὸς πάντ' ἐμπλήκτως ὡς ἔτυχε· κἀντεῦθεν ἄνω ποταμῶν κατὰ τὴν παροιμίαν χωροῦσι πηγαὶ καὶ πάντων τῶν ὄντων καὶ τῶν εἰκότων ὁρῶνται τἀναντιώτατα, καὶ ἀταξία πᾶσα καὶ ὕβρις, καὶ δῆλον ἅττα ποτ' ἐπὶ τούτοις ἔποιτ' ἂν τέλη τῆς δεσποτικῆς ἡγεμονίας ἀποστάντων [10]) τῶν δούλων, καὶ κατὰ τὸ δοκοῦν αὐτοῖς χρωμένων. Ἀλλ' ἡ φύσις οὐχ οὕτως ἔδωκεν, οὐδὲ τὰ κρατήσαντ' αὐτῆς νόμιμα, ἀλλ' ὥςπερ εἴρηται, τάξιν ὑπηρετικὴν καὶ τύπος [11]) καὶ στάσιν ἀγγελιαφόρων πρὸ τῶν θυρῶν τῷ νῷ κατὰ τὴν αὔλιον ἔξω ταῖς αἰσθήσεσιν ἔνειμε· καὶ δύναιντ' ἂν μηνύειν ἁπλῶς οὑτωσὶ μόνον τὰ τῶν προςτυγχανόντων αὐταῖς, ἁπτὰ, ὁρατὰ, ἀκουστὰ τὰ τοιαῦτα, ὁ δὲ λαμβάνων ὁ νοῦς

8) ἀφην. C. Mon. ἀφανίζειν.

9) συνέλκ. C. Mon. συνέλκουσαι.

10) ἀποστ. C. Mon. ἀποστάτων.

11) τύπος, C. Mon. τύπον: Aug. τύπος, sed καὶ στάσιν omittit.

πάνθ', ὡς ἔφην, ἕκαστα τῶν τοιούτων πευθήνων [12]) καὶ προτεταγμένων τῆς φύσεως ὑπηρετῶν ἐπισκόπων, οἰκουρῶν αὐτὸς ἐντὸς καὶ προεδρεύων ἐν τοῖς ἀρχείοις τῆς ψυχῆς κρίνει καὶ ὁρίζεται τὰ νόμιμα τέλη, καὶ, καθ' ὅ τι ἂν δέοι, κινεῖται καὶ χρῆται, νῦν μὲν θεωρῶν μόνον τἀληθὲς καὶ δοκιμάζων, νῦν δ' ἐπιτάττων καὶ διδοὺς συνθήματα πράξεων καὶ ὅρους χρήσεως ἔργων, ὥςθ' οὕτω δὴ καὶ ῥᾷστ' ἔξεστι τοῦτο συλλογίζεσθαι, τὸ πᾶν αὐτοῦ γίγνεται. Καὶ ἴσως ἂν τοσοῦτο δοίημεν τῷ αἰσθητικῷ, ὥςτ' ἔχειν ἐνίοτε καὶ χειραγωγὸν χρείαν, καὶ τῇ ἐπαφῇ ταύτης ὁ νοῦς αὐτὸς ἔχει πάλιν χρῆσθαι, καὶ χωρεῖν καὶ προϊέναι, καθὼς βούλοιτ' ἄν. Εἰ μὴ γὰρ αὐτὸς δύναιτο τὴν ὁδὸν ἀνύτειν ἑαυτῷ χρώμενος, οὐδὲν ἂν ὄφελος εἴη τῆς αἰσθητικῆς ἐπαφῆς καὶ χειραγωγίας· τὸ ὅλον γὰρ, ὡς ἔπος εἰπεῖν, οὐδὲν ἀλλ' ἢ ὑπηρετικὴ χρῆσις κατὰ φύσιν ἐκ τῶν αἰσθήσεων. Μακάριον δ' ἂν ὅμως εἴη καὶ ἐπιεικῶς εὐκταῖον, ὅτῳ [13]) ἔδωκεν ὁ Θεὸς ἀκμάζουσαν καὶ ἄνοσον τὴν τῶν αἰσθήσεων ὑπηρετικὴν ταύτην χρείαν, καὶ μηδὲν τοῦ εἰκότος [14]) λειπομένην, ἀλλὰ κατὰ πᾶν τὸ γιγνόμενον τῇ φύσει καιρίως ἀνύτουσαν, ὡς ἂν καὶ τὰς ἐντεῦθεν εἰσαγγελίας εἰλικρινεῖς καὶ μὴ κολοβὰς, ἀλλ' ἀμειώτους ὁ νοῦς παραδεχόμενος

12) πευθ. C. Mon. ὑπευθήνων.

13) ὅτῳ, C. Aug. οὕτω.

14) εἰκότος, C. Mon. εἰκότως.

ἐντελῶς, οἷός τ' ἂν εἴη λοιπὸν ἔπειτα περὶ ἑκάστων νομίζει ἄριστα, καὶ μετὰ παντὸς τοῦ δικαίου τὰς ψήφους ἐπιτάττειν.

ΚΕΦ. νί.

Θεωρία ἐξ ὑποδειγμάτων περὶ τῆς [1]) κατὰ νοῦν ζωῆς.

Πολλάκις ἔμοιγ' ἔδοξεν ἡ μετὰ τοῦ σώματος συμπεφυρμένη ζωὴ καὶ κατὰ τὸ τῆς ψυχῆς ἄλογον, ὥςπερ ὀνειρώττοντός τινος εἶναι φαντασία ζωὴ, καὶ ἀδολεσχία μᾶλλον κατὰ τὴν ζωὴν τῇ φύσει πλημμελὴς, καὶ περιπλάνησις ἄλλως οὐκ εὐστοχοῦσα τῆς ἀληθείας, οὐδὲ τοῦ ὄντος τῆς ζωῆς· ἡ δὲ κατὰ τὸ λογικὸν ἐνέργεια καὶ θεωρητικὴ χρῆσις τῆς ψυχῆς φεύγουσα τὸ σῶμα καὶ τοὺς μετ' αὐτοῦ δεσμοὺς, καὶ ὥςπερ πολιτευομένη μόνα [2]) τὰ νοερὰ πράγματα βίωσις τὶς εἶναι καὶ ζωὴ μετουσία τοῦ ὄντος ἀληθὴς κοινωνοῦσά πως [3]) τῷ θείῳ, καὶ ταῖς ὑπὲρ ἡμᾶς ἔξω τῆς ὕλης καὶ τοῦ σώματος φύσεσιν, αἳ τῷ νοερῷ καθάπαξ οὐσίωνται, καὶ τελεώτερον, ὡς εἰπεῖν, ζῶσι. Καὶ πολλάκις γε μὴν ἔγωγε τὸ τοιοῦτον εἰκάσας ἔχω τῷ κατὰ τὸν Κρῆτα Ἐπιμενίδην μύθῳ, ὃν φασὶν εἰσιόντα τὸ τοῦ Διὸς

---

1) περὶ τῆς, C. Mon. non habet. C. Aug. inscriptionem Cap. seq. h. l. offert.

2) πολ. μόνα, C. Mon. πολιτευόμενα μόνα.

3) κοιν. πως, Cdd. Mon. et Aug. κοινωνοῦσα πῶς.

κατὰ τὴν Κρήτην ἄντρον [4]), ἡμέρας μέν τινας τέως ὑπνώττειν ἐκεῖσε, εἶτ' ἀνεγειρόμενον [5]) ἐξ ὁμιλιῶν ἐκεῖθεν τινῶν τοῦ Διὸς θαυμαστὸν οἷον ἐπανήκειν οἴκαδε καὶ μυστηρίων τινῶν καὶ λόγων ἀῤῥήτων ἐπόπτην καὶ ἐξηγητὴν τοῖς σὺν αὐτῷ. Καὶ τὸ μέν γε λῆρος εἰκῇ παίζων, ἴσως δὲ ἐν οὐ παικτοῖς κατὰ τὸν λόγον, μήποτε δὲ καὶ εἰκάζει καὶ αἰνίττεται, ὡς ἄρα νῦν ἔλεγον, ὅτι τέως ὀνειρώττοντες ἄνθρωποι, καὶ οὐκ ἀληθῶς ζῶντες τῇδε [6]) τῇ φαινομένῃ ζωῇ ἐπ' ἐρημίας ἀπὸ τῆς ὕλης γιγνόμενοι, καὶ λοιπὸν ἀφυπνίζοντες ἑαυτοὺς εἶτ' ἀπολαύουσιν ἄλλης δή τινος ἐπαφῆς [7]) καὶ κοινωνίας τοῦ ὄντος, καὶ τῆς ἀληθινῆς ταύτης ζωῆς καὶ οὐσιώσεως κατὰ τὸ νοερὸν φέρουσιν ἀγγελίας τινὰς τῷ βίῳ χρησίμους ἐκ τῆς ἀναχωρήσεως ταύτης τῶν τῇδε καὶ τῆς κατὰ τὴν ὕλην συνουσίας. Εἰ δέ τισι μὴ παντάπασιν ἄτοπος δόξαιμι μυθολογούμενος καὶ περὶ λήρους καὶ πλάσματα τρίβων, εἰς τοῦτό μοι δοκεῖ φέρειν, καὶ τὸ κατὰ τὸν Προικοννήσιον [8]) Ἀριστέαν τερατῶδες τοῦ λόγου καὶ ἀνύπαρκτον τῷ φαινομένῳ τῆς ἀληθείας, ὡς ἄρα πολλάκις τὸ αὐτοῦ σῶμα καταλείπουσα, καὶ

---

4) ἄντρον, Cdd. Aug. et Mon. ἄνδρον.

5) ἀνεγειρ. C. Mon. ἀνεγερόμενον: Aug. ἀνεγρόμενον, ambo vitiose.

6) τῇδε, abest a C. Aug.

7) ἑαυτοὺς — ἐπαφῆς καὶ, omnia in C. Mon. desunt.

8) Προικον. C. Mon. Προκοννήσιον: sic Suid. ad v. Ἀριστέας, sed Eudocia Προικοννήσιος.

θνήσκειν ἐῶσα ἡ αὐτοῦ ψυχὴ, καὶ ἀποχωροῦσα χρόνον ὅντινα δὴ καὶ ἡμερῶν ἀριθμὸν, εἶτ' ἐπανιοῦσ' αὖθις εἰσῳκίζετο τῷ νεκρῷ ἐκείνου, καὶ ζῶντ' αὖθις ἐδείκνυε Ἀριστέαν. Καὶ οἱ μὲν μῦθοι παιζόντων κἀνταῦθα τὰ φαινόμενα ταῦτα πόῤῥω τῆς ἀληθείας καὶ καθάπαξ ἄνουν καὶ δυσσεβῆ τὰ θεῖα κατελεγχόντων τὸν [9]) *τὰ τοιαῦτα προςιέμενον· ἴσως δ', ὡς ἔφην, κἀντεῦθεν ὄναιτ' ἄν τις συλλογιζόμενος, ὡς ἔστιν ἀμέλει θνήσκειν μὲν τὰ φαινόμενα καὶ παρόντα, καὶ νεκρὸν καταλείπειν τὸ σῶμα, καὶ φεύγειν ἐν καιρῷ δή τινι τὴν μετ' αὐτοῦ καὶ τῆς ὕλης ζωὴν, καὶ ζῆν ὄντως τῇ ψυχῇ μόνῃ κατὰ τὸ λογικὸν καὶ νοερὸν τῆς ἐργασίας παντάπασιν ἔξω τῶν δεσμῶν καὶ τῆς ὕλης ἐλεύθερον, εἶτ' αὖθις ἐπανήκειν ὑπ' ἀνάγκης καὶ συγχρῆσθαι καὶ ζῆν τῷ νεκρῷ σώματι. Οὐ γὰρ οἷόν τε* [10]) *οὐδὲ θεμιτὸν ὄντως πρὸ τῶν δεδομένων ὅρων τέμνεσθαι, καὶ καθάπαξ ἐξίστασθαι καὶ ἀποχωρεῖν τῆς δυςτυχοῦς ταύτης συζυγίας· ὃς δ' ἄν γε καὶ ὁπηοῦν δύναιτο χρόνῳ* [11]) *τινὶ μετρίῳ τοῦ δεσμοῦ ζῆν ἔξω, καὶ θνήσκων ἀμηγέπη τῷ σώματι κατὰ τὸν ἐν μύθοις Ἀριστέαν ἀριστεύων ὄντως αὐτὸς καὶ νικητὴς κατὰ τῆς φύσεως γιγνόμενος, βέλτιον ἂν τὸν τρόπον τοῦτον ζῆν ἔχοι. Καὶ θαυμάζειν ἂν ἄξιος εἴη, εἰ δ' οὐ ξυνορῶ-*

---

9) τὸν, C. Mon. τοι.

10) τε, omissum in C. Aug.

11) χρόνῳ, deest in C. Mon.

σιν οὐδ' ἐπαΐουσιν οἱ πολλοὶ περὶ τῶν τοιούτων, ἀλλ' ἀποχρώντως οἴονται ζῆν, καὶ ὄντως αὐτοὶ μάλιστα ζῆν τὰ παρόντα μόνα ζῶντες καὶ ἡδόμενοι ζῶντες τῷ ταπεινῷ τῷδε, καὶ συμπεφυρμένῳ μετὰ τοῦ σώματος καθάπαξ βίῳ χρώμενοι. Μέγ' οὐδὲν τοῦτο, οὐδὲ θαυμάσαι τὶς ἂν, οὐ γὰρ ἔχουσιν ἄλλως, οὐδὲ πεπείρανται βελτιονος. Καὶ ἴσως ἂν, εἰ καὶ τοῖς βοσκήμασιν ἐξῆν φθέγγεσθαι, παραπλησίως ἔφησαν ἂν, ὡς ἄρα βέλτιστ' ἔχει πάνυ τοι πλεῖστον ἑαυτοῖς τὰ τῆς ζωῆς, καὶ ἀποχρώντως εὖ μάλ' ἔχει, καὶ οὐ δεῖ πλείονος, οὐδ' ἔστιν ἔτι περαιτέρω ζητεῖν. Ἀλλ' οὐδεὶς ὅμως τῶν ἀνθρώπων, οὐδὲ τῶν παντάπασιν ἠλιθίων καὶ παμμοχθήρων ἀσύνετός ἐστιν, ὡς ἄρα τι βέλτιον καὶ πλέον εἰς τὴν ζωὴν κατ' ἀνθρώπους ἀπονενέμηται τῇ φύσει, ἢ κατὰ ἄλογα βοσκήματα.

ΚΕΦ. να΄.

Θεωρία ἐξ ὑποδείγματος περὶ τῆς κατὰ τὴν ὕλην τῇ γεννητῇ φύσει ἐναντιοπραγίας [1]).

Ἀτεχνῶς ταῖς κατὰ τὴν Εὔβοιαν [2]) ἀτεκμάρτοις τῶν ῥευμάτων καὶ ἀπαύστοις παλινοδίαις, καὶ ἄνω καὶ κάτω περιπλανήσεσι καὶ παλιῤῥοίαις ἐοικέναι φαίνεται τὰ κατὰ τὴν βίωσιν

1) Inscriptio huius Cap. quam exhibet C. Aug. est Cap. insequentis.

2) *Εὔβοιαν*, C. Mon. male εὔνοιαν.

τοῖς ἀνθρώποις καὶ τὴν μετὰ τοῦ σώματος ζωὴν ἐκ τῶν ἐναντίων εἰς τἀναντία περιϊόντα. Καὶ οὐ λέγω νῦν εἶναι ἐξ εὐπραγίας εἰς δυςπραγίαν, καὶ ἀνάπαλιν ἐξ ἀδοξίας εἰς εὐδοξίαν, καὶ ἀνάπαλιν εἰς πενίαν ἐκ πλούτου, καὶ ἀνάπαλιν εἰς νόσον ἐξ ὑγείας, εἰς ἔχθραν ἐκ φιλίας, καὶ ἀνάπαλιν αὖθις καὶ ταῦτα καὶ ὅσ᾽ ἄλλα περιφέρεται κατ᾽ ἀνθρώπους, καὶ ἀστατεῖ τὸν ἀεὶ χρόνον, καὶ οὐ τὴν αὐτὴν κατ᾽ ὀρθὸν ὁδὸν περαίνει, ἀλλὰ περίεισιν εἰς τἀναντία, καὶ οὐκ ἀλογίστως, αὐδ᾽ ἀδοκήτως τῷ ὄντι γ᾽ ἐρεῖν τοῖς γε νοῦν ἔχουσιν, ἀλλὰ μάλα δὴ κατ᾽ ἐλπίδας καὶ λογισμοὺς ξυμπίπτοντα· ἀλλ᾽ ὅτι καθάπερ ἐπὶ τῶν ἐκεῖσε τόπων τῆς θαλάττης, ἐντεῦθεν ἄρα δὴ κατ᾽ ὀλίγον χωρεῖ τὸ ῥεῦμα, καὶ μέχρι τῶνδέ τινων ἐκεῖσε γενόμενον τῶν ὅρων, εἶθ᾽ ὡςπερεὶ προςκόψαν [3]) ἀποτρέπεται καὶ ἀντιφέρεται κατ᾽ ὀλίγον διὰ τῶν αὐτῶν [4]) ἐπὶ θάτερ᾽ αὖθις καὶ ἀφ᾽ ὧν ἤρξατο τὸν αὐτὸν ἀμέλει τρόπον καὶ τὰ τῆς σωματικῆς οὐσίας τῆς ζωῆς ῥεύματα, ἐξ ἀδήλου τὴν ἀρχὴν καὶ τοῦ μὴ ὄντος λαβόντα χωρεῖ κατ᾽ ὀλίγον, καὶ πρόεισι ταῖς ἡλικίαις αὔξοντα, τελειούμενα, καθιστάμενα [5]) πρὸς τὸ πέρας τῶν δρόμων τῆς φύσεως, εἰς ὅσον ἂν ἱκνεῖσθαι ὥρισται, κἀντεῦθεν αὖθις ὥςπερ ἐμβρόντητος καὶ κατάπληκτος ἡ φύσις ἀντικρού-

---

3) ὡςπερεὶ προςκ. C. Mon. ὥσπερ εἰ προσκόψαν; Aug. ὥςπερ εἰ πρὸς κόψαν.

4) αὐτῶν, neque C. Mon. neque Aug. agnoscit.

5) καθιστάμενα, C. Mon. καὶ καθιστάμενα.

σεσι τισὶ [6]) καὶ τῆς φορᾶς ἐπηρείαις ἀποχωρεῖ τάχιστα, καὶ ἐπάνεισι διὰ τῶν αὐτῶν αὖθις ἑξῆς, φθίνουσα κατ' ὀλίγον καὶ ἀναστρεφομένη, καὶ κατὰ τοὺς βαθμοὺς καὶ τὰς κλίμακας τῶν πρώτων ἀνόδων τῆς ἡλικίας κατιοῦσα λοιπὸν εἰς αὐτὴν τὴν πρώτην ἀρχὴν πέρας γιγνομένην τῇ περιόδῳ, καὶ τὴν ἀποτελεύτησιν εἰς τὸ μὴ ὂν, καὶ ταύτας δὴ τὰς τοῦ σώματος παλιῤῥοίας κατὰ τὸ τῆς θαλάττης ἐπὶ τῶν τῆς Εὐβοίας στενῶν τερατῶδες καὶ ξενίζον καὶ σπάνιον θέαμα κατὰ πάσης οὐσίας ζώων καὶ βιώσεως, ὡσαύτως ἐστὶ καθορᾶν, καὶ οὐκ ἔστιν ἐφ' ὅτου τῶν ζώντων μὴ, οὐδ' ἄλλως ἡ φύσις ἐνεργός ἐστιν, ἢ κατὰ τὸ πλάνον [7]) τόδε καὶ [8]) εὐπερίτροπον τῆς κατ' αὐτὴν φορᾶς. Καὶ δοκεῖ πως ἐνταῦθα ἡ τῆς περιπλανήσεως ταύτης τῇ φύσει συνέχεια διὰ πάντων ὁμοίως ἔχουσα, μονιμότης τὶς καὶ τάξις μᾶλλον ἐπὶ τῆς ἀστασίας ταύτης καὶ ἀνιδρύτου χρήσεως ὁρᾶσθαι, καὶ τἀνώμαλον τόδε τῶν δρόμων καὶ ἡ ἄπαυστος [9]) ἐναντιοφορία, πῶς ἂν εἴποιμι; κατὰ νόμους ἀσαλεύτους ὡσαύτως ἐν πᾶσι ἔχουσαν, καὶ παντὶ τῷ χρόνῳ μεταβάλλειν [10]) τρόπον τινὰ μεταλαμβάνειν ὁμαλῇ διάθεσιν καὶ κίνησιν, καὶ ἐνέργειαν ἐπὶ

6) τισὶ, abest a Cdd. Aug. et Mon.

7) τὸ πλ. C. Mon. τὸν πλάνον.

8) καὶ, C. Mon. non exhibet. Pro εὐπερίτροπον fors. leg. εὐπερίστροφον vel εὐπερίθρεκτον.

9) ἄπαυστος, C. Mon. ἄπαυστος εἶναι.

10) μεταβ. C. Mon. μεταβάλλει.

τῷ ἀεὶ πλάνῳ, καὶ τοῦτ' ἀπ' αὐτῶν τῶν ἐσχάτων οὐρανίων, τῶν κατὰ τὴν σελήνην, καὶ μέχρι τῶν ἐσχάτων ὑπὸ γένεσιν καὶ ῥοὴν τῶν περιγείων διὰ τῶν ἐν μέσῳ [11]) πάντων παραπλησίως καθορᾶν ἐστι καὶ συλλογίζεσθαι γιγνόμενον. Καὶ ὥσπερ πρώτη τ' ἡ σελήνη κατὰ τὸν ἐκ τῆς ποιητικῆς λόγον ἐξ ἀδήλου πρῶτον ἔρχεται νέα πρόσωπα καλλύνουσα καὶ πληρουμένη, καὶ τοῦτό γε κατ' ὀλίγον πάντως, χὤταν περ αὐτῆς εὐπρεπεστέρα φανῇ, πάλιν ὑποῤῥεῖ κατ' ὀλίγον πάντως, καὶ διὰ τῶν αὐτῶν ἐπανιοῦσα, κἀπὶ μηδὲν φάσιν ἔρχεται, τὸν αὐτὸν ἄρα τρόπον καὶ ὅσα μετ' αὐτὴν τῆς γενητῆς καὶ ἀεὶ ῥεούσης καὶ μεταβαλλούσης οὐσίας, τοῦτο μὲν ὅσα κατα φύσιν, τοῦτο δὲ καὶ ὅσα κατ' ἐπιτήδευσιν τεχνικὴν ἀπολογισμῶν τινῶν καὶ συνθημάτων δημιουργεῖται [12])· πάνθ' ὅμως ἕκαστα λαβόντ' ἀρχήν τινα τέως μὴ ὄντα, καὶ κατ' ὀλίγον ὁπηοῦν στάντα, καὶ πλήρη γενόμενα, καὶ τελειότητός τινος καὶ εὐπρεπείας οἰκείας [13]) τυχόντα πρύμναν ἔπειτ' αὐτόθεν κατὰ τὸν λόγον κρούεται καὶ τρέπει τὸν πλοῦν καὶ τὸν δρόμον ἐπὶ τἀναντία τῇ γενέσει, καὶ κατ' ὀλίγον αὖθις ἀναχωρεῖ καὶ φθίνει, μέχρις ἂν τελευτήσῃ πρὸς ἐκεῖνο τὸ πρῶτον, τὸ μὴ ὂν φημὶ καὶ ἀνύπαρκτον.

---

11) ἐν μέσῳ, C. Aug. ἐμέσῳ.
12) δημιουργ. abest a C. Mon.
13) οἰκείας, Cdd. Aug. et Mon. omittunt.

ΚΕΦ. υιβ'.

Ὅτι διὰ τὸ ἀπρόσκοπον τῆς Χριστοῦ πίστεως ἔοικεν ᾠκονομήθη τὸ τῆς μοναρχίας κράτος Αὐγούστῳ τε τῷ Καίσαρι καὶ τῷ μεγάλῳ Κωνσταντίνῳ [1]).

Ἔννοιά μοι τὶς αὕτη καὶ λογισμὸς πολλάκις ἐπῆλθε, καὶ ἴσως μὲν ἔξω τοῦ καιροῦ, ἴσως δ' οὐ [2]) παντάπασιν οἶμαι, ἐπῆλθε δ' ὅμως περὶ τοῦ πάντα θαυμαστοῦ καὶ τὰ θεῖα καὶ τἀνθρώπινα βασιλέως Κωνσταντίνου καὶ τοῦ Καίσαρος ὡσαύτως Αὐγούστου, ὡς ἄρ' οὐκ ἄλλου του χάριν, ἢ τοῦ κατὰ τὸν δεσπότην καὶ σωτῆρα Χριστὸν μυστηρίου καὶ κηρύγματος ἕνεκεν, ὡς ἂν ἀπροσκόπως κατ' ἀνθρώπους εὐδρομῆσαι τὸ βασίλειον ἀμφοῖν μετὰ μεγάλους κλύδωνας καὶ στάσεις τέως τῆς ἀρχῆς εἰς γαληνοτάτην καὶ ἄκρατον, ὡς εἰπεῖν, καὶ εὐδιοίκητον μοναρχίαν κατέστη. Τοσαῦτα γὰρ δὴ Ῥωμαίοις ἐμφύλια πράγματα συμβέβηκεν, ὅσα μὴ πώποτε [3]) πρότερον ἔγγιστα πρὸ τῶν τῆς ἀρχῆς Αὐγούστου χρόνων, καὶ πολλαὶ στάσεις καὶ στρατηγῶν ἐπ' ἀλλήλους ἐπαναστάσεις, καὶ ἐπὶ τὴν νόμιμον κρατοῦσαν πάλαι τῶν χρόνων τῆς Ῥώμης κοινοπολιτείαν καταφθείρασαι καὶ στρατεύματα πλεῖσθ' ὅσα, καὶ ἡγεμόνας ἄλλους ἐπ' ἄλλοις· καὶ τὰ κοινὰ μὴ μόνον τῶν Ῥωμαίων ἐρεῖν,

---

1) C. Aug. etiam h. l. inscriptionem Cap. seq. occupat.

2) δ' οὐ, C. Aug. tantum οὐ.

3) πώποτε, C. Aug. ponit post ἔγγιστα; sic etiam C. Ciz, verum litteris supra positis: πρότερον ἔγγιστα πώποτε.
β γ α

ἀλλὰ καὶ πάντων σχεδὸν ἀνθρώπων πάσης τῆς οἰκουμένης, ὅτι καὶ ἐπὶ πάσης αὐτῆς σχεδὸν τὰ Ῥωμαίων ἦν πράγματα, καὶ ἡ Ῥωμαίων ἑωρᾶτο πολιτευομένη καὶ συνοῦσα κοινωνίαις τισὶν ἀρχὴ, τέλος εἰς τοῦτ᾽ ἔστησαν, καὶ μετήλλαξαν καθάπαξ, ὥςτε μονάρχην αὐτὸν πρῶτον Αὔγουστον ἀναδειχθῆναι Ῥωμαίων, ὃ μὴ πρότερον, καὶ καταπαῦσαι τὰ κοινὰ πολιτεύματ᾽ ἔθιμα, καὶ παρὰ μήκιστον ἔπειθ᾽ ἑξῆς ἐκταθῆναί οἱ παντάπασιν εἰρηναῖον τὸ μοναρχεῖν εἰς γῆρας αὐτῷ βαθὺ, καὶ οὐκ εὐδαιμονίαν μᾶλλον αὐτῷ, ἢ τῷ κοινῷ τῆς ἀρχῆς, ἢ τῷ κοινῷ μᾶλλον ἐρεῖν τῶν ἀνθρώπων ὑπ᾽ ἀνδρὸς χρηστοῦ τοὺς τρόπους ἀγομένων καὶ μετρίου καὶ σωφρονικοῦ, καὶ πᾶσαν εὐγενοῦς τὴν ἀρχικὴν διάθεσιν. Ἔδει γὰρ, ἔδει τηνικαῦτα τῶν χρόνων τὸ ἀποτεταγμένον 4) πρὸ τῶν αἰώνων τῆς μεγάλης ἐς ἀνθρώπους τοῦ φιλανθρώπου Χριστοῦ καὶ σωτῆρος οἰκονομίας μυστήριον εἰς φῶς ἐλθεῖν καιρῷ τῷδε τέως 5) κάλλιστ᾽ εὐετηρίας ἁπάσης καὶ εὐδρομίας, καὶ τοῖς μεγάλοις ὑπηρέταις ἐκείνοις τοῦ λόγου, καὶ κήρυξιν ὑφαπλωθῆναι πᾶσαν τὴν οἰκουμένην, ὥςπερ αὔλιον δή τινα μίαν ἀνακαθαρθεῖσαν, ἢ θέατρον ἐπιδείξεως καὶ ἀπροςκόπου χρήσεως τοῖς ἀγῶσιν αὐτῶν. Οὐδὲν γὰρ ἔδει προσίστασθαι ταῖς περιόδοις αὐτῶν, οὐδ᾽ ἐπιτειχίζειν, καὶ διατέμνειν τὰς τῆς ἀληθείας

4) ἀποτεταγ. C. Mon. ἐπιτεταγμένον.
5) τέως, deest in C. Mon.

αὐγὰς πρὸς πάντας ἀνθρώπους. Τοιγαροῦν ἀπελήλατο τηνικαῦτα καὶ κατέσβεστο πᾶσα στάσις, καὶ πάντες εἰς ἀλλήλους εἰρήνην ἐφρόνουν ἄνθρωποι, καὶ πάντων πρὸς ἀλλήλους ἐπιμιξίαι πᾶσαι, καὶ οὐδὲν ἐν μέσῳ σκῶλον, οὐδ᾽ ἀφίστη πάντας ἀλλήλων, οὐ πόλεμος, οὐ ληστείαι [6]), οὐ θάλαττα, οὐκ ὀρῶν [7]) ἀνοδίαι, οὐκ ἄλλ᾽ οὐδὲν, ὑφ᾽ ἑνὸς τότε μονάρχου καὶ μιᾶς ἀρχῆς συνθημάτων πάσης τῆς γῆς καὶ πάντων σχεδὸν ἀνθρώπων εὐδιοικήτως συμβιούντων. Κωνσταντῖνος δ᾽ αὖθις ὁ μέγας ἐκεῖνος καὶ πάντα θαυμαστὸς καὶ τῷ βίῳ παντὶ καὶ τοῖς χριστιανῶν μάλιστα πράγμασιν ἐξ ὀλίγου πρῶτον ἀδοκήτως, εἴ τις τὰ κατ᾽ αὐτὸν κάλλιστ᾽ ἐπισκέψετο [7b]), μέγας ἤρθη, καὶ ὑπ᾽ αὐτὸν ἔσχε τὴν Ῥωμαίων ἅπασαν μόνος ἀρχὴν, πρᾶγμα πάσης ἐλπίδος πλέον πᾶσιν ἀνθρώποις καὶ οὐχ ἥκιστα ἴσως αὐτῷ, καὶ νενικηκὸς πᾶσαν πάντων ἀπ᾽ αἰῶνος ἀνθρώπων εὐδαιμονίαν, καὶ τύχης ἀκμὴν καὶ εὐφορίαν. Ἐν ὀλίγῳ γὰρ κομιδῇ τῷ χρόνῳ μεγίστοις τροπαίοις καὶ νίκαις ἡ θεία πρόνοια τὸν ἄνδρα τοῦτον ἀήττητον ὁπλίσασα μετὰ τοῦ τῆς εὐσεβείας ἀτρέπτου ζέοντος φρονήματος πάντας ἐκ μέσου ποιησαμένη, καὶ οἷς μάλιστα προσήκειν τὰ τῆς ἀρχῆς ἐδόκει λογισμοῖς ἀνθρωπίνοις, ἢ ἐκείνῳ τοὺς ἀλιτηρίους ἐκείνους καὶ

6) ληστείαι, Cdd. Aug. et Mon. ληστεῖαι.

7) οὐκ ὀρῶν, C. Mon. οὐκορῶν.

7b) ἐπισκέψ. sic Cdd. omnes: fors. ἐπισκέψαιτο. Consentit C. Paris. Reg. vt postea me docuit Boissonade.

ἐπαράτους φημὶ καὶ παλαμναίους ἐχθίστους τηνικαῦτα μάλιστ', εἴπερ ἄλλοτέ ποτε, κατὰ τῆς χριστιανικῆς εὐετηρίας, Διοκλητιανοὺς, καὶ Μαξιμιανοὺς, καὶ Μαξιμίνους, καὶ Μαξεντίους, καὶ Λικινίους, αὐτοκράτορα κατὰ πάσης τῆς Ῥωμαϊκῆς ἡγεμονίας ἀκύμαντον πάντοθεν μόνον Κωνσταντῖνον τόνδ' ἀνίστησιν, ὡς ἂν ἄρα δὴ πράττειν δύναιτο κατὰ τὴν μεγάλην ἔοικεν αὐτοῦ πρόθεσιν τὰ τῆς χριστιανικῆς παῤῥησίας, καὶ μὴ συσκιάζηται [8]) τὸ δόγμα τῆς ἀληθείας κατατυραννούμενον ταῖς ἀντιθέτοις καὶ ἀντιπραττούσαις ἀρχαῖς, καὶ ὁ πρῶτος αὐτὸς τῆς εὐσεβείας προστάτης βασιλεὺς καὶ ὑπηρέτης, κραταιὸς καὶ νικητὴς μοναρχῶν, ἐργασίαν ἔχοι περιφανεστάτην ἀνύσιμον τῇ Χριστοῦ πίστει, ἀξίαν τῆς αὐτοῦ γνώμης, καὶ τῆς τῶν λογισμῶν προθέσεως, καὶ τοῦ μεγάλου φρονήματος ἐκείνου περὶ τῆς χριστιανικῆς θεοσεβείας, μεθ' ἧς ὄντως καὶ τὰ μέγισθ' ἑαυτῷ κατορθώσαντι συνῄδει. Καὶ ὅθεν αὐτὸς ἐλάμβανε τὸ κράτος, ἐκεῖ καὶ τὸ κράτος ἀντεδίδου, καὶ ὑψούμενος ἀνυψοῦν μάλιστ' ἠπείγετο τὴν χορηγὸν αἰτίαν, καὶ κοσμούμενος [9]) ἀντεκόσμει, καὶ πάντ' ἐπεδίδου τὰ ἑαυτοῦ καὶ ἑαυτὸν ὅλον, καὶ πᾶσιν ἀνθρώποις πᾶσαν καλῶν ἐπρυτάνευε μετουσίαν, εὐγενὴς ἁπάντων καὶ μεγαλοδωρύτατος ἀγαθῶν ταῖς μεγάλαις δωρεαῖς τῆς θείας

8) συσκιάζ. C. Mon. συσκιάζεται.

9) κοσμ. C. Mon. κοσμούμενον.

προνοίας, καὶ ἄξιος τοῦ τοσούτου πράγματος τῆς παῤῥησίας τοῦ θείου δόγματος καὶ δόξης καὶ κράτους ἐπὶ πάντων ἀνθρώπων, ὧν ἕνεχ', ὡς ἔοικε, καὶ μέγας οὗτος ἡγεμὼν εἰς μέσον ἁπάντων ἀνθρώπων ὑπὸ τῆς προνοίας αὐτῆς ἀκλόνητος καὶ ἀκάματος προέστη.

ΚΕΦ. υιγ'.

Ἐπισημασία, ὅπως ἡμῖν ἐν μνήμῃ καὶ λόγῳ τὰ περὶ τῶν Ἑλλήνων πάντα καὶ μέγιστα καὶ ὅσα βραχέος ἄξια λόγου [1]).

Πάντα δὴ τὰ παρὰ τῶν Ἑλλήνων καὶ περὶ τῶν Ἑλλήνων [2]) ἡμῖν ἀξιολόγου σπουδῆς τετύχηκε, καὶ ὅσα μείζω καὶ ὅσα μὴ, ἀλλὰ καὶ βραχέος τινὸς ἴσως ἄξια λόγου, καὶ σχεδὸν οὐδὲν ὅ τι οὒ, ἀλλ' ἅπαντα τοῖς ξυγγράφουσιν εἰς μνήμην ἐταμιεύθη, καὶ λόγοι τινὲς καὶ ἀποφθέγματα καὶ ἔργα, τὰ μὲν καὶ πρὸς ἀλλοτρίους τοῦ γένους, τὰ δὲ καὶ πρὸς ἀλλήλους, καὶ τὰ μὲν ἴσως καὶ θαυμάζειν ἄξια, καὶ πολὺ ξυλλαγχάνειν μνήμῃ δίκαια, τὰ δὲ καὶ δίκαια καθάπαξ ὀλιγωρεῖσθαι, οἷα τῷ βίῳ παντὶ, καὶ ἀεὶ πάλαι τε καὶ νῦν ἔθιμα, καὶ οὐδὲν μέγα τι καὶ [3]) καινὸν ἔχοντα, ἀλλ' ὧν πλήρης, ὡς ἔπος εἰπεῖν, τὸν ἀεὶ χρόνον ἡ γῆ, καὶ πάντ' ἔθνη,

---

1) C. Aug. hic iterum inscriptionem Cap. seq. offert.

2) καὶ περὶ τ. Ἑλλήν. C. Mon. non exhibet.

3) καὶ, in C. Mon. a seq. καινὸν absorptum est.

καὶ πάντες ἄνθρωποι, καὶ οἱ συνόντες εὐτελεῖ τύχῃ καὶ ταπεινὰ πράττοντες. Ἀλλ' ἅπαντ' ἄρα τἀκείνων ἐπὶ τῶν προτέρων χρόνων ἑλληνικὰ τετίμηται λόγῳ καὶ μνήμῃ τῶν ξυγγραφόντων, καὶ ὅσ' Ἀθηναῖοι καὶ Λακεδαιμόνιοι, καὶ ὅσοι τούτοις εἵποντο, πρὸς Μήδους ἔπραξαν καὶ κατὰ γῆν καὶ κατὰ θάλατταν, μέγιστ' ὄντως ἐκεῖνα καὶ ἀξιολογώτατα μὴ τῶν Ἑλληνικῶν μόνον, ἀλλὰ καὶ ὡντινωνοῦν ἄλλων ἐν ἄλλοις ἔθνεσι· καὶ δικαίως ἂν ἐναρίθμια τοῖς ἀπὸ τοῦ παντὸς αἰῶνος μεγίστοις πᾶσιν ἔργοις, καὶ ὅσα πόλεις αὗται πρὸς ἀλλήλαις 4) πρῶται τῶν ἑλληνικῶν ἔπραξαν, καὶ σὺν αὐταῖς κοινῇ οἱ ἀμφοτέρων σύμμαχοι, ἀλλὰ καὶ ὅσα συμβεβήκει Σεριφίοις κοινῇ τε καὶ ἰδίᾳ τισὶν ἴσως, ἢ Μηλίοις 5), ἢ Σιφνίοις, ἢ Σικυωνίοις, ἢ ἄλλοις οἱςτισιοῦν πολιχνίοις ἐν Πελοποννήσῳ, ἢ κατὰ τὴν ἄλλην ἑλληνικὴν ἤπειρον, ἢ νησιδίοις κατὰ τὸν Αἰγαῖον. Καὶ μακαρίσαι τὶς ἂν ἴσως ὡς ἔτυχεν ἐκεῖνα τιμῆς ἀμέλει ταύτης τῇ μνήμῃ διὰ τῆς ἐπαινετῆς γλώττης καὶ περισπουδάστου τοῖς ἐλλογίμοις Ἡροδότου, καὶ Θουκυδίδου, καὶ Ξενοφῶντος, καὶ ὅσοι λοιπὸν τοῖς περὶ λόγους ἔχουσι φροντίδος ἀξιούμενοι. Πόσα γὰρ ὅμοια δὴ παρ' ἄλλοις ἔθνεσιν ἢ καὶ μείζω καὶ κρείττω πράγματα, καὶ πάσης ἀρετῆς ἔργα καὶ φρονήματα, καὶ λόγοι ξὺν πολλῷ τῷ καιρίῳ, καὶ

---

4) ἀλλήλ. Cdd. Aug. et Mon. ἀλλήλας.

5) Μηλ. C. Mon. Μιλίοις.

ἀνδρῶν ἤθη θαυμάζειν ἄξια γεγονότ' ἂν ἀπὸ τοῦ παντὸς αἰῶνος καὶ ἀεὶ γιγνόμενα μνήμης οὐ τυγχάνει τινός; οὐδ' ἴσμεν περὶ αὐτῶν ὅ τί ποτ' ἄρα, οὐδ' ἔχομεν ἐξ αὐτῶν κατὰ χρείαν δή τινα πορίζεσθαι τῶν ἑκάστοτε λόγων καὶ προθέσεων, ὥσπερ ἄρ' ἐκ τῶν ἑλληνικῶν πάνυ τοι παντοῖα καὶ πλεῖσθ' ὅσα διὰ τοὺς ξυγγράφοντας, ὧν ἡμῖν πάνυ τοι μέλειν[6]) ἀναγκαῖον. Καὶ ἔγωγε πολλάκις ξυνορῶν ἥδομαι, πῶς ἂν εἴποι τις, καὶ θαυμάζω, ὅπως ἄρά τινες τῶν παλαιῶν καὶ νῦν οὐχ ἥκισθ' ἡμῶν πρός τινας ὁμιλοῦντες καὶ γραφαῖς συγγινόμενοι τῶν ἐν μεγάλαις ὄντως τύχαις καὶ πράγμασι πρὸς χρείαν τοῖς ἑκάστοτε λόγοις καὶ κατασκευὴν τοῦ προκειμένου ἐξ ὑποδειγμάτων τινῶν καὶ μνήμης παλαιῶν ἄρα πράξεων ὡντινωνοῦν ἢ λόγων ἑλληνικῶν ἐπιχειρεῖν δοκιμάζουσι καὶ μάλ' ἀνύτειν, εἰς ἃ προτίθενται. Καὶ πολλοῖς ἐν καιρῷ χρήσασθαι γέγονε πρὸς τοὺς Ῥωμαίων Καίσαρας ἐκείνους, γῆς σχεδὸν πάσης καὶ θαλάττης ἄρχοντας, καὶ ἄλλους ἐκεῖθεν ἐς ἡμᾶς αὐτοκράτορας, ἢ περιφανεῖς ἡγεμόνας καὶ μεγάλους τῇ τύχῃ, εἴ τί που πολίτης τὶς Ἀθηναίων, ἢ Λακεδαιμονίων, ἢ Θηβαίων καὶ Μεγαρέων ἴσως καὶ Ἐρετριέων καὶ Αἰγινητῶν ἢ ἔπραξεν ἢ εἴρηκε πρὸς ἄλλόν τινα τῶν κατ' αὐτὸν παραβαλόμενος[7])· καὶ οὐκ ἀπαξιοῦσι

---

6) μέλειν, C. Aug. μέλλειν.

7) παραβαλ. C. Mon. παραβαλλόμενος.

οὔθ' οἱ μὲν ἀκούοντες ἀκούειν, οὔθ' οἱ δὲ λέγοντες λέγειν, οὐδ' ὀλιγωροῦσιν, οὐδ' ἀποτρέπονται διὰ τὴν εὐτέλειαν τῶν τοιούτων. Ἢ πῶς γὰρ οὐκ ἂν ἐπισημήναιτό [8]) τις καὶ λογίσαιτο [9]) χάριεν ἐπισκεπτόμενος, ὁπότε τις κατὰ ῥήτορας ἐπιμελούμενος ἐπαινῶν ἢ προτρεπόμενος εἰς πράξεις Αὔγουστον ἢ Τραϊανὸν τοὺς Καίσαρας, ἢ Κωνσταντῖνον καθ' ἡμᾶς τὸν μέγαν, ἢ Θεοδόσιον, ἢ ἄλλους [10]) οὑστινασοῦν τῶν μεγίστων τε καὶ παραπλησίων, ἢ καὶ παραβραχὺ δευτέρων, ἔγγιστα δ' ὅμως τῇ φύσει, κἂν εἰ μὴ τῇ τύχῃ καὶ περιφανῶν ἀνδρῶν; Ἔπειτ' ἄρα μεμνῇτο πρὸς τὴν χρείαν ἑκάστοτε τὸν λόγον ἐξ ὑποδειγμάτων κατασκευάζων τί ποτ' ἔπραξεν Ἀθήνησιν, ἢ εἶπεν ὁ δεῖνα, καὶ ἔστωσαν οἱ κρείττους καὶ περιφανέστεροι, Περικλῆς τυχὸν, ἢ Θεμιστοκλῆς, ἢ Ἰφικράτης, ἢ Κόνων, ἢ ὁστισοῦν, ἢ ἐν Σπάρτῃ Ἀγησίλαος, ἢ Καλλικρατίδας καὶ Βρασίδας καὶ Λύσανδρος, ἢ ἐν Θήβαις Ἐπαμεινώνδας καὶ Πελοπίδας, ἢ καὶ ἐν τοῖς Ἀχαιῶν πολιχνίοις μεθ' ὕστερον Φιλοποίμην καὶ Ἄρατος, ἢ καὶ τῆς τῶν φαύλων ἴσως μοίρας ἐν ταῖς αὐταῖς [11]) ἑλληνικαῖς πόλεσιν, ὅ τί ποτ' ἂν εἰπόντες ἢ πράξαντες κατεγνώσθησαν ἔνιοι, ὡς οἱ κατὰ Δημάδην καὶ Κλέωνα καὶ Ὑπέρβολον

8) ἐπισ. C. Mon. ἐπισημῆναι τό.
9) λογίσ. C. Aug. λογίσαι τό.
10) ἢ Κωνσταντ. — ἢ ἄλλους, absunt a C. Mon.
11) αὐταῖς, in Cdd. Aug. et Mon. desunt.

καὶ Ἄνυτόν τε [12]) καὶ Μέλιτον, καὶ Λύκωνα, καὶ Ἀριστογείτονα, καὶ Φοιβίδαν, καὶ Σφοδρίαν, καὶ ὅσοι τοῦ πονηροῦ κόμματος· οὓς δὴ πάντας καὶ τὰ αὐτῶν πάνθ᾽ ἕκαστα καὶ ἤθη, καὶ λόγους, καὶ πράξεις παρέπεμψαν τῷ παντὶ χρόνῳ καὶ ἡμῖν αἱ θαυμασταὶ γλῶτται τῶν ξυγγραφόντων καὶ περισπούδαστοι. Καίτοι πόσα δὴ τοιαῦτα παρ᾽ ἄλλοις ἔθνεσι; καὶ πόσοι δή τινες ἐν μείζοσι [13]) πράγμασιν εὖ τε καὶ μὴ συνεβίωσαν καὶ ἀεὶ συμβιοῦσι μηδενὸς ἀξιούμενοι λόγου, μηδὲ μνήμης [14]) μὴ μόνον τοῖς ὀψὲ μετ᾽ αὐτοὺς, ἀλλὰ μηδὲ τοῖς ἔγγιστ᾽ αὐτῶν, μηδ᾽ ἐκ γειτόνων ἢ τοῖς χρόνοις ἢ τοῖς τόποις αὐτοῖς καὶ ταῖς οἰκήσεσιν; Ἀλλὰ τούτου γ᾽ ἂν ἴσως καὶ αἴτιον ἐμοὶ δοκεῖν εἴη, ὅτι περὶ Ἑλλήνων Ἕλληνες καὶ τὰ πᾶν τὸ εἰκὸς μέμνηνται τὰ οἰκεῖα καὶ ξυγγενῆ συγγραφόμενοι καὶ τιμῶντες, ὡς ἂν ἀξιοῦντες πάσης μνήμης, καὶ παραπέμποντες τῷ χρόνῳ καὶ ἡμῖν, οἳ καὶ τοῦ γένους ἐσμὲν καὶ τῆς γλώττης αὐτοῖς κοινωνοὶ καὶ διάδοχοι. Ἴσως δ᾽ ἂν καὶ παρ᾽ ἄλλοις τῶν ἐθνῶν εἴη παραπλήσια, καὶ καθ᾽ ἡμᾶς ὡσαύτως καὶ τῶν φθασάντων τε καὶ προγόνων ἐν τοῖς λόγοις τὰ κατ᾽ αὐτοὺς ἑκάστους τιμῆς ἐν ξυγγραφαῖς οἰκείαις καὶ μνήμης ἀξιούμενα καὶ παραπεμπόμενα τοῖς ἑξῆς μετ᾽ αὐτοὺς, καὶ πρὸς χρῆσιν ἐκ πα-

12) τε, Cdd. Mon. et Aug. γε.

13) μείζ. Cdd. Aug. et Mon. μείζουσι.

14) μηδὲ μνήμης — αὐτῶν, in C. Aug. desiderantur.

ρασκευῆς [15]) ἐκκείμενα τοῖς ἑξῆς μετ' αὐτούς. Καὶ ὥςπερ ἀμέλει τὰ κατ' ἐκείνους ἡμῖν ἀγνοεῖται, ὅτι μὴ τοῖς ἑλληνικοῖς ξυγγραφεῦσι περὶ ἐκείνων ἐμέλησεν, οὕτως ἂν ἴσως κἀκείνοις τὰ περὶ ἡμῶν ἀγνοῆται, ὅτι μὴ τοῖς κατ' ἐκείνους ξυγγραφεῦσι περὶ τὰ ἡμέτερα πονεῖν ἐμέλησεν.

ΚΕΦ. υιδ'.

Ὅτι χρήσιμον τοῖς παιδευομένοις ἡ ἀποχώρησις καὶ ἀποστροφὴ τῶν πραγμάτων ἐξ ὑποδείγματος [1]).

Τὰ μουσεῖα πάλαι ταῖς [2]) πόλεσιν ἱστόρηνται πρὸ τῶν τειχῶν ἔξω κατασκευάζεσθαι, καὶ ἐφοίτων τὸν ἀεὶ χρόνον ἐκεῖσε καὶ προςεῖχον οἱ νέοι τοῖς παιδευταῖς· καὶ ἔοικεν ὥςπερ νῦν τῶν ὑστέρων καθ' ἡμᾶς χρόνων, ὅτε τὰ τῆς χριστιανικῆς θεοσεβείας ἐπ' ἀνθρώπων ἐκράτησε τὰ σεμνὰ ταῦτ' ἀσκητήρια, καὶ αἱ μοναχικαὶ συνοικίαι καὶ συναυλίαι τὸ πλεῖστον φεύγουσι τὰς πόλεις, καὶ τὰς μετὰ τῶν πολλῶν ἐν πόλεσιν ἐπιμιξίας καὶ τὰ κατὰ πᾶσαν ἀνάγκην ἐντεῦθεν ἑπόμενα πράγματα, καὶ τὴν ὀχληρὰν ἐνασχόλησιν κομιδῇ λυμαινομένην εἰς τὴν προτεθειμένην αὐτοῖς μεγαλόφρονα ταύτην αἵρεσιν τοῦ βίου. Τὸν αὐτὸν ἀμέλει τρόπον κἀκείνοις [3])

15) ἐκ παρασκ. omittit C. Mon. vti etiam μετ' αὐτούς.
1) In C. Aug. e more suo inscriptio Cap. seq. est praefixa.
2) ταῖς, C. Mon. non habet.
3) κἀκ. Cdd. Aug. et Mon. κἀκείνους.

τότε τὰς πόλεις ἀποδιδράσκειν καὶ τοὺς ἐκ τῶν πόλεων θορύβους καὶ τὰς μετὰ τῶν πολλῶν ἀνθρώπων ἐνασχολήσεις, χρήσιμον εὖ μάλ' ἐδόκει πρὸς τὴν πρόθεσιν. Καθόλου μὲν γὰρ πᾶσιν ἀνθρώποις οἱ περὶ τοὺς λόγους πόνοι καὶ τὸ περὶ τὴν παιδείαν ἐπιμελὲς πάσης ἀπὸ πάντων ἀποχωρήσεως ταῦτα δεῖται, καὶ οὐκ ἔστιν ἀνύτειν ἐνταῦθα βέλτιστα, ὅτι μὴ κατὰ νοῦν ἰδιοπραγοῦντας, καὶ πάντ' ἄλλα φροντίσματα καὶ περιπλανήσεις τῶν λογισμῶν, εἴτε κατὰ χρείαν τιν' ἀναγκαστὴν, εἴτε κατὰ παιδιὰν ἄλλως καὶ ῥᾳστώνης καὶ κοινωνίας μετὰ πολλῶν ὁτιοῦν ἔθιμον πάσῃ σπουδῇ φεύγοντας. Μάλιστα δὲ τουτὶ τοῖς νέοις αὐτοῖς χρειωδέστατον, ἐπεὶ καὶ μάλιστ' εὔτροπον τὸ κατ' αὐτοὺς καὶ [4]) σφόδρ' ἁλώσιμον ὁτῳοῦν τῶν προςτυχόντων ἐπαγωγῷ, αἰεὶ γὰρ ὁπλοτέρων φρένες, κατὰ τὸν Ὁμηρικὸν λόγον [5]), ἠερέθονται, καὶ ἀνιδρύτως ἔχουσι, καὶ πρὸς ἄρα πᾶν, ὅ, τι ἂν ξυμπίπτῃ, τάχιστα φέρονται καὶ τρέπονται, καὶ ῥᾷστ' εὐαγώγως [6]) ἔχουσι, καὶ πάντα πράγματ' αὐτοὺς ἕλκει καὶ στρέφει ῥέοντας ὀλισθηρῶς τῷ τῆς φύσεως ὑγρῷ τε καὶ νεαρῷ· καὶ καθάπαξ ἐπιῤῥεπῶς ὅπως ἂν ἔχοι, εὖ τε καὶ μὴ, καὶ ἡλίκων

---

4) καὶ, abest a C. Aug.

5) Ὁμηρικ. λόγον. Est vers. Iliad. γ'. 108. αἰεὶ δ' ὁπλοτέρων ἀνδρῶν φρένες ἠερέθονται. Omisit Theod. ἀνδρῶν, et vers. accommodans rei suae rationem versus habet nullam, vt in aliis etiam ab eo laudatis locis.

6) εὐαγ. C. Mon. ἐναγώγως.

καὶ παιδίων κοινωνίαι, καὶ ῥαστώνης ἑτοιμότης ἐν πόλεσι πάνυ τοι κατ᾽ αὐτῶν ἰσχυρὰ καὶ μεταστρέφειν ἐπιεικῶς δύνανται σωφρονικοὺς λογισμοὺς, καὶ τῶν χρησίμων αὐτοῖς κρίσεις αὐτῶν τε καὶ γονέων, καὶ ἃ πολλῆς τέως ἠξίουν συνεπιμελείας καὶ σπουδῆς ἐντεῦθεν τάχιστα καταστρέφουσι, καὶ μάλιστα πρὸς τὸ καματηρὸν τῆς πρὸς τὴν παιδείαν ἐπιμελείας, καὶ ἁπαλοῖς φρονήμασι τραχύ τε καὶ ἀηδὲς ἀποκνοῦντες κατὰ φύσιν καὶ ἀποτρεπόμενοι. Τοιγαροῦν εὖ τε [7]) δὴ μάλα κατα καιρὸν τοῖς παλαιοῖς ἐκείνοις νέοις [8]) ἀποκεκληρῶσθαι πρὸ τῶν πόλεων ἔξω τὰ μουσεῖα, καὶ τὰς διατριβὰς πάντα τὸν δυνατὸν τρόπον προνοουμένοις τὸ ἀπρόςκοπον σφίσι τῆς χρήσεως, καὶ ὡς ἂν μήθ᾽ ὁρῶντες, μήτ᾽ ἀκούοντες, μήτ᾽ ἄλλως πειρώμενοι μηδὲν, ἀλλ᾽ ἢ κατὰ τὴν πρόθεσιν τῆς παιδείας εὐαγώγως. Καὶ μὴ παντάπασιν ἀηδῶς ἐνταῦθα πονεῖν ἔχουσι, καὶ μὴ πολλοῖς μεριζόμενοι, καὶ οἷς ἐπιεικῶς συνολισθαίνειν ἕπεται, πρὸ ὁδοῦ μάλιστα γίγνοιντο καὶ καθάπαξ πάντων ἀνεπιστρόφως κατορθοῦντες τῇ περὶ τοὺς λόγους καλλίστῃ σπουδῇ, μέχρις ἂν ἴσως πάνυ τοι πλεῖστον ἐνταῦθα συνεθισθέντες τὲ καὶ κραταιωθέντες τοῦ λοιποῦ προςβολαῖς ἀλλοτρίαις ἔξωθεν καὶ πραγμάτων ἀνθολκαῖς ἀσείστως, ὡς

7) εὖ τε, Cdd. Aug. et Mon. εὖ γε.

8) ἐκεῖν. νέοις, ex Cdd. Aug. et Mon. haec sunt inserenda: ἐκείνοις ἐδόκει τοῖς παιδευταῖς τε καὶ τοῖς παιδευομένοις νέοις.

εἰπεῖν, καὶ ἀπαθῶς ἔχωσι [9]) τὰ κρατήσαντα δόγματα, καὶ μεθ' ἡδονῆς ἀμέλει διὰ τὸ ἔθιμον ἤδη καὶ χρόνιον πάντων ἐπίπροσθεν ποιούμενοι, καὶ ἀπρὶξ αὐτῶν ἐχόμενοι πάσης ἄλλης προςπαθείας ἀήττητοι.

ΚΕΦ. υιέ.

Θεωρία ἐξ ὑποδειγμάτων περὶ τοῦ νοὸς καὶ τῆς τῶν αἰσθήσεων χρήσεως [1]).

Τοὺς ἀγαθοὺς τῶν ὑπηρετῶν οὐ πάνυ τοι τῶν δεσποτικῶν νομῶν καὶ τῆς αὐλίου [2]) δολιχεύειν ἔκτοπα καὶ ἀποπλανᾶσθαι νομίζεται τὴν λειτουργίαν ἐκλείποντας, εἰ δὲ μὴ, κλαίειν [3]) ἀνάγκη [4]), καὶ φέρειν πληγὰς ὀλιγωροῦντας τῆς κατ' ἐντολὴν βιώσεως αὐτονομίας ἀκαιρίᾳ, καὶ τὰς ὑπηρετικῶς προςανέχειν τῷ μεγάλῳ δεσπότῃ νῷ τακτοῖς ὅροις καὶ θεσμοῖς κατὰ φύσιν αἰσθήσεις εὖ μάλα προσέχειν ἀνάγκη τῇ δεσποτικῇ χρείᾳ, καὶ παρὰ τοσοῦτον θυραυλεῖν ἔξω, παρ' ὅσον [5]) διακονεῖν δέδοται· ἂν δ' ἄλλως ἀπόδημα φέροιντο καὶ μὴ κατ' ἐντολὰς τῆς τοῦ νοὸς ἐπιστασίας, παντάπασι κακῶς ἕξει

---

9) ἔχωσι, C. Aug. ἔχουσι.

1) C. Aug., vt solet, inscriptionem Cap. seq. praefixam habet.

2) αὐλίου. Cap. 59. dic. αὔλειος, quod idem est, cf. Schaef. ad Lamb. Bos. Ellips. gr. p. 197.

3) κλαίειν, C. Mon. κλάειν, Aug. κλαίειν.

4) ἀνάγκη, C. Mon. ἀνάγκην.

5) παρ' ὅσον, C. Mon. παρ' ἄρ' ὅσον: Aug. παραρ' ὅσον.

τὰ πράγματα καὶ αὐταῖς καὶ τῷ νῷ, καὶ τὸ καθεστὼς εὐγενῶς τῇ φύσει, καὶ πᾶσα τάξις λυθήσεται, ἣ τῶν νομίμων τῆς ἀρχῆς ἤρτηται [6]), τῶν μὲν ἀνεπιτιμήτως καὶ ἀζημίως ὡς ἔτυχε πλανωμένων ἀφροντίστως καὶ σὺν ὕβρει, τοῦ δὲ νοὸς ἐμπαροινουμένου, καὶ οὐ ταπεινῶς μᾶλλον, ἢ ἀθλίως πράττοντος ὑπὸ τῆς αὐτῶν ἀπαθείας. Τοιγαροῦν ἀνθεκτέον ἐστὶν ἐῤῥωμένως αὐτῷ καὶ πάσῃ σπουδῇ καὶ ἐπιμελείᾳ τῶν αὐτῷ [7]) δικαίων, καὶ μέτρα καὶ ὅρους θετέον ταῖς αἰσθητικαῖς χρήσεσι, καὶ ἐς ὅσον δέοι ἂν ὑπηρετικῶς τὰς αἰσθήσεις χωρεῖν, καὶ ὧν μὴ πλέον μήδ' ἑξῆς ἔπειτα περαιτέρω κατ' ὀλίγον· τὸ γὰρ κατ' ὀλίγον παρορώμενον, ἐπισυντιθέμενον καὶ συνεχίζον καὶ κλέπτον τὴν ἀρχὴν, μᾶλλον [8]) δὲ καὶ μέχρι πολλοῦ λανθάνον, εἰς μήκιστον περαίνει. Καὶ χρή γε, ὡς ἔφην, ἀσφαλίζεσθαι τὸν ἡγεμόνα προνοοῦντα καὶ διοικοῦντα πάνθ' ἕκαστα τακτοῖς ὅροις, καὶ τὰ ὑπερβάθμια κολάζειν, καὶ μὴ ξυγχωρεῖν καθάπαξ ταῖς αἰσθήσεσιν ἔξω τῶν ἐντολῶν ἀκρατίζεσθαι καὶ βακχεύειν. Εἰ γὰρ οὕτως ὁ νοῦς χρῷτο τῇ δεσποτείᾳ καὶ ταῖς αἰσθήσεσιν οὕτω χρῆσθαι, καὶ σωφρονικῶς ἕπεσθαί οἱ φροντίδα μεγίστην ἔχοι κόσμος ἐντεῦθεν τῷ παντὶ, καὶ ὡς ἂν εὐχῆς ἔργον, καὶ τῶν εὐγενῶν καὶ χρηστῶν ἐλπίδων ἄξιον, ἑκα-

6) ἤρτηται, C. Mon. εἴρηται.
7) αὐτῷ, C. Mon. αὐτῶν.
8) μᾶλλον, C. Aug. καὶ μᾶλλον.

τέρωθεν τοῦ κατὰ φύσιν ἀπαντῶντος οἰκείου, τοῦ μὲν ἡγεμονικῶς τοῦ νοὸς ἐπιτάττοντος, τῶν δ' αἰσθήσεων οὐ χρωμένων ὡς ἔτυχεν, οὔθ' ὡς ἂν ἐμπίπτοι, ἀλλ' ὡς ἂν αὐτὸς νομίζοι, καὶ ὡς ἂν ἀμφοτέροις ἀζήμιον εἴη. Ταῦτ' ἄρα καὶ διὰ τὸ ὀλισθηρὸν τῶν αἰσθήσεων πρὸς τὰς τῶν ἔξωθεν συντυχίας πολὺ τὸ ὁλκὸν ἐχόντων ἐπὶ τὴν ἄλογον ψυχὴν τοῖς τοῦ ἥδεσθαι συνεθισμοῖς καὶ δεσμοῖς, ἐνίοτε καιριώτατ' ἀσφαλιζόμενος ὁ νοῦς καὶ φεύγων τοὺς ἑπομένους κινδύνους, ἐπεὶ μὴ ἔστι τελείαν ἀπραξίαν καταψηφίσασθαι τῶν αἰσθήσεων ὀλιγοπραγεῖν ἐπιτάττει, καὶ ἀποκόπτει τῶν πολλῶν ἔξω προόδων οἰκουρεῖν τε καὶ ἠρεμεῖν τὸ πλέον ἀναγκάζων, ὡς ἂν ἀμέλει μὴ χώραν τινὰ λαμβάνοιεν τῆς εἰς τὰ φαῦλα ῥοπῆς ταῖς τῶν ἔξωθεν πλείσταις ὁμιλίαις. Ἀλλ' ὥςπερ οἱ πολυωροῦντες ἔμμισθοι τὰς ἀκροπόλεις τοῖς βασιλεῦσιν ὑπεύθυνοι νόμοις ἀπαραιτήτοις ὑπόκεινται μὴ πολὺ τρίβειν ἔξω, μήδ' ἄλλως ὅτι μὴ πᾶσα ἀνάγκη, κἀντεῦθεν προαναιρεῖται [9]) πᾶν ἄρα κακουργικὸν ἔξωθεν καὶ ὕποπτον, οὕτω δὴ καὶ τῷ βασιλεῖ καὶ δεσπότῃ νῷ μέτροις τισὶ καὶ ὅροις αἱ αἰσθήσεις πρὸς τὰς τῶν ἔξωθεν ὁμιλίας ἐγκλείονται, καὶ οὐ ξυγχωροῦνται πλεῖστα πράγματ' ἔχειν [10]) καὶ περὶ πλεῖστα διατρίβειν ἀκωλύτως ὑφορωμένῳ τὰς ἐντεῦθεν ἐπιβουλὰς, καὶ τὰ παρὰ τῆς κακούρ-

9) προαναιρ. C. Aug. προαναιροῖται.

10) πράγματ' ἔχειν, C. Aug. πράγματά τ' ἔχειν.

γως ἰσχυούσης ἡδονῆς ἀπατηλα δῶρα καὶ θέλγητρα. Καὶ τοῦτ' ἐστὶν ἀμέλει πολλοῖς τῶν βελτίστων ἀνδρῶν ὁ σκοπὸς τῆς ἀποχωρήσεως τῶν πολλῶν τοῦ βίου συμπλοκῶν, καὶ ἰδιοπραγίας τῆς κατ' ἀρετὴν καὶ κατὰ νοῦν ἀπροςκόπου χρήσεως ἕνεκεν, καὶ ἀπηρεάστου [11]), καθ' ὅσον οἷόν τέ ἐστι, τῆς ἀπὸ τῶν αἰσθητῶν ἐνοχλήσεως. Καὶ τοίνυν ὃ περὶ Δημοκρίτου τοῦ φιλοσόφου τισὶν ἱστόρηται, μυθῶδες μέν ἐστιν ἴσως καὶ ἀπαράδεκτον ὥςτε πείθειν, ὡς ἄρα φεύγων ἐκεῖνος τὴν αἰσθητικὴν περιπλάνησιν, καὶ τοὺς ἐντεῦθεν ἀμέλει τῷ νῷ κινδύνους καὶ ἐπιβουλὰς, ὡς ἔφην, καὶ τὴν ἐν τοῖς τοιούτοις διατέμνων καθάπαξ ἀσχολίαν, ὡς ἂν ἀπὸ τῶν καιριωτάτων καὶ οἰκείων τὸν νοῦν ἀποσπῶσαν ἀποτυφλῶσαι τοὺς ὀφθαλμοὺς προείλετο εἰς πεπυρωμένον τι κάτοπτρον ἀνατείνας αὐτοὺς ἐπὶ πλεῖστον, καὶ ταῖς ἐκεῖθεν ἀγρίαις καὶ δριμυτάταις ἐμπτώσεσι διαφθείρας [12]). Καὶ τούτῳ μὲν, ὡς ἔφην, οὐ ῥᾳδίως πείθοιτ' ἄν τις, οὐδ' ἄλλως εὔλογον, ὅτι μηδὲ πάσης τῆς αἰσθητικῆς ἦν τοῦτο χρήσεως ἐκκοπὴ, ἀλλ' ἡ τῆς ὀπτικῆς μόνον, βέλτιον δ' ἂν ὡς ἀληθῶς εἴη, ὅστις ἄρα λογισμῷ καὶ κρίσει φιλανθρωπότερον εὐστοχούσῃ περὶ τὴν χρείαν, καὶ τὸ κατὰ σκοπὸν λυσιτελοῦν τὰς αἰσθήσεις, ὥςπερ τινὰ θυρίδια δύς-

---

11) ἀπηρ. sic Cdd. Aug. et Paris. Germ. C. Mon. πηρεάστου. An ἐπηρεαστικοῦ? C. Paris. Reg. ἀνεπηρεάστου, vt Cap. 110., quod contextus postulat.

12) διαφθ. C. Aug. καὶ διαφθείρας.

χρηστα, καὶ οἴκοι παραπέμποντα δυσχέρειαν ἀνέμων καὶ χειμώνων ἀγωγὰ, καὶ ὄχλων ἀνιαρῶν τοῖς χρωμένοις, ἀποφράξας ἐπίτηδες ἐν ἐκείνοις, ἐν οἷς ἂν ὄντα [13]) τοῖς τόποις ἐργώδη τὴν χρῆσιν ἐδίδου, καὶ μεταθέμενος ἐν ἄλλοις καιριώτατ' ἐκλεξάμενος, ὅθεν οὐκ ἂν ἔπειτα λυμαίνοιτο καθ' ὁτιοῦν, τοῦ λοιποῦ καλῶς ἐκεῖθεν καὶ ἀνόσως οἴκοι χαίρει βιοὺς καθ' αἵρεσιν, οὔτε στερούμενος τῆς δι' αὐτῶν ἐποπτείας, καὶ χρήσεως ἔστιν [14]) ὅτε δεῆσαν, οὔτ' ἐντεῦθεν ἀλγεινῶν τινῶν πεῖραν λαμβάνων, καὶ ἀηδῶν τε καὶ νοσερῶν χρῆσθαι. Οὐ γὰρ ἀναιρεῖν ἀμέλει δοκιμαστέον, οὐδὲ καιρὸν ἂν [15]) ἔχοι τοῖς γε νοῦν ἔχουσι τὸ συνεζευγμένον τοῦτο τῆς γνωστικῆς ἀντιλήψεως ἄλογον, ἀλλὰ διοικεῖν ὡς ἄρ' ἄμεινον χρῆσθαι, καὶ τῆς ὑπηρετικῆς λειτουργίας αὐτοῦ λόγον δή τινα ποιεῖσθαι, καὶ προςίεσθαι τὰς ἐντεῦθεν εἰσαγγελίας καὶ ἀφορμὰς λαμβάνειν εἰς τὴν τῶν ὄντων ἐπίσκεψιν καὶ θεωρίαν καὶ κρίσιν, πᾶν ὀχλῶδες ἀμέλει καὶ δυςνοϊκὸν ἐντεῦθεν πρὸς τὰ τοῦ νοῦ βασίλεια, καὶ τὴν εὐγένειαν ἀλλοτρίως ἔχον [16]) καὶ λυμαινόμενον εὐαγώγοις τάξεσι, καὶ νόμων φυλακῇ πορρωτάτω τῆς χρήσεως ἐξορίζοντες.

---

13) ὄντα, C. Mon. οὔτε.
14) ἔστιν, deest in C. Mon.
15) ἂν, Cdd. Aug. et Mon. omittunt.
16) ἔχον, C. Aug. ἔχων.

ΚΕΦ. υϛʹ.

Περὶ δημοκρατίας.

Περὶ τῆς βασιλικῆς ἀνθρώπων ἡγεμονίας, καθ' ὅτι τὰ βέλτιστ' ἔχει [1]), καθ' ὅτι νοσεῖ, βουλόμενος ἐρεῖν, δοκῶ [2]) μοι χρήσιμον εἶναι καθόλου περὶ τῶν κατ' ἀνθρώπους πολιτειῶν, ὅσοις ὁ βίος τὸ ἐξ ἀρχῆς πέφυκεν ἄγεσθαί τε καὶ ἄγεται, τέως προδιαλαβεῖν διὰ βραχέων, ἐπεὶ μὴ καιρὸν ἔχει τῇ παρούσῃ [3]) τῶν ἐπελθεῖν. Πλεῖστοι μὲν οὖν τῶν πάλαι σοφῶν, καὶ μάλιστα τούτων τὼ διαλάμψαντε κατὰ φιλοσοφίαν, καὶ ἄκρω περὶ πᾶσαν εἴδησιν καὶ κρίσιν, Πλάτων καὶ Ἀριστοτέλης, συνετάξαντο πλεῖστα· καὶ περιττὸν ἂν ἴσως εἴη νῦν γε εἶναι μετὰ τοσούτους καὶ καθάπαξ ἀκριβέστερον ἔχοντας ἐρεῖν περὶ τούτων, καὶ εἰρηκότας ἡμᾶς περὶ τῶν αὐτῶν ἄττα δὴ πονεῖν καὶ συνεισφέρειν, ὥςπερ δὴ κατα τὴν παροιμίαν Ἀβυδηνὸν φασὶν ἐπιφόρημα, ἢ τό γε δεύτερον μάλιστ' ἐπικαίρως, καὶ ἵνα τὸ ἧττον εἰς ἀηδίαν καὶ μέμψιν ἑλοίμεθα, ὥςπερ εἰς Ἀθήνας γλαῦκα, καὶ τοῦτο μετὰ τῆς παροιμίας, κομίζοντας· ῥητέον δ' ὅμως βραχέ' ἄττα περὶ αὐτῶν, ὅτι δὴ καιρὸν ἂν ἔχειν οἶμαι τοὺς περὶ τούτων ἀμηγέπη λόγους τῇ νῦν ἡμῶν σπουδῇ.

---

1) ἔχει, C. Mon. ἔχειν.

2) δοκῶ, nonne δοκεῖ?

3) παρούσῃ, post hoc verb. Cdd. Aug. et Mon. inserunt: σπουδῇ τελειότερόν τε καὶ ἀκριβέστερον περὶ αὐτῶν. C. Mon. τῶν pro αὐτῶν, vt Ciz.

Τρεῖς μὲν οὖν εἰσὶ πολιτικαὶ διοικήσεις ἀνθρώπων, ὡς ξυνιδεῖν ἐστι ῥάδιον, καθ' ἃς ἂν πέφυκε βέλτιστά πως ἄγεσθαι τἀνθρώπινα. Καὶ ὁρῶμέν γε νῦν, καὶ τῶν ἐκ μακροῦ ἱστοριῶν ὡσαύτως ἐμάθομεν, ὡς οὕτω δὴ τὰ τῶν ἀνθρώπων πράγματα διοικεῖται, ἢ μοναρχίᾳ, ἢ ἀριστοκρατίᾳ, ἢ δημοκρατίᾳ· εὖ γὰρ δῆλον αὐτόθεν, ὡς ἢ μόνος τὶς τῶν προεχόντων τοὺς ἄλλους καθ' ὁτιοῦν νομίζεται τῶν πολλῶν ἐπιστατεῖν, ἢ τινὲς ἀριθμητοὶ καὶ πρωτεύοντες τῶν ἄλλων ἐκλόγιμοι τῶν πολλῶν ἡγεμονεύουσιν, ἢ κοινῇ πάντες, οἷς τῆς αὐτῆς χώρας καὶ πόλεως μέτεστι, συνδιαφέρουσι κατὰ πᾶν τὸ γιγνόμενον τὰ κατὰ σφᾶς αὐτοὺς πράγματα. Καὶ τοίνυν ῥητέον [4]) γε νῦν ἡμῖν εἶναι πρῶτον περὶ αὐτῆς, ἧς ἐμνήσθημεν ἔσχατον, τῆς [5]) δημοκρατίας. Δοκεῖ μὲν οὖν ἐλευθεριώτερόν τι χρῆμα κατ' ἀνθρώπους τὸ κατὰ τὴν δημοκρατίαν, καὶ παντάπασιν ἀδούλωτον μετὰ τῆς κοινῆς φύσεως κοινῶς ἁπάντων τῶν μετεχόντων τῆς αὐτῆς χώρας καὶ πόλεως ἐπίσης ὑπὸ κοινοὺς ἀγομένων νόμους τῶν τε περιφανῶν ἢ γένει, ἢ πλούτῳ, ἢ σοφίᾳ, ἢ ῥώμῃ, ἢ πᾶσιν ἄλλοις τρόποις, ὅσοις ἄλλων ἄλλοι τῶν ἀνθρώπων πλεονεκτοῦσι, καὶ τῶν μὴ τοιούτων. Ἴσως δ' ἂν εἴη μὴ παντάπασι βέλτιστον τὸ πάντων ἀδούλωτον καὶ ἐλευθέριον, οὔτε λυσιτελοῦν κοινῇ

4) ῥητέον, Cdd. Aug. et Mon. male ἠτέον.

5) τῆς, omissum in C. Mon.

τε καὶ ἰδίᾳ τὸ πάντας ἐπίσης ἔχειν ἐλευθερίας καὶ ἀδείας κράτος, ἀλλὰ βέλτιον ἂν πολλῷ τοὺς χείρονας τοῖς ἀμείνοσι [6]), καὶ ἀμαθεστέρους τοῖς σοφωτέροις, καὶ αὐθαδεστέρους τοῖς σωφρονικῶς ἔχουσιν ἄγεσθαί τε καὶ πείθεσθαι. Καίτοι φαίη τις ἂν [7]) οὐκ ἔξω καθάπαξ ἀμέλει τοῦ καιροῦ, ὅτι πᾶσι πολιτεύμασιν ἐπίκεινται χαλινὸς ὁ νόμος, καὶ τὰ κοινὰ συνθήματα καὶ ἔθιμα, καὶ δουλεία τίς ἐστι τοῦτο, καὶ δεσποτείας κράτος μέγιστον τὸ τῶν νόμων, παρ' οὓς οὐκ ἔξεστι βιοῦν, οὐδ', ὡς βούλεταί τις, αὐθέκαστα χρῆσθαι, εἰ δὲ μὴ, ταῖς εὐθύναις ἔχεσθαι, καὶ κακῶς πράττειν τυραννούμενον τοῖς δεσπόταις νόμοις ἄφυκτα. Ἀλλ' ὅμως γε τῇ ἀληθείᾳ ῥᾴδιον τὸ τῶν πολλῶν ἰσόκληρον εἰς τὸ στασιάζειν, καὶ εἰ πλείω τὰ χείρω κατὰ τὸν παλαιὸν λόγον ἐν τῷ βίῳ καὶ νικῶντα πᾶσα ἀνάγκη, καὶ πολλὴ τοῦ χείρονος εὐδρομία καὶ τῶν φαύλων ἔσται μάλιστα κράτος διὰ τὴν ἰσονομίαν, καὶ κοινὴν ἄδειαν κατὰ τῶν ἀστείων, καὶ δέος ἔφεδρον [8]) ἀεὶ παρὰ τῶν πολλῶν τοῖς τοιούτοις ἔσται, καὶ χρεία δουλώσεως αὐτοῖς μᾶλλον, καὶ κολακεύσουσι τοὺς ἀσυνέτους καὶ ἀτάκτους καὶ πάντα τρόπον εὐπειθῶς σφίσιν, ὅσα καὶ δεσπόταις ὀφθήσονται χρώμενοι πρὸς πάντα πράγματα φερομένοις ἀσχέτως χειμάῤῥου

6) τοῖς ἀμείν. C. Mon. modo ἀμείνουσι.

7) ἂν, in C. Mon. deest.

8) ἔφεδρ. C. Mon. ἕδρον.

δίκην, εἰ δὲ μὴ, κακῶς ἀπαλλάξουσι καὶ κλαιήσουσιν αὐτοὶ, καὶ φίλτατα, καὶ χρήματ' ἀφαιρήσονται [9]) καὶ οὐσίας ἁρπαγαῖς ἐκκειμένας, καὶ τιμωρίας ἐσχάτας, καὶ θανάτους τελευτῶντες ἀθρόον ἀδοκήτους τε καὶ ἀτίμους καὶ βαρυτάτους ὑποστήσονται. Καὶ ὅλως ἀνυπόστόν τι χρῆμα πλῆθος ὑπ' ἐλευθερίας ἀκράτου ἐθισθὲν ὑβρίζειν, καὶ ὄχλος ἄτακτος, ἀμαθὴς τῶν βελτίστων, ἀλόγιστος τοῦ μέλλοντος, ἀκρατὴς πάσης γλώττης, σώφρονος ἀλλότριος γνώμης, ἀπειθὴς τῶν χρησίμων καὶ λόγων καὶ ἀνδρῶν, καὶ πρὸς διαβολὰς ἕτοιμος κατὰ τῶν ὑπερεχόντων, βασκανίᾳ καὶ τῷ κατ' αὐτῶν ἐπιδεικτικῶς κράτει χρώμενος ὑπόκουφος ἐμπλήκτοις ἀνθρώποις καὶ ἀλιτηρίοις τοῦ καλοῦ καὶ τῆς δίκης καὶ τῆς πρὸς τἀγαθὸν τιμῆς αἰρόμενος καὶ κυμαίνων, καὶ ὥςπερ ὑπ' ἀγρίων πνευμάτων τοῖς εὐγενέσι καταιγίζων ἄσχετα τῶν συκοφαντῶν καὶ βδελυρῶν καὶ παμμιάρων καὶ ἀναιδῶν, ὥςπερ ὁ καικίας φασὶ τὰ νέφη κατὰ συστήματα [10]) πρὸς ἑαυτοὺς ἑλκόντων τὰ πλήθη, καὶ φυσώντων ἐπ' ὀλέθρῳ περιφανῶν ἀνδρῶν, μᾶλλον δ' ἐπ' ὀλέθρῳ καὶ δυςχρηστίᾳ τῶν κοινῶν ἀγαθῶν. Κλέων ἐπανίστη κατὰ Περικλέους τοῦ πάνυ, τοῦ ὀλυμπίου [11]), τὸν ἀλόγιστον δῆμον φρυαττόμενος ἀναιδείᾳ πάσῃ καὶ καταφλυα-

---

9) ἀφαιρ. C. Mon. ἀφαιρεθήσονται.

10) κατὰ συστ. C. Mon. καὶ τὰ συστήματα.

11) ὀλυμπίου, cf. Plut. in Pericl. c. 8. et 38.

ρῶν [12]) τὰ βουλευτήρια καὶ τοὺς πολλοὺς, ἅμα μὲν ἐγγελῶντας, ἅμα δὲ πειθομένους ἔχων, ὥστε καὶ τελευτῶν τὴν στρατηγίαν ἀφῃρεῖτο [13]) καὶ χρήμασιν ἐζημίου, καὶ Νικίαν Ὑπέρβολος [14]) συχνάκις ἐφόβει ταῖς ἀπειλαῖς, ἄνδρα σωφρονικὸν καὶ χρηστὸν τῷ ἤθει καὶ γένει καὶ πλούτῳ καὶ στρατηγικαῖς ἐμπειρίαις ἔμποντα [15]), καὶ δεδιττόμενος καὶ χαλεπωτάτους ὑπεγείρων αὐτῷ πολλάκις περὶ τῆς ψυχῆς κινδύνους, πλεῖσθ᾽ ὅσα τῆς ἐκείνου περιουσίας, καὶ τῆς τῶν τρόπων εὐλαβείας καὶ μετριότητος ἐκαρποῦτο χρήματα. Καὶ Θεμιστοκλῆς ὁ πολὺς ἐκεῖνος καὶ τὴν σοφίαν καὶ τὰς πολιτικὰς καὶ στρατηγικὰς πράξεις, καὶ τῆς τῶν Ἀθηναίων αὐτὸς, μᾶλλον δὲ καὶ καθόλου τῶν Ἑλλήνων ἐλευθερίας ἀπὸ Περσῶν αἰτιώτατος, ὑπὸ τῆς Λυκομήδους ἐπηρείας καὶ συκοφαντίας καὶ τῆς ἀμαθίας καὶ ἀγνωμοσύνης τοῦ πλεῖστα καὶ μέγιστ᾽ εὖ παθόντος ὑπ᾽ αὐτοῦ δήμου τῆς πατρίδος ἔφευγεν. Ἀριστείδην δὲ τὸν θαυμαστὸν καὶ μεγάλου κλέους ἐν Ἕλλησιν ἀρετῇ πάσῃ πολιτικῇ ὠστράκισε τῶν Ἀθηνῶν ἀλογωτάτη φαύλων ἀνθρώπων καὶ τῆς εὐγενείας καὶ τῆς τοῦ καλοῦ χρήσεως ἐχθίστων ἐπανάστασις κατ᾽ αὐτοῦ, καὶ τῆς μεγαλωνύμου καὶ τιμίας ἐπωνυμίας καὶ δόξης τοῦ δικαίου.

---

12) καταφλυαρῶν, cf. Plut. in Nic. c. 5.

13) ἀφῃρεῖτο, C. Mon. ἀφηροῖτο.

14) Ὑπέρβολος, cf. Plut. in Alcib. c. 13. et in Nic. c. 11.

15) ἔμπ. vitiose: Cdd. Mon. et Aug. ἐμπρέποντα, recte.

Λέγεται γέ τοι περὶ αὐτοῦ τόδε χάριεν, ὡς ἤθροιστο μὲν ὁ δῆμος πάντοθεν εἰς τὸ βουλευτήριον, αὐτόθεν τὲ ἐκ τοῦ ἄστεος καὶ πολλοί γε ἥκοντες ἐκ τῶν ἀγρῶν, ὡς ἄρα νόμιμον ἦν ὀστρακισμοῦ γίνεσθαι μέλλοντος ἑνός δή τινος τῶν περιφανῶν ἐν τῇ πόλει· ἐπεὶ δ' ἦν τοῦτ' ἔθος, ἕκαστον τῶν ἠθροισμένων ὄστρακον λαμβάνοντα πολλῶν εἰς μέσον κειμένων, ἐγγράφειν αὐτῷ οὗ βούλοιτ' ἂν ὄνομα τῶν ἐκλογίμων ἀνδρῶν εἰς τὴν ἀπὸ τῆς πόλεως φυγὴν καὶ τῶν ὀστράκων μεθύστερον ἀριθμουμένων ἔδει φεύγειν τὸν ἐν πλείοσι καταγεγραμμένον, ὡς πλείοσιν ἄρα ψήφοις καὶ γνώμαις κατάκριτον τῇ φυγῇ· ἐντεῦθεν γὰρ καὶ τοὔνομα τὸν ὀστρακισμὸν τὴν ἀρχὴν κληθῆναι· λέγεταί τινα τῶν ἀγροτικῶν δημοτῶν ὄστρακον λαβόντα καὶ μὴ εἰδότα γράφειν ἐγχειρίζειν Ἀριστείδῃ μὴ κατειδότ' Ἀριστείδην [16]), καὶ ὡς ὁ λαμβάνων αὐτός ἐστι τὸ ὄστρακον, καὶ πρὸς αὐτὸν λέγειν, ἐγγράφειν Ἀριστείδου τοὔνομα τῷ ὀστράκῳ, καὶ τόν γε φάναι· τί δὲ φαῦλος ἐστὶν Ἀριστείδης, ἢ τί γέ σε φθάσας ἠδίκησε [16b]); καὶ τόν γ' ἐπιτάττοντα γράφειν λέγειν αὖθις, ὡς οὐδὲν μήποθ' ὑπὸ τοῦ Ἀριστείδου ἠδίκηται, λυπεῖν δ' αὐτὸν τοὔνομα περιβοώμενον τοῦ ἀνδρὸς, Ἀριστείδης ὁ δίκαιος, μὴ γὰρ βούλεσθαι πάνυ τοι δίκαιον ἄνδρα πάνυ τοι κρατοῦντ' ἐν τῇ πόλει μένειν,

16) μὴ κατειδ. Ἀριστ. Plut. in Aristid. c. 7. οὐ γιγνώσκω τὸν ἄνθρωπον.

16b) ἠδίκησε, Cdd. Aug. et Mon. ἠδίκηκε.

ἀλλ' ἐκποδὼν οἴχεσθαι τὸν τῆς δικαιοσύνης ἐπιμελητὴν καὶ ἐπώνυμον, καὶ Ἀριστείδην γε λοιπὸν τὴν αἰτίαν ἀκηκοότα, δι' ἣν ἀξιοῦται τοῦ ὀστρακισμοῦ, μηδὲν ἀντειπόντα, μηδὲ πολλοῖς ἐπιδεδειγμένον, ἃ κατήκησεν [17]), ἐγγράψαι τε τὸ οἰκεῖον ὄνομα, καὶ αὖθις ἀντιδοῦναι πρὸς τὸν ἐχθρὸν τῆς δικαιοσύνης ἐκεῖνον καὶ ἀμαθῆ, καὶ ἀγροῖκον πολίτην· καὶ μέντοι καταριθμηθέντων ἔπειθ' ὕστερον τῶν ἐν τοῖς ὀστράκοις καταγεγραμμένων ἐν πλείοσιν αὐτὸν Ἀριστείδην εὑρεθέντα καταγεγραμμένον, κομιδῇ πλείστων, ὡς ἔοικεν, ὄντων τῶν [18]) Ἀθήνησι μισούντων τὰ δίκαια, καὶ κατὰ τὸν ἀγρότην ἐκεῖνον καὶ σκαιὸν ἄνδρα ἀποτρεπομένων τὸν μετὰ δικαιοσύνης Ἀριστείδην ἰσχύοντα, τῇ ὑστεραίᾳ τῆς πατρίδος ὀστρακίζεσθαι καὶ φεύγειν ἐπὶ ῥητοῖς ὡς νόμιμον εἰς ἔτη δέκα. Οὕτω δὴ πολὺ ῥᾷστ' ἔκτροπον καὶ κράτιστόν ἐστι δῆμος ἀλογίστως φερόμενος ἐπ' ὀλέθρῳ [19]) τοῦ λυσιτελοῦντος καὶ τῆς ἀρετῆς, καὶ τῶν εὐγενῶν ἀνδρῶν, καὶ οὐ μόνον κατα τὸν τραγικὸν Εὐριπίδην [20]), δεινὸν τὸ πλῆθος ξὺν δόλῳ τε δύσμαχον, ἀλλ' ἄρα καὶ ἀδείας πάσης εἰλημμένον καὶ ἐλευθερίας, καὶ μηδὲν ἧττον ἢ ξὺν δόλῳ [21]), ἀναιδείᾳ καὶ

---

17) κατήκησεν, C. Mon. κατοίκησεν: C. Paris. Reg. κατήκουσεν. In Cod. Paris. Germ. hic locus deest.

18) τῶν, in Cdd. Mon. et Aug. ab ὄντων absorptum est.

19) ἐπ' ὀλέθ. C. Mon. ἀπ' ὀλέθρῳ.

20) Εὐριπίδην, Hecub. v. 884.

21) δόλῳ, C. Mon. δούλῳ, inepte.

θράσει δύςμαχόν ἐστι καὶ ἄμαχον μᾶλλον καὶ ἀνύποιστον, καὶ πρός γε μὴν δυςάγωγον πάνυ τοι βελτίστοις καὶ σωφρονικοῖς λογισμοῖς. Καὶ δοκεῖ μὲν τὸ τῶν νόμων καθεστὼς ἐν δημοκρατίᾳ τὴν ἰσονομίαν καὶ τὴν κοινὴν ἐλευθεριότητα καὶ μετουσίαν ἁπάντων τοῦ πράττειν καθιστάνειν εἰς κοσμιότητα, καὶ πρόθυμον ἕκαστον συνειςφέροντας τῇ κοινῇ χρήσει καθάπερ διὰ πολλῶν χειρῶν συναίρεσθαι τοῖς κοινοῖς πράγμασι τὸ καθ' ἡδονὴν ἔχοντας εὖ μάλ' ἀνυσίμως τοῦ λυσιτελοῦντος διὰ τὴν ἀτυράννευτον ἰσοκληρίαν, καὶ τὴν ἁπάντων μετουσίαν πάσης εὐετηρίας καὶ εὐπραξίας, καὶ οὐ μᾶλλον τῶνδέ τινων τῶν προεχόντων καὶ προαριθμουμένων, ἢ τῶνδέ τινων τῶν ἐν δευτέροις ταττομένων, ἢ πολλοστῶν μάλιστ' ἀριθμεῖσθαι. Τὸ δὲ σφόδρά ἐστιν ἐπίνοσον [22]) τὸ τῆς δημοκρατίας, καὶ ῥᾷστ' εὔτροπον, ὡς εἴρηται, πρὸς ἀκρασίαν πᾶσαν καὶ ἀναίδειαν καὶ ἀκολασίαν καὶ τόλμαν, καὶ δύςχρηστον καὶ δυςμεταχείριστον εἰς ἑνοειδῆ τοῦ καλοῦ καὶ λυσιτελοῦντος ἕξιν, ἢ καὶ ὅλως γε εἰς ἑνοειδῆ καὶ ἀμερῆ [23]) καὶ ἀστασίαστον ἡντιναοῦν κατάστασιν, ἧς ἄνευ ἀδύνατον ὅλως ἐστὶν ἀνθρώποις πολίτευμα καὶ διοίκησιν ἀνεκτῶς ἔχουσαν ὁρᾶσθαι. Ὅπουγε κἀνταῦθα παρὰ τοῖς δημοτικοῖς καὶ κοινοῖς πολιτεύμασιν οὐκ ἔστιν ἄλλως τὰ πράγματα διοικεῖσθαι, καὶ οὐ λέγω

22) ἐπίνοσον, Bloch. p. 136. male: ἐπὶ νόσον.

23) ἀμερῆ, C. Mon. ἀμερεῖ.

βέλτιστ᾽ ἄγεσθαι, ἀλλὰ καὶ ὅλως ὁπηοῦν ἄγεσθαι ἄνευ ἡγεμόνων, ἄνευ δεσποτῶν ἐπὶ ῥητοῖς, καὶ ἀνδρῶν ἀρχικῶς ἐπιταττόντων ἄλλοις, καὶ τοὺς πολλοὺς ἐχόντων εὖ μάλα πειθομένους καὶ κατ᾽ ἐντολὰς ἐνεργούς. Οὐ γάρ ἐστιν, οὐκ ἔστιν ὅλως ἄνευ ἡγεμονίας ὑπὸ πολλῶν, ἢ πράγματ᾽ εἰρήνης, ἢ πράγματα μάχης ἐνεργεῖσθαι καθάπαξ, καὶ ἀνυσίμως ἔχειν. Ταῦτ᾽ ἄρα καὶ κάλλιστα [24]) δοκεῖ τῷ ὄντι πρὸς τὸν εἰπόντα· διὰ τί μὴ δημοκρατικοὺς τοὺς νόμους ὁ Λυκοῦργος ἐν Λακεδαιμονίᾳ [25]) καὶ τὴν πολιτείαν κατεστήσοιτο [26]); ὁ Λάκων ἀπαντῆσαι τῇ ἀπολογίᾳ· ὡς οὐδ᾽ ἄρα σοι βέλτιστ᾽ ἂν ἔχοι, οὐδ᾽ ἕλοιο [27]) ἂν ἐπ᾽ οἴκου δημοκρατίαν καταστήσασθαι. Βραχεῖα γάρ τις ἐστὶν ὡς ἀληθῶς πολιτεία ἡ κατ᾽ οἶκον διοίκησις, καὶ δεσπότης εἷς ἐστιν ἐπ᾽ αὐτῆς κατὰ τὸν ποιητικὸν λόγον [28]), ᾧ ἐπιπείθεται [29]) ἄλοχος, ἠδὲ [30]) παῖς, ἠδὲ θεράπων, ἠδὲ βοῦς ἀροτήρ· καὶ ὡς ἄρα τὸν ἀροτῆρα βοῦν φησὶν ὑπὸ τὴν ἐκείνου δεσποτείαν καὶ χρῆσιν συνεκδοχικῶς πᾶσαν ὑπηρετικὴν χρεί—

24) κάλλ. C. Mon. μάλιστα, sed in ora κάλλιστα.

25) ἐν Λακ. sic etiam Bloch, at C. Mon. ἐν Λακεδαίμονι.

26) κατεστήσ. Cdd. Mon. et Aug. κατεστήσατο. cf. Plut. in Lycurg. c. 19.

27) ἕλοιο, consonat Bloch, sed C. Mon. ἕλοι habet.

28) λόγον, C. Mon. omittit. Bloch. hic laudat Hesiod. ἔργ. v. 223. sed ibi haec non leguntur. Fortasse Theodor. innuit v. 405.

29) ἐπιπ. C. Mon. ἐπιπείθεσθαι. Bl. ἐπιπείθεται.

30) ἠδέ, C. Mon. ter ἡ δέ.

αν ἐνταῦθα συλλαμβάνει, καὶ ὑποτάττει τῷ πρώτῳ καὶ μόνῳ δεσπότῃ καὶ οἰκονόμῳ. Καὶ τοῦτ' ἀνάγκη πᾶσα, καὶ οὐδαμῶς λυσιτελήσει πολυαρχίαν ἐν οἰκίᾳ μιᾷ γίγνεσθαι, καὶ φθοροποιὸν ἄρα τοῦτο, ἔνθα ἂν γίγνοιτο, καὶ καθορῷτο, καὶ θεῖοι [νόμοι] [31]) λόγοι, καὶ πάντες ἀνθρώπινοι σοφοὶ λόγοι προδεικνύουσι τὴν πίστιν ἐξ αὐτῶν τῶν πραγμάτων ἀναμφήριστον [32]) ἔχοντες. Ταῦτ' ἄρα καὶ Ἀριστοτέλης ἐν τοῖς Πολιτικοῖς, καὶ Πλάτων πρὸ αὐτοῦ διὰ πάντων τῶν αὐτοῦ κάλλιστ' ἐπικαίρως φασὶν, ὡς ἄρα διώρισται φύσει τὸ δεσποτικὸν καὶ τὸ δοῦλον ἐν παντὶ τῷ βίῳ καὶ [33]) κατ' οἴκους, καὶ κατὰ πόλεις, καὶ κατὰ πάντ' ἀνθρώπων συστήματα, καὶ μηδὲν ἧττον κατ' αὐτόν τιν' ἕκαστον μόνον ζῶντ' ἄνθρωπον· καὶ γὰρ τῇ μὲν ψυχῇ τὸ ἡγεμονικὸν καὶ ἐπιτακτικὸν ἀποκεκλήρωται καὶ διώρισται τῇ φύσει, τῷ δὲ σώματι τὸ πείθεσθαι καὶ καθυπουργεῖν. Καὶ τοίνυν ἐπεὶ, καθὼς Ἀριστοτέλης αὐτὸς αὖθις φησὶ, βέλτιστ' ἂν ἕκαστ' ἔχοι τῶν φύσει γιγνομένων καὶ ὄντων ἐν τοῖς κατὰ φύσιν μένειν, καὶ τὸ προςῆκον ἀπαμβάνειν [34]) ἕκαστον, ἐκτρεπόμενα δὲ τῶν ὅρων

---

31) *νόμοι*, Cdd. Mon. et Aug. etiam Bl. omittunt. Videtur esse glossa et interpretatio voc. *λόγοι*, e margine in textum illata. Vucis inclusimus. Forsitan legi potest: *νόμοι καὶ λόγοι*, vt postea: *νόμοι καὶ δόγματα*.

32) *ἀναμφ.* C. Mon. male *ἀναφήριστον*.

33) *καὶ*, deest in C. Aug.

34) *ἀπαμβ.* mendose: Cdd. Aug. et Mon. recte *ἀπολαμβάνειν*.

τῆς φύσεως καὶ ἄλλως ἢ κατὰ τὰ νόμιμα [35]) ταύτης χρώμενα ῥᾶστ' αὐτόθεν εἰς φθορὰν ἥκει καὶ λύσιν ἕποιτ' ἄν. Εὖ γε δῆλον, ὅτι δὴ καὶ ἄνθρωπος ἐν τῇ κατ' αὐτὸν καὶ τὰ αὐτοῦ μέρη οἰκονομίαν καὶ αὐτουργίᾳ καὶ πολιτείᾳ γ', ὡς εἰπεῖν, εἰ μὲν κατὰ φύσιν [36]), καὶ κρατεῖ μὲν καὶ νομοθετεῖ κατ' ἐπιταγὴν ἡ ψυχὴ, καὶ τὰ λογικὰ ταύτης δίκαια, τὸ σῶμα δὲ μηδὲν ἀντιπράττον, μήδ' ἀντιβαίνον [37]) εὖ μάλα πείθεται, κάλλιστ' ἔχει τῷ παντὶ ζώῳ, καὶ οἴκοι πολιτείας εὐνομία τἀνθρώπῳ [38]). Εἰ δ' ἀνάπαλιν τὰ σωματικὰ μὲν ἡγεῖται καὶ αὐθέκαστα φέρεται, καὶ ὀρέξεις κρατοῦσι, καὶ τἄλογα τῆς ψυχῆς καὶ σώματι [39]) σύμμικτα κατεξανίσταται τῶν λογικῶν καὶ κρίσεις καὶ [40]) ἐξωθεῖται, καὶ νόμοι καὶ δόγματα τῶν βελτίστων, ὀχλοκρατία δ' ἀνθρώπων δεσπόζουσα, καὶ σωματικὴ χρῆσις καὶ κίνησις ἔμπληκτα φέρεται, πᾶσα ἀνάγκη φαῦλα συμπεραίνειν τὴν τοιαύτην κακοπολιτείαν, καὶ πρᾶγμα πάντων αἴσχιστον καὶ ἐπικινδυνότατον ὁρᾶσθαι. Ἀλλ' ὅπερ ὁ λόγος εἶχε, τὸ μὲν πλῆθος ἄνευ ἡγεμονικῆς

35) κατὰ τὰ νόμ. C. Mon. κατανόμημα.

36) κατὰ φύσιν — κρατεῖ, Cdd. Aug. et Mon. supplent sic: κατὰ φύσιν καὶ τοὺς φυσικοὺς ὅρους καὶ δεσμοὺς ἄγεται καὶ κρατεῖ.

37) ἀντιβαίνον, Cdd. Aug. et Mon. ἀντιβαῖνον.

38) τἀνθρ. Cdd. Aug. et Mon. τ' ἀνθρώπων.

39) σώματι, C. Mon. τῷ σώματι.

40) καὶ, abest a C. Aug.

τινὸς προνομίας οὐ πέφυκεν ὅλως ἐν πάσαις χρήσεσιν εὐγενοῦς καὶ ἡρμοσμένης τυγχάνειν ἕξεως, καὶ τὰ κοινὰ πολιτεύματα τῆς δημοκρατίας ἐπίνοσά τί ἐστι καὶ ῥοπὴν ἔχει πρὸς δυςχρηστίαν, καὶ παρατροπὴν ἀστείας καταστάσεως, κἂν εἰ μάλιστα νόμοις δή τισι καὶ δίκαις καὶ τιμαῖς καὶ εὐθύναις ὁρίζηται. Πάντων γὰρ ἴσα δυναμένων καὶ χρηστῶν καὶ μὴ, καὶ [41]) σωφρόνων τε καὶ ἀκολάστων, καὶ σοφῶν τε καὶ ἀβελτέρων, καὶ καθόλου γ' ἐρεῖν μηδὲν πλέον ἐχόντων τῶν βελτίστων, ἢ κατὰ τοὺς ἄλλους, τῶν δ' ἄρα πλειόνων ἀνθρώπων ἀποπεφυκότων, ὡς ὁρᾷν ἐστι, τῆς τοῦ ἀγαθοῦ μοίρας, εἰ μή τις ἂν εἴη προεδρία καὶ βία νόμιμος τοῖς βελτίστοις κατὰ τῶν πολλῶν, κάκιστ' ἂν ἐκ τοῦ προχείρου τὰ πράγματα μὴ μόνον τοῖς βελτίστοις, ἀλλὰ καὶ τοῖς ἐναντίοις καὶ τῷ παντὶ συστήματι τῆς πολιτείας ἐκείνης πᾶσα ἀνάγκη φέρεσθαι, καὶ πρὸς φθορὰν τελευτῶντα, καὶ οὐδὲν μήποτ' ὄφελος ἔσται [42]) τῆς νόσου ταύτης [43]) ἐπὶ τῶν κοινῶν κρατούσης οὐ πλοῦτος καὶ θησαυροὶ χρημάτων, οὐ στρατευμάτων πλήθη, οὐκ ἄνδρες ἀρεϊκοὶ, οὐ στρατηγῶν τέχναι [44]) καὶ γεννικὰ

---

41) καὶ, deest in C. Mon.

42) ἔσται, C. Mon. ἴσται: Aug. ἴστα, male.

43) ταύτης, Bloch. τοιαύτης p. 138. sed omittit ἀπὸ τῶν κοινῶν.

44) τέχναι, C. Reg. Paris. ap. Bl. τύχαι: praefert tamen is τέχναι.

λήματα [45]), οὐκ ἀρχῆς φθάσαντα μήκη, οὐ ναυμαχιῶν ἐμπειρίαι καὶ τέχναι, οὐ πάντα καιροῦ καὶ τύχης δῶρα, οὐ πάνθ' ὁμοῦ, οὐ τὰ πλείω τούτων ὁμοῦ καὶ κράτιστα, ἀλλ' ἐλέγχεται [46]) πάντα ταῦτα, καὶ οὐδ' ἡντινοῦν [47]) ὄνησιν φέρει κατισχυούσης τῆς νόσου, καὶ τῆς ἐκ τοῦ πολιτεύεσθαι κακῶς ἀκαιρίας. Καὶ πλεῖστ' ἔχομεν ἐκ παλαιῶν [48]) ἱστοριῶν ἐνταῦθα μαρτύρασθαι, καὶ πλεῖσθ' ὁρῶμεν νέα παραπλησίως ἔχοντα καὶ πολλὰς ἐπὶ τῆς Ἰταλίας πόλεις δημοκρατικῶς γε [49]) ἀγομένας ἐν κακοῖς οὔσας διὰ τὰ παρακολουθοῦντα ταῖς τοιαύταις πολιτείαις, ὡς εἴρηται, νοσήματα. Καὶ πολλὰς ἀποδείξεις καὶ πίστεις τούτου παρέχεται Γέννουα νῦν ἐκείνη διὰ τὴν ἄκρατον δημοκρατίαν καταστασιασθεῖσα καὶ κατατετμημένη φαύλοις πολίταις, καὶ πρὸς ἐσχάτοις [50]) οὖσα κινδύνοις, καὶ [51]) πανώλειαν ἀπειλοῦσι καὶ φθορὰν πάσης ἰατρικῆς τέχνης καὶ δυνάμεως ὑπερτέραν, πόλις ὀνόματος μεγίστου κατὰ πάσης τῆς οἰκουμένης σχεδὸν πλούτῳ καὶ χρήμασι καὶ ἀνδρῶν φρονήμασι μαχίμοις καὶ τόλμαις ἀκμάζουσα, καὶ

---

45) *λήματα*, C. Mon. et Bl. *λήμματα*. Alias, vt Bl. aduotat, dicuntur *γενναῖα φρονήματα*.

46) *ἀλλ' ἐλέγχ.* Bl. *καὶ ἐλέγχεται*: C. Mon. *ἀλλ' ἔχεται*: Aug. *ἀλλέγχεται*.

47) *οὐδ' ἡντ.* Bl. *οὐδεντινοῦν*, vitiose.

48) *ἐκ παλαιῶν*, Bl. *ἐκ πάλαι τῶν*.

49) *γε*, Bl. omittit.

50) *πρὸς ἐσχ.* Bl. *περὶ ἐσχάτοις*.

51) *καί*, Bl. mauult hic legere *οἱ* pro *καί*, temere.

θαλαττίοις ἔργοις οὐκ οἶδ' ὡς εἴ τις ἄλλη τοῖς νῦν γε τούτοις καθ' ἡμᾶς χρόνοις κρατοῦσα, καὶ κατ' ἀντιπάλων [52]) ἔργα θαύματος καὶ παραπλήσια τοῖς παλαιοῖς ἐκείνοις ἐπιδεδειγμένη· ἀλλ' ὅμως τῇ παρατρόπῳ δημοκρατίᾳ καὶ πάντων [53]) ἀλογίστῳ καὶ ἀορίστῳ [54]) καὶ ἀκαίρῳ φιλαυτίᾳ καὶ ἐλευθεριότητι πονήρως ἔχει [55]), καὶ δι' οἰκείας τῶν αὐτῆς ἑκάστων ἐπιθυμίας καὶ φιλαρχίας καὶ φιλονεικίας ἀχαλινώτους, καὶ ἀδαεῖς τε καὶ ἀδεεῖς [56]) τῶν ἐπὶ τῷ κοινῷ συμφέροντι νομίμων μάλιστα μὲν ἔχει πονήρως τὰ κοινὰ πράγματα. Ἔπειτ' ἰδίᾳ κάμνουσιν αἴσχιστα καὶ ἐπικινδυνότατα τῶν φαύλων [57]) οἱ χρηστοὶ, τῶν ἀτίμων οἱ προὔχοντες, τῶν πάντ' ἀμαθῶν καὶ κοινὰ καὶ [58]) ἴδια οἱ πάντα σοφοί τε [59]) καὶ δεξιοὶ, καὶ οὔτε πρὸς ἀλλήλους κοινωνίας ἔχουσι, συναλλάγματα καὶ συνθήματα βέβαια τοῖς ἀνθρωπίνοις καθόλου θεσμοῖς,

---

52) ἀντιπ. Bl. operarum vitio ἀντιπάλαι.

53) πάντων, cum Bl. sed C. Mon. πάντως.

54) καὶ ἀορίστῳ, omissum in C. Mon.

55) καὶ ἀκαίρῳ — πονήρως ἔχει, desiderantur in C. Aug.

56) ἀδαεῖς τε καὶ ἀδεεῖς, ita etiam C. Reg. Paris. ap. Bl. sed Bl. ipse modo ἀδαεῖς, non bene, nam auctor noster amat eiusmodi paronomasias.

57) φαύλων κ. τ. λ. *Iisdem fere verbis Xenophon (de rep. Ath. ab initio) licentiam popularem notat:* τοὺς πονηροὺς ἄμεινον πράττειν ἢ τοὺς χρηστούς. *Item:* τοὺς πένητας πλέον ἔχειν τῶν γενναίων καὶ τῶν πλουσίων. Bloch.

58) καὶ, omittunt Cdd. Aug. et Mon. Bloch vero seruat.

59) τε, Bl. non habet.

οὔτε πρὸς γείτονας, οὔτε πρὸς οὓς [60]) ἄλλους πράγματ᾽ ἔχουσι κοινὰ, καὶ χρείαν συμβιώσεως καὶ συμπράξεως.

ΚΕΦ. υιζ΄.

Περὶ ἀριστοκρατίας.

Ἀριστοκρατικῆς δ᾽ ἀμέλει πολιτείας καὶ διοικήσεως κὰκ μόνης αὐτῆς τῆς κλήσεως ὡς εὐθὺς ἀκοῦσαι πολὺ τὸ ἡδὺ καὶ σεμνὸν ἀπαντᾷ τοῖς ἀκούουσι, καί τινα παρέχον ἐντεῦθεν εὐελπιστίαν. Ἔστι δὲ καὶ ταῖς ἀληθείαις βέλτιον, ἐμοὶ δοκεῖν, τὸ χρῆμα καὶ λυσιτελέστερον τῷ βίῳ μάλιστ᾽ ἢ κατὰ τὴν δημοκρατίαν, ἐν ὀλίγοις γὰρ τῶν κατὰ χώραν πραγμάτων ὅλων γιγνομένων ῥᾷον ἐστὶ πάντως καὶ εὐποριστότερον καθόλου τῇ φύσει τυχεῖν ὀλίγων τῶν βελτίστων καὶ τῆς μετὰ τοῦ ἀγαθοῦ ἕξεως, καὶ κατὰ φύσιν καὶ κατ᾽ ἄσκησιν δή τινα, ἢ πάντων ὁμοῦ τυχεῖν, ἢ κατὰ φύσιν ἢ δι᾽ ἐπιμέλειαν αἱρέσεως καὶ μελέτην. Καὶ ὅλως γ᾽ ἐπεὶ κατὰ τὰς ἀποδείξεις τῆς φιλοσοφίας καὶ τῶν αὐτῆς ἐξαιρέτων ἐκείνων ἀνδρῶν, ᾗ [1]) προήρηται, κατὰ φύσιν διώρισται τὸ δεσποτικόν τε καὶ δοῦλον, καὶ οὐχ οἷόν τε πάντας δεσπόζειν οὐκ οἶδ᾽ ὧντινων, οὐδ᾽ ἀλλήλων ἐν μέρει καὶ ἀνάπαλιν εὖ γε δῆλον, ὡς ἐγγύτερον ἐστὶ τοῦ κατὰ φύσιν

---

60) οὓς, non exhibet Bl.

1) ᾗ, Cld. Aug. et Mon. ἧ.

καλοῦ οὐχ ἑνὶ μόνῳ, ἀλλὰ καὶ πλείοσιν, ἀριθμητοῖς δ' ὅμως ἀπονεῖμαι προςήκειν τὴν δεσποτικὴν ἕξιν, ἀλλ' οὐ παντὶ πλήθει καὶ πᾶσιν ἀνθρώποις, καὶ γὰρ ὥςπερ χορηγός τις ἡ φύσις, καὶ ἴσως ἐλευθέριος ἐβαθεῖ[2]) πλούτῳ τελειότητος εἴτουν εὐαρμοστίας εἰς τὸ καλὸν καὶ κατ' ἀνθρώπους ἡγεμονικόν. Εἰ δὲ βούλοιτό τις πόλεως ἄρα τινὸς καὶ χώρας ἰδιότης τὶς πεφυκυίας[3]) εὖ ἢ καὶ ὁπηοῦν ἠσκημένης πολλοῖς μὲν ἴσως ἀρκέσαι, καὶ πρὸς τὴν νομὴν ἱκανῶς ἔχειν ὀφθείη. Πᾶσί γε μὴν ἐπαρκεῖν καὶ διανέμειν ἐπίσης[4]) ἄφθονα καὶ ἀρτιουργὰ πρὸς τὴν χρείαν οὐκ ἂν ἔπειτά γ' ἐμοὶ δοκεῖν ἐξείη, καὶ πᾶσά γ' ἐνταῦθα χορηγοῦσα δύναμις κατὰ πᾶσαν ἀνάγκην ἐπιλείψαι ἂν τῆς ἀπειρίας καθόλου καὶ τῆς φύσεως τῶν ὄντων ἀποδεδειγμένης τῇ φιλοσοφίᾳ καὶ τῷ τεχνίτῃ τῆς φύσεως Ἀριστοτέλει παντάπασιν ἀλλοτρίας. Καὶ τοίνυν ἀριστεύοντες ἂν οἱ προειλεγμένοι τῶν ἄλλων, ὥςτε κρατεῖν τὰ νόμιμα, καὶ διοικεῖν τὰ πράγματα τῆς πόλεως, οὐκ ἀδύνατον δὲ τοῦτο τῇ φύσει, βραχύν τιν' ἀριθμὸν ἀνθρώπων ἀπὸ πολλῶν ἄλλων ἀναδεῖξαι προέχοντας, ἀριστεύοντες γοῦν ἐν τῷ πολιτεύεσθαι κάλλιστα δύναιντ' ἂν ἰθύνειν καὶ διοικεῖν τὰ κοινὰ κατ' ἐπιταγὴν τῶν ἄλλων, μηδὲν ἄλλο τῶν ἁπάντων ἔργον ἐχόντων ἢ πείθεσθαι καὶ

---

2) ἐβαθεῖ, rectius Cdd. Mon. et Aug. ἐν βαθεῖ.

3) πεφ. C. Mon. πεφυκυῖας.

4) ἐπίσης — χρείαν οὐκ ἂν, omnia desunt in C. Aug.

προσέχειν, οἷς ἂν κρίνωσι [5]). Καὶ πολύ γ' εὔδρομον καὶ καθάπαξ ἐῤῥαστωνευμένον [6]) οὕτω δὴ χρῆσθαι, καὶ τῆς γεωμετρικῆς ἀναλογίας κἀνταῦθα τὸ κράτος εὖ μάλ' ἐστὶ δείκνυσθαι τὸ ἴσον ἐν τῇ ἀνισότητι μᾶλλον ἐχούσης, καὶ τῷ τοὺς μὲν προέχειν, τοὺς δὲ τὰ δεύτερα φέρεσθαι· ὃ δὴ καὶ τῆς καθόλου προνοίας ἐπὶ πάντων ἔργον [7]) ἐστὶν ὁρᾷν κάλλιστόν τε καὶ ἄτρεπτον, ὅστις ἂν οἶμαι προσέχοι τὸν νοῦν τῇ κατὰ τὸν λόγον ξυμμετρίᾳ τῆς πάντων τῶν ὄντων χρήσεως, καὶ ὡς οὐδὲν μήποτ' ἐστὶν ὑγιαῖνον ταύτης ἄνευ τῆς πράξεως [8]) καὶ τῶν βαθμῶν καὶ μέτρων, οὐδὲ πεφυκὸς ὅλως κάλλιστ' ἔχειν, καὶ τυγχάνειν ἀγαθῆς ἕξεως πήχεσιν ἴσοις καταμετρουμένης ἑκάστοις τῆς τύχης τὲ καὶ τῶν ἐπιβαλλόντων ἔργων, κἂν εἰ ἄρα τοῖς γε πολιτικοῖς τούτοις καὶ βίᾳ τις ἑκάστοτε κατὰ χρείαν ἀπαντῆσαι [9]) κατὰ τῆς τῶν πολλῶν ἀμαθίας καὶ ἀναιδείας καὶ βασκανίας ἀντιπραττούσης ἐνίοτε τῷ παντὶ βέλτιον ἂν εἴη. Καὶ νόμοι φύσεως οὗτοι κρατοῦσι παντὶ τρόπῳ, καὶ ἑκόντων τὲ καὶ ἀκόντων τῶν πλείστων τὰ διαφέροντα σφίσι καὶ κατὰ χρείαν λυσιτελῆ νομίζειν τὲ καὶ δι' ἐπιμελείας ποιεῖσθαι τοὺς τὴν

5) κρίνωσι, abest a C. Mon.

6) ἐῤῥαστ. C. Mon. ἐῤῥαστωνευμένου.

7) ἔργον, C. Aug. ἔργων.

8) πράξεως, super πρα scriptum τα. Cdd. Aug. et Mon. τάξεως habentes confirmant hanc emendationem.

9) ἀπαντ., C. Mon. ἀπατῆσαι: in ora γρ. ἀπαντῆσαι.

ἡγεμονικὴν προνομίαν ἀριστίνδην λαχόντας. Ὥςπερ ἄρα καὶ νοῦς ἐπέχει καὶ λογισμοὶ σώφρονες ἐν τῷ αὐτῷ μὲν, μὴ μονομερεῖ δὲ ζώῳ τῷ ἀνθρώπῳ τὰς ἐκτρόπους καὶ ἀλογίστους καὶ ἐπιζημίους ὁρμὰς τοῦ σώματος καὶ οὐ παντάπασιν ἡδέως ἐπέχει, ἀλλὰ καὶ ἀηδῶς μάλιστα τὰ πλεῖστα, καὶ κομιδῇ σὺν ἀλγηδόνι καὶ καμάτῳ τῆς σωματοειδοῦς χρήσεως, οὐ γὰρ τὸ ἐκ παντὸς ἡδὺ τέλος, ἀλλὰ τὸ ἐκ παντὸς καὶ ἡδέος καὶ ἀνιαροῦ, ὅπως ἂν τύχῃ καλῶς ἀνύσιμον τέλος τῆς εὐγενοῦς χρήσεως. Ταῦτ' ἄρα καὶ ἀριστοκρατείας ἐπαληθευούσης τὴν ἐπωνυμίαν καὶ ἀρίστων ἀνδρῶν, ὡς ἔφην, ἐπὶ τῶν κοινῶν ἡγουμένων καὶ διοικούντων αὐτῶν τὰ πράγματα διάθεσις ἂν εὐγενὴς εἴη τοῖς πολιτεύμασι, καὶ κοσμίως ἄγοιντ' ἂν οἱ τῆς χώρας ἐκείνης καὶ τῆς πόλεως τρόφιμοι, ὥςπερ ἐν σώματι τῶν ἀρχικῶν στοιχείων εὖ πεφυκότων [10]) πάντ' ἀνάγκη τὰ μέρη, καὶ κοινῇ τὸ ζῶον ἐν ἀγαθῇ βιοῦν ἕξει· εἰ δ' ἄρα νοσερῶς τὰ τῶν ἡγουμένων ἔχει, καὶ τοῦτο γὰρ πέφυκεν ἐνίοτε ξυμβαίνειν, ἀναρμοστία λοιπὸν ἐνταῦθα πᾶσα καὶ στάσεις ἕπονται τῇ ἐκτροπῇ τῶν προειλεγμένων ἐπὶ τῆς κοινῆς χρήσεως. Καὶ νῦν μὲν αὐτοὶ κατεξανίστανται τῶν πολλῶν ἄκαιρα καὶ ἄδικα φιλαρχοῦντες, νῦν δ' ἐπανίσταται σφίσι τὰ πλήθη, νῦν δὲ καὶ αὐτοὶ πρὸς ἀλλήλους στασιαστικῶς ἔχουσι, κἀκ πάντων τῶν τρόπων τούτων νόμοι καλῶς

10) στοιχ. εὖ πεφ. C. Mon. στοιχίων ἐνπεφυκότων.

ἴσως πόῤῥωθεν κρατοῦντες αὐτίκα τρέπονται [12]), καὶ πάντ' ἔῤῥειν ἕπεται καὶ κοινά τε καὶ ἴδια, τῶν γὰρ πρώτων ἀρχῶν καὶ ὑποθέσεων διεφθαρμένων [13]), ἀλλ' οὐκ ἐν τῷ καθεστῶτι καὶ δικαίῳ μετ' εὐεξίας διωρισμένων, ἐντεῦθεν κατὰ πᾶσαν ἀνάγκην πάνθ' ἑξῆς ἀναρμόστως ἕπεται, καὶ τελευτῶντα παντάπασιν αἴσχιστα καὶ ἐπικινδυνότατα συμπεραίνει. Καὶ τοῦτο δὴ μάλιστ' ἔξεστιν ἐκ τῶν πραγμάτων αὐτῶν [14]) ἐννοεῖν τε καὶ συλλογίζεσθαι· ἀτὰρ δὴ καὶ πολλάκις γενόμενον οὕτω δὴ φαύλως ἐκ τῶν ἱστοριῶν ἡμῖν ὁρᾶται κατὰ τοὺς παλαιοὺς χρόνους, ἐν αἷς δὴ πόλεσιν ἀριστοκρατική τις ἀγωγὴ νενόμιστο, τοὺς δ' ἐπιτρόπους τῶν πραγμάτων καὶ κληρουμένους ἐπὶ τῶν κοινῶν διοικήσεων ἐνίοτε, καθὼς ἐν πολλαῖς εἴθιστο, ἀπὸ τιμημάτων τῶν οὐσιῶν, ἀλλ' οὐκ ἀπὸ σοφίας τινὸς καὶ ἐμπειρίας καὶ τρόπων χρηστῶν ἐκ προλήψεως δή τινος ἦγον εἰς τὰ πράγματα. Καὶ δῆλόν γε οἶμαι, ὡς ξυνέβαινιν ἂν πολλάκις, ἀνθρώπους φαύλους καὶ χρημάτων μόνον ἐπιμελητὰς, καὶ πλεονεκτικοὺς καὶ ἀνικάνως τὲ καὶ ἀνοικείως ἔχοντας πρὸς τὸ τῶν πολλῶν ἄρχειν καὶ τὰ κοινὰ πράττειν, λυμαίνεσθαι καὶ διαφθείρειν τὴν ἀγαθὴν τῆς πολιτείας κατάστασιν. Καὶ τί γὰρ οὐκ ἂν ἦν ἐντεῦθεν ἕπεσθαι τῶν χαλεπῶν καὶ φθοροποιῶν;

---

12) τρέπονται, C. Mon. πρέπονται.

13) διεφθ. Cdd. Mon. et Aug. διεφθαρμένως.

14) αὐτῶν, abest a C. Mon.

καὶ πρὸ τῶν ἄλλων γε πάντως αὐτῶν τὲ τῶν διὰ πλοῦτον ἐνδόξων τῇ πόλει καὶ προεδρευόντων ἐπὶ τῶν κοινῶν πράξεων ἐπίδοσις εἰς τὸ τῆς τιμῆς αὐτοῖς αἴτιον, καὶ τοὺς περὶ τὸ πλουτεῖν φλέγοντας ἔρωτας, καὶ τὴν ἐκ παντὸς τρόπου προςθήκην οὐ τῆς οὐσίας μᾶλλον ἢ τοῦ κράτους, καὶ τῆς περιφανείας καὶ τῆς λαμπρότητος. Καὶ μὴν ἐκ τούτων τὰ εἰκόθ' ἑξῆς ἑτοιμότης εἰς ἁρπαγὰς κοινῶν καὶ δημοσίων προςόδων τὲ καὶ χρημάτων καὶ ἰδιωτικῶν βίων, καὶ δυναστείας ἀνυποστόλους, καὶ συκοφαντίας ἐπὶ τὸ τἀλλότρι' ἀφαιρεῖσθαι, καὶ τῶν ἄλλων κατὰ τὸ εἰκὸς, καὶ πολύ γ' εὔλογον ζῆλος τὲ λοιπὸν καὶ ἅμιλλα πρὸς τὰ παραπλήσια καὶ τὰς τῆς εὐδαιμονίας καὶ εὐετηρίας [15]) ταύτας ἀφορμὰς ὑπὸ τοῦ χρηματίζεσθαι καὶ πλεονεκτεῖν τῷ πλούτῳ· ἐντεῦθεν βασκανίαι, ἐντεῦθεν κακοῤῥαφίαι [16]), καὶ πάντες ἐπιβουλῆς τρόποι, καὶ φονικαὶ κατ' ἀλλήλων χεῖρες καὶ φορὰ στάσεων, καὶ συστήματ' ἐπάλληλα, καὶ κατὰ μέρη φθοραὶ καὶ κίνδυνοι, καὶ οἷς πᾶσα ἀνάγκη καὶ τὰ κοινὰ καὶ τὸ πᾶν καθόλου συμφθείρεσθαι, καὶ κατὰ τῶν προεχόντων φθόνοι. Ταῦτα δημιουργοῦντες παρὰ τῶν ἐλαττόνων καὶ κατὰ τῶν λειπομένων τῇ τύχῃ, καὶ ὑστεριζόντων τοῖς πράγμασι τῶν ἐν πλούτῳ καὶ περιφανείᾳ φυσών-

---

15) εὐετηρ. in contextu C. Mon. omissum margini affixum exhibet.

16) κακοῤ. Cdd. Mon. et Aug. κακοραφίαι.

των[17]), *ὑπ' αὐτῶν δὴ τούτων ὕβρις ἐξαπτομένη, καὶ ἀλογεῖται τὰ κοινὰ δίκαια καὶ τὰ κοινὰ χρήσιμά τε καὶ βέλτιστα, καὶ ἀλογεῖται διὰ τὰς ἐνίων χρείας καὶ ἀμέτρους ἐπιθυμίας, καὶ τὰ ἰδίως τισὶ διαφέροντα, καὶ ἃ μήδ' ἔστι, μήδ' αὐτὰ μένειν, ἀλλὰ τοῖς κοινοῖς συναπόλλυσθαι. Τοιαῦτα δὴ καὶ πόλλ' ἕτερα παραπλήσια καὶ τὰ ἐν τοῖς ἀριστοκρατικοῖς πολιτεύμασιν ἐνίοτε ἐπιγιγνόμενα χαλεπὰ, κἂν, εἰ τῷ ὄντι πολὺ βέλτιον ἔχει, καθόλου μένει ἐν τῷ καθεστῶτι καὶ διοικεῖσθαι καλῶς*[18]), *ἢ κατὰ δημοκρατίαν, νοσεῖ γε ὅμως καὶ πέφυκεν, ὥςτε ἐκτρέπεσθαι πρὸς τὰ φαῦλα, ὅτι δὴ καὶ καθάπαξ τἀνθρώπινα μὲν πάντ' ἐπίνοσα, μάλιστα δ' ὅτι κἀνταῦθα τῶν πραγμάτων ἐν πολλοῖς, εἰ καὶ μὴ ἐν πᾶσι, γιγνομένων, οὐ ῥᾴδιον πολλοὺς ἄρα τῆς*[19]) *ἀμείνονος ἕξεως εἶναι, καὶ μάλιστ' εὐαγώγους καὶ δεξιοὺς πρὸς τὴν εὐγενῆ διάθεσιν καὶ χρῆσιν, ἀλλὰ τοὺς μὲν ἴσως*[20]), *τοὺς δ' οὒ, καὶ τοὺς μὲν μᾶλλον, τοὺς δ' ἧττον, τοὺς δὲ καὶ καθάπαξ ἀποπεφυκότας καὶ πρὸς ὕβριν ὀλισθηρῶς ἔχοντας καὶ τυραννίδος ἔρωτας. Καὶ φθόνοι καὶ στάσεις αὐτόθεν λοιπὸν ἕπονται τῷ ἀσυμφώνῳ καὶ τὴν ἀρχὴν ἐξ ὀλίγου ῥοπὴν ἐπὶ τὰ χείρω λαβόντα τὰ πράγ-*

---

17) *φυσώντων*, C. Mon. *φυσσόντων*, Aug. *φυσσώντων*. sic et all. locc.

18) *καλῶς*, deest in C. Aug.

19) *τῆς*, omittit C. Mon.

20) *μὲν ἴσως* vsque ad *μὲν μᾶλλον* desiderantur in C. Mon.

ματα ῥᾷστ᾽ ἔπειτα πρόεισιν εἰς λύσιν τῆς ἡρμοσμένης καταστάσεως καὶ νομίμου, καὶ ᾗ διὰ δίδοται τὸ νόσημα παρὰ τὸ μέρος εἰς πᾶν τὸ τῆς πολιτικῆς ἕξεως, ὥςπερ ἐν σώματι σύστημα καὶ κοινὴ πάντων ἡ τοῦ προςήκοντος ἐκτροπὴ καθορᾶται, καὶ πάντ᾽ ἀλλάττει καὶ μεταποιεῖ τῆς καλῶς νομισθείσης ἀγωγῆς παρὰ φύσιν, ὡς εἰπεῖν, εἰς λύσιν καὶ φθορὰν διὰ κινδύνων ἀλγεινοτάτην, ἢ στασιάζειν πρὸς ἀλλήλους. Οἱ τοῖς κοινοῖς ἐφεστῶτες ἐκεῖθεν ἀρξάμενοι πολλῶν δεινῶν ἑαυτοῖς καὶ τῷ παντὶ τῆς πατρίδος αἴτιοι [21]) γίγνονται, καὶ τελευτῶντες αὖθις ἐσχάτης φθορᾶς ἀντὶ σωτήρων καὶ σωτηρίας ἐπιτρόπων καὶ ἀσφαλείας ἀπὸ πάντων δεινῶν τῷ γένει καὶ τῇ τῶν πολλῶν ἀμαθίᾳ καταστάντες ἀλιτήριοι κατ᾽ αὐτῶν, καὶ ὥςπερ πῦρ ἀνάψαντες χειροποίητον ἐπίτηδες αὐτοὶ κατ᾽ ἐξωλείας ἑαυτῶν καὶ πάντων οἰκείων, οὓς ἐπιστεύθησαν.

ΚΕΦ. νιή.

Περὶ βασιλείας.

Βασιλικῆς δὲ μοναρχίας ἐννόμως ἐπιστατούσης καὶ πατρικῶς μὲν, ἐπιτακτικῶς δὲ καὶ ἀνευθύνως κατὰ πᾶν τὸ δοκοῦν βέλτιστον τὰ πράγματα διοικούσης, εὖ μάλα ξυνεπομένων καὶ πειθομένων [1]) τῶν πολλῶν, ἄμεινον ἂν εἴη κο-

21) αἴτιοι, Cdd. Aug. et Mon. αἴτιον.

1) καὶ πειθομ. C. Mon. omittit.

μιδῇ καὶ τῷ παντὶ λυσιτελέστερον καὶ ἰδί' ἑκάστοις, ἢ κατὰ τὰς ἄλλας πολιτείας ἁπάσας, αἳ κατ' ἀνθρώπους ὁρῶνται. Καὶ πολλή τις ἐλπὶς ἐνταῦθα βιώσεως εὐδαίμονος καὶ μετουσίας ἑκάστῳ τῆς προσηκούσης αὐτουργίας, καὶ ὡς ἄρα δέοι ἂν εὖ φέρεσθαι, καὶ βιοτεύειν ἐν εὐετηρίᾳ· καὶ ῥᾶον γὰρ πολὺ τυχεῖν ἑνὸς πεφυκότος εὐγενῶς καὶ κατὰ γνώμην καὶ κατ' ἦθος, καὶ ἅμα κάλλιστ' εὐαγώγου[2]*) ταῖς κατὰ τὸν βίον ἐμπειρίαις καὶ μελέταις καὶ ἀσκήσεσιν, ἢ πολλῶν ὁμοῦ τῆς αὐτῆς ἐπαινετῆς ἕξεως. Καὶ μὴν ἔτι μάλιστ' ἂν ἑνὶ χώραν ἔχοιεν ἴσως καὶ κράτος ἀνύσιμον καὶ θεῖοι καθ' ἡμᾶς νόμοι τῆς χριστιανικῆς θεοσεβείας, καὶ τὰ θεῖα καὶ τἀνθρώπινα πανσόφως ἐχούσης, καὶ πολιτικὰ παλαιὰ ξὺν τούτοις καὶ ἀρχαῖα*[3]*) νόμιμα, καὶ λόγοι σοφῶν παλαιοί τε καὶ νέοι ἐπὶ τῶν ἀνθρωπίνων πραγμάτων εὖ μάλα ξυνορῶντες καὶ διαιροῦντες καὶ διανέμοντες τὰ πᾶσι καὶ πράγμασι καὶ ἀνθρώποις διαφέροντα, καὶ τυγχάνοντες ἀμέλει κατὰ θεῖον ἐφ' ἑνὸς ἀνδρὸς τιμῆς καὶ ἐπιμελείας ῥᾶον ἢ ἐπὶ πολλῶν, ὅτι καὶ ῥᾶον, ὡς ἔφην, ἑνὸς τυχεῖν ἐπιμελοῦς εἰς τἀγαθὸν, ἢ πολλῶν ὁμοῦ, δι' ἑνὸς ἀνδρὸς ἱκανῶς ἐπὶ πάντων εἶεν ἂν χρήσιμοι, καὶ ἃ μὴ διὰ πολλῶν δι' ἑνὸς αὐτοκρατορικῶς ἄγοντος δύναιντ' ἂν κατὰ καιρὸν ἐπὶ πολλῶν καὶ πάντων γε ἴσως ἀνύτειν,*

---

2) *εὐαγ.* Cdd. Mon. et Aug. *εὐαγώγου.*

3) *ἀρχ.* C. Mon. *ἀρχαῖοι.*

καὶ δύναιντ' ἂν ἀνθρώπων πλήθη τῆς ἐκεῖθεν παρασκευῆς ἑνὸς ἀνδρὸς ἡγεμονικοῦ ῥᾷστά τε καὶ ἥδιστα ἢ διὰ πολλῶν κινούμενοι, καὶ πολλῶν ἴσως οὐ τῶν αὐτῶν, ἀλλὰ στασιαζόντων ταῖς γνώμαις τε καὶ τοῖς τρόποις, καὶ ἄλλων πρὸς ἄλλα καὶ ὑπεναντία ἐνίοτε μεριζομένων, καὶ μεριζόντων καὶ ἀνθελκόντων, οὓς ἀξιοῦσι σφίσι προσέχειν. Ἀλλὰ μὴν [4]) καὶ τοῖς πειθομένοις αὐτοῖς ἑνὶ ῥᾷον ἢ πολλοῖς πείθεσθαι, καὶ καθ' ἕνα τινὰ κανόνα [5]) γνώμης ἄρ' οἶμαι καὶ ἀγωγῆς δύναιντ' ἂν ἑαυτοὺς ἰθύνειν καὶ κατορθοῦν ὁμόλογα, πρὸς πολλοὺς δ' οὐκέτι, οὐδ' ὑπὸ πολλῶν τυποῦσθαι, οὐδὲ πολλὰ μεταλαμβάνειν καὶ παντοῖα, καὶ διάφορ' ἴσως ἐνίοτε κατὰ τῆς ψυχῆς εἴδη καὶ ἤθη, καὶ ὥςπερ βαφὰς καὶ χρώματα βιοτῆς καὶ σχήματα. Καὶ ἀλλήλοις μὲν παραβάλλεσθαι πρὸς εὐπείθειαν ἡγεμόνος ἀνδρὸς ἐξαιρέτου πρὸς τὸ ἄρχειν κλήρῳ τινὶ καὶ τακτοῖς ὅροις προέχοντος, καὶ δικαιώσει πάλαι κρατούσῃ, καὶ φιλοτιμεῖσθαι βέλτιον ἄλλος ἄλλου καὶ οἰκειότερον ὀφθῆναι χρώμενος, καὶ ἀπαντᾷν κατὰ χρείαν τῷ δεσπόζοντι κατα φύσιν, ὡς ἐρεῖν, εὖ μάλα καιρὸν ἔχει, τὸ δ' ἁμιλλᾶσθαι πρὸς ἀλλήλους ὑπὲρ ἀρχῆς καὶ τοῦ πρωτεύειν αὐτὸς ἕκαστος ἐν κοινοῖς πράγμασιν, ὡς ἄρ' ἅπαντες πεφύκασιν ἄνθρωποι, καὶ σχεδὸν οὐδεὶς ὅςτις οὔ. Πάνυ τοι τοῦτ'

---

4) μὴν, Cdd. Aug. et Mon. μή.

5) κανόνα, C. Mon. καὶ κανόνα.

ἐργῶδες καὶ στασιῶδες, καὶ παντοίων ὑπαίτιον κινδύνων καθ' ἑαυτῶν κατὰ τῶν κοινῶν πραγμάτων καὶ τῆς κοινῆς ἀγαθῆς ἕξεως. Καὶ μὴν οὐδ' ἐστὶ τοῖς βελτίοσι καὶ ὁτιοῦν τῶν ἄλλων προέχουσιν οὐδὲν μήποτε πλέον ἔχειν, οὐκ ὄντος τοῦ καλῶς ἐπιστατοῦντος καὶ κρίνοντος, καὶ ταῖς ἀρεταῖς ἑκάστων χρωμένου κατὰ πᾶν τὸ γιγνόμενον, ἀλλ' ἀνεπισκοπήτως [6]) τῆς βιώσεως ἑκάστων καὶ προκοπῆς καὶ δοκιμασίας ἀγομένης ἁπλῶς οὑτωσί πως ἐρεῖν καὶ ἀβασανίστως, ἐρημίᾳ πάσης ἐπιτροπικῆς δίκης σταθμωμένης τὰς ἑκάστων φορὰς καὶ τὸ πεφυκὸς τῆς γνώμης καὶ χρήσεως πλεῖστ' ἂν ἀνοικείως ἐνταῦθ' ἕποιτο, καὶ οὐδεμία δικαιώσεως ἐξέτασις ἀπλανὴς καὶ ἐπιγνωμοσύνη, ἐν δ' ἰῇ τιμῇ, κατὰ τὸ ποιητικὸν [7]), ἠμὲν κακὸς, ἠδὲ καὶ ἐσθλός· καὶ αὖθις, κάτθαν' ὁμῶς ὅ τ' ἀεργὸς ἀνὴρ, ὅ τε πολλα ἑωργώς [8]). Εἰ δ' ἄρα καὶ νοσερῶς ἔτ' ἔχει τὰ πράγματα, καὶ στάσις καὶ ὕβρις καὶ θράσος καὶ πᾶσ' ἀκαιρία καὶ ἀηδία καταθριαμβεύει τοῦ [9]) βίου καὶ τῆς πολιτείας ἐκείνης, καθὼς ἐν ταῖς δημοκρατίαις καὶ ὀλιγαρχίαις ὡς τα πολλὰ συμβαίνει, καὶ φθείρεται τὰ πολιτεύ-

---

6) ἀλλ' ἀνεπισκοπήτως vsque ad δοκιμασίας desiderantur in C. Aug.

7) ποιητικὸν, Hom. Il. ι', 319. et 320. ἐν δ' ἰῇ, Hom. ἐν δὲ ἰῇ. cf. Heyne. C. Ciz. male ἡμὲν et ἡδὲ pro ἠμὲν et ἠδὲ, et ὅτε iunctim pro ὅ τε.

8) ἑωργὼς, C. Mon. ἑωργός. Hom. ἐοργώς; olim etiam: ἑωργώς. cf. Heyne.

9) τοῦ, deest in C. Mon.

ματα, καὶ πλέον ἐστὶν ἐνίοτε τοῖς πονηροῖς καὶ φαύλοις ἢ τοῖς χρηστοῖς, καὶ οἷς εὐθύναι [10]) καὶ κολάσεις ὀφείλονται, εἰ δ' οὖν ἀπραξία καὶ περιφρόνησις προςήκει, δόξαι πολλάκις καὶ περιφανεῖς ἐπιγίγνονται τύχαι, καὶ κατορχοῦνται τῶν ἀστείων, καὶ κατὰ τὴν ποίησιν αὖθις ὁρᾶται τηνικαῦτα· ἐν γὰρ διχοστασίῃ κἄμμορος ἔτυχε τιμῆς καὶ πλέον τοῦ δικαίου καὶ σώφρονος φέρεται ἀνὴρ ἐπίτριπτος καὶ δυστυχὴς, καὶ πάσης αἰσχύνης καὶ ἀτιμίας ἄξιος, μὴ δίκης ἐπιτρεπευούσης [11]) τὰ πράγματα, καὶ κατὰ τοὺς τῆς ἀρετῆς βαθμοὺς καὶ λόγους τὸ εἰκὸς ἑκάστῳ καὶ διαφέρον ἀπονεμούσης ἅμα μὲν ἐργασίας, ἅμα δὲ τάξεως, ἅμα δὲ [12]) τιμῆς, ὃ πολλοῦ δεῖ ξυμβαίνειν ἡγεμόνος χρηστοῦ προστατεύοντος, καὶ βασιλικὴν κατὰ τὸν λόγον ἰόντος, καὶ βασιλικῶς ὄντως χρωμένου τοῖς πράγμασι καὶ νόμοις, μάλιστα μὲν θείοις καὶ ὄντως ἀρχικοῖς, ἔπειτα δὲ καὶ ἄλλοις, οἷς [13]) ἐκ μακροῦ νενόμισται τῇ μοναρχίᾳ κατὰ τὴν πολιτικὴν χρῆσιν, καὶ πάντα ξὺν λόγῳ καὶ τακτοῖς ὅροις ἀγομένου, καὶ τὸ ὑπ' αὐτὸν ἄγοντος· ὡς ἐντεῦθεν παροράσθαι μὲν τοὺς οὐδενὸς ἢ λόγου βραχέος ἀξίους, τιμῆς δὲ καὶ παῤῥησίας τοὺς τῆς ἀρετῆς ἐπιμελητὰς καὶ τῷ βίῳ χρησίμους τυγ-

---

10) εὐθύναι, C. Aug. εὐθῦναι.

11) ἐπιτρεπ. vt Cd. Aug. sed C. Mon. ἐπιτρεπούσης; forsitan: ἐπιτροπευούσης. Sic etiam C. Paris. Reg.

12) δὲ, C. Mon. δή.

13) οἷς, deest in C. Mon.

χάνειν καὶ πρὸς λόγον ἕκαστα, καὶ τοὺς μὲν μᾶλλον, τοὺς δ' ἧττον, καὶ τοὺς μὲν ἐν χαλινῷ δή τινι, καὶ μὴ καθάπαξ ἐρημίᾳ σωφρονισμοῦ τὸ κατ' αὐτοὺς ἀποδιδόναι χρήσιμον, καὶ τὰ γέρα λαμβάνειν ἐπὶ τούτῳ τῆς χρήσεως, καὶ οἷς ὄναιντ' ἂν εἰς τὸ βέλτιστον καὶ ἐπιδιδοῖεν[14]*, τοὺς δ' ἐλευθερίως πᾶν τὸ γιγνόμενον φέρειν εὐγενῶς καὶ προάγεσθαι ξὺν ἂν εἴη*[15]*) τὸν τρόπον τοῦτον ἀνδραγαθίας πάσης καὶ ἀρετῆς καὶ χρηστῶν ἠθῶν καὶ δραστικῆς εὐδοκιμήσεως περὶ τὸ πράττειν. Καὶ πάντων καλλίστων ἀνθρώποις ἀφορμὴ ἰδίᾳ τε εὖ εἶναι καὶ συντελεῖν εἰς τὸ κοινὸν, ἐφ' ὅσον οἷόν τ' ἂν εἴη, βασιλεύων*[16]*) ἀνὴρ ἐννόμως, καὶ κατ' ἐπιταγὴν ἀνευθύνως τὰ δίκαια νέμων ἑκάστοις τῶν ὑπὸ χεῖρα, καὶ καλῶν πράξεων ἀγωνοθέτης προκαθήμενος, καὶ τῶν εἰκότων ἐπάθλων ἐπὶ ταῖς πράξεσιν. Ὅπου γὰρ εὐδοκιμήσεως καὶ βελτιώσεως μέτρα καὶ σταθμοὶ καὶ βάσανος ἐπιμελὴς τῶν ἀξίων ἑκάστῳ, ὥςτε καταμετρεῖσθαι βασιλικοῖς, ὡς εἰπεῖν, πήχεσι τὰ μήκη καὶ τοὺς διαύλους καὶ τὴν εὐτονίαν τῆς ἀρετῆς, καὶ ζυγοῖς ἰσοῤῥόπου δίκης σταθμᾶσθαι τὰ βάρη τῆς εὐγενοῦς ἕξεως, ὡς ἐντεῦθεν καὶ πρῶτον ἀναδείκνυσθαι καὶ δεύτε-*

---

14) *ἐπιδιδ.* C. Aug. *ἐπιδιδοίεν.*

15) *ξὺν ἂν εἴη*, Cdd. Mon. Aug. et Paris. Germ. *ξυνεδοῖ πάσῃ τῶν ἄλλων, ὅςτε καὶ παράκλησις ἂν εἴη.* Legendum videtur *ξὺν αἰδοῖ* pro *ξυνεδοῖ.* Firmat hanc coniecturam C. Paris. Reg. auctore Boissonade.

16) *βασιλ.* C. Mon. *βασιλέων.*

ρον, ἔπειτα καὶ τρίτον καὶ καθεξῆς ἀριθμούμενον. Καὶ οὐ πάντες εἰσὶ πρῶτοι καὶ πάντες [17]) ἔσχατοι, εἴτουν ἴσοι τὴν χρῆσιν, καὶ οὐδὲν μᾶλλον ὁ βελτίων τὴν ἕξιν καὶ γενικώτερος [18]) τοῦ μὴ τοιούτου, οὐδὲ τὰ δεύτερα φέρεται καὶ τιμῆς ἀτυχεῖ [19]) ὁ τῷ βίῳ μηδὲν χρήσιμος τῶν εὐγενῶν καὶ ἀστείων, ὡς ἄρα δὴ τοῦτο πέφυκε ξυμβαίνειν, καὶ ὁρῶμεν νῦν τε παρα πλείσταις πόλεσι, καὶ μανθάνομεν ἐκ τῶν ἄνωθεν ἱστοριῶν καὶ παλαιῶν συντάξεων ἐν τοῖς κοινοῖς πολιτεύμασι καὶ τοῖς ἰσονομουμένοις κατὰ πολλῶν ἀνθρώπων συνθήμασι τῆς συμβιώσεως. Πῶς οὐκ ἀνάγκη πᾶσα μέγαν ἀγῶνα καὶ ζῆλον εἰς τὸ καλὸν καὶ τὴν προκοπὴν ἑαυτῶν, καὶ τὴν ὠφέλειαν τῶν κοινῶν καὶ τοῦ βίου, ἐνταῦθα φαίη τὶς ἄν, καὶ τὴν ἀγαθὴν καθ' Ἡσίοδον βροτοῖς ἔριν πρὸς τὰς ἀγαθοεργίας ἐπαίρειν, καὶ τὴν ἅμιλλαν τῆς εὐγενείας, καὶ τὸν πόθον τῆς ξυμμετρουμένης πρὸς λόγον εὐτυχίας καὶ λαμπρότητος, καὶ τῶν ἔργων ἐπικαρπίας, καὶ τῆς δυνάμεως, καί, ὡς ἔπος ἐρεῖν, πάντων καλῶν φιλοτιμίαν ἀνάπτεσθαι; τίς γὰρ ἂν εἴη φιλοτιμία τινὶ τῶν ἁπάντων περὶ ὁτουοῦν τῶν ἐπαινετῶν πράγματος, ἔνθα μηδ' ὁτιοῦν ὄφελος ἔσται τῷ κτησαμένῳ τἀγαθόν; μηδὲ πλέον ἕξει τῶν μηδένα ποιουμένων [20]) περὶ

17) εἰσὶ πρῶτοι, καὶ πάντες, desunt in C. Mon.

18) γενικ. C. Mon. γεννικώτερος.

19) ἀτυχ. C. Mon. ἀτυχεῖν.

20) ἕξει — ποιουμένων, Cdd. Aug. et Mon. ἕξει τῶν μηδὲν περὶ

αὐτοῦ ὁ περὶ αὐτὸ φροντίζων, ὁ κάλλιστα τυχων[21]) αὐτοῦ καὶ προκόπτων τὴν κατ' αὐτὸν σπουδὴν καὶ ἕξιν. Ὁ περὶ τὰς[22]) κοινοπολιτείας ἐστὶν, ἔνθα τὸ πάντων ἀδικώτατον, τοῦτο πάντων δοκεῖ κάλλιστον, ὁμοιότης πᾶσα πάντων ἐν τοῖς πράγμασι, καὶ μηδὲν εἶναι πλέον εἰς τιμὴν ἄλλῳ ἄλλου τῷ πάντα βελτίστῳ τοῦ πάντα[23]) φαύλου καὶ γνώμην καὶ πρᾶξιν καὶ ἦθος, καὶ πᾶσαν ἄλλην τοῦ βίου περιφανείας ἀφορμήν. Ἐν γὰρ δὴ ταῖς χώραις καὶ πόλεσι ταῖς μὴ μοναρχικῶς ἀγομέναις ἴσον τιμῆς ἀποφέρεται σκυτεὺς ἀνὴρ καὶ χαλκοτύπος καὶ κεραμεὺς καὶ οἰκοδόμος καὶ ναυπηγὸς, καὶ ἄλλος ὁστισοῦν βάναυσος καὶ κατὰ Κλέωνα καὶ καθ' Ὑπέρβολον καὶ κατὰ Λυκομήδην καὶ ὁντιναοῦν φαῦλον ἄνθρωπον καὶ βδελυρὸν[24]) ἢ στιγματίαν καὶ δυοῖν ὀβολοῖν ἄξιον, καὶ ὃς κατὰ Θεμιστοκλέα κράτιστός τις ἀνὴρ, καὶ κατὰ Περικλέα καὶ κατὰ Νικίαν καὶ κατ' Ἐπαμεινώνδαν καὶ Πελοπίδαν, καὶ ἄλλους, ὧν μέγα τοῖς πράγμασιν ὄφελος, καὶ οὓς ἔδει πολλῶν, εἴπερ ἐξῆν, χρημάτων πρίασθαι πολυμήκεις εἰς τὸν βίον τῇ ζωῇ. Ταῦτά γε μὴν ἐν τῇ μοναρχικῇ διοικήσει βασιλέως, ἀνδρὸς ἀγαθοῦ καὶ τῆς ἀρχῆς

αὐτοπονησάντων, καὶ λόγον (Aug. εὔλογον) μηδένα ποιουμένων.

21) τυχὼν, C. Aug. τυχόν.

22) τὰς, abest a C. Aug.

23) βελτ. τοῦ πάντα, C. Mon. non habet.

24) βδελ. Cdd. Aug. et Mon. constanter βδελλυρόν.

ἀξίου, μάλιστα χώραν ἔχει, καὶ πολλὴν ὡς ἀληθῶς τὴν τιμὴν ἡ τῆς ἀρετῆς ἐπίδειξις καὶ τὸ κράτος καὶ τὸ χρήσιμον τῆς ἀμείνονος ἕξεως. Καὶ πλέον ἐστὶ φέρεσθαι τὸν πλείονος ἄξιον καὶ ἧττον τὸν ἥττονος καὶ μέτρα καὶ σταθμοὺς εἶναι δόξης καὶ περιφανείας μετὰ βασάνου καὶ κρίσεως πᾶν τὸ γιγνόμενον καὶ προςῆκον ἀποδιδούσης, ὡς οὐδὲν ἄρα μήποτ' ἀδικώτατον εἴη καὶ ἀναρμοστότατον [25]), ἢ τὸ διὰ πάντων ἴσον ἐν τῷ βίῳ καὶ ἡ ὁμοιότης καὶ ἡ ὁμοτιμία, καὶ τὸ μήδ' ὁτιοῦν ἐναλλάττον κατ' ἀνθρώπους καὶ διάφορον. Καὶ ὥςπερ οὐδ' ἐν τοῖς μουσικοῖς ὀργάνοις οὐ πέφυκεν ἁρμονίαν εἶναί τινα καὶ συμφωνίαν καὶ σύστημα ἐμμελὲς ὁμοφώνων ὄντων πάντων τῶν ἐν ταῖς χορδαῖς φθόγγων [26]) ἴσην ἐχούσαις τὴν τάσιν, καὶ ταὐτὸ συνηχούσαις καὶ ὅμοιον τοῖς μήκεσι τῶν φωνῶν, ἀλλὰ δεῖ πάντως, εἰ μὴ μέλλοι γελοῖον εἶναι, κατὰ τομῆς κανονικὰ τοὺς ἁρμονικοὺς εἰπεῖν, διαίρεσιν εἶναι πρὸς λόγον τῶν ἐν τοῖς ὀργάνοις φθόγγων καὶ χορδῶν ἐκ βαρυτέρων εἰς ὀξυτέρους, ἢ ἀνάπαλιν, καὶ τὴν ἐναντίωσιν τῶν φθόγγων μὴ παντάπασιν εὐθὺς καὶ ἀθρόαν εἰς τὸ μακρότατον εἶναι ἐκ τοῦ βαρυτάτου δηλαδὴ πρὸς τὸ ὀξύτατον, ἀλλὰ κατ' ὀλίγον ἑξῆς καὶ κατὰ λόγον τοὺς φθόγγους ἀνίεσθαι, ἢ ἐπιτείνεσθαι ἀπ' ἄκρων εἰς ἄκρα· οὕτω μέν τ' ἂν εὖ μάλα καὶ ἁρμο-

---

25) ἀναρμ. C. Mon. ἀναρμόστατον.

26) φθόγγ. hic et postea C. Aug. φόγγων.

νίας σύστημα γένοιτο, καὶ μέλους διάθεσις σύμφωνος καὶ κάλλιστ' ἀνύσιμος κατὰ χρείαν ἑκάστοτε, καὶ οὐκ ἄλλως οὐδ' ἐξ ὁμοφώνων, ὡς ἔφην, καὶ ὅμοιον ἠχούντων τῶν φθόγγων μέλους ἡτιςοῦν διοίκησις, ἀλλ' ἀναρμοστία μᾶλλον καὶ ἀηδία [27] τὸ πᾶν τοὖθ' ὁμόφωνον. Τὸν αὐτὸν ἄρα ὡς ἀληθῶς τρόπον οὐδὲν ἀνθρώποις ἔσται συμβιώσεως ἁρμονία καὶ συμφωνία κοινωνικὴ, καὶ ἐμμελῶς καὶ μουσικῶς ἔχουσα πολιτεία, ὅτι μὴ ἐκ διαφόρων κατὰ λόγον διῃρημένη καὶ κατατετμημένη βαθμοῖς οἰκείοις τῶν ἕξεων. Ἁρμονία γάρ τις ἐστὶ τῷ ὄντι καὶ τὸ πολιτικὸν σύνθημά τε καὶ σύστημα καὶ σύνταγμα, καὶ ἐκ διαφόρων τῶν εἰδῶν συγκροτεῖται, καὶ εἰς ἓν συνάγεται καὶ διοικεῖται καὶ συντίθεται· καὶ πολιτείαν γὰρ οἱ φιλοσοφίᾳ [28] καὶ οἱ ταύτης ἐξαίρετοι ὡς ἕν τί ποτε θεωροῦσι καὶ ὁρίζονται τῷ ἐκ πολλῶν καὶ διαφόρων συνδέσμων καὶ τῇ κοινωνίᾳ, ἀλλ' οὐχ ὡς ἓν τῷ ὁμοίῳ καὶ ταυτότητι, καὶ τῷ διὰ πάντων ὁμοφώνῳ τὲ καὶ ὁμοειδεῖ, ὅπου γε μηδὲ σῶμα καὶ ζῶον ἓν ἐξ ὁμοειδῶν τῶν μερῶν συνίσταται, καὶ τῆς αὐτῆς ἁπάντων κατὰ φύσιν ἕξεώς τε καὶ χρήσεως, ἓν γὰρ ὂν ὡς ὅλον καὶ συνεχὲς διαφόροις ὅμως ἥρμοσται πρὸς ἄλληλα πεφυκόσι, καὶ πρὸς τὸ ὅλον εὖ μέρεσί τε καὶ μέλεσιν, ὧν ἄλλο ἄλλου προέχει, καὶ ἀναγκαιότερόν ἐστι τῷ παντὶ καὶ

27) ἀηδία, Cdd. Aug. et Mon. modo ἡδία: fors. ἀεὶ ἡδία.

28) οἱ φιλοσοφίᾳ, sic omnes Cdd. sine dubio excidit hic aliquid, σπουδάζοντες, vt opinor, ἐπὶ τῇ φιλοσοφίᾳ.

τιμιώτερον, πάντα δ' ἀλλήλων ἐπίχρεια, καὶ τὸ ὅλον οὐσιοῖ καὶ συντίθησι κατὰ λόγον ἔχοντα, καὶ βαθμοῖς καὶ μέτροις ὁριζόμενα. Σκοπεῖν δ' ἂν ἀξιώσειέ τις εἰκότως, οἶμαι, μήποτ' ἄρα καὶ κατὰ καιρὸν νῦν ἴσως εἰκάζοιτο τὰ τῆς μοναρχικῆς εὐνομίας καὶ πολιτείας εὐγενδῦς κατ' ἄνθρωπον[29]) ἕκαστόν τινα, ἕνα γε μὴν ὅμως καὶ ζῶον ἓν ὁρώμενον, ὃν οὐσιοῖ μὲν καὶ τελειοποιοῖ διάφορ', ὡς εἴρηται, μόρια, τὰ μὲν κρείττονος τάξεως καὶ τιμιωτέρας, τὰ δὲ ἥττονος καὶ πολὺ λειπόμενα, πάντα δ' ἀλλήλοις καὶ τῷ παντὶ πεφυκότα καλῶς ἔχειν καὶ πρὸς εὐχρηστίαν ἡρμόσθαι. Τούτοις δ' ἅπασιν ἐπιστάτης καὶ βασιλεὺς ὁ νοῦς αὐτοκρατορικῶς κινῶν τὰ πάντα πρὸς τὰς ἑκάστοτε χρείας τακτοῖς ὅροις, καὶ τοῖς μὲν προνομίαν ἀποδιδοὺς, τοῖς δὲ τὰ δεύτερα τῆς χρήσεως, καὶ ἄλλῳ μετ' ἄλλο κατὰ λόγον ἑξῆς, καὶ οὐδὲν τῶν ἁπάντων οἰκειοῦται τἀλλότρια καὶ μὴ προσήκοντα, οὐδ' ὑπεράλλεται τοὺς δεσποτικοὺς τοῦ λογισμοῦ νόμους καὶ τἀπιτάγματα. Εἰ δ' ἄρ' ὀχλοκρατία τὶς ἐνταῦθα γένοιτο καὶ περιφρονηθείη τὰ νόμιμα τῆς τάξεως, καὶ πάνθ' ὡς ἔτυχεν αὐτονομούμενα καὶ ἀδέσποτα φέροιντο, νοσεῖ τὸ πᾶν ὁ ἄνθρωπος καὶ πονήρως ἔχει, καὶ λίαν ἐπικινδύνως[30]), τέλος χρηστὸν, οὐδ' ἀζήμιον, οὐδ' ἕποιτ' ἂν τῆς ἀναρχίας καὶ ὕβρεως ἄλλα συμ-

29) κατ' ἄνθρ. C. Mon. καὶ κατ' ἄνθρωπον.

30) ἐπικινδ. τέλος, Cdd. Aug. et Mon. sic: ἐπικινδύνως, καὶ οὐκ ἂν εἴη τῆς τοιαύτης ἕξεως τέλος.

περάσματα, ὅτι μὴ φθοροποιά. Καὶ ὁρῶμεν γὰρ τοῦτ' ἐπισυμβαῖνον [31]), καὶ νόσημα τοῦτο πολλάκις ἕπεται τῇ βασιλικῇ καὶ καλλίστῃ τῶν πολλῶν ἡγεμονίᾳ, οἷα δὴ καὶ ταῖς ἄλλαις τῶν πολιτειῶν, τῇ δημοκρατικῇ τε καὶ ἀριστοκρατικῇ πρότερον ἐλέγομεν ἕπεσθαι νοσήματα κατ' ἐκτροπὴν τῆς οἰκείας ἐν τῷ καθεστῶτι διαθέσεως. Καὶ τοίνυν οὐδὲν ἂν ὄφελος εἴη βασιλέως ἀνδρὸς ἀγαθοῦ μὴ τοὺς ὑπὸ χεῖρα πειθομένους ἔχοντος τοῖς αὐτοῦ δόγμασι, καὶ οἷς ἂν κατὰ χρείαν ἑκάστοτε κρίνοι. Τίς γὰρ ἂν ἰσχὺς εἴη, ἢ τίς ὄνησις, ὅταν νοῦς εὐγενὴς ἀνδρὸς ἐπιστατῇ καὶ προορᾷ τὰ βέλτιστα, καὶ προδεικνύων καὶ προαγορεύων τὴν βασιλικὴν ὄντως καὶ λυσιτελοῦσαν τοῖς ὑπ' αὐτὸν [32]) ὁδόν τε καὶ χρῆσιν, ἔπειτ' αὐτοὺς ἀντιστατοῦντας ἔχοι, καὶ πάντα τρόπον κολούοντας [33]) τὰς ἐπαινετὰς δοκιμασίας ἀνέδην τε καὶ κρύφα σὺν δόλῳ, καὶ πάντ' ἀντιπράττειν καθ' ἑαυτῶν αἱρουμένους καὶ φιλονεικοῦντας; Οὐδὲν ἂν ἀνὴρ ἐκεῖνος ἐν τούτοις ἐνεργὸς καὶ χρήσιμος μήποτε γένοιτο. Ὥςπερ οὐδὲ τεχνίτης ὁστιςοῦν ἢ τῶν βαναύσων ἢ τῶν βελτιόνων δύναιτ' ἂν τῶν οἰκείων τελεσιουργὸς εἶναι καὶ τῆς ἐξ αὐτοῦ συντελείας χορηγὸς εἰς τὸν βίον ἄνευ τῶν κατ'

---

31) ἐπισ. C. Mon. ἐπειςβαίνον.

32) ὑπ' αὐτὸν, C. Mon. ὑπ' αὐτήν.

33) κολ. Cdd. Aug. et Mon. κολύοντας, fortasse κωλύοντας: sed lectio κολούοντας non est sollicitanda.

αὐτὸν ὀργάνων, καὶ πάσης, ᾗ [34]) προςήκει τῇ τέχνῃ, παρασκευῆς [35]), καὶ βασιλεὺς ἐκτετραμμένων εἰς πᾶσαν ἀντίπραξιν [36]) καὶ ἀπείθειαν τῶν ὀφειλόντων οὐδὲν, ἀλλ' ἣ πάσῃ γνώμῃ καὶ ἐπιμελείᾳ προςέχειν ἐκείνῳ, καὶ ἠρτῆσθαι τῆς ἐκείνου χειραγωγίας καὶ ἡγεμονίας ἐν τοῖς πρακτέοις, καὶ ξυνέπεσθαι παντάπασιν ἀκλινῶς ὥςπερ τοῖς σώμασιν αἱ σκιαὶ, πάντ' ἀχρεῖος ἂν εἴη, καὶ οὐκ ἂν ὁτιοῦν ἔχοι δημιουργεῖν καὶ φέρειν εἰς τὸ κοινὸν τῶν αὐτῷ τε καὶ τοῖς ἄλλοις εὖ μάλ' ἀνυσίμων τε καὶ λυσιτελούντων· ὅμοιον, ὥςπερ οὐδὲ κυβερνήτης οὐδὲ νηὸς ἡγεμὼν πάντων τῶν ἐν αὐτῇ τἀναντία πραττόντων αὐτῷ καὶ μὴ πειθομένων, ἀλλὰ διαστρεφόντων τὴν τεχνικὴν [37]) καὶ ἡγεμονικὴν γνώμην αὐτῷ, δι' ἧς ἐστὶ κατασκοπὸν εὖ μάλα φέρεσθαι· τοῦτο τε καὶ μὴν ἔτι μάλισθ' ὁπότε δὴ ὁ μοναρχικὸς ἀνὴρ ἀντὶ τῆς ἐννόμου καὶ βασιλικῆς ἡγεμονίας τὸ ἀνεύθυνον κράτος ἀνεζωσμένος εἰς τυραννίδα μεταβαλὼν [38]) ὑβρίζων χρῆται, καὶ μήτε θείων μήτ' ἀνθρωπίνων [39]) νομίμων εὐλάβειαν ἔχων, ἀλογίστοις ὁρμαῖς ἔμπληκτος καταβακχεύει τῶν ὑπὸ χεῖρα, τὸ βούλημα τιθεὶς νόμον, καὶ πᾶσαν τὴν αὐτοῦ γνώμην ἀξιῶν τιμᾶσθαι,

---

34) ἣ, Cdd. Aug. et Mon. ᾗ.

35) παρασκ. C. Mon. παρασκευῇ.

36) εἰς π. ἀντίπρ. C. Aug. εἰς πᾶσ' ἀντίπραξιν.

37) τὴν τεχν. C. Mon. εἰς τὴν τεχνικήν.

38) μεταβαλ. Cdd. Aug. et Mon. μεταβάλλων.

39) ἀνθρ. C. Mon. ἀνθρωπίνην.

καὶ ἀνοηταίνοντι συνανοηταίνειν, καὶ ἀκολάστως βιοῦντι συνακολασταίνειν, καὶ μηδὲν ἄλλ' ὑπολογίζεσθαι, ἢ ὅπερ ἂν αὐτὸς νεύσῃ, εἴτε σοφὸν, εἴτ' ἀβέλτερον, εἴτε δίκαιον, εἴτε μή. Καὶ ζητεῖ μὲν αὐτὸς πᾶσαν ῥαστώνην καὶ ἡδονὴν ἑαυτῷ, ζητεῖν δὲ κρίνει πάντας ὁμοῦ σὺν αὐτῷ, καὶ κατεπείγεσθαι ταὐτὰ περὶ αὐτοῦ εἴτε βέλτιστα τῷ κοινῷ καὶ τοῖς πράγμασιν, εἴτε φθοροποιά. Καὶ τοῖς ἀρχομένοις καθάπαξ δυςπραγίας πάσης ἐντεῦθεν ἀφορμαὶ, καὶ τοῖς μὲν ἀγαθοῖς καὶ χρησίμοις αὐτῷ τε καὶ τῇ ἀρχῇ, καὶ, ὧν ὁτιοῦν ὄναιτ' ἂν, διαβέβληται, καὶ δύςνους μάλιστ' αὐτός ἐστι, τοῖς φαύλοις δὲ καὶ ὀλέθροις καὶ κόλαξι καὶ λωποδύταις καὶ τυμβωρύχοις τῶν καλῶν τῆς ἀρχῆς, καὶ προτρεπτικοῖς εἰς τὰς ὀρέξεις καὶ τὰς 40) ἐπιθυμίας αὐτῷ, καὶ πᾶσαν ὕβριν καὶ πᾶσαν ὀλιγωρίαν εὐσχήμονος ἀγωγῆς καὶ βίου καὶ ἀληθείας καὶ δίκης καὶ κόσμου παντὸς ἡγεμόσι πρέποντος, εὔνους ἐς τὰ μάλιστα καὶ ὅλως ἐγκείμενος καὶ προςανέχων τῇ κατ' αὐτοὺς κοινωνίᾳ, καὶ πᾶν ἐλευθέριον ἀνδρὸς καὶ γεννικὸν ἦθος, καὶ φίλον ἀληθείᾳ, καὶ σωφρονικὸν ἐκ μέσου τῆς τῶν κοινῶν χρήσεως ποιούμενος, καὶ παρορῶν ὡς ἄχθος γῆς καὶ σκαιὸν ἦθος, καὶ δυςκολίᾳ ξυμπεφυκὸς καὶ ἀκοινώνητον καὶ ἄχρηστον εὐγενείᾳ καὶ ἀρχικῇ μεγαλειότητι, γυναικῶν δὲ ἁρπαγὰς καὶ οὐσιῶν ἀφαιρέσεις καὶ φόνους ἀνο-

40) τάς, non agnoscunt Cdd. Aug. et Mon.

σίους καὶ μερῶν τοῦ σώματος ζημίας. Καὶ ταῦθ' ἅπαντα ῥᾷστα δὴ καὶ ὡς ἐν προπόσει τινὶ καὶ παιδιᾶς μέρει καὶ τρυφῆς ἐν ὀλίγῳ τῷ [41]) λόγῳ τοῖς τυραννικοῖς ἄρχουσι γιγνόμενα, τί τὶς ἂν λέγοι; Τοιαῦτα μέν γε καὶ παραπλήσι' ἕτερα πλεῖστα, καὶ ἴσως χείρω, ἃ μὴ εἴρηται, τῆς βασιλικῆς εἰσὶν ἐκτροπῆς, καὶ πρὸς ἃ νοσήσασα μεταβάλλει, καθάπερ δὴ καὶ ταῖς ἄλλαις, ὡς ἔφην, παρέπονται τῶν προειρημένων πολιτειῶν ἐκτετραμμένων τῆς οἰκείας ἕξεως, ἅττα δὴ καὶ προείρηται φαῦλα, καὶ δυςχερείας πολλῆς αἴτια τῷ βίῳ, καὶ τοῖς κατ' ἐκεῖνα ζῶσιν ἀνθρώποις. Τὰ δ' ἄρα τῆς τυραννίδος καὶ πολλῶν γε χαλεπώτερα, ἢ κατ' ἐκεῖνα ταῖς ἐμπαροινουμέναις καὶ κατολλυμέναις ὑπ' αὐτῆς χώραις καὶ πόλεσιν, ὡς οὐδὲν μήποτ' ἄρα γένοιτο, κατὰ τὸν Πλάτωνος λόγον, οὔτε [42]) βασιλευομένης πόλεως ἢ χώρας ἡςτινοςοῦν εὐδαιμονεστέρα, οὔτ' αὖ τυραννουμένης ἀθλιωτέρα. Καὶ γὰρ δὴ πέφυκεν οὕτως ἔχειν, καὶ ῥᾴδιον συνιδεῖν ἐπὶ πάντων ἐφορωμένῳ τοῖς μεγίστοις ἀγαθοῖς, ἢ καὶ οἷςτισιν ἄρα πράγμασιν ὅλως μεγίστοις τἀναντία, καὶ πλεῖστον [43]) ἢ κατὰ τἆλλα ἅττα δὴ τῆς βραχυτέρας καὶ ἥττονος ἕξεως ἐναντιώτατ' εἶναι τῆς ἀποστάσεως καὶ ἐκτροπῆς τῶν βελτίστων πόῤῥω καθάπαξ ἥκον-

---

41) τῷ, deest in C. Mon.

42) οὔτε, C. Mon. οὐ.

43) πλεῖστον, C. Mon. πλεῖστοι.

τα, καὶ μαχιμώτατα πρὸς τὰς ἐναντίας καὶ εὐγενεῖς ἕξεις. Καὶ ὥςπερ γε βασιλεία κατὰ νόμους ἄρχουσα, καὶ βασιλεὺς ἀγαθὸς ἐπιστάτης εὐκταῖόν τι χρῆμα καὶ βιωφελέστατον, ἢ κατὰ πάσας ἄλλας ἀνθρωπίνας ἀγωγὰς καὶ χρήσεις καὶ πολιτείας, οὕτω δὴ καὶ μέγιστον εἰς τὴν ἐναντίαν ἕξιν καὶ ἀπευκταιότατον καὶ ἀβίωτον κατασκευάζον ἡ τῆς βασιλικῆς ἡγεμονίας εἰς τοὐναντίον τὴν τυραννίδα παρεπομένη τροπή. Οὐ μὴν διὰ τοῦτ᾽ ἄρα τἀγαθὸν αἰτιατέον, καὶ κατὰ φύσιν οἰκεῖον διὰ τὴν ἀτυχίαν καὶ νόσον οὐδὲ φευκτέον, οὐδ᾽ ἀποτρεπτέον, ὃ κάλλιστ᾽ ἔχει μένον ἐν τῷ καθεστῶτι καὶ ὑπὲρ ἄλλ᾽ ἅπαντα· οὐδὲν γὰρ τῶν ἀγαθῶν καὶ ὀνησίμων ὁπηοῦν, ὃ μὴ χαλεπὰς ἔχει τὰς ἐκτροπὰς, καὶ ᾧ μὴ συμπαραφύονται δυςχέρειά τις καὶ δυςτυχία καὶ δυςχρηστία μείζων καὶ ἥττων ἄλλη τὶς ἄλλης. Ἀλλ᾽ αἱρούμεθα δὴ καὶ κρίνομεν τὰ βέλτιστα κατὰ φύσιν καὶ τιμῶμεν πλέον, καὶ ψηφιζόμεθα σπουδῆς μᾶλλον ἄξιον ἄλλο ἄλλου, καὶ ἄλλο μετ᾽ ἄλλο [44]) ἐν δευτέροις τιθέμεθα, καὶ οὐ παρορῶμεν τὰ χρήσιμα καὶ βιωφελῆ, ὅτι δή τινες ἐπ᾽ αὐτῶν γενόμενοι διέφθειραν αὐτά τε καὶ ἑαυτοὺς, καὶ κατελωβήσαντο κακοὶ κακῶς, καὶ τελευτῶντες ἔπειτα κακῶς ἀπήλλαξαν. Ἀλλ᾽ ἐπαινοῦμεν καὶ θαυμάζειν ἀξιοῦμεν, ὅσοι κατὰ φύσιν καὶ κάλλιστ᾽ ἐχρήσαντο, οἷς ἐστι κάλλιστα χρῆ-

44) μετ᾽ ἄλλο, C. Mon. μετ᾽ ἄλλου.

σθαι [45]) καὶ ὡς μάλιστ᾽ ἐπ᾽ ὠφελείᾳ καὶ βοηθείᾳ τῷ κοινῷ τῶν ἀνθρώπων καὶ τοῖς καθόλου πράγμασιν, ἀποτροπιαζόμεθα δὲ καὶ πάσης κατηγορίας καὶ παντὸς μίσους ὑπευθύνους κρίνομεν, καὶ ἄλλον ἴσως ἄλλου μᾶλλον καὶ ἧττον τοὺς βδελυροὺς καὶ φθορεῖς τῶν κατὰ φύσιν ἀγαθῶν, καὶ ἀντὶ τῆς κατ᾽ ἀρετὴν φιλοτιμίας προελομένους ἐνευδοκιμῆσαι καὶ πολλοῦ τυχεῖν ὀνόματος ἐν τοῖς κακίστοις. Ἀλέξανδρος μὲν γὰρ καὶ Αὔγουστος ὁ σεβαστὸς, καὶ Τίτος καὶ Μάρκος Ἀντώνιος, καὶ καθ᾽ ἡμᾶς ὁ τῆς θεοσεβείας μετὰ τῶν ἄλλων ἀνθρωπίνων καὶ βασιλικῶν εὐδοκιμημάτων ἀρχηγὸς καὶ προστάτης Κωνσταντῖνος καὶ Θεοδόσιος, καὶ ἄλλοι πλεῖστοι, καὶ οὐ πρόθεσις νῦν τῷ λόγῳ καταριθμεῖσθαι πάντας, οὗτοι μὲν δὴ καὶ ὅσοι τοιοῦτοι θαυμαστοί τε αὐταὶ καὶ πολλῶν ἐπαίνων ἄξιοι, καὶ τἀγαθὰ τῆς βασιλικῆς μοναρχίας, καὶ βιωφελέστατα κάλλιστ᾽ ἀποδεικνύουσι. Καὶ ὅσῳ χρῆμα δὴ τοῦ παντὸς ἄξιον, ἔννομος ἐπιστασία βασιλικη καὶ ἀγαθὸς ἀνὴρ ἐπὶ τῶν τῆς ἡγεμονίας πραγμάτων γενόμενος, Γάϊος δὲ καὶ Νέρων καὶ Δομετιανὸς, καὶ ὅσοι κατ᾽ αὐτοὺς τοῦ πονηροῦ κόμματος ἐξώλεις τε καὶ προςώλεις [46]) καὶ γεγόνασι καὶ ἀεὶ γίγνοιντο, κακοὶ κακῶς τῆς ἀρχῆς ἀνάξιοι, καὶ ἀντὶ τῆς ἐπαινετῆς εὐχρηστίας παμμιάρους προελόμενοι τρόπους, καὶ

45) χρῆσθαι κ. ὡς μάλ. ignorat C. Aug.

46) προςώλεις, fors. προώλεις, vt ap. Demosth. 532, 22. ed. Reisk. ἐξώλεις καὶ προώλεις ποιήσατε.

παντάπασιν ἐπ' ὀλέθρῳ σφῶν τὲ αὐτῶν, καὶ οἱ τὰς τυραννικὰς αὐτῶν ἐπιστασίας ἐδυςτύχησαν.

ΚΕΦ. υιθ'.

Περὶ τῆς Ἀθηναίων πολιτείας.

Πολλάκις ἔγωγ' οἶδα περὶ τῆς Ἀθηναίων τὲ [1]) καὶ Λακεδαιμονίων πολιτείας σκέψιν ἐπ' ἐμαυτοῦ ποιούμενος, καὶ πρὸς ἐνίους δὴ τῶν ξυντυγχανόντων μοι, οἷα δὴ πολλάκις ξυμβαίνειν εἴωθε, λέγων, ἃ περὶ αὐτῶν ξυνεώρακα, ὡς ἄρα δὴ πόλεις αὗται τὸ ἀρχαῖον ἐν Ἕλλησιν ἀναφηρίστως [2]) τὰ πρῶτα φερόμεναι, καὶ πρὸς ἀλλήλας ὑπόπτως ἀεὶ καὶ φιλονείκως ἔχουσαι περὶ τῶν ἑλληνικῶν πραγμάτων καὶ τῆς ἀρχῆς ἐφάμιλλά πως εἶχον, καὶ παρὰ μέρος ἀντεποιοῦντο τῶν πραγμάτων, καὶ τῆς τῶν Ἑλλήνων προστασίας παρὰ μέρος ἐτύγχανον, νῦν μὲν ἡ Λακεδαιμονίων, νῦν δὲ ἡ Ἀθηναίων ἐκ τῶν ἐναντιωτάτων ἐνστάσεων καὶ πολιτευμάτων, καὶ καθάπαξ ἠθῶν τε καὶ ἐθῶν ὁρμώμεναι· οὔτε γὰρ ἄλλη τις ἄκρατος οὕτως ἐν Ἕλλησιν ὡς ἡ τῶν Ἀθηναίων δημοκρατία, οὔτ' ἄλλη τις εὐλαβεστέρα τῶν Λακεδαιμονίων ἀριστοκρατία πλεῖστον διαγενομένη χρόνον ὤφθη. Δοκεῖ δέ μοι

1) τὲ, omissum in C. Mon.
2) ἀναφ. leg. ἀναμφηρίστως.

καὶ νῦν ἐπελθὸν [3]) ὅπως ἄρα περὶ τῶνδε διαλαβεῖν τῶν πόλεων, ὡς ἀμέλει διαφόρως ἐχρήσαντο τῇ τοῦ βίου ἀγωγῇ, καὶ οἵ ἢ δὴ τό γέ μοι δοκεῖν βελτίονι κἀκ τίνων ἀφορμῶν τὸ πρωτεύειν εἶχον ἐν Ἕλλησι, καὶ διεδέχοντο παρὰ μέρος, ὡς εἴρηται, τὴν κατ' αὐτοὺς ἀπ' ἀλλήλων [4]) ἀρχήν. Δοκοῦσι μὲν οὖν οἱ Ἕλληνες τὸ πρῶτον ὑπὸ βασιλέων κατὰ μέρος ἄγεσθαι πλείστων ὄντων, καὶ σχεδὸν κατὰ πόλιν ἰδί' ἑκάστην καὶ ἔθνος τῶν ἑλληνικῶν, ἀλλ' οὐχ ὑφ' ἕνα δή τινα συντεταγμένων, ὅτι μὴ καθ' αἵρεσιν ἑκάστοτ' ἐν χρείᾳ, ὡς ἄρ' ἐχρήσαντο τὸν τρόπον τοῦτον [5]) εὖ γε δῆλον ἐπὶ τῶν Τρωϊκῶν Ἀγαμέμνονα τὸν Ἀργεῖον προστησάμενοι, ἀλλ' ἧπερ ἔφην, ἕκαστοι κατὰ πόλεις αὐτῶν καὶ ἔθνη βασιλεῦσιν ἤγοντο, κατὰ διαδοχὴν μὲν ἐκ κλήρου, οὐ μὴν ἄκρατον μοναρχίαν καὶ ἀνεύθυνον καθάπαξ ἔχουσιν, ἀλλ' ὡς ἂν δὴ καθ' αἵρεσιν καὶ τρόπόν τινα, μηδὲ δεσποτικῶς, ἀλλ' ὀλιγαρχικῶς, εἴτουν ἀριστοκρατικῶς. Ταῦτ' ἄρα καὶ μεθ' ὕστερον εἰς ὀλιγαρχίας προδήλους ῥᾶστα μετέβαλον, τέως μέν γε, ἧπερ ἔφην, κατὰ μέρος ἑλληνικαὶ πόλεις αἱ πᾶσαι καὶ χῶραι βασιλεῦσιν εἶχον, καὶ δεσποτικοῖς προςεῖχον σκήπτροις, τὰ μὲν πειθηνίως ἄγουσι καὶ ξυναιρέσει τῶν

3) νῦν ἐπελ. Cdd. Aug. et Mon. νῦν γε εἶναι μίαν ἄκαιρον εἶναι τοῖς λογισμοῖς ἐπελθὸν, C. Mon. ἐπελθών.

4) ἀπ' ἀλλ. C. Mon. ἀπ' ἑλλήνων.

5) τοῦτον, C. Mon. τοῦ.

ὑπὸ χεῖρα καὶ νομίμοις κρατοῦσι, τὰ δὲ καὶ βίᾳ. Προςεῖχον δὲ μάλιστα καὶ τῇ θαλάττῃ τὸ ἑλληνικὸν ἐξ ἀρχῆς, καὶ τοῦτο μὲν νήσους ᾤκουν αὐτοὶ καὶ κατεπολίσαντο μὴ μόνον τὰς ἀξιολόγους περὶ τὸν Αἰγαῖον, καὶ ὑπὲρ αὐτὸν ἔτι πω νήσους, ἀλλὰ καὶ ἄττα δῆτ' ἐν μέσῳ φαῦλα καὶ λυπρὰ νησίδια, καὶ πάσης εὐγενείας καὶ χάριτος ἐρημίᾳ καὶ ἀωρίᾳ πλείστῃ ξυνόντα, τοῦτο δὲ καὶ ὅσοι κατ' ἤπειρον ᾤκουν, ἔγγιστα παράλιοί γε ᾤκουν, καὶ οὐ πολλῶν γε σταδίων ἦν ἀριθμὸς, ὡς εἰπεῖν, εἰς μεσόγαιαν 6) ἐξ αἰγιαλῶν, ἔνθα τὰ τῶν Ἑλλήνων ἐτελεύτα πράγματα, καὶ πλεῖστόν γ' ἔοικεν ἀπάκτιοι τῶν ἄλλων Ἑλλήνων ᾤκουν, ὅσοι καὶ ᾤκουν τὰ μέσα Πελοποννήσου. Καθόλου γε μὴν, ὡς ἔφην, τῇ θαλάττῃ προςεῖχον, καὶ τοῖς κατ' αὐτὴν ἐχρῶντο πράγμασι, καὶ θαλαττοπόροι μάλιστ' ἀπεδήμουν τῶν οἴκοι δι' ἐμπορίας, διὰ πολέμια ἔργα καὶ ἀποικίας, εἴ πη παρείκοι τοῦ γένους ναυστόλοις ἔπεμπον. Δοκοῦσι δὲ τὸ ἀρχαῖον μάλιστα Κρῆτες ἐν Ἕλλησι πρωτεῦσαι, καὶ σχεδὸν αὐτοί γε τῆς θαλάττης ἐκράτουν, οὐ μόνον 7) διὰ τὸ ἐπικαίρως τὴν νῆσον ἔχειν πάσης τῆς θαλάττης κατὰ τὴν θέσιν, καθὸ δὴ καὶ Θουκυδίδης καὶ Ἀριστοτέλης ἐπικαθῆσθαι πάσης τῆς ἑλληνικῆς τὴν νῆσον φασὶ, καὶ οὐ τοῦτο

6) μεσόγ. C. Mon. μεσόγαιον.

7) οὐ μόνον, ante οὐ μόνον C. Mon. perperam habet: οὐ μόνον διὰ τὸ ἐκράτουν.

μᾶλλον, ἢ καὶ πάσης καθάπαξ τῆς θαλάττης, ὡς ῥᾴδιόν ἐστιν ἐφορωμένοις ξυλλογίζεσθαι, καὶ πρό γε αὐτῶν ὁ ποιητὴς Ὅμηρος [8]) μέσην ἐνὶ οἴνοπι πόντῳ κεῖσθαι τὴν Κρήτην λέγων· ἀλλ' ὅτι καὶ καλλίστοις ἐκ μακροῦ νομίμοις καὶ τὰ οἴκοι καὶ τὰ ἐκτὸς, καὶ οὐχ ἥκιστα δὴ τὰ πολέμια Κρῆτες ἐχρήσαντο, καὶ οὐ μόνον ἴσχυσαν ἐντεῦθεν ἐπὶ τῆς θαλάττης τὸ ἀρχαῖον, ἀλλὰ καὶ κάλλιστ' ἐπολιτεύσαντο, οὐκ οἶδ' ὡς εἴ τινες ἄλλοι τῶν Ἑλλήνων. Καὶ τοσούτῳ γε τοῦτο μετ' ἀληθείας εἴρηται, ὅσῳ δὴ καὶ οἵτινες ἄρα χρόνοις [9]) ὕστερον βέλτιον ἢ κατ' ἄλλους ἐπολιτεύσαντο τῶν Ἑλλήνων κατ' αὐτοὺς ἐζήλωσαν Κρῆτας, καὶ τοῖς ἐκείνων φθάσασιν ὑποδείγμασι βέλτιστ' ἐνόμισαν, καὶ κατεστήσαντο καὶ κατεκοσμήσαντο [10]) τὰ σφέτερα αὐτῶν. Καὶ προϊὼν ὁ λόγος κατὰ καιρὸν οἶμαί γε ἐρεῖ, ἀλλ' ὅπερ ἦν ἡ πρόθεσις αὐτῷ νῦν περὶ Ἀθηναίων ῥητέον, τῶν ἄλλων ἀποστάντι, καὶ ὅσα τῶν ἑλληνικῶν πόῤῥωθεν τῶν χρόνων ἀπὸ συντάξεων ἀρχαίων ξυνορᾶν ἔχομεν, καὶ καταλογίζεσθαι. Τοῦ γὰρ δὴ παντὸς ἑλληνικοῦ τῆς θαλαττίας, ὡς ἔφην, χρήσεως ἀντιποιουμένου, δῆλοί γε εἰσὶν Ἀθηναῖοι τὸ ἐξ ἀρχῆς καὶ αὐτοὶ

8) Ὅμηρος, Odyss. τ'. 172. qui vero μέσῳ, non μέσην, exhibet. Theodor. videtur legisse μέση pro μέσῳ. Veruntamen quum plerumque loca scriptorum veterum e memoria citet, rebusque suis accommodet, lectionis varietas eius est dubia. Virgil. Aen. III, 104. *Creta Iouis magni medio iacet insula ponto.*

9) χρόνοις, C. Mon. χρόνους.

10) καὶ κατεκοσ. desunt in C. Mon.

χρώμενοι τὸν τρόπον τοῦτον ὑπὸ βασιλικοῖς πολιτεύμασι καταμεμερισμένοι τὴν Ἀττικὴν χωρητικαῖς ἀγροικίαις δή τισι, συνοικισθέντες δὲ ὑπὸ Θησέως πρώτου [11]) βασιλεύοντος, ὃν εἴρηται τρόπον τῆς χώρας εἰς κοινωνίαν πόλεως καὶ ἀγωγὴν συμπράξεων ἐν πολιτείᾳ, καὶ πολισθέντες τῷ τῆς Ἀθηνᾶς ἐκεῖθεν ἐπωνύμῳ μέχρι καὶ νῦν ἄστει. Ἀριστοκρατικῶς ἔπειτ᾽ ἤχθησαν μεταβαλόντες τὸ πρὶν ἔθιμον Θησέως αὐτοῦ μάλιστα εἰς τοῦτ᾽ ἀρχὴν ὑποθεμένου, κατ᾽ ὀλίγον δ᾽ αὖθις ἅτε δὴ μάλιστα τῇ θαλάττῃ χρώμενοι [12]), καὶ χρήσιμον εἰς τὴν πρόθεσιν ταύτην νομίζοντες τὸ πλῆθος, ὡς μὴ ἄρ᾽ ἐξὸν ἢ μετὰ τοῦ δήμου καὶ τῶν πολλῶν ἀνύτειν ὁπηοῦν περὶ τὴν θαλαττουργικὴν ταύτην τοῦ βίου χρῆσιν. Κἀντεῦθεν θεραπεύοντες τοὺς πολλοὺς τῆς πόλεως, μᾶλλον δὲ ἑκόντες τε καὶ ἄκοντες ὑπ᾽ αὐτῶν δουλούμενοι μᾶλλον ἢ πείθοντες αὐτοὺς, ναυτικὴ γὰρ ἀναρχία κρείσσων, φησὶ [13]), πυρὸς, ἔλαθον ὡς εἰπεῖν ἐκκλίναντες εἰς δημοκρατικὴν πολιτείαν, καὶ κατ᾽ ὄχλον στασιώδη διοικούμενοι. Κἀντεῦθεν αὖθις ἡ τυραννικὴ τῶν Πεισιστρατιδῶν ἀρχὴ χώραν λαμβάνει, — καὶ γὰρ οὕτω δὴ μάλιστα φιλεῖ ξυμβαίνειν ἐξ ἀκράτου

---

11) πρώτου, C. Mon. πρῶτον. cf. Plut. in Thes. c. 24. et Thucyd. II, 15.

12) χρώμενοι, C, Aug. χρώμενον.

13) φησί. Euripides Hecub. 603. Vel excidit nomen auctoris, unde haec sunt ducta, vel, cum Cdd. omnes consonent, φησὶ dictum est pro φασί. cf. Boissonad. in Marin. p. 142 et 149.

καὶ ἀλογίστου καὶ στασιώδους δημοκρατίας ἡ τυραννὶς ἀναφύεσθαι, — καὶ πλεῖστον δὴ χρόνον λοιπὸν Ἀθηναίων ἡ πόλις ἐτυραννεῖτο τοῖς ἀπὸ Πεισιστράτου, καὶ ὡς ἀληθῶς μὴ μάλα τοι, μηδὲ παντάπασιν ἀηδῶς, εἰσὶ γὰρ οἱ τῶν Πεισιστρατιδῶν νομίμως ἄρχειν ἐπειρῶντο, καὶ πάσης ὕβρεως ἀλλότριοι. Καὶ μάλιστα κατεκοσμήσαθ' Ἵππαρχος ἐκ τοῦδε τοῦ γένους Ἀθήνας τὴν πόλιν, ὡς οὔ τις ἄλλος τῶν ἐκ τῆς ἰσονομίας πρότερόν τε καὶ ὕστερον πολιτικῶν ἀνδρῶν περιφανῶν. Ἔπειτ' ἄρα χρόνῳ μόλις περιγενόμενοι τῆς τυραννικῆς ἀγωγῆς, καὶ μάλισθ' ὁ δῆμος ἐν τούτοις δραστικοὶ καὶ χρήσιμοι γεγονότες μετὰ τὴν κατάλυσιν τῆς τυραννίδος ἔτ' αὖθις πλεῖστον ἴσχυον, καὶ δημοκρατικῶς, εἰ δή τις καὶ ἄλλη πόλις, ἤγεθ' ἡ πόλις Ἀθῆναι καθάπαξ ἐκεῖθεν εἰς μακρὸν μέχρι καὶ ὑπὸ Μακεδόνας καὶ Ῥωμαίους ἔπειθ' ὕστερον δεσποτικῶς κατὰ πάντων, ὡς εἰπεῖν, κρατοῦντας ἐγένοντο, τέως δὲ πολλῶν, ὡς ἔφην, τῶν χρόνων δημοκρατικὴ πολιτεία, Ἀθηναῖοι κατὰ τοὺς ἑλληνικοὺς ἄνω χρόνους τοῖς Σόλωνος μάλιστα νομίμοις ἐχρῶντο. Καὶ δοκεῖ γὰρ ὁ Σόλων οὐκ ἄλλως ἔχων χρήσασθαι νομοθέτης ἀνῃρημένος [14]) διὰ τὸ τοῦ [15]) δήμου κράτος τῆς θαλαττίας ἕνεκεν χρήσεως, ἧς ἐξ ἀνάγκης Ἀθηναῖοι ἐπειρῶντο, τὴν πᾶσαν τῶν νόμων αὐτῶν σύνταξιν τῇ δημοκρατίᾳ νεῖ-

14) ἀνῃρ. C. Mon. ἀνῃρημένοις.

15) διὰ τὸ τοῦ, C. Aug. διὰ τοῦτο.

μαι πρὸς τὸ βέλτιστον, ὡς οἷόν τ' ἦν, ἀνὴρ καταλλείων τὴν ἄσχετον καὶ ἀκόλαστον δημοτικὴν ἰσχὺν, ἧς ἦν τὸ κράτος διὰ [16]) τὴν ἀναγκαστὴν, ὡς ἔφην, τοῦ βίου χρῆσιν, οὐ γὰρ ἦν ἄλλως, ὡς εἴρηται, τοῖς νόμοις ἐπιχειρῆσαι, καὶ σοφὸν ἔδοξε τὴν ἄλογον καὶ ἀκρατῆ δυναστείαν μεταβαλεῖν ὁπηοῦν, καὶ διοικῆσαι πρὸς εὐνομουμένην καὶ πειθήνιον ἀγωγήν. Ταῦτ' ἄρα καὶ βέλτιον μὲν ἢ πρότερον τοῖς αὐτοῦ νόμοις εἶχον Ἀθηναῖοι, οὐ μὴν ἀλλὰ καὶ ἀεὶ νοσερῶς, καὶ ὁ δῆμος ἐνετρύφα τῇ ἐξουσίᾳ, καὶ τοὺς εὐγενεῖς [17]) ῥᾷσθ' ἑωρᾶτο, καὶ ἐκ τοῦ τυχόντος ὑβρίζων, καὶ δημαγωγοὶ τὴν ὑπόκουφον καὶ ἀβελτέραν ἰσχὺν τοῦ πλήθους ὑποδυόμενοι καὶ προςποιούμενοι πᾶσαν εὔνοιαν αὐτοῖς καὶ κολακείαν θράσους ἐμπίπλων καὶ ὑπανῆπτον κατὰ τῶν ἀστείων. Φύσει δὲ καὶ νεωτεροποιὸν ἦν ὁ τῶν Ἀθηναίων δῆμος, καὶ θερμοὶ τὰς φύσεις καὶ ταχεῖς ἐπιχειρεῖν ἦσαν κατὰ πάντων πραγμάτων, καὶ τολμηταὶ πρὸς πάσας ἐπιβουλάς. Καὶ μάλιστ' ἐντεῦθεν οὐκ ὀλίγα ταῖς ὁρμαῖς κἀν τοῖς ἀπροςδοκήτοις ἀνύτοντες ἐτύγχανον τοῦ σκοποῦ, καὶ ἅμα τῷ ἀνευλαβεῖ μάλιστ' οὐ μετρίως ἐσφάλλοντο ταῖς τε ἀρχαῖς οἴκοι καὶ τοῖς βουλευτηρίοις ἀκολάστως χρώμενοι, καὶ ταῖς ἀνηνύτοις μὲν, ἀπαύστοις δὲ ἐλπίσι περὶ τῶν ἔξω προςκτήσεων τῇ κατὰ σφᾶς αὐτοὺς

16) διὰ, omissum in C. Mon.

17) τοὺς εὐγ. C. Mon. πρὸς τοὺς εὐγενεῖς.

ἡγεμονίᾳ τὰς ἐπιθυμίας ἀορίστους ἔχοντες. Καὶ ὅλως τοιοῦτοί γε ἦσαν Ἀθηναῖοι δημοκρατούμενοι μετὰ τῆς εὐτραπελίας καὶ ὀξύτητος τοῦ ἤθους, οἷοι τὸν ἀεὶ χρόνον ἐν ταῖς τῶν πολλῶν γλώσσαις εἶναι, καὶ περιλαλεῖσθαι, ἢ πράττοντες γεννικὰ καὶ θαυμάσια οἷα, ἢ μέριστα δυστυχοῦντες, καὶ πονήρως πάνυ τοι πράττοντες. Καὶ τοιοῦτοι δὴ πεφυκότες, οἷοι, καθὼς ὁ Θουκυδίδης φησὶ, μήτ' ἔχειν ἠρεμεῖν αὐτοὶ, μήτ' ἄλλους ἐᾷν ἠρεμεῖν, ἀλλὰ πράγματ' ἔχειν ἢ οἴκοι κατ' αὐτοὺς, ἢ πρὸς τοὺς ἔξω, καὶ πράγματ' ἄλλοις παρέχειν καὶ μὴ βουλομένοις μήδ' ἐννοοῦσιν ἐνίοτε. Τοιγαροῦν καὶ τῷ βασιλεῖ τῶν Περσῶν οὐκ ὀλίγα παρέσχον πράγματα μετὰ [18]) τὰς ἐν Μαραθῶνι καὶ Σαλαμῖνι καὶ Πλαταιαῖς περιφανεῖς ἐκείνας ἑλληνικὰς νίκας, καὶ τοῖς πλείοσι τῶν Ἑλλήνων μετὰ τὰς νίκας ἐκείνας τῆς ἀρχῆς ἐπειλημμένοι, καὶ τοῖς μαχίμοις ἔργοις καὶ φιλοτίμοις ἐνακμάσαντες, μέχρις οὗ τὸν τῶν ἁπάντων φθόνον, καὶ μάλιστά γε Πελοποννησίων ἐφ' ἑαυτοὺς αὐξήσαντες, καὶ ὑπὸ τῆς ἄκρας φιλοπραγμοσύνης τὴν τῶν Λακεδαιμονίων εὐλάβειαν καὶ ἀπραγμοσύνην καὶ νωθρότητα [19]) καὶ μὴ βουλομένων ἀνεγείραντες καὶ μεταποιήσαντες καὶ κινήσαντες εἰς τὸ φιλαρχεῖν, καὶ πολλοῖς πάντοθεν περισχεθέντες πράγμασι τελευτῶντες κακῶς ἀπήλλαξαν. Τέως

18) μετὰ, deest in C. Aug.

19) νωθρ. C. Mon. ἀνωθρότητα.

δ' ὅμως καὶ περὶ τὰ πολέμια θερμότητί τε φύσεως καὶ δι' ἐμπειρίαν ἐκεῖθεν μετὰ τὰ Μηδικὰ πλεῖστον ὅσον εὐδοκίμησαν, καὶ μάλιστα κατὰ θάλατταν καὶ τας ἐν αὐτῇ μάχας, καὶ πλεῖόν γε πάντων ἀνθρώπων σχεδὸν τῶν χρόνων ἐκείνων ἐκράτουν κατὰ θάλατταν Ἀθηναῖοι, καὶ μάλισθ' ὡς Αἰγινητῶν περιεγένοντο, καὶ καταστρεψάμενοι τὰς ναῦς σφᾶς ἀφείλοντο. Ναυστολίας γὰρ μεγίστας καὶ πλείστας ὅσας καὶ συνεχεῖς ἐπὶ πάσης τῆς ἑλληνικῆς καὶ ἀποδήμους πορρωτάτω κατ' Αἴγυπτον καὶ Κύπρον καὶ Φοινίκην καὶ πᾶσαν τὴν ἑώαν, καὶ τὸν Εὔξεινον ἔπεμπον παντάπασιν ὑφ' ἑαυτοὺς ποιούμενοι τὰ κατὰ θάλατταν πράγματα. Καὶ ἐθαυμάζετό τε τῶν Ἀθηναίων ὁ δῆμος ἐπιεικῶς, σωφρόνως δὴ πάντως τοιούτοις καὶ τοσούτοις συνεξεταζόμενος ἔργοις, πειθοῦς ἔτι καὶ ἀγωγῆς ἕνεκεν ἀνόσου τὰ οἴκοι, μὴ γὰρ ἐξεῖναι πάντως εὖ γε δῆλον, ὅτι δὴ μὴ καθ' ἑαυτοὺς εὐεκταῦντας οὕτω μεγίστοις ἐγχειρεῖν πράγμασι, καὶ κάλλιστα χρῆσθαι, καὶ δημοκρατίαν οὕτως ἄκρατον ὡς τὴν Ἀθηναίων καὶ πολυάνθρωπον συγκροτουμένην καὶ ὑπὸ ξένων παραδοχῆς. Ἐνομίζετο γὰρ αὐτοῖς καὶ τοῦτο, καὶ ξένους οὐκ ἀπωθοῦντο τῶν σφετέρων αὐτῶν, καὶ τῆς πολιτικῆς κοινωνίας. Ὥσπερ δὴ τοῦτο μάλιστ' ἐτηρεῖτο τῇ Σπάρτῃ καὶ τοῖς Λακεδαιμονίοις, οὕτω δὴ πολυάνθρωπον καὶ ἄκρατον, ὡς εἴρηται, δημοκρατίαν κράξεσι μεγάλαις ἐνευδοκιμεῖν ἔγγιστ' οἴκοι, καὶ πορρωτάτω τῶν οἴκοι πρᾶγμα

θαυμαστὸν ἐδόκει· καὶ δοκοίη ἂν εἰκότως ἀεὶ, εἰ μή τις ἔργον τοῦτο τῆς κατ' αὐτοὺς σοφίας μεγίστης καὶ μεγαλοφυΐας κατὰ νοῦν θεῖτο. Σοφίας γὰρ δὴ πέρι τί [20]) τις ἂν ἔχοι λέγειν; ὡς ἄρ' Ἀθῆναι περιφανές τι ταμεῖον πάσης παιδείας καὶ πάσης ἰδέας λόγων κατ' ἀνθρώπους ὤφθη, καὶ ὥςπερ ἄλλη τὶς ἄλλου τῶν χρησίμων χώρα ἢ πόλις ἐξαίρετός ἐστιν εἰς φορὰν κατὰ τὸν βίον, οὕτω δὴ καὶ πόλις αὕτη τῆς κατὰ τὴν σοφίαν ἀνθρωπίνης εὐδοκιμήσεως. Καὶ προήνεγκε μὲν ἀνθρώπους τὸ ἐξ ἀρχῆς ἄριστα πεφυκότας καὶ τελεώτατα περὶ νοῦν τὲ καὶ τὰ λογικὰ πράγματα, οὓς δὲ καὶ ἄλλοθεν ἥκοντας ἐς αὐτὴν κατὰ σοφίας ἔρωτα καὶ παιδείας ἁπάσης ἄσκησιν ἐδέχετο, ὥςπέρ τι κοινὸν ἐργαστήριον ἐπὶ πάσης τῆς γῆς τῆς [21]) τοιαύτης κατ' ἀνθρώπους ἐπαινετῆς ἕξεως ἀποτεταγμένον ἀπὸ Θεοῦ [22]), ἄριστα δὴ καὶ τελεώτατα κατασκευαζομένη καὶ κατατεχνιτεύουσα [23]) τῶν αὐτῆς κατὰ τὸν νοῦν ἀγαθῶν ἐξέπεμπεν εἰς τὸν κοινὸν βίον τροφίμους τῆς κατ' αὐτὴν εὐγενείας, καὶ καλλιστεῖα [24]) τῆς ἀνθρωπίνης ἀπὸ πάσης φύσεως. Καὶ περὶ τούτου δὴ, ὅσα τὶς ἂν λέγων προστιθείη καὶ φέροι ταῖς τῶν πολλῶν προλήψεσι, μάτην οὐκ οἶδ' ὅπως πονῶν, ὅμοιον ἂν εἴη,

20) τί, omissum in Cdd. Aug. et Mon.

21) τῆς, C. Mon. non addit.

22) ἐπαινετῆς vsque ad Θεοῦ desiderantur in C. Mon.

23) κατατεχν. C. Mon. τεχνιτεύουσα, omisso κατά.

24) καλλιστ. C. Mon. καλλιστεία.

ὥςπερ εἴ τις κατὰ τὴν παροιμίαν γλαῦκα εἰς Ἀθήνας φέροι, τὰ πᾶσι προειλημμένα καὶ παντάπασιν εὖ μάλα γνώριμα προδεικνύειν αὐτὸς, ὥςπερ ἄρά τινα νέαν φορὰν ἐπιχειρῶν. Καὶ σιωπητέον ἂν ἴσως εἴη περὶ τούτων, ἔθ' ἑξῆς πειρᾶσθαι λέγειν, τοσοῦτο μόνον ὑπειπόντας κατὰ τὴν πρὸ ὀλίγου πρόθεσιν, ὡς οὐδὲν ἂν ἄλλ' αἴτιον εἴη, ὅςτις καλῶς συλλογίζοιτο τῆς κατὰ τὴν ἄκρατον δημοκρατίαν Ἀθηναίων ἐπίνοσον κατὰ φύσιν οὖσαν ἐπὶ πλεῖστον κατὰ τοὺς ἄνω χρόνους εὐετηρίας καὶ περιφανείας ἐν πράγμασι καθ' Ἕλληνας καὶ βαρβάρους μὲν οὖν ἢ πάντως ἡ τῶν ἐξ αὐτῆς ἀνθρώπων κατὰ γνώμην εὐγενὴς φορὰ, καὶ πρὸς πάντα συνετῶς [25]) καὶ κατὰ καιρὸν τὸν ἐγχωροῦντα τρόπον εὖ μάλα πεφυκυῖα χρῆσθαι.

ΚΕΦ. ρ́.

Περὶ τῆς Λακεδαιμονίων πολιτείας.

Πελοπόννησον δ' ᾤκησαν μὲν τὰ πλείω τῶν ἑλληνικῶν ἐθνῶν, ὧν ἱστοροῦνται δὴ πάντων Ἀρκάδες μόνοι παλαιοί τε εἶναι τῆς χώρας οἰκήτορες καὶ μόνοι γε αὐτόχθονες, καὶ οὐ Πελοποννησίων μόνων Ἑλλήνων, ἀλλὰ καὶ πάντων σχεδὸν ἀνθρώπων Ἀρκάδες αὐτόχθονες μόνοι, καὶ τοσούτῳ γε δόξαν ἀρχαιότητος ἔχοντες, ὅσῳ

25) συνετῶς, C. Mon. συνεχῶς, in ora συνετῶς.

καὶ τῷ μυθώδει περὶ αὐτῶν λόγῳ χώραν παρέσχοντο, ὡς ἄρα καὶ πρὶν σελήνην εἶναι Ἀρκάδες δόξαι γε εἶναι, τἄλλα δὲ τῶν κατὰ Πελοπόννησον ἑλληνικῶν ἐθνῶν ἐξ ἀποικιῶν ἱστόρηνται καὶ τινῶν καὶ βαρβαρικῶν οἰκῆσαι τὴν χώραν. Καὶ δῆλον αὐτόθεν αὐτίκα, ὅτι καὶ Πέλοψ, οὗ τὴν χώραν ἐπώνυμον εἶναι ξυμβέβηκεν, ἀλλότριος ἐκ Φοινίκης ἥκων καὶ βαρβαρικῆς οἰκεῖ ταύτην, καὶ κρατήσας ἐγχωρίως συνοικίζει δεσποτικῶς τὰ πλεῖστα τῶν αὐτῆς, καὶ, ὡς εἴρηται, πλεῖσταί γε ἀποικίαι τὰ ἐν Πελοποννήσῳ τῶν ἑλληνικῶν ἔθνη κατ' αὐτὴν ᾤκησαν, καὶ ἄλλοι παρ' ἄλλων εἰς αὐτὴν ἐπίδημοι γεγόνασι καὶ διενείμαντο τὴν χώραν, τὰ δὲ μὲν αὐτῆς, τὰ δ' ἔθνη, τάδε δὲ τάδε, καὶ οὐ συνεχῶς οἰκοῦντα, ἀλλ' ἄλλα μετ' ἄλλα [1]), καὶ τα κρατούμενα τῆς χώρας μέρη ὀνομάζοντες [2]), πάντων δὲ ὅσοι τὴν Πελοπόννησον ᾤκησαν ἐπὶ τῶν ἑλληνικῶν χρόνων ἐκείνων, οἱ τὴν Λακωνικὴν οἰκήσαντες Δωριεῖς καὶ οἱ ἀφ' Ἡρακλέους ταύτην ἄρξαντες ἐπρώτευσαν καὶ κράτιστοι γεγόνασιν, οἵγε οὐ μόνον κατὰ τὴν Πελοπόννησον τῶν ἐκείνῃ γε Ἑλλήνων ἐπρώτευσαν, ἀλλὰ καὶ τῶν κατὰ πᾶσαν [3]) ἄλλην τὴν Ἑλλάδα μάλιστα δοκοῦσι πρωτεῦσαι, ἐξ ὅτου δὴ καὶ κατέστησαν

1) μετ' ἄλλα, C. Mon. μέν.

2) ὀνομάζοντες, Cdd. Aug. et Mon. ὀνομάζοντες ἐξ αὐτῶν καὶ μετονομάζοντες, πάντων.

3) κατὰ πᾶσαν, C. Mon. κατὰ πάσης.

ἐπὶ τῆς χώρας ἐκείνης ἐν τῷ ἀσφαλεῖ, καὶ δῆλοι γεγόνασιν ἑδραίως πολιτευόμενοι, καὶ κυριεύοντες αὐτοὶ μονιμώτερον ἢ 4) ξυνέλαχον. Τέως μέν γε τὴν Λακωνικὴν στάσεις ὅτι πλεῖσται καὶ τυραννίδες κατεῖχον, καὶ χρόνόν τινα οὐκ ὀλίγον ἄλλα ἐπ' ἄλλοις ἔθνη, καὶ πράγματ' ἐπίνοσα καὶ οὐκ ἀσφαλῆ· Δωριέων δ' ἔπειτα μετ' ἐκεῖνα κατασχόντων τὴν χώραν ὑφ' Ἡρακλείδαις ἐκεῖθεν ἄτρεπτα τὰ κατὰ τὴν Λακωνικὴν καὶ ἀκμάζονθ' ἑξῆς μάλ' αἰεὶ προήει τῆς ἀγαθῆς τύχης. Καὶ δῆλοί γ' ἦσαν Λακεδαιμόνιοι καὶ Ἕλλησί τε καὶ οἷς γε ὅλως ἄλλοις δῆλοι ἦσαν κάλλιστα πολιτευόμενοι κατ' ἀριστοκρατίαν. Καὶ Λυκοῦργος γὰρ νομοθέτης σφίσιν ᾑρημένος τὴν πολιτείαν αὐτῆς καθίστησι μὲν ἀριστοκρατικῶς καθαρεύουσαν δημοτικῆς πάσης ὕβρεως, καὶ ἀλογίας, καὶ ἀοριστίας τῶν πολλῶν, καὶ ὡς ἔτυχε φερομένων καὶ ἀσυμφώνως καὶ ἀναρμόστως ἀφελόμενος τὴν ἐν τοῖς πράγμασιν ἐξουσίαν· παρασκευάζει δὲ τοῖς νόμοις αὑτοῦ πᾶσαν εὐλάβειαν ἐκ παντὸς τρόπου τοῖς ἄρχουσι, καὶ μάλιστ' ἐπιστήμην ἄρχειν τε καὶ ἄρχεσθαι, καὶ τοῦ χαίρειν τῷ τεταγμένῳ τε καὶ μετρίῳ. Ἡ πᾶσα δ' αὐτῷ τῶν νόμων ἐπιμέλεια περὶ τὰ πολέμια καὶ τὸ μάχιμόν ἐστι, καὶ καρτερικῶς ἔχειν πρὸς πάντας πόνους, καὶ πάσης μὲν ἐρωτικῶς ἔχειν φιλοτιμίας, φιλοπλουτίας δ' ἀλλοτριοῦσθαι, καὶ πενίαν μὴ αἰσχύνεσθαι, καὶ

4) ἢ, Cdd. Aug. et Mon. ἤ.

τροφῆς καὶ πάσης χρήσεως εὐτέλειαν, καὶ οὐδὲν πλέον ἀποτιμημάτων οὐσίας τοῖς ἐκεῖ πολίταις εἶναι. Καὶ τοίνυν ἄτιμον ἐκεῖνος τὸν πλοῦτον καὶ ἄχρηστον ἰδίᾳ τοῖς πολίταις καταστησάμενος, εὖ μάλα πρὸς πᾶσαν εὐγενῆ τῆς γνώμης καὶ τῆς χειρὸς διάθεσιν τοὺς τῆς Σπάρτης τροφίμους ὁπλίζει, καὶ ὥςπερ ἐκ τῶν Σωκράτους καὶ Πλάτωνος διδασκαλείων καὶ τῶν τῆς Ἀκαδημίας αὐτῆς παιδευτηρίων, ἢ μάλιστα δὴ καθόλου τῶν τῆς φιλοσοφίας δογμάτων τοὺς αὐτοῦ πολίτας γεννικοὺς καὶ ἀμιδεῖς [5]) δημιουργῶν πρὸς πᾶν τὸ καθ' ἡδονὴν ἐπαγωγὸν καὶ μείλιχον, ἀγορὰν δή τινα καὶ κοινὸν ταμεῖον φιλοσόφων τοὺς τρόπους ἀνδρῶν οἱονεὶ τὴν Σπάρτην μέσην ἐν τοῖς Ἕλλησιν ἐπεδείξατο. Ὅθεν δὴ καὶ ἀπήλλακτο παντὸς ἀγυρτώδους ὄχλου [6]) καὶ πάσης ἐμπορικῆς ἐπιμιξίας, καὶ οὐκ ἦν ἄρα ξένοις ἀνθρώποις καὶ ξένων ἐθῶν [7]) τροφίμοις κοινὰ πρὸς τὴν Σπάρτην τὲ καὶ οἰκία [8]) πᾶσιν ἀποκέκλειστο τοῖς ἀλλοτρίοις τὲ τὴν γνώμην καὶ ἀλλοτρίου τοῦ γένους. Καὶ γαρ δὴ καὶ μέχρι πολλοῦ τὸ ἰδιοπραγεῖν οἰκουροῦντες, στέργοντες καὶ τὴν νόμιμον ἀγωγὴν ἐν σφίσι αὐτοῖς ἄκρατον περιποιούμενοι ἀνενδεεῖς ἦσαν ἀλλοτρίας

5) ἀμιδεῖς, leg. ἀμειδεῖς.

6) ὄχλου, C. Mon. omittit.

7) ἐθῶν, abest a C. Aug.

8) καὶ οἰκία, Cdd. Mon. et Aug. καὶ τοὺς Λάκωνας ἀλλ' ὥςπερ εὐάγωγος μιά τε. Deinde Mon. pro ὥςπερ dat ἥςπερ, et ἀπόκλειστο pro ἀποκέκλειστο.

καὶ ἀλλοτρίων ἀνθρώπων χρήσεως καὶ ἐπιμιξίας ὁπηοῦν πρὸς τοὺς ἔξω, καὶ πλάνης ἀποδήμου πρὸς πάντας ἀνθρώπους. Ταῦτ᾽ ἄρα καὶ ἀπραγμονέστερον ἐδόκουν βιοῦν Λάκωνες, καὶ πολλῶν ἀνθρώπων καὶ ἀνθρωπίνων πραγμάτων [9]) ἀμαθέστεροι, καὶ ὡς ἄρα σκαιοὶ δή τινες καὶ ἀνάσκητοι συμπράττειν μετὰ πολλῶν καὶ ἀκόσμητοι, καὶ ὥςπερ ἀγροικικοὶ καὶ ἀκοινώνητοι, οὕτω καθάπαξ εὐλαβῶς ἤσκηντο, καὶ ἀκριβείας ἦσαν ἐπιμελεῖς μηδὲν προςπεριεργαζόμενοι μὴ λόγοις, μὴ πράγμασιν ἄνευ τοῦ [10]) κατὰ φύσιν καὶ ἀναγκαστῶς πραττομένου, καὶ ταύτης δὴ τῆς αἰτίας λοιπὸν καὶ τῆς ἀσκήσεως τοῦ βίου. Καὶ ὥςπερ ἐπὶ ῥητοῖς ζωῆς καὶ μέγιστ᾽ αὐτοὶ δυνάμενοι Λακεδαιμόνιοι τὸ καθ᾽ ἑαυτούς, κἂν ταῖς κοιναῖς ἐστιν ὅτε χρήσεσι, καὶ συνόδοις καὶ συμπράξεσι μετὰ τοῦ ἄλλου γε ἑλληνικοῦ τῶν ἁπάντων οὐδέσιν [11]) ἐξιστάμενοι τῶν πρωτείων καὶ τῆς ἀρχῆς, οὐδ᾽ ἄλλοις ἕπεσθαι ξυγχωροῦντες, ἀλλ᾽ αὐτοὶ μᾶλλον ἄρχειν κρίνοντες καὶ παρὰ τῶν ἄλλων δικαιούμενοι πραγμάτων ὅμως ἀφορμὰς οὐκ ἠξίουν προςποιεῖσθαι μέχρι πολλοῦ, οὐδὲ προςπεριβάλλεσθαι χώρας καὶ ἔθνη, καὶ κατάρχειν πολλῶν, καὶ πολλοῖς ἐπιτίθεσθαι, καὶ πολλοῖς ἐντεῦθεν αὐ-

9) καὶ ἀπραγμονέστερον usque ad πραγμάτων desiderantur in C. Aug.

10) τοῦ, deest in C. Mon.

11) οὐδέσιν, C. Mon. οὐδῆσιν.

ξειν ἐνενόουν, ἀλλ' ἠγάπων εὖ μάλα τὰ σφέτερα αὐτῶν ἰδιοπραγοῦντες κάλλισθ' ὅροις τακτοῖς, καὶ δεῆσαν ἐν πολλοῖς τὴν ἀρετὴν ἐπιδείκνυσθαι κατ' ἀνάγκην, ὥςπερ ἑαυτοῖς ἐχρῶντο, καὶ φρονήματος ὑπὲρ τοὺς πολλοὺς ἦσαν, καὶ ἀναμφηρίστως [12]) ἠξίουν αὐτοὶ πρὸ τῶν ἄλλων [13]) πραγμάτων ἅπτεσθαι, περαιτέρω δὲ λοιπὸν ἢ κατὰ τὴν χρείαν μηκέτι πειρᾶσθαι, ἀλλὰ κατ' ἔθος οἰκεῖον ἐκ μακροῦ σωφρονεῖν ἐν [14]) ἑαυτοῖς, ὥςτε καί τινες ἤδη χαρίεντες εἰς τὸ ἄπραγμον αὐτῶν ἀποσκώπτοντες καὶ τὴν τῶν Ἀθηναίων αὖθις εὐτραπελίαν, καὶ τὴν περιεργίαν, καὶ τὸ φιλόνεικον καὶ τὸ πλεονάζον ἐν πράγμασιν Ἀθηναίους μὲν ἔλεγον πλείω τῆς δυνάμεως καὶ τῶν ὑπαρχόντων φρονεῖν, καὶ τὸν ἀεὶ χρόνον ἐννοεῖν, τοὺς δὲ τοὐναντίον ἅπαν ἢ δύναιντ' αὖθις ἧττον ἐνεργοὺς εἶναι καὶ τοῖς λογισμοῖς κινεῖσθαι. Ἐδόκουν γὰρ δὴ καὶ τοῦτ' ἐν Ἕλλησι τὸ ἀρχαῖον Λακεδαιμόνιοι τῶν ἄλλων ἁπάντων ὀλιγανθρωπεῖν μάλιστα, καὶ περιφανεῖς γε ὅμως ὄντες καὶ πρὸ τῶν ἄλλων σχεδὸν ἁπάντων ἐν Ἕλλησι, καὶ τούτου γε τὸ αἴτιον εἶναι τὸ ξενίζον ἀμέλει τοῦ βίου καὶ τῆς κατ' αὐτοὺς πολιτείας, καὶ τὸ ἀκοινώνητον ἢ κατ' ἄλλους τῶν ἐθνῶν τε καὶ ἠθῶν. Τεκμήριον δὲ, ὅτι καὶ ἀεὶ ἐν ταῖς κοιναῖς συνόδοις καὶ χρείαις πράξεσιν ὑπὲρ

---

12) ἀναμφ., C. Mon. ἀναμφορίστως.

13) ἄλλων, C. Mon. non exhibet.

14) ἐν, abest a C. Mon.

τῶν ἑλληνικῶν καί τοι τῆς ἡγεμονίας ἀντιποιούμενοι καὶ τυγχάνοντες αὐτοὶ, καὶ τὰ πρῶτα φέροντες, ὀλίγον ἀριθμὸν συνετέλουν ἑκάστοτε τῷ παντὶ συστήματι, καὶ πολλῷ γε ἧττους ἐωρῶντο τοῖς κοινοῖς ἐράνοις τῆς χρήσεως ἢ κατ' ἐνίους τῶν συντελῶν, ὧν ἠξίουν αὐτοὶ πρωτεύειν τὲ καὶ ἄρχειν. Καὶ δείκνυσι Λεωνίδας ἁπαντῶν σὺν τριακοσίοις ἐν Πύλαις πρὸς τοσαύτας ἐπιούσας μυριάδας τῶν τοῦ Ξέρξου στρατευμάτων· καὶ δείκνυσιν ὁ βραχὺς τῶν νηῶν ἀριθμὸς, ὃν συνεισέφερον τῇ περὶ Σαλαμῖνα [15]) ναυμαχίᾳ, καὶ ταῦτ' ἀξιοῦντες ἄρχειν αὐτοὶ καὶ τὸν Εὐρυάδην [16]) ἐξ αὐτῶν ἐπὶ πάντων Ἑλλήνων ᾑρῆσθαι ναύαρχον. Καὶ αὖ ἑξῆς ὀλίγος ἀεὶ τὸν ἀριθμὸν ὁ λακωνικὸς ἀπόστολος εἰς τὰς κοινὰς τῶν Ἑλλήνων ναυμαχίας κατὰ τοῦ Πέρσου, καὶ ὑπὲρ ἀσφαλείας τῶν ἑλληνικῶν κατὰ θάλατταν χωρίων. Καὶ δείκνυσι καὶ ἡ ἐν Πλαταιαῖς αὐτὴ στρατηγία Παυσανίου, τοῦ βασιλέως Λακεδαιμονίων, ἐπὶ πάντων Ἑλλήνων ἡγεμονεύοντος ἀντιταττομένη πρὸς Μαρδόνιον τὲ [17]) καὶ Πέρσας. Καίτοιγε πολὺ δὴ [18]) τῶν ἄλλων ἐπιλεστέρα [19]) πρότερόν τε καὶ ὕστερον Λακωνικὴ στρατιὰ

15) *Σαλαμ.* Cdd. Aug. et Mon. *Σαλαμῖναν.*

16) *Εὐρυάδην*, C. Mon. *Εὐριάδην*: vterque male: leg. *Εὐρυβιάδην*, vt infra dicitur.

17) *τὲ καὶ Πέρσας* vsque ad *καὶ ὕστερον Λακωνικὴ* desiderantur in C. Aug.

18) *δὴ*, omissum in C. Mon.

19) *ἐπιλεστ.*, C. Mon. *ἐπιμελεστέρα*: fors. *ἐπιτελεστέρα.*

δοκεῖ συνταχθῆναι πρὸς τὴν μάχην ταύτην ὑπὸ Παυσανίᾳ τηνικαῦτα, πρὸς δ' ὅμως τὸ φρόνημα τῆς Σπάρτης καὶ Παυσανίου τὴν ἀγερωχίαν καὶ ὑπερφροσύνην τῶν ἐκ τοῦ παντὸς ἑλληνικοῦ τηνικαῦτ' εἰς ἓν ἐλθόντων στρατηγῶν τε καὶ στρατευμάτων. Καὶ τοῦτο δὴ τὸ κατὰ Παυσανίαν τηνικαῦτα λακωνικὸν στράτευμα ἱππικόν τε καὶ ὁπλιτικὸν, κἂν εἰ μάλ' εὖ ἤσκητο τὰ πολέμια, τῷ γ' ἀριθμῷ πολλῶν οὐχ ὑπερεῖχε. Καὶ μὴν ἔτι πιστοῦται τὸν λόγον, ὅτι δῆτ' ἐν Πύλῳ δυστυχήσαντες οὐ πολὺς Λακώνων ἀριθμὸς, καὶ ληφθέντες παρὰ δόξαν Ἀθηναίοις καὶ Κλέωνι κομιδῇ ταπεινῶς πράττειν ἠνάγκασαν τὰ οἴκοι τέλη καὶ τὴν πατρίδα, καὶ μεθεμένους τὸ περὶ τῆς ἐλευθερίας τῆς Ἑλλάδος φρόνημα καὶ τὴν ἀήττητον τῆς Σπάρτης πρόληψιν ἐν πᾶσιν ἀνθρώποις καὶ φήμην αὐτίκα αὐτόθεν εἰρήνην μετ' Ἀθηναίων ποθεῖν, καὶ ὡς ἥδιστα σπένδεσθαι. Ἔτι δὲ χρόνοις αὖθις ὕστερον τὴν ἐν Λεύκτροις μάχην νικηθέντες ὑπὸ Θηβαίων ἐν ἐσχάτοις ἐγένοντο, καὶ μικροῦ γε παντάπασιν ὀλέσθαι τὸ μέγα τῆς Σπάρτης ὄνομα, καὶ τὸ [20]) Λακεδαιμονίων κλέος ξυνέβη. Κἂν εἰ μὴ τοῦτο γέγονεν, ἀλλ' ὅμως ἐκεῖθεν ἔπειτα ταπεινῶς ἔπραττον ἀεὶ, καὶ οὐχ οἷοί τ' ἐγένοντο τὴν δόξαν ἀνασώσασθαι καὶ ἑαυτῶν [21]) γενέσθαι. Καὶ καθόλου γ' ἐρεῖν ῥᾷστ' ἔξεστι συλλογίζεσθαι καὶ

20) τὸ, deest in C. Mon.

21) ἑαυτ. Cdd. Mon. et Aug. αὐτῶν.

μανθάνειν τῶν περὶ αὐτῶν ἐξ ἀρχῆς ἱστοριῶν, μὴ πολυανθρωπεῖν τὰ Λακεδαιμονίων, εἰ καὶ μάλιστα τῶν ἄλλων Ἑλλήνων ἁπάντων βέλτιον ἐδόκουν πολιτεύεσθαί τε καθάπαξ, καὶ τὰ μάχιμα ἠσκῆσθαι. Καὶ ἡ πᾶσα γὰρ ἀγωγὴ τοῦ βίου ἐξ ἔτι[22]) παιδικῆς τῆς ἡλικίας τοῖς τοῦ Λυκούργου νόμοις μελέτη καρτερίας ἦν καὶ τέχνης τῶν μαχίμων ἔργων, καὶ πάντα τολμᾷν καὶ[23]) ἀφειδεῖν θανάτου, ὡς οὐδὲν μήποτ' ὂν δεινὸν ὑπὲρ πατρίδος, ὑπὲρ δόξης ἀρετῆς. Ταῦτ' ἄρα καὶ πολλοὺς[24]) τινὸς ἠξιοῦντο λόγου, καὶ μέγα ἦν ἐν ταῖς ἑκάστοτε μάχαις παρόντες Λακεδαιμόνιοι[25]). Νόμος μέν γε εἷς οὗτος ἦν αὐτοῖς ἄλυτός τε καὶ ἄτρεπτος, καὶ τί λέγω Λακεδαιμονίοις ἄλυτος, ἀλλὰ καὶ πᾶσι μὲν οὖν Ἕλλησι γνώριμός τε καὶ στεργόμενος εὖ μάλα ἐν πάσαις πολεμικαῖς συνελεύσεσι τῶν Ἑλλήνων, ἢ κατὰ βαρβάρων ἐχθρῶν, ἢ καθ' ὡντινωνοῦν αὖθις Ἑλλήνων ἔνθα ἂν αὐτοὶ παρεῖεν Λακεδαιμόνιοι αὐτοὶ καὶ ἄρχειν μεθ' ὧν τάττοιντ' ἄν, καὶ αὐτῶν εἶναι, καὶ μὴ ἄλλου του γένους τὸν[26]) ἐπὶ πάντων τῶν συνταττομένων στρατηγόν. Καὶ πολὺς ἂν εἴη πόνος καὶ ἴσως οὐκ εἰς δέον νῦν εἶναι καταριθμεῖσθαι

---

22) ἐξ ἔτι, Cdd. Aug. et Mon. ἐξέτι.

23) καί, C. Mon. non praebet.

24) πολλούς, C. Aug. πολλοῖς: an πολλοῦ? sic C. Paris. Reg. sed C. Germ. πολλαῖς.

25) Λακεδαιμόνιοι, Cdd. Aug. et Mon. addunt: καὶ τοῖς μὲν συμπράττοντες, τοῖς δ'. ἀντιπραττόμενοι.

26) τόν, C. Mon. τῶν.

τοὺς πολέμους, ἐν οἷς μεθ' Ἑλλήνων ἀγωνιζόμενοι πειθομένων εὖ μάλ' αὐτῶν καὶ αἱρουμένων ἦρχον αὐτοὶ καὶ προΐσταντο τῆς μάχης. Ἀλλ' ὃ μάλιστα βεβαιοῖ τὸν λόγον, ὅτι Ξέρξου κατὰ τῆς Ἑλλάδος ἐπιόντος μεγάλῳ κράτει, καὶ στρατεύμασι καὶ βρονταῖς ἀτόπων ἔργων, οἱ Ἕλληνες, ὅσοι καὶ συνῆλθον, καὶ ἀντιτάττεσθαι πρὸς τοὺς Πέρσας ἐψηφίζοντο, οἱ αὐτοὶ καὶ ἐκ συμφώνου πάντες τῆς ὅλης μάχης καὶ [27]) τοῦ ἀγῶνος Λακεδαιμονίους ἐξάρχειν ἐψηφίζοντο, καὶ ταῦτ' Ἀθηναίων γε παρόντων, Ἀθηναίων, οἳ τὸ πᾶν τῆς δυςχερείας τῆς μάχης αὐτοί γ' ὑπέστησαν, καὶ τὴν γῆν προήκαντο, καὶ τὴν πατρίδ' ἀπέλιπον τὴν θάλατταν ἀνταλλαξάμενοι καὶ τὰς ναῦς, καὶ κατ' ὀφθαλμοὺς ἑώρων πυρίκαυστον ὑπὸ τῶν πολεμίων καὶ κοινὰς καὶ δημοσίας κατασκευὰς καὶ ἱερὰ, καὶ οἴκους ἰδίᾳ καὶ ἀγροὺς, οἳ προεῖχον πάντων ἐμπειρίᾳ τε καὶ σοφίᾳ πάσῃ τε ἄλλῃ, καὶ τῇ περὶ τὰ πολέμια, καὶ τῇ πρὸ βραχέος ἐν Μαραθῶνι τῆς περιφανοῦς νίκης δικαιώσει· οἳ μάλιστα δὴ τὸ πλεῖστον τῆς εἰς τὴν μάχην συντελείας εἰσενέγκαντο ἀνδρῶν τε μαχίμων κατάλογον καὶ νεῶν ἀριθμὸν, εἰς ἃς τὸ πᾶν τηνικαῦτα περιέστη τῆς μάχης, πλεῖον γὰρ ἢ πάντες ὁμοῦ συνεισενέγκαντο τῆς μάχης οἱ κοινωνοὶ, καὶ ὧν πολλοστόν τι καὶ ὅσον αἰσχύνῃ λέγειν, εἰςενέγκαντο Λακεδαιμόνιοι. Ἀλλ' ὅμως καὶ οὕτως ἐπείθοντο καὶ οὗτοι τῷ

---

27) καὶ, deest in C. Mon.

πάλαι κρατοῦντι νόμῳ περὶ Λακεδαιμονίων, καὶ ὑπεξίσταντο τῆς ἡγεμονίας αὐτοῖς, καὶ ναύαρχος μὲν ἦν κατὰ τῶν Περσικῶν νηῶν Εὐρυβιάδης ὁ Σπαρτιάτης. Ἐπείθετο δὲ καὶ εἵπετο κατ' ἐντολὴν Θεμιστοκλῆς ὁ πάνυ καὶ Ἀθηναῖοι, τὸ πᾶν γε ὄντες αὐτοὶ τῆς μάχης. Καὶ στρατηγὸς ἔπειτ' αὖθις ἐν τῇ τῶν Ἑλλήνων ἁπάντων κατὰ Μαρδονίου τὲ καὶ Περσῶν Παυσανίας, ὁ τῆς Σπάρτης βασιλεὺς, Ἀριστείδης δὲ, οὐ μέγα κλέος ἐν Ἕλλησι, καὶ τὸ Ἀθηναίων ἱππικόν τε καὶ ὁπλιτικὸν ὑπήκουσε. Καὶ ὅτε γε ταῦτα φημὶ, παρίημι κοινὰς ἔπειθ' ἑξῆς Λακεδαιμονίων καὶ Θηβαίων καὶ Κορινθίων, καὶ ὡντινωνοῦν ἄλλων Ἑλλήνων ἐφ' Ἕλληνας ἄλλους τὲ καὶ ἐπ' Ἀθηναίους στρατείας καὶ μαχίμους ἐφόδους, ἐν αἷς προεττάττοντο καὶ ἤκουον ἄρχοντες ἀεὶ Λακεδαιμόνιοι, καὶ οἱ ἄλλοι γ' ἐδόκουν ὥςπερ γ' ἐν προςθήκης τινὸς μέρει καὶ συμμαχίας ἕπεσθαι, τὸν πόλεμον δ' εἶναι σαφῶς οὑτωσὶ Λακεδαιμονίων κατ' Ἀθηναίων ἢ ὡντινωνοῦν ἄλλων. Οὕτω τοι πολὺ τὸ ξυγκεχωρηκὸς παρὰ πάντων Λακεδαιμονίοις περὶ τὰ πολέμια, καὶ λόγος δὴ οὗτος παλαιὸς ἐν Ἕλλησιν, ὅτι Λάκων ἀνὴρ στρατιώτης, ὁςτιςοῦν ξυντυχὼν ὅπῃ ἂν, ἱκανὸς ἂν εἴη καὶ δύναιτο χρῆσθαι τοῖς παροῦσιν ἀντὶ στρατηγοῦ. Καὶ γὰρ δὴ νόμιμος ἄσκησις ἦν αὐτὸ μόνον, καὶ οὐκ ἄλλό τι πρὸς τούτῳ τοῦ πολεμεῖν ἡ χρῆσις, καὶ τοῦ ἄρχεσθαι καὶ ἄρχειν ἐν μάχαις καὶ ἄλλαις μέν γε πολιτικαῖς ἀρχαῖς· τὸ πλεῖστον δ' ἐν μάχαις ἡ μάθησις, καὶ οὐχ

οἱ τυχόντες κατελέγχοντο τοῖς συντάγμασι καὶ ἐπλήρουν τὰ στρατεύματα, οὐδὲ δεῆσαν [28]) μάχεσθαι. Ἀναστὰς ὁ σκυτοῤῥαφῶν, καὶ ὁ τέκτων, καὶ ὁ χαλκοτύπος, καὶ ὁ κεραμεὺς, ἢ ἄλλος ὁςτισοῦν ἐργατικὸς τέχνης ἀπὸ τῶν οἰκείων ἐργαστηρίων καὶ τῶν πρώτων ὑποθέσεων σφίσι τοῦ βίου ὡπλίζοντό τε καὶ ἐστρατεύοντο κατα λόχους καὶ τάγματα, ὥςπερ Ἀθήνησι καὶ παρ' ἄλλαις ἑλληνικαῖς πόλεσι τοῦθ' οὕτως εἶχεν. Ἀλλὰ βίου πρόθεσις ἦν ἐν Σπάρτῃ νομίμως ἀποτεταγμένη τὸ πρὸς τὰ μάχιμα ἐξ ἔτι [29]) παιδὸς παρεσκευάσθαι, καὶ οὐδὲν ἄλλ' ἢ τοῦτο [30]) μόνον παρεσκευάσθαι καὶ χρῆσιν ἔχειν βιοτῆς, καὶ οἱ μὲν ἀγεώργουν [31]), αὐτὸ τοῦτο μόνον, οἱ δὲ τέχνας ἠσκοῦντο κατὰ τὰς τῶν πολιτειῶν χρείας, αὐτὸ τοῦτο μόνον αὖθις, οἱ δ' ἀποτετάχατο προπολεμεῖν τῆς πατρίδος καὶ τῆς χώρας, καὶ πρὸς τὰ πολέμια ἠσκῆσθαι, αὐτὸ τοῦτο μόνον καὶ οὗτοι. Ταῦτ' ἄρα καὶ ξυνέβαινεν, ὃ δὴ καὶ πρὸ ὀλίγου εἴρηται, ὀλίγον εἶναι, ἢ κατ' ἄλλας τῶν περιφανῶν ἐν Ἕλλησι πόλεων, τὸ στρατιωτικόν τε καὶ μάχιμον ἐν Λάκωσι, πολλῶν μέν γε ὡς ἀληθῶς καὶ ἂν καὶ δοκοῦν ἄξιον νομίμως κατὰ πᾶν τὸ γιγνόμενον εἰς τοῦτ' ἀγόμενον καὶ ἀρτιόχρειον. Πάντα γὰρ τῷ ὄντι κα-

---

28) οὐδὲ δεῆσαν, C. Mon. οὐδὲ δὴ ἦσαν.

29) ἐξ ἔτι, Cdd. Aug. et Mon., vt supra, ἐξέτι.

30) τοῦτο, C. Aug. τοῦτον.

31) ἀγεώργ., nonne ἐγεώργουν?

τεστήσατο Λυκοῦργος ξὺν τῷ καιρίῳ καὶ τεταγμένῳ τὰ τῆς πολιτείας καὶ τῶν νόμων Λακεδαιμονίοις καὶ ξυμμετρίαις ἕκαστα ὡρίσατο, αἷς ἀτρέπτως καὶ ἀπαραιτήτως ἔδει χρῆσθαι, καὶ μάλα τὸν νοῦν προςέχοντας μήποτ' ἄρα πλεῖν ἢ δέοι ἂν χρῆσθαι. Κἀντεῦθεν τοῦτ' ἐσκώπτοντο πολλάκις ὑπ' ἐνίων, ὡς ἄρ' ὑπὸ τῆς πολλῆς ἀκριβείας βραδύτερον ἐχρῶντο πολλάκις τοῖς πράγμασι καὶ ὑστέριζον ἄλλων, καὶ μάλιστα [32]) τῆς Ἀθηναίων ὀξύτητος καὶ εὐτραπελίας, οὓς μάλιστα τῶν ἄλλων ἐφαμίλλους εἶχον τοῖς ἑλληνικοῖς πράγμασι, καὶ τῶν μὲν ὑπαίτιον ἦν ἡ νωθρότης [33]) καὶ τὸ πάνυ τοι τεταγμένον, τῶν δὲ τὸ θράσος ἄσχετον ταῖς ἐπιβολαῖς [34]) καὶ ἡ ὀξύτης τοῦ χρῆσθαι. Καὶ ὡς ἀληθῶς ἔστιν οὗ καὶ ἀμφότερα τοῦ [35]) κατὰ καιρὸν ἀποτυγχάνειν, καὶ αὖθις ἔστιν οὗ καὶ ἀμφότερά πλεῖστον ἐπίχρεια εἶναι πρὸς τὸ τῶν ἔργων ἀνύσιμον, καὶ οὐκ ἂν ὡσαύτως δικαίως ἂν ὁτῳοῦν ἀμφοῖν καὶ λυσιτελούντως [36]) ἀεὶ χρῷτό τις. Ἀλλ' ὅπερ ἐλέγομεν, ὡς ἄρα πολύ δή τι θαυμαστὸν ἐδόκει καὶ πολλῶν ἐπαίνων ἄξιον ἐν τοῖς ἄνω χρόνοις ἡ Λακεδαιμονίων ὑπὲρ πάσας ἄλλας ἑλληνικὰς ..λιτείας, καὶ τὰ κατ' αὐτὴν νόμιμα. Καὶ ..άτων αὐτὸς πολιτείας καὶ νόμους ξυγγράφων,

32) καὶ μάλιστα — εὐτραπελίας, desunt in C. Aug.

33) νωθρ., Cdd. Aug. et Mon. νοθρότης.

34) ἐπιβολ., C. Mon. ἐπιβουλαῖς.

35) τοῦ C. Mon. non habet.

36) λυσιτ., C. Mon. λυσιτελούντων.

καὶ Ἀριστοτέλης [37]) αὖθις περὶ πολιτικῶν φιλοσοφῶν, καὶ πάντα γε τὰ τῶν ἄλλων εὐθύνοντε καὶ ὑπ᾽ αἰτίαν ποιουμένω, ὥςπερ δὴ τοῖς ὀψὲ τῶν χρόνων καὶ μετ᾽ ἄλλους ἥκουσι καὶ τὰ πρὸ αὐτῶν βασανίζουσι, καὶ μάλιστ᾽ ἀμφοῖν τοῖνδε τοῖν σοφοῖν ἔθος τὰ πρὸ αὐτῶν αἰτιᾶσθαι πάντα, καὶ αὐτῷ γε τῷ δευτέρῳ μάλιστ᾽ Ἀριστοτέλει καὶ τὰ τοῦ Πλάτωνος πρὸς τοῖς ἄλλοις ὑπεύθυνα ποιεῖσθαι καὶ πειρᾶσθαι δεικνύειν μὴ τυγχάνοντα παντὸς τοῦ προςήκοντος. Καὶ ἄμφω γε μὴν, ὥςπερ εἴρηται, τώδε τὼ ἄνδρε μέμφεσθαι μὲν καὶ πρὸς ταῖς ἄλλαις ἐπιτιμᾶν ἀξιοῦν καὶ τῇ πολιτείᾳ Λακεδαιμονίων κατ᾽ ἔθος ἐοίκατον. Οὐ μὴν ἀλλὰ προέχειν γε πολλῷ τῶν ἄλλων ταύτην κρίνετον σαφῶς, καὶ τὴν νικῶσαν αὐτῇ χαρίζεσθον [38]) πρώτην τιθεμένω τῶν ἄλλων, οὐ δημοκρατιῶν μόνον, ἀλλὰ καὶ ἀριστοκρατιῶν, ὅσαι μέχρι καὶ εἰς αὐτοὺς κατ᾽ ἀνθρώπους ὤφθησαν, τὴν λακωνικὴν πολιτείαν καὶ ἀναμφηρίστως νικῶσαν καὶ σὺν αὐτῇ γε τὴν Κρητικὴν, καὶ τὴν Καρχηδονίων προςτίθησιν Ἀριστοτέλης. Καὶ γὰρ τῇ ἀληθείᾳ πολὺ τὸ κοινὸν, καὶ παραπλήσιον αἱ τρεῖς αὗται πολιτεῖαι ὀλιγαρχούμεναι διαφερόντως [39]), καὶ κάλλιστ᾽ εὐγενῶς ἀγόμεναι δοκοῦσιν ἔχειν. Καὶ φθάνει μέν γε ἡ Κρητῶν τῷ χρόνῳ ἀπὸ Μίνωος, ὡς φασὶν, εὖ

37) Ἀριστ., C. Mon, ὡς Ἀριστοτέλης.

38) αὐτῇ χαρ., C. Mon, αὐτῷ χάριν, sed in marg. vt C. Cis.

39) διαφ., C. Aug. διαφερόντων.

καταστᾶσα καὶ θαυμαζομένη τέως, εἰ ἀληθὲς τοῦτ᾽ ἐστὶ, φθάνει 40) *δ᾽ ὅμως καὶ ἀμφοτέρας* 41) *τῇ ἀληθείᾳ. Καὶ Λυκοῦργος τῇ πατρίδι πρὸς ἐκείνην ὁρῶν τους νόμους τίθεται, καὶ Καρχηδόνιοι δ᾽ ὡσαύτως ἐχρήσαντο δεύτεροι Κρητῶν μετ᾽ ἀληθείας, ὡς ἔστι συλλογίζεσθαι, εἰ δὲ καὶ Λακεδαιμονίων, ἀκριβῶς οὐκ οἶδ᾽ ἔγωγε. Τό γε μὴν ἀληθέστατον, ὡς ἄρ᾽ αἱ τῶν τριῶν ἐθνῶν τούτων αὗται πολιτεῖαι, Κρητῶν, Λακώνων, Καρχηδονίων* 42) *ἄριστά τε τῷ παντὶ καὶ βέλτιον ἢ κατὰ τὰς ἄλλας ἐνομίσθησαν, καὶ πλεῖστον χρόνον εὐγενεῖς ἐκράτησαν, πάντα δ᾽ ἀλλήλαις παραπλησίως, καὶ οὐδὲν ἢ βραχὺ παρ᾽ αὐταῖς τὸ διάφορον. Καὶ σιτία γὰρ παρὰ* 43) *πάσαις ἦν νόμιμα, καὶ γυμνάσια, καὶ τέχναι πολεμικαὶ* 44) *καὶ πειθαρχικαὶ, καὶ δίαιτα σωφρονικὴ καὶ πᾶσαν ἐγκράτειαν τιμῶσα καὶ περιφρόνησιν πολυτελείας ἐν τοῖς ἰδιωτικοῖς βίοις, καὶ βασιλεῖς οὐκ ἐπὶ ῥητοῖς, ἀλλ᾽ ἐν παντὶ τῷ βίῳ, τἄλλα μὲν ὑπευθύνους, στρατηγοὺς δὲ μόνον καὶ τὰ πολέμι᾽ ἄρχοντας ἀνευθύνους προΐσταντο, καὶ τὴν τῶν γερόντων καὶ δοκιμασθέντων ἐν πράγμασι κοινῶς ἐνόμιζον προεδρίαν, καὶ παρὰ πάντων αἰδῶ καὶ θείαν τιμὴν, καὶ ἐπὶ πᾶσι τὸ μάλιστα ἰσχύον κράτος τὸ τῶν πέντε*

---

40) *φθάνει*, C. Mon. *φθάνειν.*

41) *ἀμφοτ.*, leg. *ἀμφοτέρα.*

42) *Καρχ.*, C. Mon. *καὶ Καρχηδονίων.*

43) *παρὰ*, ignorant Cdd. Aug. et Mon.

44) *πολεμ. καὶ πειθ.*, C. Mon. *πολιτικαὶ πειθαρχικαί.*

καλουμένων ἐφόρων. Κρῆτες δὲ τὸ τῶν κόσμων οὕτω δὴ διαφόρως καλουμένων δέκα, ταὐτὰ [45]) δὲ δυναμένων, Καρχηδόνιοι δὲ [46]) τῶν οὐκ οἶδ' ὅπως κληθέντων, οὐ γὰρ ἔχομεν ὄνομα, ἐκ πολλοῦ δὲ συντεταγμένων ἀριθμοῦ, ἢ κατὰ τοὺς ἀμφοτέρων ἐκείνων, τέτταρες γὰρ πρὸς τοῖς ἑκατὸν ἦσαν, ὡς Ἀριστοτέλης φησὶ, κοινὸν δὲ ὅμως καὶ τοῦτο τοῖς τρισὶν ἔθνεσιν, ὡς οἱ λογάδες οὗτοι. Καὶ τὸ κατὰ πάντων κράτος αὐτοὶ μάλιστα τῶν τῆς πατρίδος ἔχοντες τῶν δημοτικῶν ἦσαν καὶ τοῦ πλήθους, καὶ δοκοῦσί γε τοίνυν ἐμοὶ δοκεῖν [47]) κἀνταῦθα βέλτιον, ἢ κατ' ἀμφοτέρους νομίζειν Λακεδαιμόνιοι, οἷς ὅτι δεῆσαν διὰ κοινωνίας χρείαν ἀδιαιρέτου τῆς ὅλης πόλεως συγκεραννύειν τοῖς ἀρίστοις τὸν δῆμον ἐκλεγόμενοι τὴν ἀρχὴν ταύτην ἀπὸ τῶν πολλῶν εἰς βραχὺν αὖθις ἀριθμὸν, ἢ κατὰ τοὺς ἄλλους τοὺς ἐπικλήρους τῆς ἡγεμονίας ταύτης συνέστελλον ἐκ παντὸς τρόπου τὸ ὀλιγαρχικὸν προτιθέμενοι [48]).

ΚΕΦ. ρά.

Ὅπως οὐ μόνον Ἕλληνες, ἀλλὰ καὶ πολλὰ τῶν ἄλλων ἐθνῶν κοινοπολιτείαις ἐχρήσαντο.]

Τοῖς ἐν τῷ κοινῷ πολιτεύμασιν ἀπὸ δεσποτῶν ἐλευθέροις κατὰ τοὺς ἄνω χρόνους πολὺ

---

45) ταὐτὰ, C. Mon. κατ' αὐτά.

46) δὲ, C. Aug. καί.

47) δοκεῖν, C. Mon. δοκεῖ.

48) προτιθ., C. Aug. προτιθέμενον.

μάλιστ᾽ ἐχρῶντο, ὡς ἄρα συλλογίζεσθαι ῥᾴδιόν ἐστιν ἐκ τῶν παλαιῶν ξυγγραφῶν, πλεῖσται δὴ πόλεις, κἀν πολλοῖς δὴ τοῖς μέρεσι τῆς γῆς, ἥ τε γὰρ Ἑλλὰς ἅπασα μετὰ τοὺς παλαιοτέρους [1]) χρόνους. Καὶ ὧν μάλιστα τὰς ἱστορίας μυθώδεις ἔχομεν, εὖ γε δῆλον, ὡς ἄρα κατ᾽ ἔθνη διαφόροις μὲν πολιτειῶν ἀγωγαῖς καὶ νομίμοις, τοῦτο μὲν πρὸς ὀλιγαρχίαν, τοῦτο δὲ πρὸς δημοκρατίαν, ἀδεσπότοις γε μὴν ταῖς πάσαις ἐχρῶντο, πλὴν εἴ πού τινὲς ἐκ νόσων πολιτικῶν καὶ στάσεων ξυνέπιπτον προςκαίροις ἑκάστοτε τυραννικαῖς δυναστείαις, νῦν μὲν ἄκοντες, μάλα καὶ δυςχεραίνοντες καὶ χαλινοῖς βίας ταλαιπωροῦντες κομιδῇ, καὶ, ὡς εἰπεῖν, κλαίοντες [2]) καταγχόμενοι, νῦν δὲ καὶ αὐτοί γ᾽ ἑκόντες ὄντες [3]) κατὰ χρείαν δή τινα, καὶ αὖθις διὰ νόσον ἐν λογισμοῖς σωφρονικοῖς καὶ ποθοῦσιν ἰατρείαν ἐπὶ ταῖς συμφοραῖς καὶ ταῖς στασιώδεσιν ἐπηρείαις ἀλλαττόμενοι καὶ ἀνθαιρούμενοι δεσπότας ἐπὶ ῥητοῖς ἀνευθύνους καὶ τυραννικὴν ἐπιστασίαν βελτίστων ἀνδρῶν κατ᾽ ἀρετὴν ἐκλογίμων, καὶ γαλήνην δυναμένων ἐμποιεῖν ἐν πολιτικοῖς κλύδωσιν, οὓς αἰσυμνήτας τὸ παλαιὸν ἐκάλουν, οἷος Πιττακὸς ἦν ἐν Μιτυλήνῃ, καὶ Περίανδρος ἐν Κορίνθῳ, καὶ Φοιβίας ἐν Σάμῳ, καὶ τῇ [4]) κατὰ Ἰόνιον Ἀπολλωνίᾳ Χαιρήμων,

---

1) παλαιοτ., Cdd. Mon. et Aug. παλαιτέρους.

2) κλαίοντες, Cod. Mon. κλᾴοντες: Aug. κλάοντες.

3) ὄντες, C. Mon. ignorat.

4) τῇ, C. Mon. τῆς.

καὶ ἄλλοι παρ᾽ ἄλλοις, ἐξ ὧν δὴ καὶ μάλιστ᾽ ἐπίδηλον, ὁπόσον δὴ τῷ βίῳ χρήσιμον ἐστὶν ὑπὲρ πάντ᾽ ἄλλα πολιτεύματα τὸ μοναρχικὸν εὐγενείᾳ καὶ φύσει νομίμοις ἤθεσι κατ᾽ ἐπιλογὴν ἀριστίνδην πιστευόμενον διοίκησιν ἀνθρώπων καὶ σωτήριον ἐπιτροπήν [5]). Καὶ τὸ μὲν ἑλληνικὸν οὕτω τὸ ἀρχαῖον, τὶ μὲν κατά τε μητροπόλεις ἐθνῶν ὡντινωνοῦν, ὑφ᾽ ἃς, ὡς ἄρα κορυφὰς, ἤγοντο τἄλλ᾽ ἐπιχώρια, τὶ δέ γε καὶ κατὰ ἄστη πλεῖστα διανενεμημένα [6]) παρὰ τῷ αὐτῷ γένει, καὶ κατὰ μέρη συστάδην ἰδί᾽ οἰκούμενά τε καὶ διοικούμενα [7]), ὥςπερ ἐν Θετταλοῖς εἶχε, πάνυ τοι πλεῖστον δὴ καταπεπολισμένης τῆς χώρας, καὶ Βοιωτοῖς, καὶ Ἀκαρνᾶσι, καὶ Ἀχαιοῖς ἐν Πελοποννήσῳ, καὶ Ἀρκάσι, καὶ μὴν παραπλησίως ταῖς καθ᾽ Ἑλλήσποντον τοῦ αὐτοῦ γένους πόλεσι πρὸς ἕω τε καὶ ἥλιον δύνοντα, καὶ ἰωνικαῖς τε καὶ αἰολικαῖς, καὶ πολλοῖς οὐκ ὀλίγοις ἄλλοις ἑλληνικοῖς ἔθνεσι, καὶ τὸ μέν γε ἑλληνικὸν ξύμπαν· οὕτω δὴ κατά τε τὴν ἑῴαν καὶ κατὰ τὴν Εὐρώπην ὑπὸ κοινοπολιτείαις [8]) ἤγοντο καὶ ᾤκουν, καὶ κατὰ θάλαττάν γε ὡσαύτως ἐν νήσοις, καὶ πρὸς ταῖς ἄλλαις γὰρ καὶ τὰ κατὰ Σικελίαν παραπλήσια τοῖς ἐκείνῃ γε κατὰ πόλεις οἰκοῦσιν ἔθνεσιν. Ἀλλ᾽ ἄρα δὴ καὶ τὸ πλεῖστον ὡσαύτως ᾤκουν τῆς ἄλλης ὑπὲρ τὸν Ἰόνιον

5) ἐπιτρ., C. Mon. ἐπιτροπικήν.

6) διανεν., C. Mon. διανενεμημένε.

7) τε καὶ διοικούμ., absunt a C. Mon.

8) κοινοπ., C. Mon. κοινοπολιτίαις.

Εὐρώπης πρὸς ἑσπέραν, καὶ τῆς Ἰταλίας γε σχεδὸν τὸ πᾶν Ἀρχύτας δὴ καὶ Χαρώνδας, καὶ τοιούτους ἄλλους ἐκ φιλοσοφίας Πυθαγορείους[9]) νομοθέτας καὶ τῶν πολιτευμάτων ἀρχηγέτας προστησάμενοι· καὶ αὖθις οὐκ ὀλίγα [10]) τῶν ὑπὲρ τὸν Ἑλλήσποντον καὶ τὴν Προποντίδα κατὰ τὸν Εὔξεινον ἐπ' ἀμφότερα [11]) παράλια πολίσματα δημοκρατικῶς καὶ ὀλιγαρχικῶς ἐπολιτεύοντο. Ταῦτα μέν γε καὶ πάνθ' ἑλληνικὰ, καὶ ὡς ἔοικεν ἑλληνικαῖς ἀποικίαις συνῳκισμένα, καὶ πολλά γε μὴν βαρβάροις καὶ ἄλλοις μὲν, οὐχ ἥκιστα δὲ καὶ Σκύθαις ἀγχίθυρα, οἷον ἡ πρὸς τῷ Βορυσθένει μεγάλη πόλις τοῦ Ἡρακλέους, καὶ ὅσαι τὰς ἐκβολὰς Ἴστρου, καὶ τὴν παραλίαν τῆς Ταυρικῆς χεῤῥονήσου πόλεις εἶχον ἄκρατον ἑλληνικὴν εὐγένειαν ἐπιδεικνύμεναι. Τἄλλα δ' ὅσα κατὰ τὴν Ἀσίαν σύμπαντ' ἔθνη μέχρι καὶ εἰς Ἰνδοὺς καὶ ἥλιον ἀνίσχοντα, καὶ ὅσα κατ' Αἴγυπτον, καὶ ὅσα τῆς Λιβύης οἰκοῦσι πόῤῥω τῆς θαλάττης ἄνθρωποι τοῖς ἄνω χρόνοις ὑπὸ δεσπόταις κατὰ γνώμην πάντ' ἄγουσι βιοῦντα, διεγένετο ἑλληνικῆς καὶ γλώττης καὶ γνώμης καὶ χρήσεως ἁπάσης τοῦ βίου καθάπαξ ἀλλότρια Κυρήνης [12]) ἄνευ καὶ τῆς ἐν Ἀφρικῇ μεγαλοπόλεως Καρχηδόνος. Οὐκ ὀλίγα γε μὴν τῶν τοιούτων ἐθνῶν πάλαι τῶν χρόνων καὶ σο-

9) Πυθαγ., C. Aug. Πυθαγορίους.
10) ὀλίγα, C. Mon. ὀλίγας.
11) ἐπ' ἀμφ., C. Mon. ἀπαμφότερα.
12) Κυρ., C. Aug. Κυρήνας.

φίας εἰς τὸν βίον κατακοσμηθέντα κάλλεσι, πολλὰ δὲ καὶ ἀρχεγόνους ἀναδόντα πηγὰς τοῖς σπουδαίοις περὶ τὴν παιδείαν, καὶ τὰ κατ᾽ αὐτὴν ὄργια, οἷον δὴ Χαλδαῖοι τε καὶ Αἰγύπτιοι τὰ κατὰ τὴν μαθηματικὴν ἕξιν εὖ ἀσκήσαντες καὶ φυσικῶν δογμάτων οὐκ ἀμελήτως [13]) τὸν ἀεὶ χρόνον ἔχοντες.

ΚΕΦ. ρβ.

Ὅτι τὸ ἐξ ἀρχῆς ἅπαντα σχεδὸν τὰ κατὰ τὴν Ἀσίαν ἔθνη οὐ κοινοπολιτείαις, ἀλλ᾽ ὑπὸ δεσποτῶν ἤγοντο [1]).

Ἐννοεῖν ἔπεισί μοι πολλάκις καὶ συλλογίζεσθαι περὶ τῶν κατὰ τὴν Ἀσίαν ἐθνῶν σχεδὸν ἁπάντων, ὡς ἄρα δῆτ᾽ ἐξ ἀρχῆς, ἀφ᾽ οὗ καὶ ἴσμεν τὰ κατὰ τὸν βίον καὶ τοὺς ἀνθρώπους πράγματα, οὔποτε κοινοπολιτείαις δημοκρατικαῖς ἢ ὀλιγαρχικαῖς ὥςπερ δὴ πλεῖστα τῶν κατὰ τὴν Εὐρώπην ἐπολιτεύσαντο, ἀλλ᾽ ἀεὶ δεσποτικαῖς μοναρχίαις, νῦν μὲν ἥττοσι, νῦν δὲ μείζοσι, νῦν δὲ κατ᾽ ἀμφότερα, ὡς εἶναί γε κατὰ μέρη ἄττα καὶ ἔθνη δεσπότας μὲν ἐγχωρίους, ἢ κατὰ κλῆρον ἐκ διαδοχῆς, ἢ κατ᾽ ἔθος ἄλλους μετ᾽ ἄλλους, ὅπως ἄρα ξυμβαίη, κρατοῦντας, καὶ ἄλλους αὖ μείζονας δεσπότας, καὶ πλείστων ἐθνῶν ἄρχοντας, καὶ ἐπ᾽ αὐτῶν δεσπό-

13) ἀμελήτως, leg. ἀμελετήτως, vt caput 16., vel ἀτημελήτως; vt c. 19.

1) ἤγοντο, C. Aug. ἥγοντο.

ζειν τῶν κατὰ μέρη κρατούντων, ἄρχοντας ἀρχόντων, καὶ βασιλέων βασιλεῖς ὠνομασμένους, ὡς εἶναι διπλῷ τῷ τρόπῳ τοὺς ἐν ἐκείνοις ἰδιώτας ἔθνεσιν [2]) ὑπὸ δούλειον βιοῦντας ζυγὸν, ὥςπερ δὴ ἐπὶ τῆς Ἀσσυρίων ὁρᾷν ἐστι βασιλείας τὸ ἀρχαῖον, καὶ τῆς γε κατὰ Λυδίαν, καὶ Μηδικῆς τε καὶ Περσικῆς μάλιστα, καὶ τῆς Μακεδόνων καὶ Ῥωμαίων χρόνοις ὕστερον. Καὶ τοῦτ' ἦν ἐμοὶ δοκεῖν ὡς ἀληθῶς αἴτιον τοῦ ῥᾷστ' ἄγεσθαι πάντας τοὺς τὴν Ἀσίαν οἰκοῦντας ὑπὸ δεσποτείαν, καὶ τάχιστα μεταβάλλειν δεσπότας ἄλλους ἐξ ἄλλων, καὶ ἄνευ πολλῶν καμάτων καὶ ἀταλαίπωρον τοῖς νικῶσι ποιεῖσθαι τὸ πλείστων ὅσων αὐτίκα αὐτόθεν ἄρχειν, καὶ ξὺν εὐδρομίᾳ φέρεσθαι καὶ μεγεθύνεσθαι πάνυ τοι, καὶ κατὰ πολλῶν ἐκτείνεσθαι σφίσι τὰς ἀρχὰς, οἷον δὴ ξυμβέβηκε Κύρῳ τε τῷ Πέρσῃ, καὶ Ἀλεξάνδρῳ, καὶ Ῥωμαίοις ὕστερον τὸ πρὸς δουλείαν ἔθιμον, καὶ πάλαι πολλῶν τῶν χρόνων κατὰ φύσιν ἔχον, ὡς εἰπεῖν, ἐκείνοις τοῖς ἔθνεσι ἀμηγέπη πρὸς πάντας δεσποτείας χαλινοὺς, ὡς ἂν ἀμέλει ξυμβαίη τῶν χρόνων ἑκάστων. Εἶ γὰρ δῆλον καὶ ῥᾴδιον ἅπαντι συνιδεῖν ὡς ἄρ' εἰθισμένοι δουλεύειν ἐκ μακροῦ καὶ πείθεσθαι νόμοις ὑποταγῆς, οἱ τῶν ἐθνῶν ἐκείνων ἄνθρωποι πρὸς πάντας ἄρχοντας οὐκ ἀηδῶς εἶχον, οὐδ' ἐδυςχέραινον, οὐδ' ἀπεστάτουν, ὥςπερ ἐστὶ

2) ἔθνεσιν, Cdd. Mon. et Aug. τοῖς ἔθνεσιν. Poſt ἔθνεσιν vterque hoc supplet: καὶ ἀνθρώποις ῥᾳδίως καὶ οὐκ ἀντιστατοῦσιν (ita Aug. sed Mon. ἀντιστρατοῦσιν).

φύσις ἀεὶ τοῖς μετατιθεμένοις εἰς ἀήθη τινὰ καὶ μὴ σφίσι προσήκουσαν ἕξιν. Τοιγαροῦν Ἀσσυρίων ὑπὸ Μήδων καὶ Περσῶν νικωμένων τὰ ὑπήκο' ἐκείνοις ἔθνη καὶ πάλαι τῶν χρόνων ὑπὸ δεσπόταις εἰθισμένα τάττεσθαι, πράγματ' ὀλίγα παρεῖχον Μήδοις καὶ Πέρσαις ὑπ' ἐκείνους τῆς τύχης προτρεπομένης γίγνεσθαι, καὶ πρὸς μηδὲν ἀλλότριον καὶ ἀήθες μετατίθεσθαι. Καὶ Κροῖσον καθελόντι Κύρῳ ῥᾷσθ' ὑπὸ χεῖρα τὰ πόσα [3]) καὶ τόσα τῶν κατὰ τὴν Ἀσίαν ἐθνῶν, ἃ Κροίσῳ καὶ Λυδοῖς ὑπήκουεν, ἐγίγνετο, καὶ ὄνομα μόνον νέου δεσπότου μετελάμβανεν ἀντὶ τοῦ προτέρου, τὰ δ' ἄλλα ἐν τοῖς αὐτοῖς εἶχον, καὶ προς οὐδὲν ἐργῶδες οὐδὲ καινὸν ἤγετο βίᾳ. Καὶ Ἀλεξάνδρῳ γε μὴν αὐτῷ πάνυ καὶ Μακεδόσιν οὐδὲν ἀντέπραττε νικήσαντι Δαρεῖον καὶ Πέρσας τῇ μάχῃ πᾶσαν σχεδὸν τὴν Ἀσίαν αὐτόθεν αὐτίκα πειθομένην ἔχειν, καὶ τὰ τοσαῦτα τῆς Περσικῆς ἀρχῆς ὑπήκοα κατ' ἔθος χρόνιον ἔθνη δεσποτικῶς κατὰ βούλησιν ἄγειν, καὶ ἴσως εὐγενέστερον ἢ πρότερον, καὶ ξυναίσθησιν ἀμείνονος ἐπιστασίας λαμβάνοντα. Φιλίππῳ δὲ τῷ [4]) πατρὶ πολλῶν ἐδέησε πραγμάτων, καὶ πολέμων, καὶ τρόπων παντοίων καὶ ὅρκων, καὶ πόνων εὐμεθόδων, καὶ συνθημάτων ἄλλοτ' ἄλλων καὶ μηχανῶν καθ' Ἑλλήνων ἐπιχειροῦντι, καὶ τὴν αὐτῶν ἐκ μακρῶν τῶν χρόνων ἐκπολιορ-

3) πόσα, Cdd. Aug. et Mon. τόσα.

4) τῷ, non habet C. Mon.

κοῦντι καὶ καταστρέφοντι τῆς ἐλευθερίας ὥσπερ φυσικὴν ἕξιν, καὶ βιοτῆς καὶ ζωῆς, ὡς εἰπεῖν, οὐσίαν, ἣν ἐργῶδες ἦν πάνυ τοι τρέπειν καὶ μεταβάλλειν, οἷ βούλοιτ' ἄν, εὐαγώγως [5]). Ῥᾷον μέντ' ἂν ἦν, λέοντα, κατὰ τὴν παροιμίαν, ἐπιχειρεῖν ξυρεῖν, ἢ Σπαρτιάτας ἐπ' ἐκείνων τῶν χρόνων ὑπὸ χεῖρας ποιεῖσθαι, καὶ λίθους ἕψειν αὖθις μετὰ τῆς παροιμίας, ἢ τὸ [6]) τῶν Ἀθηναίων ἀδάμαστον φρόνημα καὶ τὴν ὀφρὺν, καὶ τὴν αὐχμηρὰν καὶ πετρώδη καὶ ἀνήροτον [7]) Ἀττικὴν, καὶ τὰς ἐκ τῆς Εὐβοϊκῆς ὀρεινῆς ἀκρωνυχίας καὶ κατίσχνους οἰκήσεις μαλθάσσειν καὶ ταπεινοῦν ὑπὸ δούλειον χρῆσιν καὶ τὸν ἐν τοῖς στενοῖς Ἀκροκόρινθον αὐχέσι Πελοποννήσου. Τὸ γάρ τοι κατ' ἔθος πολὺ κρατεῖ [8]) κατὰ τῶν ἀνθρώπων βίαιον, καὶ οὐ ῥᾷσθ' ὑπείκειν, καὶ τρέπεται τοῖς πειρωμένοις μεταποιεῖν, καὶ οὐ μόνον τὸ τῆς ἑλληνικῆς εὐγενείας κατὰ φύσιν, ἀλλὰ καὶ τὸ πόῤῥωθεν τῶν χρόνων ἔθιμον τῆς ἐλευθερίας δυσεπιχείρητον χαλεπὸν ἐποίει τοῖς κατεπιχειροῦσι κατὰ τῆς αὐτῶν ἐλευθερίας, ὥστε κατασκοπὸν ἀνύτειν καὶ περιγίγνεσθαι. Τεκμήριον δὲ, ὅτι τοῦ αὐτοῦ γένους αἱ πρὸς τῇ Ἀσίᾳ πόλεις, Ἔφεσος καὶ Κλαζομεναὶ καὶ Σμύρνα, καὶ ὅσα λοιπὰ κατ' Ἰωνίαν ἄστη, καὶ Αἰολίδα τῶν αὐτῶν ἐθνῶν, καὶ φωνῆς, καὶ πά-

5) εὐαγ., C. Mon. εὐαγώγους.

6) τὸ, C. Mon. τῷ.

7) ἀνήρ., C. Mon. ἀνήρωτον.

8) κρατεῖ, Cod. Aug. et Mon. omittunt.

σης ἀσκήσεως, καὶ χάριτος ἑλληνικῆς, ὄντα τοῖς κατ' Εὐρώπην ἑλληνικοῖς ἄλλοις ἔθνεσιν οὐ πάνυ τοι χαλεπῶς ἐδούλευον, νῦν μὲν Λυδοῖς, νῦν δὲ Πέρσαις, νῦν δ' οἱςτισινοῦν ἄλλοις ἐκ διαδοχῆς διὰ τὸ τῆς δεσποτείας ἔθιμον ἐκ μακροῦ. Δαρεῖος δὲ καὶ Ξέρξης πολλὰ πράγματα καὶ μυριάριθμα στρατεύματα, καὶ πεζικά τε καὶ ναυτικὰ ἐπὶ τὴν Ἑλλάδα κατὰ τὴν Εὐρώπην κινήσαντες μέχρι τῶν προθύρων αὐτῆς γιγνόμενοι κραταιοὶ καὶ δεσπόται, καὶ δυσαντίβλεπτοι τὴν ἡγεμονίαν καὶ τὴν ὕβριν ἔπειτ' αὐτόθεν κακῶς ἀπήλλαττον, καὶ οἱ πάντ' ἀφ' ἡλίου σχεδὸν ἀνίσχοντος ἐς αὐτὴν μέχρι τὴν Ἑλλάδα καταδεδουλωμένοι, καὶ πάντ' ἐπ' αὐτὴν ἄγοντες ἔθνη, Πλαταιάς, πολίχνιόν τι πρὸ τῆς Ἀττικῆς ὀλίγον, καὶ ὀλίγῃ δυνάμει καὶ ὀλίγοις ἀνθρώποις οἰκούμενον οὐχ οἷοί [9]) τ' ἐγένοντο δουλαγωγῆσαι καὶ παραστήσασθαι· ἀλλ' ἐνταῦθα μικρᾷ τινι συστάσει τῶν Ἑλλήνων καὶ δυνάμει προςκόψαντες αἴσχιστ' ἀπεχώρουν, καὶ χαλεπα λοιπὸν ἔπειθ' ἑξῆς καὶ κατὰ γῆν καὶ [10]) κατὰ θάλατταν ἔπασχον, καὶ πολλὰ τῶν τῆς ἀρχῆς ἀφῃροῦντο. Καὶ ῥᾷστ' εὖ μάλα κατανοεῖν ἐστιν ἐκ πολλῶν καὶ τὸ πιστὸν διδόναι τῷ νῦν λόγῳ, ὅτι δυςχερές ἐστι μεταποιεῖν καὶ μεταβάλλειν καὶ βιάζεσθαι τὴν ἐκ μακροῦ κατ' ἀνθρώπους κρατοῦσαν ἔθιμον βιοτὴν, καὶ ὅτι δὴ ταύτης

9) οἷοί, C. Mon. οἱῶν, Aug. οἷω.

10) καὶ, C. Aug. non exhibet.

ἕνεκεν τῆς αἰτίας Ἑλλάς τε καὶ πόλλ' ἄλλα κατ' Εὐρώπην ἔθνη δυςάγωγα δεσπόζεσθαι διὰ τὸ ἄηθες το ἐξ ἀρχῆς· ἱστοροῦνται [11]) καὶ πάντα τῶν Ἀσιανῶν ἐθνῶν ἐξ ἀρχῆς πειθήνια ταῖς δουλείαις, ἄλλους ἐξ ἄλλων δεσπότας ἀλλάττοντα, καὶ μὴ πάνυ τοι χαλεπαίνοντα τῇ διὰ παντὸς εἰθισμένῃ μετὰ δουλείας ζωῇ.

ΚΕΦ. ργ'.

Ὅτι τὸ ἐξ ἀρχῆς ἡ πόλις Κυρήνη ἑλληνὶς ἐν Λιβύῃ [1]).

Κυρήνη κατὰ Λιβύην παλαιά τε ἡ [2]) πόλις καὶ Ἑλληνὶς ἀρχῆθεν Δωριέων οἰκουμένη, καὶ ἔοικεν ἀποικίας ἑλληνικῆς ἔργον εἶναι, πορρωτάτω γε ὡς ἀληθῶς αὕτη πόλις τοῦ Ἑλληνικοῦ παντος οἰκήσασα [3]) μόνη κατὰ Λιβύην· οὐ γὰρ ἦν ἄλλη τὶς κατὰ Λιβύην ἢ πόλις ἢ χώρα τοῦ αὐτοῦ γένους κοινωνοῦσα ἀπ' Αἰγύπτου μέχρι καὶ τῶν κατὰ τὰ Γάδειρα τῆς θαλάττης στενῶν, οὔθ' ὅλως [4]) Ἑλληνικῆς χρήσεως, ἢ γλώττης κοινωνοῦσα, τὴν δὲ, χρόνος, ἐξ οὗ καὶ εἰς μνήμην ἥκει ταῖς συγγραφαῖς, μακρὸς, Ἑλλη-

---

11) ἱστοροῦνται vsque ad ἐξ ἀρχῆς sunt neglecta a librario C. Aug.

1) ἑλλ. ἐν Λιβύῃ, Bloch. ἐν Λιβύᾳ ἑλληνὶς pag. 141.

2) παλ. τε ἡ, Orell. in Append. Nicol. Damafceni: παλαιοτάτη.

3) οἰκήσασα. In hac lectione confpirant Cdd. omnes. annon legendum οἰκισθεῖσα? addit Orell. quae emendatio non est neceffaria, nam πόλεις Xenophonti et aliis dicuntur οἰκεῖν et οἰκεῖσθαι. C. 107. dic. vrbs νέα οἰκισθεῖσα.

4) οὔθ' ὅλως, Orell. οὐδ' ὅλως.

νες ᾤκουν αἰεὶ [5]) συνεχῶς, καὶ οὐδὲν ἄρ᾽ ἄλλό τι ἐγγύτερον εἶχεν αὕτη [6]) πόλις τοῦ Ἑλληνικοῦ, ὅτι μὴ Πελοπόννησον καὶ Κρήτην καὶ Κύθηρα [7]). Καὶ Βάττος [8]) τέως καὶ οἵγε Ἡρακλεῖδαι πλανηθέντες πλεῖστον ἐν τῇ Ἑλλάδι καὶ Κυρήνην ᾤκησαν ἐν Λιβύῃ [9]) μετὰ πολλῶν, οὓς ἐπέσχον [10]) ἄλλους ἄλλοθι τόπους, καὶ συνοικίαν ἐνταῦθα κατεστήσαντο μετ᾽ ἄλλων, οἳ καὶ πρὸ αὐτῶν τὴν χώραν ᾤκησαν· οὐ γὰρ αὐτοί γε Κυρήνης ἀρχηγέται, ἀλλὰ καὶ πρὶν ἢ αὐτοὺς [11]) ἐκείνη γίγνεσθαι, Ἕλληνες Δωριεῖς ᾤκουν τὴν πόλιν, πρὸς οὓς πολλά γε καὶ παρὰ πλείστοις τόποις Ἡρακλείδαις κοινὰ, μάλιστα δὲ κατὰ Πελοπόννησον. Ὅθεν ἄρ᾽ ἐμοί γε δοκεῖ καὶ [12]) Λιβύη τῆς Κυρήνης οἴκησιν ἐξ ἀποικίας δεξαμένη καλλίστην ταύτην ἔσχε πόλιν, καὶ παλαιοῦ σεμνοῦ [13]) τὸ ἀρχαῖον ὀνόματος νομίμοις ἀγο-

5) αἰεὶ, Orell. ἀεὶ, sed mox corrupte ἐφ᾽ ἄλλο pro ἄρ᾽ ἄλλο.

6) εἶχεν αὕτη, Orell. εἶχ᾽ αὕτη. Cdd. Blochii exhibebant αὐτῇ, sed is posuit αὕτη.

7) Κύθηρα, sic Cdd. nostri cum Orell. et Cdd. quibus vsus est Bloch, qui vero temere Theodoro obtrusit Κύθηραν.

8) Βάττος, Cdd. Aug. et Mon. Βάτος, vti etiam Bloch. qui verba καὶ Βάτος τέως, quum deaint in C. Reg. Paris., vt suspecta vncis inclusit. Defuerant etiam in C. Ciz. sed postea a librario adposita erant margini: desunt ap. Orell. quoque. Glossema esse videntur, nam nulla postea Batti fit mentio. Mentionem Batti facit Pindarus in Pyth. δ'.

9) Λιβύῃ, Bloch Λιβύᾳ, at Cdd. nostri cum Orell. Λιβύῃ.

10) ἐπέσχον, C. Germ. ap. Bl. male ἐπέχον.

11) ἢ αὐτοὺς, Orell. male: ἢ αὐτοῖς.

12) καὶ, abest ab Orell.

13) παλαιοῦ σεμ., Orell. παλ. καὶ σεμνοῦ.

μένην, καὶ ἔθεσι τὸν ἀεὶ χρόνον γνησίοις καὶ συγγενικοῖς τῷ Ἑλληνικῷ, καὶ κατ' οὐδὲν μήποτ' [14]) ἀλλάξασαν καὶ μεταβαλοῦσαν [15]) τῆς βαρβαρικῆς γειτνιάσεως. Κοινοπολιτείας μέν γε καὶ ἄλλαι πόλεις ἐβίουν κατὰ Λιβύην χρήσει [16]) καὶ μοναρχίας δεσποτικῆς ἀλλοτρίως· καὶ Καρχηδὼν γὰρ πρὸς ἄλλαις μάλιστα κατ' Ἀφρικὴν [17]) ἐν Λιβύῃ τὸν τρόπον τοῦτον ἐπολιτεύσατο. Κυρήνη δ' ἀμέλει τουτό τε [18]) καὶ ἅμα ἄκρατος [19]) ἦν τὸν ἀεὶ χρόνον, ὡς ἔφην, τήν τε τοῦ βίου πᾶσαν χρῆσιν καὶ τὴν φωνὴν Ἑλληνίς. Ἐδόκει δὲ τέως τῷ νῦν λόγῳ [20]) πίστιν μεγίστην παρέχεσθαι τά τε ἄλλα, καὶ περὶ τὴν τῆς ἑλληνικῆς σοφίας ἄσκησιν ἐπιμελῶς ἔχοντες Κυρηναῖοι, αὐτόθι τε ἐγχωρίως οὕτω χρώμενοι, κἂν [21]) τῇ Ἑλλάδι καὶ ταῖς Ἀθήνῃσι πηγαῖς τῆς παιδείας ἀπόδημοι χαίροντες ἀρύτεσθαι [22]).

---

14) κατ' οὐδὲν μήπ., Bl. κατ' οὐδὲν πώποτε.

15) μεταβαλ., C. Mon. μεταβαλλοῦσαν. Reliqui cum Orell. vti C. noster, sed Bl. putat, esse legendum μεταλαβοῦσαν.

16) χρήσει, C. Mon. χρήσεις.

17) Ἀφρικὴν, Orell. male Ἀφρίκην, haud dubie operarum socordia.

18) Κυρήνη — τουτό τε, sic etiam Orell. C. Mon. τουτό γε. Bl. Κυρήνη δ' ἠμέλει τούτου τε. C. Reg. Paris. Κυρήναι δ' ἀμέλει τοῦ τότε.

19) ἄκρατος, Bloch. vult legi ἀκράτως.

20) τῷ νῦν λόγῳ, sic Cdd. Mon. et Aug. cum Orell. et C. Reg. Paris. verum Bl. τῶν νῦν λόγων.

21) κἂν τῇ, Bl. κ' αὐτῇ. fors. κἀν αὐτῇ.

22) ἀρύτ., Orell. ἀρύττεσθαι, vitiose.

Καὶ [23]) πολλοὺς ἔχομεν ἐκεῖθεν κατὰ πᾶσαν τῆς παιδείας ἰδέαν ἐκλογίμους [24]) ἄνδρας, καὶ τοῖς ἐξαιρέταις ἐναριθμίους [25]) τῶν [26]) τῆς σοφίας τροφίμων, καὶ παιδευτὰς, καὶ αἱρεσιώτας φιλοσοφίας κατὰ πάντ' εἴδη σοφίας νομίζοντας ὁπηοῦν χρῆσθαι· καὶ τῆς Ἀθήνηθεν καὶ Ἀττικῆς ἀνθοφορίας χρωννύειν ἑαυτοὺς, εἰς ἅ τι βέλτιστόν ἐστι προσορᾶν καὶ χαράττειν [27]) παντοίοις παιδείας κόμμασι τῶν ἑλληνικῶν τῆς σοφίας ἐργαστηρίων, πρὶν ἢ τὴν κατ' Αἴγυπτον Ἀλέξανδρος ἐκεῖνος ἐξ Ἑλλήνων παράλιον συνεστήσατο πόλιν ἐπώνυμον [28]) ἑαυτῷ, μεγίστην τε καὶ μεγίστης ἐκείνου τοῦ πάντα θαυμαστοῦ φιλοτιμίας ἔργον, πᾶσιν ἀγαθοῖς ἅβρως τε ἔχειν καὶ ἐνακμάζειν πάντα τρόπον σπουδάσαντος [29]) τοῖς τε ἄλλοις, καὶ τῇ τῆς ἑλληνικῆς σοφίας εὐφορίᾳ πάσῃ χορηγούντων ἐγχωρίως [30]) εἰς ταύτην, καὶ τῶν κατ' Αἴγυπτον πάλαι τῶν [31]) χρόνων αὐτόθεν κατὰ φύσιν δεξιῶς ἐχόντων ἀν-

---

23) καὶ, abest a C. Reg. Paris. auctore Blochio.

24) ἐκλογ., Bl. ἐλλογίμους.

25) ἐναριθ., Orell. ἐναρίθμους, quod idem est.

26) τῶν, Bl. ὧν.

27) χαράττειν, sic Cdd. omnes, sed Orell. καταχαράττειν, quod voc. Lexica ignorant. Forsitan κατὰ ortum est ex καὶ, quod praemittitur.

28) ἐπώνυμον, Alexandriam.

29) σπουδ., Bl. σπουδάζοντος.

30) ἐγχωρ., Orell. ἐγχωρίων.

31) πάλαι τῶν, ita Cdd. nostri; et C. Reg. Paris. cum Orell. sed Bl. παλαιῶν.

δρῶν περὶ τὰ τῆς σοφίας πράγματα, καὶ κοινῶς ὥσπερ τοῖς Ἕλλησι, κἂν εἰ τῇ [32]) φωνῇ μόνῃ διεστέλλοντο. Ἐντεῦθεν γὰρ Κυρηναίοις ὀλίγος ἦν ὁ πόνος ἐξ ὑπογείου [33]) τυγχάνειν κατ᾽ ἔφεσιν [34]) μὴ πάνυ τοι μακρὰν ἀποδημοῦντας [35]) τῶν οἴκοι, καὶ πλανωμένους κατὰ παιδείας ἔρωτα, καὶ μάλιστ᾽ ἐν τοῖς ἑξῆς ἔπειτ᾽ αὖθις [36]) χρόνοις, ἐν οἷς ὑπὸ Ῥωμαίοις Αἴγυπτός τε καὶ Λιβύη, καὶ πάντα σχεδὸν τὰ κάλλιστα τῆς οἰκουμένης γέγονε· κἀντεῦθεν ἀλλήλαις [37]) εἶχον ἐῤῥαστωνευμένως ἄνθρωποι χρῆσθαι πάντες πᾶσιν ἐγγύς τε καὶ πόῤῥω, οἷα εἰκὸς τοὺς ὑπὸ μίαν δεσποτείαν τελοῦντας, καὶ ἀλλήλων ἦν

32) κἂν εἰ τῇ, Orell. κἂν ἐν τῇ.

33) ὑπογείου, consonant Cdd. Aug. et Mon. rectius Bl. e coniectura ὑπογυίου sc. χρόνου cum Orell. Bloch. addit: *Cyrenensis olim ex Graecia, inprimis Attica litteras elegantiasque suas aduexisse, antea quam* (πρὶν ἢ) *Alexandria condita esset,* (ἐντεῦθεν γὰρ) *Cyrenenses absque magno labore breuique tempore* (ἐξ ὑπογυίου, *quod sic ex mente restitui pro eo, quod vitiose vterque Cod. habuit) ad ostium Nili (ubi Alexandria sita erat,* ἔφεσιν, ἔξοδον, στόμα *Herod.* 2, 11.) *venire poterant, non vt antea tam longe a patria peregrinantes, marique errantes studio litterarum* (Graecarum). *Inprimis vero arctissime hae duae ciuitates iungebantur, cum seriori tempore et Aegyptus, (vbi Alexandria) et Libya, (vbi Cyrene sita erat) Romanis parebant.*

34) κατ᾽ ἔφεσιν, Bl. οἰκόθεν κατ᾽ ἔφεσιν, Orell. et Cdd. nostri non agnoscunt οἴκοθεν.

35) ἀποδημ., Orell. ἀποδημοῦντες, mendose.

36) ἔπειτ᾽ αὖθις, Bl. non habet.

37) ἀλλήλοις, deest ap. Bl. *Caeterum ea, quae hic sequuntur, in C. Reg. Paris. transposita erant in κεφ.* ϛις´. Bloch. Idem accidit C. Augustano.

ὠφελεῖσθαι πάντας τοὺς ἐπιχρείους ἀλλήλων [38]), ὥσπερ ἐκ μιᾶς οἰκίας ἢ πόλεως παμμεγέθους τινὸς μάλιστα [39]) ἀλλήλοις συνόντας [40]) εὖ μάλα ῥᾷστα καθ' αἵρεσιν, καὶ ὡς ἂν ἀμέλει [41]) ὄναιντ' ἄνθρωποι ἀλλήλων κατὰ πᾶν τὸ γιγνόμενον, ἀλλαττόμενοι τὴν χρείαν ἑκάστοτε πάντες πάντων, καὶ περὶ ὧν ἑκάστοις δέοι ἂν ἀλλήλαις γιγνόμενοι χρήσιμοι [42]), μὴ ξὺν [43]) πόνῳ καὶ καμάτῳ πολλῷ, ἀλλ' ἐκ τοῦ προχείρου τῆς συμβιώσεως μεταλαμβάνοντες τὰ ἑκάστων ἕκαστοι καὶ ἀντιλαμβάνοντες.

ΚΕΦ. ρδ'.

Περὶ Καρχηδόνος καὶ τῆς κατ' αὐτὴν πολιτείας.

Καρχηδὼν δ' ἐκείνη [1]) μεγίστη πόλις, οὐχ ὡς [2]) εἴ τις ἄλλη τῶν [3]) ἐν Λιβύῃ, καὶ Ἀφρι-

---

38) καὶ ἀλλήλων — ἀλλήλων, Bl. non exhibet.

39) μάλιστα, deest ap. Bloch.

40) συνόντας, Bl. addit: καὶ χρησίμους, quod Cdd. nostri cum Orell. non habent, sed εὖ μάλα ῥᾷστα καθ' αἵρεσιν, καὶ ὡς ἂν desunt ap. Bloch.

41) ἀμέλει — ἀλλήλων, sic etiam Cdd. Aug. et Mon. verum Orell. ἀμέλει ὄναιντ' ἀλλήλων ἄν: Bl. ὀνίναιντο (vitiose) ἄνθρωποι ἀμέλει.

42) δέοι ἂν — γιγν. χρήσιμοι, Cdd. nostri consonant cum Orell. sed Bl. δέοιτ' ἂν — ὄντες χρήσιμοι.

43) ξὺν, Bl. σύν.

1) δ' ἐκείνη, Orell. δὲ ἐκείνη.

2) οὐχ ὡς, deest in C. Reg. Paris. ap. Bl.

3) τῶν, Orell. non praebet.

κῆς [4]) μητρόπολις, τάχα δ' ἂν καὶ πάσης Λιβύης, ἀδέσποτος [5]) ἐπολιτεύσατο ἐξ ἀρχῆς χρόνοις μακροῖς, οὔτ' αὐτόθεν μοναρχηθεῖσα [6]) πώποτε, οὔτε μὴν [7]) ὑπ' ἄλλου τῶν προςοίκων ἐθνῶν Λιβύῃ, μέχρις οὗ γέγονεν ὑπὸ 'Ρωμαίους [8]), τέως μέν γε πολλὰ σφίσι παρασχοῦσα πράγματα [9]), καὶ μάχαις ἀντισχοῦσα [9b]) γενναίαις πολλῶν τῶν χρόνων· ἀλλ' ᾠκεῖτό γε [10]) πόλις αὕτη νόμοις ἀριστοκρατικοῖς, καὶ τοσαύτῳ γε μάλιστ' εὐγενῶς, ὥςτε καὶ οὐδέ τις ἐν αὐτῇ τυραννίδος ἐπιχείρησις [11]), ὥςπερ δῆτ' ἐν πλείσταις ἄλλαις τῶν ὀλιγαρχουμένων τὲ καὶ δημοκρατουμένων πόλεων, μνημονεύεται γενέσθαι τὸν ἀεὶ χρόνον, καθ' ὃν [12]) ἔξω δεσποτείας ἀλλοτρίας ὀλιγαρχικῶς ἤγετο [13])· μόνον διὰ μόλην [14]) φασὶν ἰδιώτου πλέον φρονήσαντα κατ' αὐτὴν, καὶ τυραννίδος οὐκ ἐπιχείρησιν εὐδη-

4) Ἀφρικῆς, Orell. male, vt Cap. superiori, Ἀφρίκης.

5) ἀδέσπ., Orell. ἀδεσπότως.

6) μοναρχ., C. Mon. ἀρχηθεῖσα. Αὐτόθεν Bl. explicat: ἀπό τινός τῶν πολιτῶν, per se.

7) οὔτε μὴν, Orell. οὔτε μέν.

8) ὑπὸ 'Ρωμ., Orell. ὑπὸ 'Ρωμαίοις, vt C. 103. vtrumque recte.

9) πράγματα, ita Cdd. nostri cum Bl. sed Orell. πραγμάτειαν.

9b) ἀντισχ., C. Reg. Paris. ap. Bl. ἀντιαχύουσα.

10) ᾠκεῖτό γε, Bl. ᾠκ. τε. Orell. neque γε, neque τε habet.

11) ἐπιχ., Orell. mendose ἐπίχρησις.

12) καθ' ὃν, C. Aug. καθ' ὅ.

13) ἤγετο, Bl. ἠγεῖτο.

14) διὰ μόλην, superscripto κ, διὰ μόκλην: C. Mon. et C. Germ. ap. Bl. διαμόκλην, Aug. et C. Reg. Paris. διὰ μόλην, vt Ciz. Orell. δ' Ἀμόλκην. Rectius Bl. Δαμόκλην.

λον [15]), *ἀλλ᾽ ὑποψίαν σχεδὸν παρεχόμενον, τάχιστ᾽ ἀπαλλάξαι κακῶς, καὶ τοῖς ἐσχάτοις κινδύνοις περιπεσεῖν. Ἀτὰρ δὴ τὴν πόλιν ταύτην μηδ᾽ ὁτιοῦν Ἑλληνικοῦ* [16]) *γένους μετέχειν ἔγνωμεν, ἀλλ᾽ ἤδ᾽ ἄρα Φοινίκων ἄποικος κατὰ Λιβύην ᾠκήθη, καὶ ταῖς πρώταις ἐφάμιλλα τῇ Λακωνικῇ τε καὶ Κρητικῇ νόμοις ἀριστοκρατικοῖς ξὺν πολλῷ τῷ τεταγμένῳ καὶ ἀκόσμῳ βιοτεύουσα πόλλ᾽ ἔτη διαγέγονε παραβαλλομένη μεγίστοις πράγμασι. Καὶ ἴσχυσάν γε Καρχηδόνιοι πάνυ τοι πλεῖστον, καὶ τὰ πλεῖσταν ἄρα Λιβύης ὑφ᾽ ἑαυτοὺς ἐποιήσαντο, ἐπιμελεῖ τε καὶ συντόνῳ τῶν πραγμάτων ἀντιλήψει, καὶ φιλαρχίᾳ, καὶ τόλμαις ἀνδρῶν, καὶ γνώμαις καὶ πάσαις μεγαλόφρασιν ἐπιβολαῖς· καὶ τἀξίωμα σφίσιν ἤρετο οὐ φύσει μόνον, ἀλλὰ ῥοπῇ* [17]) *τῆς τύχης ἡδὺ προσαρώσης* [18]) *τὴν ἀρχὴν αὐτοῖς, καὶ πολλὴν εὐφορίαν καὶ δρόμον ὥσπερ ἐξ οὐρίου ταῖς ἐπιχειρήμασι τῆς πόλεως χορηγούσης. Καὶ οὐ κατὰ Λιβύης* [19]) *μόνον ἴσχυσαν καὶ τῶν οἰκούντων τὴν χώραν ἐθνῶν κρα-*

---

15) *εὔδηλον*, Bl. *ἔκδηλον*.

16) *ἑλλην.*, C. Mon. male *ἑλληνικά*.

17) *ἀλλὰ ῥοπῇ*, ita etiam Bl. cum Cdd. Aug. et Mon. sed Orell. *ἀλλὰ καὶ ῥοπῇ*. Theodorus noster saepius post *οὐ μόνον* omittit *καί*.

18) *προσορ.* *C. Germ.* *προσρώσης*, *in marg.* *προρούσης*, *utrumque mendosum. Eleganter hic dicitur fortuna arridere rebus humanis.* Bl. Cap. seq. iterum *τύχη σφίσι ἵλεως προσορᾷ* exhibet.

19) *Λιβύης*, sic et Cdd. Aug. et Mon. cum Orell. verum Bl. *Λιβύην*.

ταιῶς πειρώμενοι, ἀλλ' ἄρ' οἵδε καὶ θαλάσσης ἥψαντο, καὶ θαλάσσιοι γεννικῶς [20]) ἀλλοτρίων πορρωτάτω καὶ οὐ προςοίκων πραγμάτων τὲ [21]) καὶ ἐθνῶν ἀντελάβοντο [22]), ναυστόλοις μὲν, ὡς εἰκὸς, τὴν πρώτην πειρώμενοι, εἶθ' ὡς εὐδρόμουν καὶ τρίβοντες πεζῇ στρατεύμασι τῇ χρήσει, καὶ ταῖς μεγάλαις ὁρμαῖς τῆς φιλαρχίας. Ἐγένετό τε μία [23]) πόλις τῶν ἀπ' αἰῶνος ὠνομασμένων [24]) ἐν πράξεσι, καὶ περιβολῇ μεγέθους ἀρχῆς, οὐδεμία [25]) πλὴν τῆς Ῥώμης ὕστερον τοσούτῳ κατὰ τῆς οἰκουμένης ἐνακμάσασα κράτει, καὶ βρονταῖς φήμης μεγάλων ἔργων πομπεύουσα καὶ κρατοῦσα σὺν θαύματι [26]) κατὰ πάντων [27]) ἀνθρώπων, ὡς Καρχηδὼν ἐκείνη πόλις κοινοπολιτείᾳ τὸν ἀριστοκρατικὸν τρόπον βιοῖσα καὶ ἀπὸ βουλευτηρίων, ἀλλ' οὐ μοναρχικοῦ φρονήματος καὶ φιλαρχίας ἑνὸς ἀνδρὸς φλεγούσης [28]) εἰς μέγιστα πράγματα, πλεῖστον

20) γεννικῶς, Bl. γενικῶς.

21) τὲ, Orell. non habet.

22) ἀντελ., Orell. ἀντελαμβάνοντο.

23) μία, sic Cdd. Aug. Mon. et Orell. sed Bl. vncis inclusit et ex seq. οὐδεμία deformatum opinatur, cui coniecturae seq. τῶν ὠνομασμένων repugnat.

24) ὠνομασ., ita Cdd. etiam Aug. et Mon. cum Bl. verum Orell. ὠνομασμένη.

25) οὐδεμία, Orell. οὐδὲ μία, et mox τοσοῦτο pro τοσούτῳ.

26) θαύματι, C. Aug. θαύμασι, super σι posito τι.

27) κατὰ πάντων, Orell. μετὰ πάντων, non satis apte.

28) φλεγούσης, consonant Cdd. Aug. et Mon. sed Bl. et Orell. φλεγούσας.

ἀμέλει χρόνον ἐνασχοληθεῖσα. Καὶ παιδιὰ [29]) παραβάλλειν τοῖς ἐκείνης τῆς πόλεως τὰ τῶν Ἑλλήνων πράγματα, καὶ τὴν Ἀθηναίων φιλοπραγμοσύνην, καὶ φιλαρχίαν, καὶ τὸ θερμὸν τοῦ λήμματος [30]), καὶ τὸ τῶν Λακεδαιμονίων ἐν ταῖς μάχαις ἠκριβωμένον καὶ τεταγμένον τῆς ἀνδραγαθίας ἐν τοῖς στρατεύμασι, καὶ ὡς ἀληθῶς ἀμφοτέρωθέν γε δοκεῖ κεκράσθαι [31]) τὰ Καρχηδονίων. Καὶ τῶν μὲν ἔχειν τὸ μεστὸν καὶ πλῆρες καὶ οὐκ εὔσειστον οὐδ' ἐπιπολάζον καὶ προπετὲς ὕβρει τινὶ καὶ κούφῳ φορᾶς πνεύματι, ὧν καὶ κοινωνίαν μεγίστην εἶχεν ἐν τοῖς πολιτεύμασι καὶ τῷ καθεστῶτι [32]) τῆς τοῦ βίου χρήσεως, ὡς ἤδη καὶ πρότερον εἴρηται, Ἀθηναίων δὲ τὸ θερμόν τε καὶ μεγαλεπήβολον πρὸς τῷ ἐκεῖθεν ἀκμαίῳ καὶ κάλλιστ' εὐφόρητον καὶ πολύπραγμον, οὐκ ἀστοχοῦν [33]) τοῦ δικαίου μέτρου καὶ τῆς ἱκανώσεως τῶν ἐπιχειρήσεων· καὶ

29) *καὶ παιδιὰ*, al. *παιδικὰ*, *et iucundum sane est. Nec ignotum adeo hoc verbum eo sensu bonis auctoribus, e. g. Xenoph. in Cyrop.* 2, 6. *et Plutarcho passim.* Bloch.

30) *λήμματος*, sic Cdd. omnes, alias dic. *λῆμα*, sed Theod. libenter litteras duplicat. *θερμὸν τοῦ λήματος h. l. idem est ac θερμὴ ψυχὴ, animus audax et ferox.* Bl. Cap. 49. dic. *γεννικὸν λῆμμα.*

31) *ἀμφοτέῳ. — κεκράσθαι*, sic Cdd. Aug. et Mon. uti etiam Bloch, sed Orell. *ἀμφοτέρωθέν τε δοκεῖ κεχρῶσθαι.*

32) *ὧν καὶ κοινωνίαν — καθεστῶτι*, Bloch tantum: *εἰκὸς τῷ καθεστῶτι.* Orell. vitiose: *καθεστότι.*

33) *οὐκ ἀστοχοῦν τ. δικ.*, sic Cdd. omnes cum Bl. verum Orell. *ἀστοχοῦντο δὲ δικαίου.*

ἦσαν τῶν μὲν ὁμοίων [34]) τῇ πολιτείᾳ Λακώνων πολυπραγμονέστεροι ταῖς ἐπιβολαῖς, εἶτ — οὖν περιβολαῖς [35]) τῶν ἔργων, τῆς δ' Ἀθηναίων τόλμης καὶ τοῦ τάχους εὖ μάλα βαρύτεροι τῇ χρήσει καὶ κραταιότερον πειρώμενοι. Ἦσαν δὲ καὶ ἄλλως τὴν φύσιν οἱ τῆς Καρχηδόνος ἄνθρωποι, καὶ τὸ πολιτικὸν ἔθιμον [36]) ἀνήμεροι δή τινες, καὶ τὸ κατὰ σφᾶς ἅπαν ἀγριωπὸν καὶ δυσκοινώνητον [37]), ἀλλοτρίοις ἤθεσί τε καὶ νομίμοις, καὶ φόβον, ὡς εἰπεῖν, αὐτόθεν ἐμποιοῦν [38]) ἐντυγχάνειν καὶ ξυμμίξαντας [39]) χρῆσθαι φύσει τε, ὡς εἶπον, καὶ ἐπίτηδες ἀσκήσει. Καὶ πολλὰ πρὸς τὸ ξενότροπον, ἢ κατ' ἄλλους ἀνθρώπους ἐβίουν, οἵγε καὶ τὰ πλεῖστα [40]) τῆς διοικήσεως ταῖς νυξὶν ἐδίδουν, καὶ τὰ βουλευτήρια καὶ τὰς συνόδους ἐπὶ τοῖς πρακτέοις νυκτὸς ἐνόμιζον καὶ μεθ' ἑσπέραν χρῆσθαι. Καὶ βαρεῖς ἦσαν ταῖς εὐθύναις, καὶ βαρεῖς [41]) τοῖς

---

34) ὁμοίων, Bl. ὅμοιοι.

35) εἶτ — οὖν περιβ. Bl. ἤτοῦν: Orell. εἶτ' οὖν (incuria operarum) περιβολεῖς.

36) τὸ πολ. ἔθιμον, idem habent Cdd. Aug. et Mon. et Bl. at Orell. τὸν πολ. ἐθισμόν.

37) ἀγρ. καὶ δυσκ. Bl. ἀγριωποὶ καὶ δυσκοινώνητοι, e coniectura. Fortasse leg. ἀγριωπὸν pro ἀγριωπόν, sed c. 109. dic. etiam ἄνθρωποι ἀγριωποί, et c. 113. τυραννίσιν οὐκ ἀγριωποῖς ἐχρῶντο.

38) φόβον ἐμπ. Bl. φόβον ἐμποιοῦντες. C. Mon. male: φόβοι.

39) ξυμμιξ. Bl. ξυμμίξαντα, reliqui Cdd. vti etiam Reg. Paris. ξυμμίξαντας.

40) οἵγε καὶ τὰ πλ., Orell. vitiose: οἵγε κατὰ πλεῖστα.

41) καὶ βαρεῖς, Orell. repetit ἦσαν.

δυςτυχοῦσιν ἰδιώταις τὲ καὶ τοῖς ἐπὶ τῶν ἀρχῶν. Καὶ τὸ τρυφᾷν καὶ τὸ πλουτεῖν ἰδίᾳ καὶ μὴ ἐπὶ τοῖς κοινοῖς ἔγκλημα ἦν, καὶ ἀσωτεύων ἀνὴρ καὶ ἀκολάστως πατρῴοις κλήροις χρώμενος ὑπεύθυνος ἦν τῷ νόμῳ, καὶ δίκας ἐπράττετο· καὶ πόλλ' ἕτερα δυςχερῶς ἐχρῶντο Καρχηδόνιοι, καὶ ἀνημέρως, ὡς εἴρηται, ἢ καὶ κατ' ἄλλους οὑςτιναςοῦν ἀνθρώπους ἐπολιτεύοντο.

ΚΕΦ. ρέ.

Περὶ Καρχηδόνος ἔτι, καὶ ὅπως διὰ τὸ μέγιστα εὐπραγῆσαι καθάπαξ ἐντεῦθεν ἡ πόλις αὕτη ὤλετο.

Καρχηδὼν δ' ἡ πόλις μέγιστα δυνηθεῖσα καὶ τὸ πλεῖστον τῆς Λιβύης ὑποποιησαμένη ἐπιβαίνει μὲν αὐτόθεν τῆς θαλάττης, φρονήματος δὲ πλήρης καὶ λογισμῶν καὶ ἐλπίδων ἀμέτρων Σικελίαν δουλώσασθαι πειρωμένη κρατεῖ τῶν πλειόνων ἐν αὐτῇ χωρῶν τε καὶ πόλεων, καὶ περιγίνεται τοῦ κατ' αὐτὴν ἑλληνικοῦ παντὸς κεκακωμένου τέως ὑπὸ Πύῤῥου μεγάλοις ἐπελθόντος αὐτῇ στρατεύμασιν ἐξ Ἠπείρου καὶ Μολοττῶν. Καὶ Μακεδονικοῖς μάλιστα μέγα τὸ κράτος καὶ τὸ κλέος μετὰ τὰς Ἀλεξάνδρου περιφανεῖς νίκας καὶ τοὺς ἀγῶνας καὶ τοὺς δρόμους τῆς τύχης κατὰ πάσης, ὡς εἰπεῖν, τῆς οἰκουμένης ἔχουσι· καὶ ἀντικαταστάντες γὰρ τῇ νήσῳ ταύτῃ Καρχηδόνιοι πρὸς τὴν Πύῤῥου τόλμαν, καὶ τὸ ἀρεϊκὸν λῆμμα, καὶ τὴν στρατη-

γικὴν ἐμπειρίαν καὶ τὴν μεγίστην δόξαν ἐν τοῖς μετ' Ἀλέξανδρον βασιλεῦσι, καὶ πλεῖστα πρὸς αὐτὸν διαεθλεύσαντες ὑπὸ τῆς αὐτῆς φιλαρχίας φιλονεικοῦντα [1]) περὶ τῆς νήσου καὶ τῶν κατ' αὐτὴν πραγμάτων ἀντιποιούμενον [2]), τελευτῶντες οὕτω δὴ τὸν ἄνδρα γεννικῶς καρτεροῦντες καθιστῶσιν εἰς ἀπορίαν, ὥστ' ἐκλιπεῖν ἑκόντα τὲ καὶ ἄκοντα βίᾳ τὸ μέρος καθάπαξ τὴν νῆσον, καὶ σφόδρ' ἀνιαρῶς ἀπαλλάττοντα, τὸ μνημονευόμενον εἰπεῖν ἐκεῖνο περὶ Σικελίας, ἀποπλέοντα μάλ' ἀχθόμενον αὐταῖς μεγίσταις καὶ πλείσταις ναυσὶν, αὐτοῖς πεζοῖς ἀρεϊκοῖς στρατεύμασιν, αὐταῖς ἐλεφάντων φοβεραῖς καὶ καιναῖς θηριομαχίαις, οἵαν δὴ παλαίστραν ταύτην Καρχηδονίοις καὶ Ῥωμαίοις τὴν νῆσον καὶ τὴν χώραν ἀπελίπομεν. Καὶ μὴν ἔδειξεν ὁ λόγος αὐτίκα πρὸς ἀνδρὸς τὸ μέλλον καλῶς ὁρῶντος εἰρημένος εὐστόχως, καὶ θαυμάζεται καὶ τούτου δὴ μάλιστα Πύῤῥος, ἀνὴρ τά τ' ἄλλα πολυπράγμων καὶ δραστικώτατος ἐν μάχαις γενόμενος, καὶ συνιδεῖν ἱκανὸς ἀνδρῶν ἤθη, κἀντεῦθέν γε μὴν οὐκ ἄπειρος προλέγων τὸ μέλλον, ἀλλ' εὖ μάλα γεγυμνασμένος πολεμίοις ἔργοις Ῥωμαίων τέως ἐν Ἰταλίᾳ καὶ Καρχηδονίων ἐν Σικελίᾳ, καὶ πλεῖστ' ἀμφοτέροις πράγματα παρασχὼν, καὶ ὑπ' ἀμφοτέρων ἐν κινδύνοις γενόμενος, καὶ τὰ πολεμικὰ φρονήματα

1) φιλον., C. Mon. φιλονεικοῦντας.

2) ἀντιπ., C. Aug. ἀντιποιούμενοι.

τῶν ἀνδρῶν καὶ τὴν ἄσχετον πάντων πραγμάτων φιλαρχίαν κατανενοηκὼς ἀκριβῶς. Ἀλλ᾽ ἐπεὶ πρὸς τὸ μάχεσθαι κατέστησαν Ῥωμαῖοι τὲ καὶ Καρχηδόνιοι καὶ ναυσὶ πλείσταις καὶ πεζικοῖς [3]) στρατεύμασι μεγίστοις ἐν αὐτῇ τῇ νήσῳ καὶ ὑπὲρ αὐτῆς, ὁποτέρων ἂν γένοιτο, ἐκ τῶν ἀντίπεραν χώραν ὁρμώμενοι ὡς ὑπὲρ καλλίστου καὶ μεγίστου κτήματος, καὶ ὃ κατὰ μέσους αὐτοὺς προὔκειτο τῶν ἀγώνων καὶ τῆς νίκης ἔπαθλον, πόλλ᾽ ἔτη μὲν ἀντιταττόμενοι πρὸς ἀλλήλους ἐφάμιλλά πως εἶχον, καὶ νικῶντες τὲ καὶ νικώμενοι καὶ στρατηγῶν τόλμαις καὶ τέχναις, καὶ στρατιῶν πλήθεσι καὶ κραταιαῖς παρασκευαῖς οὐκ εἶχον οὐδ᾽ ὁπότεροι περιγίνεσθαι καὶ κατὰ κράτος τοὺς ἄλλους ὑπερβάλλειν, ἀλλ᾽ ἐν μέρει μὲν ἐνίκων ἑκάτεροι, ἐν μέρει δ᾽ ἔπιπτον, καὶ στρατηγοὶ στρατηγοὺς ἀμφοτέρωθεν, νῦν μὲν ἐνίκων, νῦν δ᾽ ὑπέπτησον [4]), καὶ νῦν μὲν τῶνδε, νῦν δὲ τῶνδε [5]) καὶ ἡγεμόνες καὶ στρατεύματα πλέον ἐφέροντο καὶ ἐκτείνοντο. Καὶ μέγα τηνικαῦτ᾽ ἔργον ἦν, καὶ μέγας ἀγὼν ἐν μέσῳ τῷ θεάτρῳ τῆς οἰκουμένης ἑωρᾶτο, καὶ πάντας ὥςπερ ἀνηρτημένους εἰς αὐτὸν εἶχε τὸ τέλος καραδοκοῦντας τῆς τῶν ἐν γῇ κρατίστων γενῶν ἀγχωμάλου μάχης καὶ φιλαρχίας. Καὶ μικρὸν οὐδὲν ἦν ἐντεῦθεν προς-

3) πεζικοῖς, C. Mon. πεζικαῖς.

4) ὑπέπ., leg. ὑπέπτησσον.

5) νῦν δὲ τῶνδε, ex C. Mon. exulant.

δοκεῖν, ἀλλ' εὖ γε δῆλον, ὡς, ὁπότεροί ποτ' ἂν κρατήσαιεν, μέγιστον ἀμέλει κατὰ πάντων ἀτεχνῶς τῶν ἐν τῇ γῇ λοιπῶν ἐθνῶν ἀροῦνται φρόνημα, κἂν εἰ μὴ πάσης τῆς οἰκουμένης, πάσης δ' οὖν τῆς ἐν μέσῳ τῆς οἰκουμένης θαλάσσης [6], καὶ τῶν παραλίων ἐθνῶν κύριοι γενήσονται. ὡς ἄρα δὴ καὶ χρόνοις ὕστερον ἔδειξε τὴν νικήσαν λαβόντων καὶ περιγενομένων [7]) Ῥωμαίων. Τέως γε μὴν ἐπὶ πλεῖστον, ὡς ἔφην, ἀντεῖχον ἀλλήλοις, καὶ οὐδὲν πλέον οὐδέτεροι πρὸς καθαρὰν [8]) τὴν νίκην ἐφέροντο. Μάλιστα μὲν οὖν μετὰ πολλὰς τὰς [9]) μάχας ὕστερον Ἀννίβας ἐκεῖνος διαβαίνει πρὸς τὴν Εὐρώπην ἐκ τῶν περὶ τὰ Γάδειρα στενῶν, καὶ μέγας αὐτόθεν ἤρετο, καὶ πρὸς μέγα τὰ Καρχηδονίων αἴρει πράγματα, καὶ Ἰβηρίαν σφίσιν ὑποποιεῖται. Καὶ νέα Καρχηδὼν αὐτόθι, καὶ τὰ πλείω τὸν [10]) πρὸς ἑσπέραν ἔθνη σύμμαχα καθίστησι, καὶ θρασὺς καὶ τολμηρὸς ὑπὲρ τὰς Ἄλπεις ὑπερβόρειος ἄνωθεν ἄσχετος ἐμπίπτει τῇ Ἰταλίᾳ, πάντων ἀφειδήσας κινδύνων καὶ ἀδόκητος ἐχθρὸς ἔγγιστα Ῥωμαίοις, κραταιὸς, πολὺς [11]) στρατεύμασι καὶ πολλοῖς ἔθνεσι συμμάχοις ἑωρᾶτο, καὶ καταπλήττων αὐτόθεν τῇ τόλμῃ τῆς ἐγχει-

---

6) πάσης — θαλάσσης, in C. Aug. non comparent.

7) περιγ., C. Mon. περιγενομένην.

8) καθαρὰν, C. Mon. καθορᾶν.

9) τὰς, non exhibet C. Mon.

10) τὸν, C. Paris. Reg. recte τῶν. Germ. vero τὸν quoque.

11) πολὺς, C. Mon. πολύ.

ρήσεως, καὶ πολὺς καὶ ῥαγδαῖος ἄσχετα ῥέων, οὐ Ῥωμαίους μᾶλλον ἢ πάντας ἄλλους, ὅσοι περὶ αὐτῶν ἐδόκουν βέλτιστα καὶ ἀηττήτους ᾤοντο. Καὶ τοίνυν ἔτι δὴ πλεῖστον αἰρόμενος καὶ τῇ τύχῃ χρώμενος ἐξ οὐρίου, καὶ στρατηγικώτατος καὶ μαχιμώτατος πᾶσι τρόποις καὶ πάσαις μηχαναῖς, καὶ πείραις πάσαις, καὶ πολὺ πάντας ὑπερβάλλων τοὺς πρὸ αὐτοῦ διὰ πάντων ὑψούμενος καὶ πομπεύων διὰ πάσης τηνικαῦτα τῆς οἰκουμένης φοβερὸς αὐτός τε καὶ Καρχηδόνιοι· καὶ τῶν τῆς Ἰταλίας πόλεων τὰς πλείστας, τὰς μὲν ὑποποιεῖται, τὰς δὲ καὶ κατὰ κράτος αἵρει [12]), καὶ καταστρέφει καὶ καίει [13]), καὶ πάντα χαλεπὰ ποιεῖ· καὶ δυσαντίβλεπτος καθάπαξ Ῥωμαίοις γίνεται, καὶ τέχναις μόναις ἀντεχρῶντο πρὸς αὐτὸν, καὶ διῴκουν τὴν μάχην, ἀνέδην ἀντικαθίστασθαι καὶ εἰς χεῖρας ἰέναι δραπετεύοντες σοφῶς, καὶ καταπολιορκοῦντες ἐνδείᾳ τῆς χρείας ἐπαλλοτρίας [14]) τὴν αὐτοῦ τόλμαν καὶ τοὺς πρὸς τὸ πολεμεῖν ἔρωτας. Ὡς δ' ἄρ' ἄκοντες συνεπλάκησαν στρατηγῶν ἀβουλίᾳ ξυμβὰν οὕτω, καὶ ἀμαθίᾳ τοῦ βελτίονος, καὶ κακῶς ἔπραξαν αὐτίκα, καὶ τὴν περὶ Κάννας [15]) ἐδυστύχησαν Ῥωμαῖοι μάχην, καὶ συμφορᾷ περιπεπτώκασιν, οἵα μήποτ' ἄλλη, μήτε

---

12) αἵρει, fortasse αἱρεῖ.

13) καίει, C. Mon. κάει, Aug. κάει.

14) ἐπαλλοτρ., fors. ἐπ' ἀλλοτρίας, sc. γῆς l. χώρας. Infra iterum: ἐπαλλοτρίας.

15) Κάννας, Cdd. Aug. et Mon. Κάνας.

πρότερον, μήθ' ὕστερον, ὡς ἐκ τῶν συγγραφῶν μανθάνειν ἔχομεν, καὶ τοὺς πλείονας τῶν στρατηγῶν καὶ τῶν στρατευμάτων ἀπεβάλοντο. Σαφέστατα [16]) αὐτόθεν ἐν ἐσχάτοις ἐγένοντο, καὶ δέει μεγίστῳ [17]) τοῦ καθάπαξ ὀλέσθαι, κἂν εἷλε δραμὼν Ἀννίβας αὐτίκα τῇ νίκῃ καὶ μ ταύτης ἀνάξιος, καὶ τῆς αὐτοῦ μεγάλης τόλμης καὶ τέχνης στρατηγικῆς, καὶ τάχους καὶ τύχης καὶ τῆς ἄλλης ἐμπειρίας ἀπολειφθεὶς αὐτοβοεὶ τὴν Ῥώμην, τὸ μέγα τῆς οἰκουμένης ὄνομα, κἂν αὐτίκα κατεστρέψατο κατὰ κράτος πάντων αὐτῇ κεκενωμένον [18]) μάχαις, καὶ τῇ περὶ τὰς Κάννας [19]) τελευταίᾳ μεγίστῃ δυςπραγίᾳ, καὶ οὐκ ὄντων οὔτε τῶν ἀντιτάττεσθαι δυναμένων ἂν πρὸ τῆς πόλεως, οὔτε τῶν ἐπ' αὐτῆς ὑπὲρ τῆς σωτηρίας αὐτῆς στησομένων λειφθέντων ἱκανῶς αὐτῇ, καὶ ὥςτε τοσοῦτο μόνον ἀποχρῶντας ἔχειν, ἐφ' ᾧ [20]) τὸν ἔσχατον ἀποσοβῆσαι τῆς τοσαύτης πόλεως ὄλεθρον. Νῦν δ' ἐδόκει γὰρ ἤδη τῇ προνοίᾳ τὰ πράγματα Ῥωμαίοις εἰς τοσοῦτο προελθεῖν, ὅσον δὴ καὶ προῆλθε, καὶ τὸ πλεῖστον ἔδει τῆς οἰκουμένης ὑπ' αὐτοὺς γενέσθαι, καὶ Καρχηδονίοις τοὐναντίον ἅπαν [21]).

16) σαφ., C. Mon. σαφέστατ'.

17) μεγίστῳ, C. Mon. μεγίστη.

18) κεκεν., C. Mon. κεκενωμένων. Inserta deinde in Cdd. Aug. et Mon. leguntur haec: καὶ ἀνδρῶν καὶ χρημάτων ταῖς τε πρότερον μάχαις.

19) Κάννας, Cdd. Aug. et Mon. vt antea: Κάνας.

20) ἐφ' ᾧ, C. Aug. ἐφ' ὧν.

21) ἅπαν, omissum in C. Mon.

Ἀννίβας ἀπεσφάλη γνώμης ὀρθῆς καὶ προσούσης τῇ νίκῃ, καὶ μαχητὴς γενόμενος ἄριστος καὶ στρατηγικώτατος, νικητὴς ἀμαθὴς καὶ τοῦ κατὰ καιρὸν ἔξω παντάπασιν ἀποδέδεικται, καὶ κατασχὼν ἑαυτὸν, καὶ τραπεὶς ἐν ἄλλοις, καὶ ἃ μὴ κατὰ πᾶσαν ἀνάγκην εἵπετο, δίδωσιν ἀναπνεῦσαι τῇ πόλει, καὶ τῆς τοσαύτης ἀμηγέπη δυςπραγίας ἀνασφῆλαι καὶ τοῦ πτώματος. Καὶ συστάντες αὖθις ἑαυτῶν ἦσαν, καὶ προςεῖχον στρατηγοῖς σώφροσι καὶ τεχνίταις τοῦ καιροῦ, καὶ ὡς ἔδει μάχεσθαι, μᾶλλον δ' ἀντέχειν καὶ κατασοφίζεσθαι τὴν ἀκμὴν Καρχηδονίων, καὶ Ἀννίβαν οὐκ ἔχοντα καὶ μετὰ τὴν νίκην ἐπαλλοτρίας τρίβειν ξενικῷ καὶ πολεμιγεῖ[22]) τοσούτῳ στρατεύματι. Τοὐντεῦθεν ἄρ' ἡ τέως μέγαν τε καὶ ἀήττητον θρέψασα καὶ αὐξήσασα πλεῖστον ὅσον τύχη κατ' ὀλίγον Ἀννίβαν ἀπεχώρει, καὶ τὰ Καρχηδονίων πράγματα, καὶ προὐδίδου προλείπουσα κομιδῇ, καθάπερ ἐν κύβοις τε καὶ πεττείαις ἐλαττούμενον, καὶ πάνθ' ὅσοις ἂν ἐπιβάλλοι[23]) καὶ χρῷτο τῷ μὴ τυγχάνειν οὐκ εἰς κενὸν μόνον ῥιπτοῦντα, ὥςπερ ἐν συνθήμασι καὶ φιλονείκως κατατιθέμενον ἐλεγχόμενον, ἀλλὰ καὶ σφόδρ' ἐπιζημίας[24]) καὶ ἀνιαρῶς ἀπαλλάττοντα· καὶ ὥςπερ χείμαῤῥος πολλαῖς ἐπομβρίαις καὶ συνδρομαῖς τῶν πραγμάτων καὶ

22) πολεμ., leg. πολυμιγεῖ.

23) ἐπιβάλλ., C. Mon. ἐπιβάλοι.

24) ἐπιζ., Cdd. Aug. et Mon. rectius: ἐπιζημίως.

τῆς τύχης 25) ἀρθεὶς, καὶ μεγάλως ἐπικρατῶν τῇ Ῥώμῃ, καὶ τοῖς κατὰ τὴν Ἰταλίαν, μάλιστα δὲ καὶ ὅλως τοῖς κατὰ τὴν Εὐρώπην πράγμασιν, ἀντεπανιστάμενος ἔπειτ' αὖθις τῆς τύχης, ὡς δὴ τὰ κατ' αὐτὴν, ἀμείβουσι ἀνέμων καὶ παλίμβολοι φοραὶ, καὶ εὔρους μᾶλλον ἐστὶ κατὰ τὸν λόγον πιστεύειν, ἢ τοῖς ἀπὸ τῆς τύχης οὔροις, καὶ κατασχοίας 26) τὰ τῶν χαρίτων αὐτῇ καὶ τῆς εὐφορίας πλήθοντα ῥεύματα κατ' ὀλίγον ὑπέῤῥει καὶ φθίνειν ἤρχετο, καὶ παντὶ τρόπον ἐκκαλούμενος καὶ πολὺς ἐγκείμενος 27) ἕλκων εἰς τὴν πρόδηλον ἀντεπεσπάσθη μέχρι Ῥωμαίους, ὡς τοῦτο οἱ κομιδῇ βέλτιον ὂν, καὶ πάσας ὑποτεῖνον ἐλπίδας τοῦ κατ' αὐτῶν κρείττους, καὶ μὴ δυνάμενος ἀντισχεῖν μηδὲ συμπλέκεσθαι, καὶ πᾶσι σοφιζόμενος καὶ ἐπινοούμενος τρόποις, καὶ ἀντὶ τῆς πρὶν ὕβρεως καὶ ἀγερωχίας ταπεινῶς πράττων πρὸς τοὔλαττον ἐχώρει, καὶ ἐφθείρετο μᾶλλον τοῖς μεγίστοις ἐκείνοις καὶ δυσαντήτοις καὶ ἀηττήτοις στρατεύμασι, καὶ τὰ καιριώτατα νοσῶν ὑπερβαλλόντως ἀηδὴς ἦν λοιπὸν καὶ βαρὺς πάνυ τοι τοῖς ἀρχομένοις, καὶ οἷς ηὐξήθη συμμάχοις ταλαιπωρουμένοις καὶ τρίβουσιν ἀδόκητα καὶ ἀνήνυτα. Καὶ τοίνυν ὥςπερ ἐν ζυγῷ τῆς ἐκείνου πλάστιγγος καταβαρουμένης, καὶ κάτω

25) τύχης, C. Aug. ἀρχῆς.

26) κατασ., C. Mon. κατασκεύσης.

27) ἐγκείμ., C. Mon. ἐγκύμενος.

χωρούσης καὶ συμπιπτούσης αἰεὶ Ῥωμαίοις ἀνωρθοῦτο τὰ φρονήματα, καὶ ἡ κατ᾽ αὐτοὺς πλάστιγξ ᾔρετο. Καὶ πρόδηλος ἡδείαις αὔραις ἀτάλλουσα κατὰ Πίνδαρον [28]) ἡ τύχη τὰς ψυχὰς αὐτοῖς χρησταῖς ἐλπίσιν εὐφορίας ἐνεύρου [29]) τὰς δυνάμεις σφίσι καὶ τόλμης εὐτονίαν χορηγοῦσα πρὸς ἀντεπιχειρήσεις κατὰ τῶν ἀντιπάλων τῶν αὐτοῖς οἴκοι καὶ τῆς πατρίδος κινεῖ, βέλτιστ᾽ ἓν καὶ [30]) στρατεύματα γοῦν πάντα τὸν ἐνόντα τρόπον ἄρισθ᾽ ὁπλίσαντες Ῥωμαῖοι καὶ συστησάμενοι μαχιμώτατα, καὶ στρατηγοὺς ἀπολέξαντες ἀριστίνδην, καὶ ἥν γε μάλιστ᾽ ἐν τούτοις Σκηπίων [31]) ὁ πολὺς ἐκεῖνος, τὸ μέγα κλέος τῆς Ῥώμης, εἰς αὐτὴν Ἀφρικὴν καὶ Λιβύην ναυστόλοις ἐκ παρασκευῆς ἐπιμελοῦς καὶ μεγίστης διαβιβάζουσι, καὶ κατεπιχειροῦσι τῆς χώρας, καὶ λυμαίνονται πλεῖστον ὅσον ἐρημίᾳ τῶν ἀντιταξομένων ὑπὲρ αὐτῆς τῶν πλείστων δὴ καὶ ἰσχυροτέρων στρατευμάτων τοῖς κατ᾽ Εὐρώπην ἐνασχολουμένων πράγμασι. Καὶ τί δεῖ πολλὰ λέγειν; ἀρχὴν καταστησάμενοι, καὶ ἥτταις οὐκ ὀλίγαις τῶν κατὰ χώραν στρατηγῶν τε καὶ στρατευμάτων δέος αὐτῇ μέγιστον περὶ καταστροφῆς

---

28) *Πίνδαρον.* Haec, nisi fallor, referenda sunt ad Fragm. Incert. III. ed. Heyn. T. III. p. 80.

29) *ἐνεύρου*, leg. vt infra: *ἐναύρου.*

30) *βέλτιστ᾽ ἓν καὶ*, Cdd. Aug. et Mon. *βέλτιστ᾽ ἓν καιρὸν, κάλλιστα προμνωμένη τῶν ἀγώνων τέλει.* (C. Aug. *τέλος*) *στρατεύματα.*

31) *Σκηπ.*, sic Cdd. Aug. et Mon. quoque, non *Σκιπίων.* Paullo post iterum *Σκηπίωνα.*

ἄρδην ἐνθέμενοι κακῶς οὕτω πράττουσαν ἠνάγκασαν. ἀνιστᾶν Ἀννίβαν, καὶ τὰ σὺν αὐτῷ στρατεύματα τῆς Ἰταλίας, καὶ πάσας προλιπεῖν τὰς ἐκεῖ μεγάλας πράξεις, καὶ περιφανεῖς νίκας, καὶ συμμαχίας ἐθνῶν, ἃς οὐκ ἦν ῥᾴδιον ἐν Λιβύῃ διαπερᾶν. Καὶ τοίνυν τῆς τύχης αἱρούσης ἤδη τὰ Ῥωμαίων καὶ Σκηπίωνα, μέγιστον καὶ πολυδοξότατον Ῥωμαίοις καὶ πᾶσιν ἀνθρώποις στρατηγὸν, ὑψούσης πλείσταις καὶ χαλεπωτάταις κατὰ κράτος ἡττῶνται μάχαις ὁ τέως ἀήττητος Ἀννίβας καὶ Καρχηδόνιοι, καὶ πλείστους ἀποβαλόντες καὶ στρατηγοὺς καὶ στρατεύματα, καὶ τὸ πλεῖον τῆς ἀρχῆς καὶ τῆς χώρας, καὶ τελευτῶντες αὐτοὶ τῇ [32]) μεγίστῃ καὶ περιφανεῖ πατρίδι κινδυνεύοντες καὶ τὸν ἔσχατον ὄλεθρον ἐκ τοῦ προχείρου δεδιότες Καρχηδόνος, εἰς σπονδὰς ἐντεῦθεν δουλείας καταφεύγουσιν ἐπ' αἰσχύνῃ τοῦ τοσούτου πρότερον κλέους. Καὶ καταλείπουσι μὲν ἐκεῖνο τὸ μέγα φρόνημα, καὶ τὰς ἀμέτρους καὶ ἀνηνύτους ἐλπίδας καὶ φιλαρχίας, καὶ τὴν ἀρχὴν δὲ πᾶσαν ἀπολύουσι τῶν κατὰ Λιβύην ἐθνῶν, καὶ φόρους ἀλλαττόμενοι τὴν σωτηρίαν ἐπετείους κατατίθεσθαι προσίενται, καὶ τὰ [33]) μέγιστα καὶ πλήθοντα νεώρια τῆς αὐτῶν πόλεως ἐρημίᾳ πάσῃ ξυνεῖναι πείθονται [34]), τὰς ναῦς ἐγχειρίζοντες

32) αὐτοὶ τῇ, Cdd. Mon. et Aug. αὐτῇ.

33) καὶ τὰ, Cdd. Aug. et Mon. κατά.

34) νεώρια — πείθονται, desiderantur in C. Aug.

αὐτοὶ Ῥωμαίοις, καὶ, ὡς ἔπος εἰπεῖν, μηδὲν ἄλλο ἢ δούλους ἑαυτοὺς ὑπὸ χεῖρα τοῖς ἐχθίστοις καθάπαξ ποιοῦνται. Βραχὺς ὁ χρόνος, καὶ ἐπεὶ μὴ εἶχον πράττειν οὕτως ἀθλίως καὶ βιοῦν αἴσχιστα, κἀντεῦθεν ἀφηνιάζοντες ἠξίουν αὖ πειρᾶσθαι τῆς τύχης, εἰ μεταβέβληται σφίσι, καὶ ἵλεως[35]) ἀμηγέπη προσορᾷ, καὶ ἀντεποιοῦντο πραγμάτων αὖθις, καὶ Ῥωμαίοις ἀντετάττοντο, καὶ Ῥωμαίων αὖθις νῆας Ἀφρικὴ καὶ Λιβύη, καὶ στρατεύματα πολέμια κατὰ Καρχηδόνος ἐδέχετο, καὶ ὥσπερ ἀπὸ κλήρου τινὸς ἥκοντα ταῖς αὐταῖς ἀριστείαις καὶ στρατηγείαις ἐφάμιλλον ἐπίλεκτον νέον Σκηπίωνα, τοῦ πρότερον ἀριστέως ἀδελφιδοῦν, καὶ ὄντως τῇ χρήσει [36]) γνήσιον· οὕτω δὴ κατὰ κράτος ἡττῶνται μάλα δὴ, καὶ πλειστάκις γενναίως ἀντικαταστάντες Ῥωμαίοις Καρχηδόνιοι, ὥστε καὶ κατασκαπτομένην ὁρῶσι τὴν περικλεέστον ἐπὶ πάσης τῆς οἰκουμένης αὐτῶν μητρόπολιν, καὶ πᾶν τὸ ἔθνος αὐτῶν ἠνδραποδισμένον, ὅσον τὸ ξίφος καὶ τὸν θάνατον ἔφυγε, καὶ πᾶσαν ἀοίκητον τὴν χώραν, καὶ τὴν μὲν μηλόβοτον, τὴν δ᾿ ἄλλοις ἔθνεσι καὶ ἀνθρώποις χρησίμην, καὶ Ῥωμαίοις οὕτως ὑποτελῆ καὶ προσήκουσαν, ὅσα καὶ τὰ Ῥώμῃ πρόσοικα προαστεῖα καὶ οἱ ἀγροί. Καὶ ἀναμφήριστον λοιπὸν, ὡς συνελὼν ἐρεῖν, Ῥωμαίοις ἐλείφθη [37]) τὸ κατὰ πάσης σχεδὸν τῆς οἰκου-

35) ἵλεως, Cdd. Aug. et Mon. ἵλεων.

36) ὄντως τῇ χρ., C. Mon. ὄντως τὴν τῇ χρήσει.

37) ἐλείφθη, C. Mon. ἐλήφθη, et τὰ pro τό.

μένης ἐντεῦθεν κράτος ἐπὶ τῇ τῶν ἐφαμίλλων καὶ πλεῖστον ἐνακμασάντων Καρχηδονίων πανωλείᾳ. Καὶ ἔοικεν, ἵνα δὴ τὸ κατὰ σκοπὸν μάλιστα τῷ νῦν λόγῳ, καὶ οὗ τῆς ἱστορικῆς ταύτης μνήμης ἡ πρόθεσις ἦν, ἐπιλογισώμεθα, ὥςπερ τὰ πλεῖστον οὐριοδρομήσαντα σκάφη, καὶ φορωτάτῳ πνεύματι χρησάμενα πολλάκις αὐτῷ τούτῳ τῆς εὐφορίας ἀκμαίῳ καταβαπτίζεσθαι [58]), πταίσαντα δυςχρηστίᾳ καὶ κλύδωνι συγγενεῖ μάλιστα τῷ πολλῷ δρόμῳ, καὶ κακῶς ἀπαλλάττει τὸν αὐτὸν δὴ τρόπον. Καὶ ἡ μεγάλη τῆς Καρχηδόνος δύναμις καὶ ἀρετὴ περὶ τὰ μάχιμα καὶ τύχη, καὶ ὁ πολὺς δρόμος αὐτῇ τοῦ κράτους, καὶ τὰ Εὐρωπαῖα στρατεύματα, καὶ Ἀννίβας νικῶν καὶ πᾶσαν Ἰταλίαν, τὶ μὲν ὑποποιούμενος, τὶ δὲ καταστρεφόμενος ἐν προθύροις τῆς Ῥώμης, πάντα δὴ ταῦτα τελευτῆσαι κακῶς μετὰ τὴν δόξαν ἐκείνην, μετὰ τὰς νίκας, μετὰ τὴν ὀφρὺν, μετὰ τὴν ὕβριν, μετὰ τὰ τρόπαια, καὶ μεγίστης δυςπραγίας ἀφορμὴ γενέσθαι καὶ παντελοῦς ὀλέθρου τὰ μέγιστ᾽ ἐκεῖνα καὶ δραστικώτατα ἔργα, καὶ ἡ τῶν φθασάντων πραγμάτων εὐφορία, καὶ τὰ τῶν μεγίστων ἀγώνων εὐπραγήματα. Κἂν εἰ μηδὲν μέγ᾽ ἐφρόνουν, μήδ᾽ ἤροντο τοσοῦτον τοῖς πράγμασι Καρχηδόνιοι, ἔδει ἂν ἴσως αὐτοὺς τῷ βίῳ μένειν ἔτ᾽ ἐν τοῖς εἰωθόσι κατὰ χώραν, ὥςπερ δὴ καὶ οὕςτιναςοῦν ἄλλους τῶν κατὰ τὴν οἰκουμένην ἀνδρῶν τε

58) καταβαπτ., Cdd. Mon. et Aug. καταβαπτίζεται.

καὶ ἐθνῶν ταπεινῶς πράττοντας, καὶ μηδὲν μέγα φρονεῖν μηδὲ πράττειν ἀξιοῦντας· νῦν δὲ μέγιστον ἀνῃρημένοι λῆμα καὶ ὄγκον, καὶ τῇ τύχῃ κραταιῶς ὑψωθέντες, καὶ σπουδαρχήσαντες ἐπιμελῶς κατὰ Ῥωμαίων καὶ τῆς Εὐρώπης ἀπάσης, καὶ τοῖς πολεμίοις ἔργοις καὶ ταῖς τῆς τύχης χάρισιν ἐνακμάσαντες, καὶ μέγιστα κακῶς ἔπραξαν κατὰ φύσιν ἐκ μεγίστων μεταβαλόντες εἰς τἀναντιώτατα καὶ μέγιστα καὶ καθάπαξ ὤλοντο, καὶ οὐδ' ὁτιοῦν ἐλείφθησαν, ὥςπερ δὴ καὶ ἄλλ' ἄττα τῇ τῶν Ῥωμαίων τύχῃ καὶ τῷ κράτει τῶν εὐτελῶν ἐθνῶν, καὶ βραχέος ἀξιουμένων λόγου, καὶ μετριαζόντων ταῖς[39]) γνώμαις τε καὶ ταῖς τύχαις.

ΚΕΦ. ϙϛʹ.

Περὶ τῆς Ῥώμης, καὶ ὅπως ἐκ μικρῶν ἀρχῶν τοσοῦτο κράτος καὶ μέγεθος ἀρχῆς κατ' αὐτὴν συνέστη.

Πολλάκις ἐθαύμασ' ἔγωγε κατασκοπούμενος ἐπ' ἐμαυτοῦ, τίνες ἄρ' αἱ τῆς Ῥώμης ἀρχέγονοι πηγαὶ, καὶ ποίων ἀμέλει τὴν πρώτην ἀφορμῶν τοσοῦτο[1]) πρᾶγμα κατὰ τὸν βίον συνέστη, καὶ μέγεθος πόλεως, καὶ μέγεθος ἀρχῆς, καὶ ἀνδρῶν φρόνημα, καὶ γνώμης εὐγένεια, καὶ Ῥώμης κατ' ἐπωνυμίαν κράτος, καὶ τύχης ἐπὶ τῇ ἀρετῇ

39) ταῖς, omissum in C. Mon.

1) τοσοῦτο, C. Mon. τοσοῦτον.

συμφωνία τοσαύτη, καὶ σύμπραξις ἐφάμιλλος καὶ κοινωνία βεβαία πλεῖστον ἄτμητος τὸν χρόνον, καὶ καθάπαξ εἰπεῖν, τοσοῦτο μέγιστον ἐξ ἀμφοῖν κοινὸν ἔργον [2]), οἷον μήποτ' ἄλλο πρότερον ἢ μεθύστερον. Ῥωμύλος γὰρ εἰς Αἰνείαν ἀνάγει τὸ γένος, φυγάδα τῆς Τρωϊκῆς δυστυχίας, καὶ οὐ μηδ' ἐν βαρβάροις, μηδ' ἐν μύθοις βασιλικαὶ ῥίζαι, αἱ δ' ἔγγιστα Ῥωμύλου καὶ πρόδηλοι γοναὶ καὶ τροφαὶ τὸ μὲν μυθῶδες σεμνὸν, ἄπιστον καὶ ἄδηλον ἔχουσιν ἀνδράσι νοῦν ἔχουσι, τὰ δ' ἀμέλει φαινόμενα καὶ δῆλα καθάπαξ οὐκ ἄμεμπτα καὶ πάντως εὐτελῆ, καὶ μὴ τοσαύτῃ τύχῃ, μηδ' ἐξ αὐτῆς ὄγκῳ καὶ ἀξιώματι τοσούτῳ πρέποντα, καὶ πράγμασιν, ὧν οὐδ' ὅλως, ἀλλὰ τὸν ἅπαντα αἰῶνα παραπλήσια. Γάμοι μὲν μητρῷοι καὶ τοκετοὶ λανθάνοντες, καὶ ἴσως οὐκ ἀναίτιοι, ἀγωγὴ δὲ τὸ ἐξ ἀρχῆς καὶ τροφὴ καὶ βίος ἐπιπολὺ παντάπασιν ἀπολίτευτος καὶ ἀγροικικὸς, καὶ συναυλίαι πάσης ἀστειότητος καὶ παιδείας ἔρημοι, καὶ σύνταξις λῃστρικὴ ἐκ τοῦ σχεδίου τῆς τύχης λαβοῦσα τὴν ἀρχὴν, καὶ συστᾶσα πρὸς ἐπανάστασιν κατὰ πατρικῶν δικαίων καὶ κλήρων ἀρχῆς, καὶ νῖκαι τερατώδεις, καὶ ἀνεννόητοι καὶ ἀδόκητοι, καὶ ἀδελφοκτονία Ῥωμύλῳ τῆς τοσαύτης πόλεως τοὺς θεμελίους ὑποτίθεται καὶ τὰ προοίμια· καὶ τοσοῦτος περίβολος ἄστεος ἀνίσταται, οἵαις χερσὶν οὐκ οἶδ' ἔγωγε, οὐδ'

2) ἔργον, Cdd. Aug. et Mon. ἔργου.

ἐρεῖν ἔχω πᾶν τὸ εἰκὸς καταλογιζόμενος, ἀνίσταται δ' οὖν, οἰκίζεται δὲ καὶ πρώτους τὴν ἀρχὴν λαμβάνει πολίτας, τὸν ἀγυρτώδη λαὸν ἐκεῖνον καὶ παμμιγῆ, καὶ πάντοθεν ἠθροισμένον Ῥωμύλῳ, καὶ ὡπλισμένον θράσει πολλῷ καὶ φρονήματι καινοτομοῦντι τὰ καθεστῶτα, καὶ μηδενὶ σωφρονικῷ καὶ νομίμῳ χαίροντα. Τοιοῦτον γὰρ δὴ τὸ πρὸς ἐπανάστασιν τῷ Ῥωμύλῳ χρήσιμον, καὶ τὴν ἐξ ἀφανοῦς καὶ ταπεινῆς τύχης φιλαρχίαν κεκινημένον αὐτῷ στρατιωτικὸν, αὐθαδείᾳ πάντως καὶ ἀλογίστοις ὁρμαῖς σύντροφον· τοιοῦτο καὶ συνοικίζει τὴν ἀρχὴν σύνταγμα λεῷ πανσπερμίας τὸ μέγα καὶ περιφανὲς κατὰ πάσης τῆς γῆς ἀναδειχθὲν ἔπειτα τὸν ἅπαντα αἰῶνα τῆς μεγαλοπόλεως Ῥώμης κλέος· καὶ τοιαῦται τὴν πρώτην ῥίζαι καὶ σπέρματα τῆς μεγάλης ὑπετέθησαν εὐφορίας, καὶ πᾶσαν σχεδὸν ἐπέσχον [3]) τὴν γῆν βλαστήσασαι, καὶ φυτηκομηθεῖσαι [4]) παμφορώτατα, καὶ πάσης εὐγενείας εὖ μάλα διαρκέστατα. Κἀκ τοιούτων δὴ τῶν ἀρχῶν καὶ τῶν ἀφορμῶν καὶ τῶν πρώτων [5]) ὑποθέσεων τῇ πάντα θαυμαστῇ καὶ καινοποιῷ προνοίᾳ τὰ μέγιστα καὶ κάλλιστα χρόνοις οὐ πολλοῖς ὕστερον συνέστη καὶ κατεκοσμήθη τῇ Ῥώμῃ πολιτεύματα, καὶ νόμοις ἁρμοσθέντα κατὰ πᾶν τὸ γιγνόμενον ἐπαινετῆς χρήσεως, τοῦτο μὲν πρὸς τὴν κατ' ἦθος ἀστειό-

3) ἐπέσχ., C. Mon. ὑπέσχον.

4) βλαστ. καὶ φυτηκ., C. Mon. βλαστήσασα καὶ φυτηκομηθεῖσα.

5) δὴ τῶν ἀρχῶν — πρώτων, neglecta sunt in C. Mon.

πρότερον, μήθ' ὕστερον, ὡς ἐκ τῶν συγγραφ[...] μανθάνειν ἔχομεν, καὶ τοὺς πλείονας τῶν στρ[...] τηγῶν καὶ τῶν στρατευμάτων ἀπεβάλοντο. Σ[...] φέστατα [16]) αὐτόθεν ἐν ἐσχάτοις ἐγένοντο, κ[...] δέει μεγίστῳ [17]) τοῦ καθάπαξ ὀλέσθαι, κ[...] εἷλε δραμὼν Ἀννίβας αὐτίκα τῇ νίκῃ καὶ μ[...] ταύτης ἀνάξιος, καὶ τῆς αὐτοῦ μεγάλης τόλμ[...] καὶ τέχνης στρατηγικῆς, καὶ τάχους καὶ τύχ[...] καὶ τῆς ἄλλης ἐμπειρίας ἀπολειφθεὶς αὐτο[...] τὴν Ῥώμην, τὸ μέγα τῆς οἰκουμένης ὄνομ[...] κἂν αὐτίκα κατεστρέψατο κατὰ κράτος πάντ[...] αὐτῇ κεκενωμένον [18]) μάχαις, καὶ τῇ περὶ τ[...] Κάννας [19]) τελευταίᾳ μεγίστῃ δυςπραγίᾳ, κα[...] οὐκ ὄντων οὔτε τῶν ἀντιτάττεσθαι δυναμένων ἂν πρὸ τῆς πόλεως, οὔτε τῶν ἐπ' αὐτῆς ὑπὲρ τῆς σωτηρίας αὐτῆς στησομένων λειφθέντων ἱκανῶς αὐτῇ, καὶ ὥςτε τοσοῦτο μόνον ἀποχρώντως ἔχειν, ἐφ' ᾧ [20]) τὸν ἔσχατον ἀποσοβῆσαι τῆς τοσαύτης πόλεως ὄλεθρον. Νῦν δ' ἐδόκει γὰρ ἤδη τῇ προνοίᾳ τὰ πράγματα Ῥωμαίοις εἰς τοσοῦτο προελθεῖν, ὅσον δὴ καὶ προῆλθε, καὶ τὸ πλεῖστον ἔδει τῆς οἰκουμένης ὑπ' αὐτοὺς γενέσθαι, καὶ Καρχηδονίοις τοὐναντίον ἅπαν [21]).

16) σαφ., C. Mon. σαφέστατ'.

17) μεγίστῳ, C. Mon. μεγίστη.

18) κεκεν., C. Mon. κεκενωμένων. Inserta deinde in Cdd. Aug. et Mon. leguntur haec: καὶ ἀνδρῶν καὶ χρημάτων ταῖς τε πρότερον μάχαις.

19) Κάννας, Cdd. Aug. et Mon. vt antea: Κάνας.

20) ἐφ' ᾧ, C. Aug. ἐφ' ὧν.

21) ἅπαν, omissum in C. Mon.

Ἀννίβας ἀπεσφάλη γνώμης ὀρθῆς καὶ προσούσης τῇ νίκῃ, καὶ μαχητὴς γενόμενος ἄριστος καὶ στρατηγικώτατος, νικητὴς ἀμαθὴς καὶ τοῦ κατὰ καιρὸν ἔξω παντάπασιν ἀποδέδεικται, καὶ κατασχὼν ἑαυτὸν, καὶ τραπεὶς ἐν ἄλλοις, καὶ ἃ μὴ κατὰ πᾶσαν ἀνάγκην εἵπετο, δίδωσιν ἀναπνεῦσαι τῇ πόλει, καὶ τῆς τοσαύτης ἀμηγέπη δυςπραγίας ἀνασφῆλαι καὶ τοῦ πτώματος. Καὶ συστάντες αὖθις ἑαυτῶν ἦσαν, καὶ προςεῖχον στρατηγοῖς σώφροσι καὶ τεχνίταις τοῦ καιροῦ, καὶ ὡς ἔδει μάχεσθαι, μᾶλλον δ' ἀντέχειν καὶ κατασοφίζεσθαι τὴν ἀκμὴν Καρχηδονίων, καὶ Ἀννίβαν οὐκ ἔχοντα καὶ μετὰ τὴν νίκην ἐπαλλοτρίας τρίβειν ξενικῷ καὶ πολεμιγεῖ[22]) τοσούτῳ στρατεύματι. Τοὐντεῦθεν ἄρ' ἡ τέως μέγαν τὲ καὶ ἀήττητον θρέψασα καὶ αὐξήσασα πλεῖστον ὅσον τύχη κατ' ὀλίγον Ἀννίβαν ἀπεχώρει, καὶ τὰ Καρχηδονίων πράγματα, καὶ προὐδίδου προλείπουσα κομιδῇ, καθάπερ ἐν κύβοις τὲ καὶ πεττείαις ἐλαττούμενον, καὶ πάνθ' ὅσοις ἂν ἐπιβάλλοι[23]) καὶ χρῷτο τῷ μὴ τυγχάνειν οὐκ εἰς κενὸν μόνον ῥιπτοῦντα, ὥςπερ ἐν συνθήμασι καὶ φιλονείκως κατατιθέμενον ἐλεγχόμενον, ἀλλὰ καὶ σφόδρ' ἐπιζημίας[24]) καὶ ἀνιαρῶς ἀπαλλάττοντα· καὶ ὥςπερ χείμαῤῥος πολλαῖς ἐπομβρίαις καὶ συνδρομαῖς τῶν πραγμάτων καὶ

22) πολεμ., leg. πολυμιγεῖ.

23) ἐπιβάλλ., C. Mon. ἐπιβάλοι.

24) ἐπιζ., Cdd. Aug. et Mon. rectius: ἐπιζημίως.

τῆς τύχης [25]) ἀρθεὶς, καὶ ῥαγδαίως ἐπεισπεσὼν τῇ Ῥώμῃ, καὶ τοῖς κατὰ τὴν Ἰταλίαν, μᾶλλον δὲ καὶ ὅλως τοῖς κατὰ τὴν Εὐρώπην πράγμασιν, ἀντιπνευσάσης ἔπειτ' αὖθις τῆς τύχης, οἷα δὴ τὰ κατ' αὐτὴν, ἀβέβαιοι ἀνέμων καὶ παλίμβολοι φοραὶ, καὶ αὔραις μᾶλλον ἐστὶ κατὰ τὸν λόγον πιστεύειν, ἢ τοῖς ἀπὸ τῆς τύχης δώροις, καὶ κατασχούσης [26]) τὰ τῶν χαρίτων αὐτῷ καὶ τῆς εὐφορίας πλήθοντα ῥεύματα κατ' ὀλίγον ὑπέῤῥει καὶ φθίνειν ἤρχετο, καὶ πάντα τρόπον ἐκκαλούμενος καὶ πολὺς ἐγκείμενος [27]) ἕλκων εἰς τὴν πρόδηλον ἀντιστάδην μάχην Ῥωμαίους, ὡς τοῦτο οἱ κομιδῇ βέλτιον ὂν, καὶ πάσας ὑποτεῖνον ἐλπίδας τοῦ κατ' αὐτῶν κράτους, καὶ μὴ δυνάμενος ἀντισπᾷν μηδὲ συμπλέκεσθαι, καὶ πᾶσι σοφιζόμενος καὶ στενούμενος τρόποις, καὶ ἀντὶ τῆς πρὶν ὕβρεως καὶ ἀγερωχίας ταπεινῶς πράττων πρὸς τοὔλαττον ἐχώρει, καὶ ἐφθείρετο μᾶλλον τοῖς μεγίστοις ἐκείνοις καὶ δυσαντήτοις καὶ ἀηττήτοις στρατεύμασι, καὶ τὰ καιριώτατα νοσῶν ὑπερβαλλόντως ἀηδὴς ἦν λοιπὸν καὶ βαρὺς πάνυ τοι τοῖς ἀρχομένοις, καὶ οἷς ηὐξήθη συμμάχοις ταλαιπωρουμένοις καὶ τρίβουσιν ἀδόκητα καὶ ἀνήνυτα. Καὶ τοίνυν ὥςπερ ἐν ζυγῷ τῆς ἐκείνου πλάστιγγος καταβαρουμένης, καὶ κάτω

25) τύχης, C. Aug. ἀρχῆς.

26) κατασ., C. Mon. κατασκούσης.

27) ἐγκείμ., C. Mon. ἐγκύμενος.

χωρούσης καὶ συμπιπτούσης αἰεὶ Ῥωμαίοις ἀνωρθοῦτο τὰ φρονήματα, καὶ ἡ κατ' αὐτοὺς πλάστιγξ ἤρετο. Καὶ πρόδηλος ἡδείαις αὔραις ἀτάλλουσα κατὰ Πίνδαρον [28]) ἡ τύχη τὰς ψυχὰς αὐτοῖς χρησταῖς ἐλπίσιν εὐφορίας ἐνεύρου [29]) τὰς δυνάμεις σφίσι καὶ τόλμης εὐτονίαν χορηγοῦσα πρὸς ἀντεπιχειρήσεις κατὰ τῶν ἀντιπάλων τῶν αὐτοῖς οἴκοι καὶ τῆς πατρίδος κινεῖ, βέλτιστ' ἓν καὶ [30]) στρατεύματα γοῦν πάντα τὸν ἐνόντα τρόπον ἄρισθ' ὁπλίσαντες Ῥωμαῖοι καὶ συστησάμενοι μαχιμώτατα, καὶ στρατηγοὺς ἀπολέξαντες ἀριστίνδην, καὶ ἦν γε μάλιστ' ἐν τούτοις Σκηπίων [31]) ὁ πολὺς ἐκεῖνος, τὸ μέγα κλέος τῆς Ῥώμης, εἰς αὐτὴν Ἀφρικὴν καὶ Λιβύην ναυστόλοις ἐκ παρασκευῆς ἐπιμελοῦς καὶ μεγίστης διαβιβάζουσι, καὶ κατεπιχειροῦσι τῆς χώρας, καὶ λυμαίνονται πλεῖστον ὅσον ἐρημίᾳ τῶν ἀντιταξομένων ὑπὲρ αὐτῆς τῶν πλείστων δὴ καὶ ἰσχυροτέρων στρατευμάτων τοῖς κατ' Εὐρώπην ἐνασχολουμένων πράγμασι. Καὶ τί δεῖ πολλὰ λέγειν; ἀρχὴν καταστησάμενοι, καὶ ἥτταις οὐκ ὀλίγαις τῶν κατὰ χώραν στρατηγῶν τε καὶ στρατευμάτων δέος αὐτῇ μέγιστον περὶ καταστροφῆς

28) *Πίνδαρον*. Haec, nisi fallor, referenda sunt ad Fragm. Incert. III. ed. Heyn. T. III. p. 80.

29) *ἐνεύρου*, leg. vt infra: *ἐναύρου*.

30) *βέλτιστ' ἓν καί*, Cdd. Aug. et Mon. *βέλτιστ' ἐν καιρόν*, *κάλλιστα προμνωμένη τῶν ἀγώνων τέλει*. (C. Aug. *τέλος*) *στρατεύματα*.

31) *Σκηπ.*, sic Cdd. Aug. et Mon. quoque, non *Σκιπίων*. Paullo post iterum *Σκηπίωνα*.

ἄρδην ἐνθέμενοι κακῶς οὕτω πράττουσαν ἠνάγκασαν. ἀνιστᾷν Ἀννίβαν, καὶ τὰ σὺν αὐτῷ στρατεύματα τῆς Ἰταλίας, καὶ πάσας προλιπεῖν τὰς ἐκεῖ μεγάλας πράξεις, καὶ περιφανεῖς νίκας, καὶ συμμαχίας ἐθνῶν, ἃς οὐκ ἦν ῥᾴδιον ἐν Λιβύῃ διαπερᾷν. Καὶ τοίνυν τῆς τύχης αἱρούσης ἤδη τὰ Ῥωμαίων καὶ Σκηπίωνα, μέγιστον καὶ πολυδοξότατον Ῥωμαίοις καὶ πᾶσιν ἀνθρώποις στρατηγὸν, ὑψούσης πλείσταις καὶ χαλεπωτάταις κατὰ κράτος ἡττῶνται μάχαις ὁ τέως ἀήττητος Ἀννίβας καὶ Καρχηδόνιοι, καὶ πλείστους ἀποβαλόντες καὶ στρατηγοὺς καὶ στρατεύματα, καὶ τὸ πλεῖον τῆς ἀρχῆς καὶ τῆς χώρας, καὶ τελευτῶντες αὐτοὶ τῇ 32) μεγίστῃ καὶ περιφανεῖ πατρίδι κινδυνεύοντες καὶ τὸν ἔσχατον ὄλεθρον ἐκ τοῦ προχείρου δεδιότες Καρχηδόνος, εἰς σπονδὰς ἐντεῦθεν δουλείας καταφεύγουσιν ἐπ᾽ αἰσχύνῃ τοῦ τοσούτου πρότερον κλέους. Καὶ καταλείπουσι μὲν ἐκεῖνο τὸ μέγα φρόνημα, καὶ τὰς ἀμέτρους καὶ ἀνηνύτους ἐλπίδας καὶ φιλαρχίας, καὶ τὴν ἀρχὴν δὲ πᾶσαν ἀπολύουσι τῶν κατὰ Λιβύην ἐθνῶν, καὶ φόρους ἀλλαττόμενοι τὴν σωτηρίαν ἐπετείους κατατίθεσθαι προσίενται, καὶ τὰ 33) μέγιστα καὶ πλήθοντα νεώρια τῆς αὐτῶν πόλεως ἐρημίᾳ πάσῃ ξυνεῖναι πείθονται 34), τὰς ναῦς ἐγχειρίζοντες

32) αὐτοὶ τῇ, Cdd. Mon. et Aug. αὐτῇ.

33) καὶ τὰ, Cdd. Aug. et Mon. κατά.

34) νεώρια — πείθονται, desiderantur in C. Aug.

αὐτοὶ Ῥωμαίοις, καὶ, ὡς ἔπος εἰπεῖν, μηδὲν ἄλλο ἢ δούλους ἑαυτοὺς ὑπὸ χεῖρα τοῖς ἐχθίστοις καθάπαξ ποιοῦνται. Βραχὺς ὁ χρόνος, καὶ ἐπεὶ μὴ εἶχον πράττειν οὕτως ἀθλίως καὶ βιοῦν αἴσχιστα, κἀντεῦθεν ἀφηνιάζοντες ἠξίουν αὖ πειρᾶσθαι τῆς τύχης, εἰ μεταβέβληται σφίσι, καὶ ἵλεως[35]) ἀμηγέπη προσορᾷ, καὶ ἀντεποιοῦντο πραγμάτων αὖθις, καὶ Ῥωμαίοις ἀντετάττοντο, καὶ Ῥωμαίων αὖθις νῆας Ἀφρικὴ καὶ Λιβύη, καὶ στρατεύματα πολέμια κατὰ Καρχηδόνος ἐδέχετο, καὶ ὥσπερ ἀπὸ κλήρου τινὸς ἥκοντα ταῖς αὐταῖς ἀριστείαις καὶ στρατηγείαις ἐφάμιλλον ἐπίλεκτον νέον Σκηπίωνα, τοῦ πρότερον ἀριστέως ἀδελφιδοῦν, καὶ ὄντως τῇ χρήσει [36]) γνήσιον· οὕτω δὴ κατὰ κράτος ἡττῶνται μάλα δὴ, καὶ πλειστάκις γενναίως ἀντικαταστάντες Ῥωμαίοις Καρχηδόνιοι, ὥστε καὶ κατασκαπτομένην ὁρῶσι τὴν περικλεϊστον ἐπὶ πάσης τῆς οἰκουμένης αὐτῶν μητρόπολιν, καὶ πᾶν τὸ ἔθνος αὐτῶν ἠνδραποδισμένον, ὅσον τὸ ξίφος καὶ τὸν θάνατον ἔφυγε, καὶ πᾶσαν ἀοίκητον τὴν χώραν, καὶ τὴν μὲν μηλόβοτον, τὴν δ' ἄλλοις ἔθνεσι καὶ ἀνθρώποις χρησίμην, καὶ Ῥωμαίοις οὕτως ὑποτελῆ καὶ προσήκουσαν, ὅσα καὶ τὰ Ῥώμῃ πρόσοικα προαστεῖα καὶ οἱ ἀγροί. Καὶ ἀναμφήριστον λοιπὸν, ὡς συνελὼν ἐρεῖν, Ῥωμαίοις ἐλείφθη [37]) τὸ κατὰ πάσης σχεδὸν τῆς οἰκου-

35) ἵλεως, Cdd. Aug. et Mon. ἵλεων.

36) ὄντως τῇ χρ., C. Mon. ὄντως τὴν τῇ χρήσει.

37) ἐλείφθη, C. Mon. ἐλήφθη, et τὰ pro τό.

μένης ἐντεῦθεν κράτος ἐπὶ τῇ τῶν ἐφαμίλλων καὶ πλεῖστον ἐνακμασάντων Καρχηδονίων πανωλείᾳ. Καὶ ἔοικεν, ἵνα δὴ τὸ κατὰ σκοπὸν μάλιστα τῷ νῦν λόγῳ, καὶ οὐ τῆς ἱστορικῆς ταύτης μνήμης ἡ πρόθεσις ἦν, ἐπιλογισώμεθα, ὥςπερ τὰ πλεῖστον οὐριοδρομήσαντα σκάφη, καὶ φορωτάτῳ πνεύματι χρησάμενα πολλάκις αὐτῷ τούτῳ τῆς εὐφορίας ἀκμαίῳ καταβαπτίζεσθαι [38], πταίσαντα δυςχρηστίᾳ καὶ κλύδωνι συγγενεῖ μάλιστα τῷ πολλῷ δρόμῳ, καὶ κακῶς ἀπαλλάττει τὸν αὐτὸν δὴ τρόπον. Καὶ ἡ μεγάλη τῆς Καρχηδόνος δύναμις καὶ ἀρετὴ περὶ τὰ μάχιμα καὶ τύχη, καὶ ὁ πολὺς δρόμος αὐτῇ τοῦ κράτους, καὶ τὰ Εὐρωπαῖα στρατεύματα, καὶ Ἀννίβας νικῶν καὶ πᾶσαν Ἰταλίαν, τὶ μὲν ὑποποιούμενος, τὶ δὲ καταστρεφόμενος ἐν προθύροις τῆς Ῥώμης, πάντα δὴ ταῦτα τελευτῆσαι κακῶς μετὰ τὴν δόξαν ἐκείνην, μετὰ τὰς νίκας, μετὰ τὴν ὀφρὺν, μετὰ τὴν ὕβριν, μετὰ τὰ τρόπαια, καὶ μεγίστης δυςπραγίας ἀφορμὴ γενέσθαι καὶ παντελοῦς ὀλέθρου τὰ μέγιστ᾽ ἐκεῖνα καὶ δραστικώτατα ἔργα, καὶ ἡ τῶν φθασάντων πραγμάτων εὐφορία, καὶ τὰ τῶν μεγίστων ἀγώνων εὐπραγήματα. Κἂν εἰ μηδὲν μέγ᾽ ἐφρόνουν, μηδ᾽ ἤροντο τοσοῦτον τοῖς πράγμασι Καρχηδόνιοι, ἔδει ἂν ἴσως αὐτοὺς τῷ βίῳ μένειν ἔτ᾽ ἐν τοῖς εἰωθόσι κατὰ χώραν, ὥςπερ δὴ καὶ οὔςτιναςοῦν ἄλλους τῶν κατὰ τὴν οἰκουμένην ἀνδρῶν τι

---

38) καταβαπτ., Cdd. Mon. et Aug. καταβαπτίζεται.

καὶ ἐθνῶν ταπεινῶς πράττοντας, καὶ μηδὲν μέγα φρονεῖν μηδὲ πράττειν ἀξιοῦντας· νῦν δὲ μέγιστον ἀνῃρημένοι λῆμα καὶ ὄγκον, καὶ τῇ τύχῃ κραταιῶς ὑψωθέντες, καὶ σπουδαρχήσαντες ἐπιμελῶς κατὰ Ῥωμαίων καὶ τῆς Εὐρώπης ἁπάσης, καὶ τοῖς πολεμίοις ἔργοις καὶ ταῖς τῆς τύχης χάρισιν ἐνακμάσαντες, καὶ μέγιστα κακῶς ἔπραξαν κατὰ φύσιν ἐκ μεγίστων μεταβαλόντες εἰς τἀναντιώτατα καὶ μέγιστα καὶ καθάπαξ ὤλοντο, καὶ οὐδ' ὁτιοῦν ἐλείφθησαν, ὥςπερ δὴ καὶ ἄλλ' ἄττα τῇ τῶν Ῥωμαίων τύχῃ καὶ τῷ κράτει τῶν εὐτελῶν ἐθνῶν, καὶ βραχέος ἀξιουμένων λόγου, καὶ μετριαζόντων ταῖς [39]) γνώμαις τε καὶ ταῖς τύχαις.

ΚΕΦ. ϛʹ.

Περὶ τῆς Ῥώμης, καὶ ὅπως ἐκ μικρῶν ἀρχῶν τοσοῦτο κράτος καὶ μέγεθος ἀρχῆς κατ' αὐτὴν συνέστη.

Πολλάκις ἐθαύμασ' ἔγωγε κατασκοπούμενος ἐπ' ἐμαυτοῦ, τίνες ἄρ' αἱ τῆς Ῥώμης ἀρχέγονοι πηγαί, καὶ ποίων ἀμέλει τὴν πρώτην ἀφορμῶν τοσοῦτο [1]) πρᾶγμα κατὰ τὸν βίον συνέστη, καὶ μέγεθος πόλεως, καὶ μέγεθος ἀρχῆς, καὶ ἀνδρῶν φρόνημα, καὶ γνώμης εὐγένεια, καὶ Ῥώμης κατ' ἐπωνυμίαν κράτος, καὶ τύχης ἐπὶ τῇ ἀρετῇ

39) ταῖς, omissum in C. Mon.

1) τοσοῦτο, C. Mon. τοσοῦτον.

συμφωνία τοσαύτη, καὶ σύμπραξις ἐφάμιλλος καὶ κοινωνία βεβαία πλεῖστον ἄτμητος τὸν χρόνον, καὶ καθάπαξ εἰπεῖν, τοσοῦτο μέγιστον ἐξ ἀμφοῖν κοινὸν ἔργον [2]), οἷον μήποτ' ἄλλο πρότερον ἢ μεθύστερον. Ῥωμύλος γὰρ εἰς Αἰνείαν ἀνάγει τὸ γένος, φυγάδα τῆς Τρωϊκῆς δυςτυχίας, καὶ οὐ μηδ' ἐν βαρβάροις, μηδ' ἐν μύθοις βασιλικαὶ ῥίζαι, αἱ δ' ἔγγιστα Ῥωμύλου καὶ πρόδηλοι γοναὶ καὶ τροφαὶ τὸ μὲν μυθῶδες σεμνὸν, ἄπιστον καὶ ἄδηλον ἔχουσαι ἀνδράσι νοῦν ἔχουσι, τὰ δ' ἀμέλει φαινόμενα καὶ δῆλα καθάπαξ οὐκ ἄμεμπτα καὶ πάντως εὐτελῆ, καὶ μὴ τοσαύτῃ τύχῃ, μηδ' ἐξ αὐτῆς ὄγκῳ καὶ ἀξιώματι τοσούτῳ πρέποντα, καὶ πράγμασιν, ὧν οὐδ' ὅλως, ἀλλὰ τὸν ἅπαντα αἰῶνα παραπλήσια. Γάμοι μὲν μητρῷοι καὶ τοκετοὶ λανθάνοντες, καὶ ἴσως οὐκ ἀναίτιοι, ἀγωγὴ δὲ τὸ ἐξ ἀρχῆς καὶ τροφὴ καὶ βίος ἐπιπολὺ παντάπασιν ἀπολίτευτος καὶ ἀγροικικὸς, καὶ συναυλίαι πάσης ἀστειότητος καὶ παιδείας ἔρημοι, καὶ σύνταξις λῃστρικὴ ἐκ τοῦ σχεδίου τῆς τύχης λαβοῦσα τὴν ἀρχὴν, καὶ συστᾶσα πρὸς ἐπανάστασιν κατὰ πατρικῶν δικαίων καὶ κλήρων ἀρχῆς, καὶ νῖκαι τερατώδεις, καὶ ἀνεννόητοι καὶ ἀδόκητοι, καὶ ἀδελφοκτονία Ῥωμύλῳ τῆς τοσαύτης πόλεως τοὺς θεμελίους ὑποτίθεται καὶ τὰ προοίμια· καὶ τοσοῦτος περίβολος ἄστεος ἀνίσταται, οἵαις χερσὶν οὐκ οἶδ' ἔγωγε, οὐδ'

2) ἔργον, Cdd. Aug. et Mon. ἔργου.

ἐρεῖν ἔχω πᾶν τὸ εἰκὸς καταλογιζόμενος, ἀνίσταται δ' οὖν, οἰκίζεται δὲ καὶ πρώτους τὴν ἀρχὴν λαμβάνει πολίτας, τὸν ἀγυρτώδη λαὸν ἐκεῖνον καὶ παμμιγῆ, καὶ πάντοθεν ἠθροισμένον Ῥωμύλῳ, καὶ ὡπλισμένον θράσει πολλῷ καὶ φρονήματι καινοτομοῦντι τὰ καθεστῶτα, καὶ μηδενὶ σωφρονικῷ καὶ νομίμῳ χαίροντα. Τοιοῦτον γὰρ δὴ τὸ πρὸς ἐπανάστασιν τῷ Ῥωμύλῳ χρήσιμον, καὶ τὴν ἐξ ἀφανοῦς καὶ ταπεινῆς τύχης φιλαρχίαν κεκινημένον αὐτῷ στρατιωτικὸν, αὐθαδείᾳ πάντως καὶ ἀλογίστοις ὁρμαῖς σύντροφον· τοιοῦτο καὶ συνοικίζει τὴν ἀρχὴν σύνταγμα λεῷ πανσπερμίας τὸ μέγα καὶ περιφανὲς κατὰ πάσης τῆς γῆς ἀναδειχθὲν ἔπειτα τὸν ἅπαντα αἰῶνα τῆς μεγαλοπόλεως Ῥώμης κλέος· καὶ τοιαῦται τὴν πρώτην ῥίζαι καὶ σπέρματα τῆς μεγάλης ὑπετέθησαν εὐφορίας, καὶ πᾶσαν σχεδὸν ἐπέσχον [3]) τὴν γῆν βλαστήσασαι, καὶ φυτηκομηθεῖσαι [4]) παμφορώτατα, καὶ πάσης εὐγενείας εὖ μάλα διαρκέστατα. Κἀκ τοιούτων δὴ τῶν ἀρχῶν καὶ τῶν ἀφορμῶν καὶ τῶν πρώτων [5]) ὑποθέσεων τῇ πάντα θαυμαστῇ καὶ καινοποιῷ προνοίᾳ τὰ μέγιστα καὶ κάλλιστα χρόνοις οὐ πολλοῖς ὕστερον συνέστη καὶ κατεκοσμήθη τῇ Ῥώμῃ πολιτεύματα, καὶ νόμοις ἁρμοσθέντα κατὰ πᾶν τὸ γιγνόμενον ἐπαινετῆς χρήσεως, τοῦτο μὲν πρὸς τὴν κατ' ἦθος ἀστειό-

3) ἐπέσχ., C. Mon. ὑπέσχον.

4) βλαστ. καὶ φυτηκ., C. Mon. βλαστήσασαι καὶ φυτηκομηθεῖσαι.

5) δὴ τῶν ἀρχῶν — πρώτων, neglecta sunt in C. Mon.

τητα καὶ τὸ καίριον τῆς ἀγωγῆς κοινῇ τε καὶ ἰδίᾳ, τοῦτο δὲ καὶ πρὸς τὰ πολέμια ἔργα καὶ[6] τὸ κατὰ πάντων κρατῆσαν φρόνημα. Καὶ θαυμάζειν ὄντως, ὡς ἔφην, ἄξιον, ὅπως ἐκ μικροῦ οὕτω τὴν ἀρχὴν τῶν πραγμάτων καὶ παντάπασιν ὥς γε δόξαι ταπεινῆς καὶ εὐπεριφρονήτου κινήσεως καὶ ὁρμῆς οὕτω δὴ μέγιστα καὶ κάλλιστα πάντα τρόπον ἑξῆς ἀπήντα καὶ ἀρετῆς καὶ τύχης συμπεράσματα. Ἐπιλαμβάνει γὰρ αὐτόθεν τόλμαις ἔργων μεγίστων καὶ θαυμαστῶν ἐπιχειρήσεων πόλις ἐκείνη, καὶ διοικήσει πολὺ τὸ συνετὸν κατὰ καιρὸν ἐχούσῃ, καὶ συμπεφυκὸς ταῖς ἑκάστοτε χρείαις καὶ τοῖς πράγμασι τὰ πρόσοικα κατὰ τὴν Ἰταλίαν πάντα, καὶ λοιπὸν ἔπειθ' ἑξῆς ἀγῶσι κραταιοῖς, καὶ πρὸς κραταιοὺς τοὺς ἀντιταττομένους ἄλλοτ' ἄλλους καὶ συνεχεῖς ἀηττήτοις παλαίσμασι καὶ διὰ πάντων τροπαίοις ἅπαντα τὰ κατὰ τὴν Εὐρώπην πολυανθρωπότατα τῆς ἄλλης οἰκουμένης ἔθνη καὶ μαχιμώτατα εἰς αὐτὸν τὸν[7]) τῶν Γαδείρων πορθμὸν καὶ νήσους ὑπὲρ τὸν ὠκεανὸν μεγίστας, καὶ βαρβαρικῶν καὶ ἀρεϊκῶν ἐθνῶν. Καὶ λοιπὸν ἔπειθ' ἑξῆς Λιβύην διαβαίνει καὶ πάνθ' ὑποποιεῖται τὰ κατ' αὐτὴν οἰκούμενα τῆς πόλεως ἡ δύναμις, καὶ τὴν Αἰγυπτίων σοφίαν ἑαυτῆς ποιεῖται, καὶ πάσας ὁμοῦ τὰς ἐν μέσῳ τῆς θαλάσσης οἰκήσεις, καὶ λοιπὸν ἔπειθ'

6) καὶ, deest in C. Mon.

7) τὸν, ignorant Cdd. Aug. et Mon.

ἐξῆς Ἀσίας τὰ πλείω, καὶ ὑπερβᾶσα Καύκασον Σκύθαις [8]), καὶ ὑπερβᾶσα τὸν Εὐφράτην Ἀσσυρίοις καὶ Πέρσαις ἀντικαθίσταται. Καὶ τοσοῦτο [9]) πρᾶγμα, μᾶλλον δὲ θαῦμα κατεῖδεν ἥλιος καὶ ἄνθρωποι τῆς ἐκ τῶν εἰρημένων ἀρχῶν καὶ ὑποθέσεων Ῥωμύλου πόλεως καὶ βασιλείας καὶ πολιτείας ἐκείνης, ἃ μηδ' ἦν ὡς ἀληθῶς ἐννοεῖν τέως μηδ' ἐπιέναι, μηδ' ἀναπλάττειν τοῖς λογισμοῖς, καὶ τὰ πάσης ἐλπίδος ἐπέκεινα καὶ πάσης εὐχῆς ἔργοις ἑωρᾶτο, καὶ κατὰ τὸ κινοῦν ἑκάστοθ' ἑξῆς τῆς γνώμης ἀνύσιμα, ἃ γὰρ μὴ πρότερον ἦν ὁμοῦ συλλογίζεσθαι, πάντ' ἄλλα μετ' ἄλλα τοῖς λογισμοῖς ἐπεγίνετο τῇ συνεχείᾳ ἑξῆς, καὶ ὥςπερ δή τι [10]) τῶν καθ' αἵρεσιν αὐτόθεν ἐπεραίνετο, ἀρετῆς μὲν ὡς ἀληθῶς κράτει τῶν νικώντων ἀνδρῶν, τὸ δ' ὅλον μάλιστα τῆς ἀνωτάτω προνοίας δόγμασιν.

ΚΕΦ. ρζ΄.

Περὶ Νουμᾶ Πομπηλίου [1]), δευτέρου βασιλέως τῆς Ῥώμης, καὶ ὅπως τηνικαῦτα κατὰ καιρὸν βασιλεύειν ᾑρέθη.

Νουμᾶς Πομπήλιος, δεύτερος μετὰ Ῥωμύλον βασιλεὺς τῆς Ῥώμης, οὐκ ἐκ διαδοχῆς τινὸς καὶ κλήρου τὴν ἡγεμονίαν μεταλαμβάνων, ἀλλ'

8) Σκύθαις, excidit in C. Mon.

9) τοσοῦτο, C. Mon. τοσοῦτον.

10) τι, est omissum in C. Mon.

1) Πομπηλ., sic Cdd. nostri constanter, nusquam Πομπίλιος.

αἱρετὸς κατ᾽ ἐπιλογὴν οὐκ αὐτόθεν, ἀλλ᾽ ἐξ ἀλλοτρίων ἐπικεκλημένος, — καὶ ἦν γάρ ὁ μεγάλη φήμη σοφίας, καὶ ἤθους εὐδοκίμου καὶ βίου κοσμίου, καὶ καθάπαξ ἀρετῆς πάσης πίστει. — Καὶ τοίνυν εἰς τὴν βασιλείαν ἐκ τούτων κεκλημένος, εὖ μάλ᾽ ἔδοξε κατὰ καιρὸν κεκλημένος· καὶ Ῥωμύλον μὲν ἡ τότε χρεία τῶν πραγμάτων ἀπῄτει μαχητὴν εἶναι καὶ πολεμίων ἔργων μετὰ πάσης τόλμης ἐπιμελῆ. Καὶ ἔοικε κατὰ θεῖον ξυμβὰν οὕτω, καὶ πλεῖστ᾽ ἀνὴρ ἐκεῖνος ἔργα μάχης ἀριστεύει, καὶ συνίστησιν οἷα εἰκὸς ἔθ᾽ ἁπαλῶς [2]) καὶ ἀνιδρύτως ἔχουσαν τὴν πόλιν ἀρεϊκαῖς χρήσεσι, γεννικῶς οὐ μόνον ἀπαντῶν πρὸς τὰς κατ᾽ αὐτῆς ἐπιχειρήσεις, ἀλλὰ καὶ τὰ πρόςοικα πάντα δουλαγωγῶν καὶ ὑπὸ χεῖρα ποιούμενος καὶ κρατύνων, εἰς ὅσον οἷόν τ᾽ ἦν, τὴν τῆς νέας οἰκισθείσης ὑπ᾽ αὐτοῦ πόλεως δύναμιν. Ἔστι δ᾽ ἃ καὶ πολιτικῶς ἀνὴρ εὖ καθίστησι καὶ δεξιότητι φύσεως καὶ τῷ πεφυκότι κάλλιστα πρὸς τὴν ἀρχὴν, τὰ καθόλου τῆς πολιτικῆς ἀγωγῆς νομίζει βέλτιστ᾽ ἐκ τῶν παρόντων. Οὐ γὰρ εἶχεν ἅπαντα κατὰ μέρος εὖ διατίθεσθαι τοῖς πολεμίοις ἐνασχολούμενος, ἴσως δὲ καὶ μὴ καθάπαξ ἔν γε τοῖς τοιούτοις ἄριστ᾽ ἔχων χρῆσθαι, μήποτ᾽ ὢν κατὰ τὸ ποιητικὸν [3]), ἀμφότερα βασιλεύς τ᾽ ἀγαθὸς κρα-

2) ἁπαλῶς, C. Mon. ἁπλῶς, Aug. ἀπάλλως.

3) ποιητικόν, Hom. Il. γ', 179. Legendum tamen cum Homero, vt versus sibi constet, ἀμφότερον pro ἀμφότερα. Solet autem

τερός τ' αἰχμητής. Ἀτὰρ δὴ μάλιστ' ἀναγκαῖον ὂν καὶ πάντων χρειωδέστατον ἄρτι πηγνυμένην τὴν θαυμαστὴν Ῥώμην ἐπὶ μεγάλοις ὑπὸ Θεοῦ πράγμασιν, ὡς τὸ τέλος ἔδειξε, καὶ νόμοις συναρμοσθῆναι, καὶ πολιτικαῖς ἀγωγαῖς καὶ συνθήμασι πρὸς τὸ εὖ εἶναι διὰ πάντων, καὶ ἀξίως τοῦ μέλλοντος κατ' αὐτὴν ὄγκου τῶν πραγμάτων, πέμπεται πρὸς αὐτὴν ὑπὸ τῆς προνοίας δεύτερος οἰκιστὴς καὶ βασιλεὺς καὶ ἡγεμὼν τῶν βελτίστων κατὰ καιρὸν Νουμᾶς Πομπήλιος ἔτι νεαρὰν καὶ ἀχρωμάτιστον καὶ ἀβαφῆ φαύλων ἕξεων καὶ ἐθῶν 4) κατακοσμήσων τῇ παρ' αὐτοῦ σοφίᾳ. Τὰ γὰρ ἀρτιγενέσιν ἄρα καὶ νεαροῖς παντάπασιν ἤθεσι καὶ ἀκράτοις καὶ ἀκοινωνήτοις πάσης μοχθηρίας ἢ ὅλως ἡςτινοςοῦν ἕξεως ἔτ' ἐπιχρωννύμενα εἴδη, καὶ βαφαὶ καὶ διαθέσεις πολὺ μάλιστα κρατεῖ καὶ δευσοποιὰ γίγνεται καὶ δυςαπόνιπτα, καὶ ὥςπερ ἐν ἁπαλῷ τινι καὶ εὐμαλάκτῳ κηρῷ καὶ πάσης ἀμιγεῖ νόθου καὶ φαύλης ὕλης 5) σφραγῖδες εὖ μάλ' ἐντυποῦνται τρανῶς, καὶ πεφύκασιν ἀζήμια διαμένειν. Ταῦτ' ἄρα καὶ πάνυ τοι κατὰ καιρὸν τηνικαῦτα δὴ τοῦτο γίγνεται τῇ πάντα κινούσῃ καὶ πάντα κάλλισθ', ὡς ἔφην, περὶ τῆς Ῥώμης βουλομένῃ θείᾳ προνοίᾳ, Νουμᾶς Πομπήλιος βασιλεὺς καὶ νομοθέτης τῆς πόλεως προϊστάμε-

---

noster verba scriptorum, quos laudat, plerumque mutare suique suae accommodare.

4) ἐθῶν, Cdd. Aug. et Mon. ἐθνῶν.

5) ὕλης, C. Mon. omittit,

νος, ἀνὴρ ἀστεῖος τοὺς τρόπους, καὶ πάνυ τ
σωφρονικὸς, ὡς εἴρηται, καὶ κόσμιος, καὶ σ
φίας Πυθαγορικῆς ἐν ἐκείνοις τηνικαῦτα ἀκμ
ζούσης τοῖς μέρεσιν εὖ μάλα μετειληφὼς, κ
περὶ θείων ἐννοημάτων καὶ ἀνθρωπίνης κα
φύσιν εὐδαιμονίας ἐν τῷ πεφυκότι τῆς κα
ἀρετὴν ἕξεώς τε καὶ χρήσεως οἷός τε ὢν εἰσ
γεῖσθαι καὶ νομοθετεῖν ἀνθρώποις. Συντάτ
τοίνυν τοῖς Ῥωμαίοις τὰ πολιτεύματα, καὶ τ
τῆς βιώσεως χρῆσιν εἰς 6) τὸ ἀκριβέστατον κα
τανομοθετεῖ, καὶ πάντ' ἐπικοσμεῖ σεμνὰ σεμνύ
τῇ μεγαλοπόλει Ῥώμῃ, καὶ ἧς τὰ πολιτεύματ
κατὰ πάσης, ὡς εἰπεῖν, τῆς οἰκουμένης θεσ
ἐψηφίζετο κοινοπολιτείας πάντων ἀνθρώπων 7)
συνδέσμους. Καὶ πολλὰ γοῦν ἔτη βιώσας ἀνὴρ
ἐπὶ τῆς βασιλείας καὶ τῆς νομοθετικῆς ἐκείνης
ἐπιστασίας πάνυ τοι προςέχων τὸν νοῦν τοῖς
ἀρχομένοις καὶ τῇ μετὰ τῶν αὐτοῦ νόμων εὖ
μάλ' ἀνυσίμῳ κατ' ἔθος ἄτρεπτον αὐτοῖς δ
τοῖς χρωμένοις παιδείᾳ καὶ ἀγωγῇ. Δοκεῖ λοι-
πὸν κἀντεῦθεν κομιδῇ χρήσιμος γενέσθαι τῇ
πήξει τῶν νομισθέντων, καὶ κατάστασιν αὐτοῖς
ἑδραίαν δοῦναι, οὐ μόνον νομοθετήσας τοῖς τῆς
Ῥώμης πολίταις, ἀλλὰ καὶ νομοφυλακήσας
ὥςπερ ἐξ αἱρέσεως, ἢ μᾶλλον ἐρεῖν, κατ' εὐχὴν
χρόνιος. Οὕτω τοι πάντα καλῶς ἐξ ἀρχῆς ἐκι-
νεῖτο καὶ προὐχώρει κατὰ λόγον ἑξῆς τῇ Ῥώμῃ

6) χρῆσιν εἰς, C. Aug. χρῆσιν, καὶ εἰς.
7) ἀνθρ., deest in C. Mon.

τὰ πράγματα· καὶ Ῥωμύλον μὲν εἶχεν [8]) ὁ πρῶτος χρόνος πολιστὴν ταύτης καὶ οἰκιστὴν, ἀρεϊκὸν ἄνδρα καὶ τολμητὴν καὶ δραστικὸν ἐν μάχαις καὶ ἱκανὸν ἐν ἀρχῇ καὶ μεγαλεπήβολον· τοιούτου γὰρ ὁ καιρὸς ἐδεῖτο, καὶ μεγάλου λήμματος εἰς τὸ πράττειν, καὶ ὅλως συνιστᾷν τὰ μὴ πώποτ' ὄντα τὴν πρώτην ἦν χρεία. Ἐν δὲ [9]) δευτέροις ἀναγκαῖον ὂν, ὡς προείρηται, τὰ δεύτερα κατὰ φύσιν ἑξῆς ἔγγισθ' ἕπεσθαι, κατὰ πρόνοιαν θείαν τοῦ μέλλοντος δεύτερος ἑξῆς οἰκιστὴς αὖθις καὶ πολιστὴς, ὡς ἂν πρὸς τῷ εἶναι καὶ τὸ εὖ εἶναι προσγίγνοιτο τῇ πόλει, Νουμᾶς Πομπήλιος, σοφὸς μὲν ἀνὴρ καὶ τοὺς τρόπους εὐγενὴς, ἀποπεφυκὼς δὲ πρὸς τὰς μάχας. Καὶ τοίνυν οὐδὲν αὐτοῦ πολέμιον ἔργον ἱστόρηται, οὐδ' ἀσχολίας τὶς ἀνάγκη τἀνδρὶ ξυμβαίνει περὶ μάχας ἀποσπῶσα τῆς νομοθετικῆς ἐπιμελείας καὶ πολιτικῆς, κατὰ θεῖον οὕτω δὴ πάντως· τῷ ὄντι γὰρ οὔτε τῇ πρώτῃ κινήσει καὶ πήξει τῆς πόλεως τὸ μέτριον, καὶ σωφρονικὸν, καὶ πολιτικὸν καὶ τεταγμένον Νουμᾶ Πομπηλίου προσῆκεν, ἀλλ' ἄρα δὴ τὸ ταχὺ, καὶ ἀρεϊκὸν καὶ μεγαλουργὸν, καὶ μὴ πάντα καταλελογισμένον, μηδ' ἐν ῥυθμῷ καὶ μέτροις καθάπαξ κινούμενον, καὶ φρονήματος καὶ τόλμης πλῆρες Ῥωμύλου· οὔκουν καὶ γέγονεν οὕτω, οὔτ' αὖθις ὑστερῆσαι πολὺ καὶ μακρὰν ἀπολει-

8) εἶχεν, C. Mon. εἶναι.

9) δὲ, in C. Mon. neglectum.

φθῆναι τῇ πάντ' εὐδαίμονι συνισταμένῃ. πολλ. λυσιτελοῦν ἦν τὸ νομοθετικὸν πάσης εὐλαβείας καὶ εὐκοσμίας καὶ τεταγμένης βιώσεως τῆς Νουμᾶ βασιλείας. Οὔκουν οὐδὲ ἐγένετο, ἀλλὰ κατ' ἀμφότερα πᾶν τὸ εἰκὸς ἀπήντα, καὶ συνηλθέτην ἄμφω τοῦ καιροῦ τυχόντε [10]), ὡς ἂν ἐ πάντοθεν ἄρτιον καὶ τελειοποιὸν τῇ περιφανεῖ πόλει καὶ τοῖς ὑστέροις αὐτῆς [11]) μεγάλοις ἔργοις γένοιτο, ἐπεὶ καὶ μάλιστα δὴ συνήρατο τῇ τύχῃ τῆς πόλεως καὶ ταῖς ἀρεϊκαῖς πράξεσι, καὶ τὸ κόσμιον κοινῇ τε καὶ ἰδίᾳ τῶν κατ' αὐτὴν νομίμων καὶ πολιτευμάτων τῆς Νουμᾶ σοφίας. Καὶ πλεῖστον ὅσον θαυμαζόμενοι Ῥωμαῖοι, οἱ μεγίστην τῶν ἀπ' αἰῶνος ἁπασῶν ἀρχὴν αὐτοὶ κτησάμενοι μεγίστοις καὶ περιφανέσι καὶ πολεμίοις ἔργοις, οὐχ ἥκιστα καὶ τῷ κοσμίῳ καὶ ἡρμοσμένῳ πάντῃ τῆς πολιτείας ἐθαυμάσθησαν, καὶ μεγαλόφρονι μὲν, ἀλλὰ καὶ σωφρονικῷ, καὶ πολυπράγμονι μὲν τὰ κοινὰ, μετρίῳ δ' ὅμως τὰ καθ' ἕκαστον καὶ τοὺς ἰδιωτικοὺς βίους, καὶ πολυστρόφῳ μὲν περινοίαις ἁπάσαις ἐγχειρεῖν καὶ χρῆσθαι, πολλὴν δὲ καὶ ποιουμένῳ τὴν ἐπιμέλειαν, καὶ τὰξίωμα καὶ τὴν φροντίδα τοῦ κατὰ φύσιν δικαίου, καὶ τῆς εὐγενοῦς ἀπλαστίας, καὶ τοῦ ἀποιήτου τῆς γνώμης, καὶ τοῦ μὴ κατολιγωρεῖν θείων ὅρων, καὶ θείας διὰ πάντων ἐπιστασίας, καὶ δίκης ὀφθαλ-

---

10) τυχ., C. Aug. τυχόντες.
11) αὐτῆς, C. Aug. αὐτοῖς.

εῶν, καὶ δογμάτων καὶ ψήφων ἐπὶ τοῖς ἀνθρω-
:ένοις πράγμασι. Κἂν εἰ μηδὲν ἧττον φαίη τις,
ῶν πολεμίων ἔργων τὲ καὶ τροπαίων τὰ τοι-
εῦτα τῆς Ῥώμης καὶ τῶν αὐτῆς πολιτῶν ἤθη
όμιμα ἄτρεπτα, ἃ πάντ' ἐξ αὐτῆς τῆς [12]) τοῦ
Νουμᾶ Πομπηλίου πηγάζει βασιλείας τὲ καὶ
νομοθεσίας τὴν εὐδαιμονίαν αὐξῆσαι τῆς πό-
λεως, καὶ τὸ μέγιστον κλέος κατὰ τῆς οἰκου-
μένης ἁπάσης οὐκ ἂν ἁμάρτοι φρονῶν οὕτω
καὶ λέγων. Οὐ γὰρ θαυμάζονται μᾶλλον
Φαβρίκιοι τοῖς ἀρεϊκοῖς ἔργοις καταγωνισά-
μενοι Πύῤῥον, καὶ κενὸν ἐξώσαντες τῆς Ἰταλίας
καὶ δυςτυχήσαντα πάσας τὰς ἀνηνύτους ἐλπίδας
διαβαίνοντα τὸν Ἰόνιον εἰς τὰς οἴκοι προτέρας
πράξεις καὶ διατριβὰς, ἢ τῇ τοῦ ἤθους ἁπλό-
τητι καὶ τῷ μετρίῳ τῆς κατ' αὐτοὺς διαίτης,
καὶ μετὰ τοῦ ἀξιωματικοῦ σώφρονι. Οὐδ'
ὡσαύτως μᾶλλον θαυμάζονται Σκηπίονες [13])
τοῖς μεγίστοις ἐκείνοις τροπαίοις τὸν πολὺν καὶ
ἀήττητον δοκοῦντα στρατηγὸν Ἀννίβαν, καὶ τὸ
Καρχηδονίων ταπεινώσαντες φρόνημα, καὶ ὑπὸ
χεῖρα παντάπασι ποιησάμενοι, ἢ τῷ κοσμίῳ καὶ
τεταγμένῳ τοῦ βίου, καὶ τῇ περιφρονήσει τοῦ
πλούτου, καὶ τῷ φιλοτιμεῖσθαι τὰ τῆς πατρί-
δος μὲν ὑψοῦν καὶ πάντα τρόπον αἴρειν καὶ
νίκαις ἀντιπάλων καὶ προςθήκῃ τῆς ἀρχῆς καὶ
μακραῖς οὐσίαις καὶ πλούτου βάθει, ἑαυτοὺς

12) τῆς, in Cdd. Aug. et Mon. absorptum est ab αὐτῆς.

13) Σκηπίονες, sic etiam Cdd. Mon. et Aug.

δ' ἐν τῷ καθεστῶτι τηρεῖν, καὶ μηδὲν ἢ κα ἰδιώτας περαιτέρω φρονεῖν. Καὶ ὅσῳ θεραπό των ἀριθμῷ βραχεῖ καὶ χρειώδει σκευαγωγ παντάπασιν εὐτελεστάτῃ διέβησαν εἰς Ἀφρικ τοῖς αὐτοῖς ἐπανήκειν ἐς τὴν πατρίδα καὶ μενοι ῥᾳδίως εὖ μάλα πειθόμενοι, καὶ μη προςκτησάμενοι, μηδὲ περιεργασάμενοι πλεί καὶ ὅτε τῶν ἔργων ἥπτοντο μετὰ τὰς θαυμ στὰς ἐκείνας νίκας καὶ τὰ περιφανῆ τρόπαια καὶ τὴν Καρχηδόνα καθάπαξ πεσοῦσαν ὑ αὐτῶν, καὶ πᾶσαν Ἀφρικὴν καὶ Λιβύης μ λισθ' ὅσον οἰκούμενον Ῥωμαίοις ὑπ' αἰτί φόρων ὑποτελῆ γενομένην, καὶ δουλεύουσαν ἰσ καὶ τοῖς ἐκ γειτόνων τῇ Ῥώμῃ ἄστεσι, καὶ χωρί συνοικίαις. Καὶ σιωπῶ τὰ τῶν ἄλλων φεύγων τὸ μῆκος, οὐκ ἄλλως, ἀλλὰ παραπλησίως τοῖς εἰρημένοις ἔχοντα τοῖς τοῦ Νουμᾶ Πομπηλίου νομίμοις [14]) καὶ παιδεύμασιν.

ΚΕΦ. ρή.

Ὅπως [1]) Ῥωμαῖοι ἐκ μικρῶν τὴν ἀρχὴν πραγμάτων μετὰ τὰ πρὸς Πύῤῥον καὶ Καρχηδονίους ἑξῆς πολέμια εἰς μέγα προῆλθον ἀρχῆς κράτος καὶ φρόνημα σχεδὸν παγκόσμιον.

Ῥωμαίοις εὖ γε δῆλον οὐ περὶ μεγάλων πραγμάτων ἐξ ἀρχῆς ἦσαν οἱ λογισμοί, οὐδὲ φρο-

---

14) νομίμοις, C. Mon. νόμοις.

1) Ὅπως, C. Aug. ὅπερ.

νημα τοσοῦτον, ὅσον ἤρθη μεθ᾽ ὕστερον, οὐδ᾽ ἔρως πολυμήκης φιλαρχίας, ἀλλ᾽ εὐπραγήσαντες ἐν τοῖς ἑκάστοτε ξυντυχοῦσι, καὶ κάλλιστ᾽ εὐδρομήσαντες, καὶ τυχόντες ῥᾷστα μειζόνων, ἢ καὶ τέως ᾤοντο, ἐπλήσθησαν ἐντεῦθεν ἔπειτα φρονήματος ἐπὶ πάντας ἀνθρώπους καὶ τὰς ἐλπίδας ηὔξησαν, καὶ τοὺς περὶ τῆς ἀρχῆς λογισμούς. Καίτοι γε δόξειεν [2]) ἂν εἰκότως τὸ μέγεθος τῆς κατ᾽ αὐτοὺς πόλεως κατὰ τοσούτου μήκους τῆς γῆς τὸ ἐξ ἀρχῆς ἱστάμενον καὶ σταδίοις τόσοις καὶ τόσοις ὁριζόμενον μεγάλου τινὸς εἶναι κατὰ τὴν οἰκουμένην σκοποῦ, καὶ ὥςπερ ἄλλό τί γε ἄστυ χώρας ἡςτινοςοῦν προϊστάμενον ὀλίγης ὀλίγον καὶ μείζονος μεῖζον πρὸς λόγον, οὕτω δὴ καὶ πόλις ἥδε παμμήκης [3]) οὖσα τῇ πάσῃ σχεδὸν προςήκειν οἰκουμένῃ, εἴτ᾽ ἐπὶ τούτοις καὶ μεγάλῳ τῷδε σκοπῷ, καθὼς ἔφην, ἱστώντων, ταύτην τῶν ἱστώντων, ὃ δὴ πολλοῦ δέω φρονεῖν, εἴτε τῆς ἄνωθεν προνοίας εἰς τοῦτο κινούσης καὶ πόῤῥω τῶν κατ᾽ αὐτοὺς λογισμῶν τοὺς ἱστῶντας τὴν πόλιν. Ἀλλ᾽, ὅπερ ἔλεγον, ἐξ ἄλλης ἀρχῆς καὶ λογισμῶν ἄλλων ξυμβαῖνον οὕτω ταῖς ἑκάστοτε χρήσεσι τῆς τύχης καὶ τοῖς πράγμασι μείζω καὶ κρείττω τὰ ἑξῆς Ῥωμαίοις ἀπήντα [4]), καὶ ἀεὶ συνεχῶς ἑξῆς μείζω. Ῥωμύλος μέν γε τὴν ἀρχὴν τοὺς αὐτοῦ

2) δόξειεν, C. Mon. δόξοιεν.

3) παμμ., C. Mon. παμμήκη, Aug. παμμηκ (sic).

4) ἀπήντα, Cdd. Aug. et Mon. ἀπόντα.

πολίτας εὖ τὰ πολέμια κατεστήσατο, καὶ πρὸς μάχην ὥπλισε· καὶ Νουμᾶς δεύτερος πολιτικῶς αὐτοὺς ἐκόσμησε καὶ ἤθεσι καὶ νομίμοις σιγγενεῖ[5]) πόλει πρέπουσι τοὺς τῆς Ῥώμης ἄνδρας εὐδιοικήτως ἤσκησε. Καθ' ἑξῆς δὲ οἱ μετ' αὐτοὺς ὀλίγοι τὸν ἀριθμὸν βασιλεῖς μέχρι καὶ εἰς Ταρκύνιον Σούπερβον, ὃς ἐξώσθη τῆς ἀρχῆς ὑβρίζων καὶ τυραννικώτερον χρώμενος, ἅπαντες οὗτοι ταῖς μάχαις ἐνασχοληθέντες καὶ τοῖς ἀρεϊκοῖς ἐθίσαντες ἔργοις ἐνευδοκιμεῖν Ῥωμαίους, προςεκτήσαντο λοιπὸν ἀρχὴν ἥντινα δή, καὶ πρόςοικά τινα γένη τῇ Ῥώμῃ ὑπήκοα ταύτῃ κατεστήσαντο. Ἑξῆς δ' εἰς κοινοπολιτείαν μεταβαλλόντων τῇ Ῥώμῃ τῶν πραγμάτων, καὶ ὑπάτους τε καὶ δημάρχους, καὶ δικτάτορας ἀνευθύνους ἄρχοντας καὶ στρατηγοὺς κατὰ καιρὸν ἐν ταῖς χρείαις, ηὐξήθησαν μὲν καὶ προὐχώρησε σφίσι τὸ κράτος ἀνδρῶν εὐγενῶν προϊσταμένων τῶν πράξεων ἀρετῇ καὶ φρονήμασι δραστικοῖς καὶ τόλμαις σὺν τῷ καιρίῳ τε καὶ λελογισμένῳ, ηὐξήθησαν δ' οὐ πάνυ τοι πλεῖστον, οὐδ' ὡς χρόνοις ὕστερον πλέον ἐλπίδος ἐπετάθη σφίσι τὰ τοῦ κράτους καὶ τῆς ἀρχῆς. Ἀλλ' ἐδόκει γε αὐτοῖς μέγα τηνικαῦτα, καὶ ἦν ὡς ἀληθῶς τοῦτ' ἐκείνοις μέγα, πολλὰ τῶν τῆς Ἰταλίας ὑποποιήσασθαι καὶ πρὸς βαρείας ἐφόδους βαρβαρικὰς, καὶ κατὰ τῆς αὐτῶν προκοπῆς ἐπαναστάσεις, καὶ μάλιστά γε Κελτικὰς

5) συγ., Cdd. Aug. et Mon. εὐγενεῖ.

καὶ Γαλατικὰς[6]) ἐθνῶν πολυανθρώπων καὶ πνεόντων Ἄρην[7]) ἀκινδύνως διαγενέσθαι καὶ ὑπερσχεῖν. Ὃ δὲ δὴ μάλιστ' ἐπαίρει Ῥωμαίους καὶ πρῶτον κινεῖ πρὸς τὸ μεγίστων ἑαυτοὺς ἀξιοῦν καὶ μέγιστα προςδοκᾷν, Πύῤῥος ἐστὶν, ὁ Ἠπειρώτης βασιλεὺς, δραστικώτατος τὰ πολέμια, μεγίστῳ διαβὰς τὸν Ἰόνιον φρονήματι, καὶ πλήθει νηῶν, καὶ πλήθει στρατευμάτων ἱππικῶν τὲ καὶ ὁπλιτικῶν, καὶ φρακτῶν καὶ ψιλῶν καὶ καιναῖς παρασκευαῖς ἐλεφάντων, μεστὸς ἐλπίδων μεγίστων καὶ ἀορίστων, καὶ ὀνειροπολήσας[8]) μὲν Ἰταλίαν, ὀνειροπολήσας δὲ Σικελίαν, ὀνειροπολήσας δὲ Καρχηδόνα καὶ Ἀφρικὴν, καὶ πάντα πράγματα θέμενος ἐν νῷ[9]), κἄπειτα πάντων ἀτυχήσας καὶ ἀπωσθεὶς ὑπὸ Ῥωμαίων τῆς Ἰταλίας ἐλπίδος πάσης ἀνόνητος, καὶ διαπερῶν οἴκοι ξὺν αἰσχύνῃ καὶ γέλωτι. Τοῦτο πρῶτον, ὡς ἔφην, τῆς μεγάλης ἀρχῆς καὶ τοῦ κράτους τὰς ὑποθέσεις εἰς νοῦν βάλλει Ῥωμαίοις, καὶ μετὰ Πύῤῥον αὐτίκα δραπετεύσαντα τὰ κατὰ τὴν Ἰταλίαν πράγματα λαμπροὶ λαμπρῶς αὐτοὶ Ῥωμαῖοι, καὶ παῤῥησίᾳ τῶν κατ' Εὐρώπην ἐθνῶν πρὸς ἀνίσχονθ' ἥλιον ἦρχον μέχρι καὶ εἰς Ἰόνιον, πρὸς δ' ἑσπέραν μέχρι καὶ ἐς Ἄλπεις, καὶ πάντ' εἶχον ταῦτα κατὰ βούλησιν

6) γαλατ., C. Mon. γαλακτικὰς, Aug. γαλετικὰς, vtraque mendose.

7) Ἄρην, C. Mon. ἄρ' ἦν, Aug. Ἄραν. male.

8) ὀνειροπολ., Cdd. Aug. et Mon. ὀνηροπολήσας, ter.

9) ἐν νῷ, Cdd. Mon. et Aug. ἐν ᾧ.

ὑπὸ χεῖρα καὶ σύμμα[10]) —. Καὶ λοιπὸν ἔπειθ' ἑξῆς ὡς ἄρα τῶν πρὸς Καρχηδονίους[11]) πολέμων ἐγένοντο, καὶ μετὰ πολλὰς καὶ πολυασχόλους τὰς μάχας καὶ τὰ τρόπαια, πρῶτον μὲν ἐξωθοῦνται τῆς Εὐρώπης αὐτούς, εἶτα καὶ κατὰ Λιβύην, καὶ πρὸς αὐτῇ τῇ Ἀφρικῇ καὶ Καρχηδόνι νίκαις κατ' αὐτῶν μεγίσταις καὶ περιφανέσι τῶν ἀπὸ τοῦ παντὸς αἰῶνος κρατοῦσι, καὶ τελευτῶντες αὖθις πειρωμίους[12]) μάχης καὶ πολεμίων ἀντεπιχειρήσεων καταστρέφουσιν εἰς ὄλεθρον παντελῆ[13]) καὶ τῆς ἐξ αὐτῶν ἀσχολίας ἐλεύθεροι καθάπαξ γίνονται. Ἐντεῦθεν λοιπὸν πᾶσαν ὑπὲρ τὸν Ἰόνιον ἑαυτῶν τὴν Εὐρώπην ποιοῦνται, μέχρι καὶ ἐς αὐτὴν Ἰβηρίαν καὶ τὰ τῆς Εὐρώπης ἔσχατα πρὸς ἑσπέραν, καὶ Σικελίαν, καὶ Σαρδῶ, καὶ Κύρνον καὶ τὰ πλείω κατὰ θάλατταν, καὶ Λιβύης ὅσον οἰκούμενον, πῶς ἂν εἴπῃ τις; πάντων ὑποπτηξάντων, καὶ μηδενὸς γεννικῶς ἀντιπράττοντος, μηδ' ἀντιφιλοτιμουμένου καὶ ἀντερίζοντος περὶ τῆς ἀρχῆς. Ἐντεῦθεν λοιπὸν ἤδη καὶ μεγίστῳ ναυτικῷ τὸν Ἰόνιον διαβάντες, τοῦτο μὲν κεκακωμένου παντὸς τοῦ Ἑλληνικοῦ τέως καὶ ταπεινὰ παντάπασιν

10) σύμμα, idem exhibent Cdd. Aug. et Mon. et C. Paris. Germ. spatio relicto. Sine dubio supplendum: συμμαχίαν l. συμμαχικά. C. Paris. Reg. σύμμαχα.

11) τῶν πρὸς Καρχ., absunt a C. Mon. orae tamen adscripta leguntur.

12) πειρωμίους, consonat C. Paris. Germ. C. Aug. πειρωμίας. fors. πειρωμένους. sic C. Paris. Reg.

13) παντ., C. Mon. παντελῆς.

κραττοντος ὑπὸ τῆς Μακεδόνων δυναστείας, τοῦτο δὲ Μακεδόνων αὐτῶν τῶν ἐκ τῆς διαδοχῆς Ἀλεξάνδρου διὰ τὰς κατ' ἀλλήλων μάχας ῥᾴονα τὴν κατ' αὐτῶν ἐπιχείρησιν Ῥωμαίοις προπαρασκευασάντων. Ἦν μὲν τὸ Ἑλληνικὸν αὐτίκα τῆς Ῥωμαίων ἀρχῆς, ἦσαν δ' Ἰλλυριοὶ [14]), ἦσαν δὲ [15]) Τριβαλλοὶ, ἦσαν δὲ Θρᾷκες, πολέμοις δ' ὀλίγοις κατὰ κράτος νενικηκότες Περσέα καὶ Φίλιππον τὸ Μακεδόνων ὄνομα καὶ κλέος καταστρέφονται. Καὶ διαπερῶσιν ἔπειθ' ἑξῆς ἐς [16]) τὴν Ἀσίαν ἐπὶ τὰ κατ' αὐτὴν ἔθνη, καὶ ὅσοι [17]) τῆς Ἀλεξάνδρου διαδοχῆς ἐλείφθησαν, καὶ νίκαις συνάπτοντες καὶ τροπαίοις τρόπαια, τριῶν ἀνδρῶν στρατηγίαις οὐ πολυτρόπαια, τριῶν ἀνδρῶν στρατηγίαις [18]) οὐ πολυχρονίαις ἐκ διαδοχῆς ἀλλήλους ἀμειβομένων, Σύλλα καὶ Λουκούλλου [19]) καὶ Πομπηΐου τὰ πλεῖστα τῆς Ἀσίας ὑπὸ δουλείαν καὶ φόρους ἄγουσι, καὶ Μιθριδάτην ἐξωθοῦσι ταύτης, καὶ ὑπὲρ τὸν Εὔξεινον ὑπερβόρειοι κατατείνονται [20]) πάντας ἀνθρώπους ὑφ' ἑαυτοὺς ποιούμενοι, καὶ Τιγράνην μυρίοις στρατεύμασι καὶ πλείστοις ἐθνῶν ἄρχουσι

---

14) ἦσαν δ' Ἰλλυρ., absunt a C. Aug.

15) δὲ, C. Mon. non habet.

16) ἐς, Cod. Mon. εἰς.

17) ὅσοι τῆς, fors. legendum: ὅσοι ἐκ τῆς, et deinde νίκαις νίκας συνάπτοντες pro νίκαις συνάπτοντες.

18) οὐ πολυτρόπαια — στρατηγίαις, desunt in Cdd. Aug. et Mon. et Pariss. Pro πολυτρόπαια legerim πολυτρόποις.

19) Λουκούλλου, Cdd. Aug. et Mon. Λουκούλου.

20) κατατειν., Cdd. Mon. et Aug. κατείνονται.

δορυφορούμενον καὶ ὑβρίζοντα οὐ πολλοῖς ἀντιμάχοις ἐπέκεινα καὶ τῶν ἐλπίδων, ἐπέκεινα καὶ παντὸς, ὡς εἰπεῖν, θαύματος καταγωνισάμενοι, καὶ πλείστων ἀνδρῶν τῶν ὑπ' αὐτὸν φόνον ἐργασάμενοι μάχαις οὐ πολλαῖς ἐμπεσόντες, ὥςπερ αἰπολίοις ἢ βουκολίοις, καὶ ῥᾷστα κατακαίνοντες [21]) ἀναγκάζουσι τὸν ὑβριστὴν Τιγράνην πρὸς τἀναντία μεταβάλλοντα, καὶ κατ' ἄμφω φαῦλόν τε καὶ τῶν εἰκότων καὶ ἀνδράσιν εὐγενέσιν ἀξίων ἔξω δεικνύμενον εἰς χεῖρας λαβόντα τὸ στέφος καὶ τὸ διάδημα πρὸ ποδῶν κατὰ γῆς ῥιπτεῖν τοῖς Ῥωμαίων στρατηγοῖς, καὶ δοῦλον ἑαυτὸν ἐγχειρίζειν, καὶ γένος, καὶ φίλτατα καὶ τὰ φίλτατα μάλιστα χρήματα, καὶ πρὸς τὴν πομπὴν τῶν θριάμβων αὐτομολοῦντα, μὴ μᾶλλον ἐλέους, ἢ πάσης μέμψεως ἀξιούμενον τῇ μικρολογίᾳ καὶ δειλανδρίᾳ καὶ ἀγεννεστάτῃ καὶ γυναικώδῃ φιλοψυχίᾳ. Καὶ ἦσαν λοιπὸν ἑξῆς ὅροι τῆς κατὰ σφᾶς ἀρχῆς Ῥωμαίοις πρὸς Πέρσας ἐπὶ τῆς Ἀσσυρίας τε καὶ Βαβυλωνίας· καὶ Φοίνικες γὰρ καὶ [22]) Σύροι διαβᾶσι προς Νότον, καὶ Παλαιστῖνοι καὶ Ἄραβες, καὶ ἡ περιφανὴς Ἀλεξάνδρου πόλις, καὶ Αἰγύπτιοι συνάπτοντες Λίβυσι φθάσασι δεδουλωμένοις τοῖς Ῥωμαίων προςεῖχον ἐπιτάγμασι. Καὶ ταῦθ' ὅπερ ἐξ ἀρχῆς ὄγκον [23]) καὶ

---

21) κατέκαιν., Cd. Mon. καταβαίνοντες.

22) καί, Cd. Mon. non exhibet.

23) ἐξ ἀρχῆς ὄγκον., Cdd. Aug. et Mon. ἐξ ἀρχῆς ἐλέγομεν καὶ τὸν τοσοῦτον παμμήκη τῆς ἀρχῆς ὄγκον.

δίαυλον περιβάλλονται, καὶ τὸ μέγα κατὰ τῆς οἰκουμένης αἴρουσι Ῥωμαῖοι φρόνημα μετὰ τὰς ἥττας καὶ τὴν ἀσχήμονα καὶ ταπεινὴν ἀπὸ τῆς Εὐρώπης ἀποχώρησιν Πύῤῥου, καὶ τὰ πρὸς τοὺς ἐφαμίλλους σφίσιν αὐτοῖς παλαίσματα χρόνια Καρχηδονίους ἀπειπόντας ταῖς μάχαις, καὶ τελευτῶντας πεσόντας ὑπερβολαῖς συμφορῶν, καὶ πάσης ἐρημίᾳ χρηστῆς ἐλπίδος, καὶ πᾶν προδήλως τὸ συγκεχωρηκὸς καὶ δόντας τὲ καὶ χαρισαμένους τῇ μεγαλοπραγμασύνῃ Ῥωμαίων, καὶ τοῖς σφοδροῖς τῆς ἀμέτρου φιλαρχίας ἔρωσιν.

ΚΕΦ. ρθʹ.

Ὅτι ἡ Ῥωμαϊκὴ μεγίστη μοναρχία ἐπὶ τῆς οἰκουμένης ἔοικεν ὑπὸ τῆς θείας προνοίας γενέσθαι εἰς εὐδρομίαν τοῦ σωτηριώδους χριστιανικοῦ δόγματος.

Πολλάκις ἐγὼ θαυμάζων ἐπ' ἐμαυτοῦ κατασκεπτόμενος διὰ τὸ τῆς Ῥωμαϊκῆς ἀρχῆς τοσοῦτο μέγεθος, καὶ τὸ κατὰ τῆς οἰκουμένης, εἰ καὶ μὴ πάσης, τῆς γε μὴν πλείονος κράτος αὐτῆς, καὶ τὴν εὐδρομίαν τῶν μεγάλων ἔργων καὶ τὴν χρόνιον τῇ τύχῃ μονὴν, ὃ ξυνεώρακα περὶ τούτου, κατερῶ νῦν, ὡς ἄρα δὴ τοῦτο προὔργου γεγένηται [1]) καὶ κατασκευάσματι ἐκ μακροῦ τῆς μεγάλης καὶ θείας ἐστὶ προνοίας τὸ διὰ τῆς ἀρχῆς ταύτης [2]) εἰρηναῖον καὶ ἑνοποιὸν, ὡς εἰπεῖν,

1) γεγένηται, Cdd. Aug. γένηται.

2) ταύτης, C. Mon. αὐτῆς.

τῶν πλείστων τῆς οἰκουμένης ἐθνῶν καὶ πλεῖστον ἐγνωσμένων, καὶ τῶν, πῶς ἂν εἴποιμι; δοκούντων τέως ἀμίκτων καὶ ἀκοινωνήτων ὑπὸ μιᾶς ἀγομένων ἐπιστασίας, καὶ πρὸς ἀλλήλα συμβατικῶς ἐχόντων, καὶ κοινοπολιτείας νόμοις [3]) ὥςπερ βιούντων καθάπερ οἰκίας μιᾶς ἑνὸς δεσπότου. Ἐπεὶ γὰρ ἔδει τὸ μέγα καὶ μέγιστον, καὶ ἄληπτον νῷ, καὶ ἄῤῥητον καὶ προωρισμένον ἀπὸ τῶν αἰώνων μυστήριον τῆς τοῦ Θεοῦ λόγου γενέσθαι κατ᾽ ἀνθρώπους ἐπιδημίας καὶ προςλήψεως τῆς ἡμετέρας φύσεως ὑπὸ τῆς πάντα νοῦν καὶ λόγον νικώσης δεσποτικῆς φιλανθρωπίας οἰκονομούσης ἡμῖν τῶν δεσμῶν τῆς ἁμαρτίας ἀπαλλαγὴν, καὶ κατάλυσιν τῆς ᾅδου δυναστείας, καὶ νέαν ζωὴν τοῖς ἐπιγνωσομένοις ἐν τιμῇ τὸ [4]) τοσοῦτο θαῦμα, καὶ κηρύγματα περὶ τούτου δραμεῖν ἔδει κατὰ πάντων ἀνθρώπων, προςέχειν [5]) εὖ μάλα τῷ γεγονότι τὸν νοῦν καὶ ξυναίσθησιν λαμβάνειν ἐπιστροφῇ γιγνομένους. Πολὺ μάλιστ᾽ ἀναγκαιότατον ἦν καὶ χρήσιμον τῷ δρόμῳ τοῦ κηρύγματος εἰρηνικῶς τὰ κατ᾽ ἀνθρώπους ἔχειν, καὶ διαστάσεις καὶ μάχας τῶν τέως ἀξυμβάτων [6]) ἐθνῶν τὸν ἀεὶ χρόνον ἐκ ποδῶν γενέσθαι, καὶ κοινωνίας ἁπάντων πρὸς ἅπαντας καὶ εὐάγωγον ὁμονοίας ἕξιν τὸ ἀπρόςκοπον χαριζομένην καὶ κατάσκοπον εὖ

3) νόμοις, C. Mon. νόμους.

4) τὸ, omissum in C. Aug.

5) προςέχειν, C. Mon. καὶ praemittit.

6) ἀξυμβ., C. Mon. ἀξυμβάντων. sic C. Cix. quoque c. 110.

μάλ' ἀνύσιμον τῷ παγκοσμίῳ διδάγματι τῆς ἀνθρωπίνης ἀναπλάσεως καὶ σωτηριώδους ἀλλαγῆς, καὶ νέας κατὰ πάντων εἰς τἀγαθὸν ἕξεως. Ταῦτ' ἄρα καὶ, ὡς ἔφην, ἡ μεγάλη τοῦ Θεοῦ καὶ πάνσοφος πρόνοια τὸ μέλλον, καὶ ὃ προὐτέθειτο προορωμένη καὶ παρασκευάζουσα καὶ διοικοῦσα τῇ φιλανθρώπῳ τοῦ Θεοῦ λόγου θαυμαστῇ παρουσίᾳ θέατρον παγκόσμιον ὁμαλίζει, καὶ ἀγορὰς ἀνθρώπων ἀστασιάστους, καὶ συναυλίας εἰς ὑποδοχὴν τῆς σωτηριώδους πραγματείας καὶ διδασκαλίας, καὶ ἑορτῆς τῆς ἐπὶ τῇ καινοποιΐᾳ τῆς ἀνθρωπίνης φύσεως, καὶ τὴν Ῥωμαίων κατὰ τῆς οἰκουμένης σχεδὸν ἁπάσης ὁμονοητικὴν, καὶ συνδετικὴν, καὶ κοινοποιὸν τῶν ἀνθρωπίνων ἁπάντων ἀρχὴν καθίστησι. Καὶ τὸ κάλλιστον καὶ θαυμασιώτατον, καὶ πίστιν ἔτι [7]) παρεχόμενον τῷ νυνὶ λόγῳ [8]), ὅτι καὶ τὸ μήπω πρότερον πολλῶν ἐτῶν ἐπὶ τοῖς Ῥωμαίων πράγμασι γενόμενον, μᾶλλον δὲ μὴ φύσιν ἔχον γενέσθαι καὶ ἐκ μακροῦ προαπηγορευμένον [9]), τηνικαῦτα δὴ διὰ τὸ ἀπρόσκοπον ἔτι τῇ φιλανθρωποτάτῃ τοῦ σωτῆρος οἰκονομίᾳ καὶ τῷ δρόμῳ τῆς μεγάλης ἐργασίας καὶ χρήσεως καινίζει, καὶ εἰς μοναρχίαν καὶ [10]) Καίσαρας τὰ Ῥωμαίων μεθίστησι τῶν χρόνων ἐκείνων καὶ τῆς χρείας ἐκείνης. Καὶ ῥᾷον γὰρ κρατεῖν δι' ἑνὸς ἀνδρὸς

---

7) θαυμασ. — πίστιν ἔτι, desiderantur in C. Aug.

8) λόγῳ, deest in C. Mon. item καὶ post ὅτι.

9) προαπηγ., C. Mon. πρὸς ἀπηγορευμένον.

10) καὶ, non agnoscunt Cdd. Aug. et Mon.

ἐπιστασίας ἢ διὰ πλειόνων, καὶ ἀνύσιμον κ
μάλ' ἐνεργὸν εἶναι τὸ διὰ πλείστων ἀνθρώ
καὶ ἐθνῶν εἰρηναῖον, καὶ ὁμόφρον, καὶ εὐ
κτον, καὶ τερατουργεῖ τὰ τέως ἀδόκητα καθυ
ποτάττουσα πρὸς αὐτοκρατορίαν ἑνὸς ἀνδ
ἔθνη τοσαῦτα, καὶ μήκη τοσαῦτα γῆς, κ
πλήθη χωρῶν καὶ πόλεων, ὃ μήπω τοσοῦτο πρό
τερον ἥλιος εἶδε, μετὰ μεγάλας στάσεις κα
πολλοὺς κλύδωνας τῶν Ῥωμαϊκῶν πραγμάτων,
καὶ ταραχὰς ἐμφυλίους γαλήνην ἄκρατον, κα
παντάπασιν ἠρεμίζουσαν ἔξεν, καὶ ἀγωγὴν τ
ἀνθρώποις καὶ κοινοπολιτείαν δημιουργήσασα.
Καὶ τοίνυν οἱ πᾶσαν πεπιστευμένοι τὴν οἰκου-
μένην ὀλίγοι καὶ εὐτελεῖς τὸ φαινόμενον ἄν-
θρωποι, καὶ ἐξ εὐτελῶν ἁλιεῖς, καὶ τελῶναι,
καὶ σκυτοῤῥάφοι [11]), καὶ ὅσοι τὸν ἀνθρώπινον
βίον μάλιστ' εὐπεριφρόνητοι, τῷ δ' ὄντι θαυ-
μαστοὶ, καὶ πάσης αἰδοῦς ἄξιοι, καὶ οὐ τῆς γῆς
καὶ τῶν ἐν γῇ, ἀλλ' οὐρανοῦ καὶ τῶν οὐρανίων
ἄξιοι καὶ πολῖται καὶ τρόφιμοι, ὁ τῶν τοῦ
δεσπότου Χριστοῦ μαθητῶν βραχὺς ἀριθμὸς καὶ
πάντων ἀντάξιος, οἱ τὸ μέγιστον ἔργον παρ'
αὐτοῦ κεχειρισμένοι τῆς κοσμικῆς τῶν ὅλων
ἀνθρωπίνων δογμάτων μεταποιήσεως ῥᾷστ' ἐν-

11) σκυτοῤῥάφοι. Theodorus innuit Paulum Apostolum, qui vero in Actt. App. 18, 3. σκηνοποιὸς dicitur. Vnde patet, Theodorum in Cod. suo vel legisse σκυτοῤῥάφον, vel σκυτοῤῥάφον esse eundem, qui σκηνοποιός. Sic confirmatur interpretatio Wolfii loci Actt. 18, 3. σκηνοποιὸν esse, qui conficiat e corio, quae ephippiarii conficere solent, cum in Cilicia, Pauli patria, optimae notae coria ad tentoriorum inprimis vsum subacta fuissent.

ἐντεῦθεν ἀνύτειν εἶχον, καὶ κατὰ πάσης διαυλοδρομεῖν τῆς οἰκουμένης νικῶντες καὶ ὑπὸ χεῖρα τοὺς ἀντικαθισταμένους ποιούμενοι, ἀγωνισταὶ κραταιοὶ, καὶ μεγάλου θάῤῥους καὶ λήμματος ἐμπαράσκευοι [12]), καὶ γεννικῶς διακαρτεροῦντες, ἀντιταττόμενοι πρὸς πᾶσαν χρόνιον κρατοῦσαν πλάνην μέχρις αἵματος καὶ τῶν τελευταίων σφαγῶν. Καὶ εἶχον ἐντεῦθεν ἄλλοί τε [13]) τῶν εἰς τοῦτ᾽ ἐπιλέκτων καὶ ὁ θαυμαστὸς καὶ πολὺς καὶ τὸν λόγον καὶ τὴν πρᾶξιν Παῦλος ἐπὶ πάντας ἀνθρώπους ἱκνεῖσθαι, καὶ τὴν ἀρχὴν ἀπὸ Δαμασκοῦ, καὶ Ἱεροσολύμων, καὶ Συρίας, καὶ Παλαιστίνης ἀρξάμενος· ἐν βραχεῖ χρόνῳ μέχρι καὶ τοῦ Ἰλλυρικοῦ δραμεῖν τῷ κηρύγματι τῆς ἀληθείας, καὶ τί λέγω μέχρι καὶ τοῦ Ἰλλυρικοῦ, ἐν ὀλίγοις μέν γε πάνυ τοῖς ἔτεσιν ἀφ᾽ ἡλίου σχεδὸν ἀνίσχοντος ἥκειν τὲ αὐτὸς καὶ πέμπειν ἀποστόλους τὲ καὶ διδάγματα μέχρι καὶ ἐς δυόμενον ἥλιον Ἱσπανοῖς τε καὶ Βρεττανοῖς καὶ Κελτίβηρσι, καὶ τοῖς ἐσχάτοις Εὐρωπαίοις ἔθνεσι χρηματίζων καὶ συγγινόμενος, Σικελοῖς καὶ Κρησὶ, καὶ πᾶσι τοῖς παραλίοις καὶ νησιώταις [14]) ἐπιστάτας καθιστάνων τῶν θείων, καὶ τὰ τῶν ἐκκλησιαστικῶν καὶ θείων νομίμων ἐξ ἐντολῆς διαταττόμενος. Ὑπὸ τῇ Ῥωμαίων χειρὶ πάσης τῆς θαλάττης ἐκ μεγάλων

12) ἐμπαρ., C. Mon. ἐπαράσκευοι, mendose.

13) τε, omissum in C. Mon.

14) νησ., Cdd. Aug. et Mon. νησιώτας.

τέως χειμώνων εἰρηνικὸν, καὶ ταπεινὸν, καὶ γαληνὸν καὶ κάλλισθ' ὑπεῖκον μεταβαλλούσης φρόνημα, οὐ πολλῶν ἤδη τότ' ὄπισθεν ἐτῶν ἀνακαθαρθείσης πάσης πειρατικῆς ἀναρχίας καὶ τόλμης τῷ στρατηγῷ Πομπηΐῳ πεντακοσίαις ναυσὶ καὶ ὅσα καὶ πεδίον [15]) ὕπτιον τοῖς ἐπ' αὐτὴν ἀναγομένοις πᾶσιν ἀνθρώποις, καὶ κατὰ χρείαν περιϊοῦσιν ἡμερώτατα καθηπλωμένης, καὶ λιμένας καὶ πάσης ὑποδοχῆς ἀνοιγούσης εὐμαρεῖς ἀγκάλας. Καὶ εἶχον ἐντεῦθεν ἄλλοί τέ τινες ἄλλη τῶν ἐπιλέκτων, ὡς ἔφην, ἀνδρῶν τῷ τῆς εὐσεβείας κηρύγματι, οἱ μὲν Αἰγυπτίοις, οἱ δ' Ἄφροις καὶ καθάπαξ Λίβυσιν, οἱ δ' ἄλλοις οἱστισινοῦν εὖ μάλ' ἐνεργοὶ δείκνυσθαι, καὶ κρατοῦντες πάντων ἀνθρώπων καὶ πάντων ἄλλων ἐν ἀνθρώποις περὶ τοῦ θείου δογμάτων [16]) καὶ Ἀνδρέας Θρᾳξὶ καὶ Βοσπορίταις καὶ Πόντῳ καὶ Καυκασίοις καὶ Ταύροις καὶ Βορυσθενίταις ἡγεμονεύειν τὰ θεῖα βαρβάροις καὶ ἀγριωτοῖς καὶ θηριώδεσιν [17]) ἀνθρώποις, καὶ παντάπασι τέως παντὸς ἀλλοτρίοις καλοῦ καὶ ἀνθρωπίνης βιώσεως εὐαγώγου. Καὶ ταῦτα πάντα πρὸ ὁδοῦ γε ἦν τοῖς μεγάλοις ἐκείνοις ἀγωνισταῖς καὶ δρομεῦσι διὰ τῆς μεγάλης τῶν Ῥωμαίων, ὡς ἔφην, ἡγεμονίας κατὰ πάντων τῶν εἰρημένων ἐθνῶν τηνικαῦθ', ὡς εἴρηται, μοναρχούσης καὶ μοναρχουμένης ἑνὸς ἀνδρός.

15) πεδίον, C. Aug. male παιδίον.

16) περὶ — δογμάτων, C. Aug. περὶ τῶν θείων δογμάτων.

17) θηριώδ., C. Aug. θηριώδευσιν.

ΚΕΦ. ρί.

Περὶ Σκυθῶν.

Σκυθῶν πέρι ξυνιδεῖν ἐστιν ὅτι τὸ ἐξ ἀρχῆς, ἐξ οὗ καὶ περὶ ἐθνῶν καὶ περὶ ἀνθρώπων αἱ ἱστορίαι μέμνηνται, μέγιστον τῶν κατὰ τὴν οἰκουμένην τόδ' ἐστὶ καὶ ἀδέσποτον τὸν ἀεὶ χρόνον Σκύθαι τὸ ἔθνος, καὶ οὐχ ὅτι γε ἀλλοτρίῳ γένει καὶ δεσποτείᾳ μὴ δουλεῦσαν, ἀλλ' οὐδ' αὐτὸ ξύμπαν ὁτὲ τῶν ἀπὸ τοῦ παντὸς αἰῶνος χρόνων ὑφ' ἑνὸς ἀγόμενον, ἢ κατὰ νόμους, ὡς εἰπεῖν, βασιλικῶς ἢ τυραννικῶς ἰσχύσαντος ἱστορεῖται, ἀλλ', ὥςπερ ἔφην, μέγιστον μὲν καὶ πολυανθρωπότατον ἔθνος ἐν τοῖς βορείοις μέρεσι, καὶ πλεῖστα τῆς οἰκουμένης μήκη κατέχον, σχεδὸν δὲ καὶ τῆς ἀοικήτου κατὰ φύσιν περὶ τὰ βόρεια διὰ ψύξιν, ὅτι μὴ δι' αὐτῶν οἰκουμένης, ὡς εἰπεῖν, βίᾳ, κατὰ μέρη δ' ἀλλήλων ἐν διαστάσεσιν ἀγόμενοι, τοῦτο μὲν καὶ τόπων, τοῦτο δὲ καὶ αὐθεκάστων γνωμῶν ἀσυντελῶν καθάπαξ εἰς ἕνα δεσπότην καὶ ἀσυμβάντων [1]). Πλήν γε ὅτι κραταιὸν τὸ ἔθνος οἱ Σκύθαι καὶ πρὸς πολέμους ἐπιῤῥεπὲς σχέδιον, καὶ μάχας ἀεὶ φρονοῦν, καὶ φονείῳ [1a]) χαῖρον ὁρμῇ καὶ ἐπ' ἀλλήλους τὲ, καὶ οὓς ἂν κατά τινα τύχην ξυμβὰν [2]) οὕτω χειμάῤῥου [3]) δίκην

1) ἀσυμβάντων, leg. ἀσυμβάτων, vt c. 22. 109. et 117.

1a) φονείῳ, i. q. φονικῷ. Cdd. Aug. et Mon. φρονείῳ.

2) ξυμβ., C. Mon. ξυμβᾶν.

3) χειμάῤ., Cdd. Aug. et Mon. χειμάρου.

ἐπελάσωσιν [4])· ὥςπερ ἐν ἄλλοτ' ἄλλοις χρόνοις διαβάντες τὸν Ἴστρον κατελῃίσαντο τὰ Θρᾳκῷα γένη, καὶ παραμείψαντες τὸν Ἰόνιον ὡσαύτως, νῦν μὲν κατέδραμον Ἰταλίαν, νῦν δὲ ὑπὲρ τὰς Ἄλπεις τὴν Κελτικήν τε καὶ Γαλατικὴν μέχρι καὶ ἐς αὐτὴν Ἰβηρίαν. Καὶ δή τινες καὶ τὰ στενὰ Γαδείρων διαβάντες οὐκ ὀλίγα καὶ τῶν τῆς Λιβύης οἰκουμένων οὐκ ἐλυμήναντο μόνον, ἀλλὰ καὶ ὑφ' ἑαυτοὺς πεποίηνται μετοικισθέντες ἐκείνῃ. Ἄλλοτε δ' αὖ καὶ μάλιστα νῦν τῶν ἔγγιστ' ἡμῖν χρόνων τὰ πλεῖστα τῆς Ἀσίας ἐπέσχον δουλωσάμενοι μέχρι καὶ εἰς Ἰνδοὺς ὑπὲρ Βαβυλῶνα καὶ τὴν Ἀσσυρίων γῆν, καὶ ἐς αὐτὴν ἐκεῖσε τὴν μεγίστην θάλατταν. Τοιαῦται μὲν οὖν ἐκδρομαὶ τοῦ ἔθνους πόῤῥω τῶν κατ' ἔθος καὶ οἰκείων κατὰ πλείστων ἀλλοτρίων ἐθνῶν τε καὶ τόπων τῆς οἰκουμένης ἐγνώσθησαν, ὥςπερ θαλάττης μάλιστ' ἐπικλύσεις τῶν οἰκείων ὅρων ἔξω, ὥςτε ἐνίοτε καὶ ἀποσπάδες ἰδίᾳ συστῆναι τῆς συνεχείας ἀποτεμμαχισθεῖσαι [5]) καὶ μείνασαι χρόνον ὅντινα δή, ἑνὸς δ' ἡγεμόνος οὐδενός ἐστιν ἐν μνήμῃ κατὰ παντὸς τοῦ ἔθνους κράτος, κἀντεῦθεν καὶ κατ' ἄλλων ὡντινωνοῦν προσοίκων ἐθνῶν, ἢ καὶ [6]) ποῤῥωτέρω δὴ μέγιστ' ἰσχύσαντος, καὶ διαδοχῇ παραπέμψαντος τὴν ἀρχὴν ἐν μονῇ· ὡς ἄρα περὶ ἄλλων ἀνδρῶν

4) ἐπελάσ., C. Aug. ἐπαλάσωσιν.

5) ἀποτεμ., C. Mon. ἀποτεμαχισθῆσαι. Aug. ἀποτεμμασθεῖσαι. cf. c. 12.

6) καί, non agnoscit C. Mon.

ἡγεμόνων ἐν πλείστῳ λόγῳ τῶν ἱστορικῶν συνταγμάτων μανθάνομεν, καὶ Κῦρον [7]) μὲν Περσῶν τε ἄρξαντα πάντων καὶ πρὸς τούτοις ἀρχὴν πλείστων ἄλλων ἐθνῶν προςκτησάμενον, καὶ Ἀλέξανδρον Μακεδόνων τὲ καὶ Ἑλλήνων ἄρξαντα πάντων καὶ τῶν κατὰ τὴν Θράκην γενῶν, καὶ διαβάντ' ἐς τὴν Ἀσίαν πλείστων ἄλλων ἐθνῶν τε καὶ δεσποτικῶν δυνάμεων. Καὶ ἄλλους ἂν ἴσως ἐν παραπλησίοις ἔδειξεν ὁ πολὺς χρόνος, καὶ δείξειεν [8]) ἂν οἶμαι. Ἤδη δέ τινες καὶ παρὰ πλείστοις ἔθνεσι τοῦθ' ὁρᾷν ἐστιν, ἄλλοις ἐδούλευσαν, ἄλλων αὐτοὶ πρότερον ἄρχοντες, μεταλαβόντες ἐξ ἀμείνονος τὴν χείρω τροπὴν καὶ τύχην [9]), καὶ οὐκ ἐλεύθεροι μόνον καὶ αὐτοδέσποτοι πρῶτον, ἀλλὰ καὶ πολλῶν ἄλλων ἄρχοντες βαρεῖαν δουλείας βιοτὴν ἠλλάξαντο, ὥςπερ πάλαι πρότερον Ἀσσύριοι κακῶς πράξαντες ὑπὸ Πέρσας ἐγένοντο, καὶ ὑπὸ Μακεδόνας Πέρσαι, καὶ ὅσα τῆς αὐτῶν ἀρχῆς ἔθνη, καὶ Μακεδόνες ὑπὸ Ῥωμαίους. Καὶ ἀεὶ ταῦτ' ἐναλλὰξ ἔρχεται ταῖς τοῦ χρόνου καὶ τῆς τύχης πεττείαις, καὶ οὐδὲν μόνιμον ἐν ἀνθρώποις οὐδ' ἄτρεπτον διαιωνίζον. Ἀλλ' ὥςπερ [10]) ἐφ' ἑνὸς ἀνθρώπου ἢ καὶ ὁτουοῦν ζώου καὶ γένεσις ἐστὶ καὶ πρόοδος εἰς ἀκμὴν, καὶ ἀκμὴ, καὶ φθίσις ἔπειτα, καὶ τελευταία καθάπαξ φθορὰ καὶ

7) Κῦρον, Cdd. Mon. et Aug. Κύρου.
8) δείξ., C. Mon. δόξειεν, et mox καὶ ἤδη quoque.
9) τύχ., C. Aug. τέχνην.
10) ὥςπερ, C. Mon. ὡς.

θάνατος, οὕτω δὴ καὶ περὶ τῶν καθολικῶς ἐν ἀνθρώποις πραγμάτων καὶ πολιτειῶν, καὶ δεσποτειῶν ἀεὶ ῥεούσας καὶ μεταβαλλούσας ταύτας ὁρᾷν ἐστι, καὶ κατ' οὐδὲν ἑστώσας μονίμους, ἀλλὰ γιγνομένας τε καὶ προϊούσας καὶ κατ' ὀλίγον φθινούσας καὶ μεταβαλλούσας εἰς πᾶν τοὐναντίον, τελευτώσας καὶ θανάσιμον πέρας καὶ ἄλλας ἐξ ἄλλων γιγνομένας ἀεὶ καὶ μετ' ἄλλας, ὥςπερ ἐν περιστροφῇ τῶν πραγμάτων καὶ τοῦ παντὸς ἀνθρωπίνου γένους, ἀπαύστῳ γε οὕτως, ὡς καθόλου προςορᾷν, φαινομένῃ, ἀεὶ μέν γε ἄλλοτ' ἄλλων κατὰ μέρη [11]), καὶ οὐ τῶν αὐτῶν τῆς χορείας οὔσης. Ἀτὰρ δὴ περὶ Σκυθῶν μόνων καθὸ τοῦ παντὸς αἰῶνος [12]) μέχρι καὶ νῦν εἰς ἡμᾶς ἱστόρηται, ἀλλ' ἐπαναστάσεις μὲν αὐτῶν κατ' ἀλλήλων, ἄλλων ἐπ' ἄλλους ὁπλιζομένων ἐνίοτε, καὶ κρατούντων ἐν μάχαις καὶ μεθιστώντων τῶν οἰκείων τε καὶ [13]) ἐθίμων, ἀλλοτρία δ' οὐδέπω μέχρι νῦν ἀρχὴ καὶ δύναμις ἰσχύσασα κατ' αὐτῶν, ἔγνωσται, καὶ ὑπὸ χεῖρα Σκύθας ποιησαμένη, ἢ καθόλου γε, ἢ μοῖραν οὐκ ὀλίγην τοῦ ἔθνους· καὶ εἰ κατὰ πολλῶν ἄλλων ἐθνῶν ἴσχυσεν, ἀλλ' ὅςτις ἄρα καὶ πεπείραται, ἢ κακῶς ἀπήλλαξεν [14]),

11) κατὰ μέρη, C. Mon. καταμέλη, Aug. κατὰ μέλη. ρ et λ saepe confunduntur.

12) καθὸ — αἰῶνος, rectius Cdd. Aug. et Mon. καθόλου τοῦ παντὸς ἔθνους τοιοῦτον οὐδὲν ἀπὸ τοῦ παντὸς αἰῶνος.

13) καί, in C. Aug. desideratur.

14) ἀπήλλ., C. Mon. ἀπήλλαξαν.

ἢ ὡς ἀνήλυτα [15]) πονῶν ἠλέγχθη [16]). Οἷον δὴ μετὰ Κῦρον Δαρεῖος ἰσχύσας μέγιστον καὶ τὰ πλείω τῶν ἐθνῶν τῆς Ἀσίας, πολλὰ δὲ καὶ τῶν τῆς [17]) Εὐρώπης ἄγων ὑπήκοα, ὡρμήθη καὶ κατὰ Σκυθῶν πειράσασθαι [18]), καὶ διαβὰς ἐς αὐτοὺς μυριάσι πλείστων στρατευμάτων, καὶ μεγάλῃ παρασκευῇ καὶ χρήμασιν οὐδὲν πλέον κατ᾽ αὐτῶν ἔσχεν, ἀλλ᾽ ὅτι τε πλείστους ἐπ᾽ αὐτοὺς ἦγε, πλείστους ἀπεβάλετο δυςχρηστίᾳ τῆς χώρας πρὸς τἀναγκαῖα, καὶ παντάπασιν ἀπορίᾳ, ὧν ἀνάγκη ἦν καὶ ἔδει, καὶ κομιδῇ κακῶς πράξας ἐπανέστρεψε πλείστην ὄφλων αἰσχύνην, καὶ οὐκ ἀνόνητος [18 a]) μόνον τῆς ἐλπίδος γενόμενος, ἀλλὰ καὶ πάνυ τοι ζημιωθεὶς πλεῖστον τῆς δυνάμεως, ὑπὸ τῶν νῦν μὲν ἀδήλων καὶ φευγόντων Σκυθῶν ῥᾷστα, καὶ οὓς οὐκ ἦν ζητοῦντας εὑρεῖν καὶ κακῶς δρᾶσαι, νῦν δ᾽ ἐπιόντων ἐκ τοῦ ἀδήλου σχεδίως αὐτόθεν πρὸς τους [19]) ἀπιόντας λοιπὸν καὶ τὴν χώραν καταλείποντας. Τάδ αὐτὰ καὶ δι᾽ Ἀλέξανδρον τὸν πάνυ καὶ παραπλήσια φασὶν, ἢ ὅτι ἔγγιστα πλεῖστοι [20]) τῶν συγγραφόντων τἀκείνου, καὶ ὡς πολλά γε κα-

---

15) ἀνήλυτα, sic etiam Cdd. Aug. et Mon. fors. ἀνάλυτα, vel potius cum C. Paris. Reg. ἀνήνυτα.

16) ἠλέγχ., Cdd. Aug. et Mon. et Paris. Germ. ἠλέγχη.

17) τῆς, deest in C. Mon.

18) πειράσ., C. Mon. πειρᾶσθαι, Aug. πειράσθαι.

18 a) ἀνόνητος, nonne ἀνήνυτος? Sic dic. c. 99. ἀνηνύτοις ἐλπίσι.

19) τοὺς, omissum in C. Mon.

20) πλεῖστοι, C. Mon. πλεῖστον.

ταστρεψάμενος τῶν κατὰ τὴν Ἀσίαν ἐθνῶν, καὶ πολέμοις πλείστοις τε καὶ μεγίστοις νικητὴς ὀφθεὶς, ὡς οὐδεὶς πω μέχρι καὶ νῦν τῶν ἀπ' τοῦ παντὸς αἰῶνος εἷς τῶν περιωνύμων ἀνδρῶν φρονήματος ἔπειτα πλήρης κἀπὶ Σκύθας ὁρμᾶται. Καὶ ἦν οὐδὲν ὄφελος ἐπ' αὐτοὺς ἐπιόντι τἀνδρὶ, καὶ τῇ μεγάλῃ περὶ Ἀλεξάνδρου κατὰ πάντων τηνικαῦτα ἀνθρώπων κρατούσῃ φήμῃ, ἀλλ' οὐκ εἶχεν ὅ τί ποτε χρῆσθαι πρὸς Σκύθας οὐκ ἀντιταττομένους κομιδῇ ζητοῦντι, οὐ ὁρωμένους [21]) μὲν οὖν, ἀλλὰ δραπετεύοντας ῥᾷστ' αὐτόθεν κατ' ἔθος τὴν αὐτοῦ τοσαύτην δύναμιν καὶ τὸ κράτος, καὶ ἅμα τὸ κλέος, καὶ προϊσχομένους καὶ καταλείποντας ἐπιτρέχειν γῆς ἀπορίας καὶ πεδίων ἀπλέτων ἐρημίας, καὶ καθ' ὧν μὴ πέφυκεν ὁτιοῦν εἶναι δεῖνον, οὐκ [22]) ἔστι λυμαίνεσθαι, οὐδ' ὅ τί ποτ' ἄρα χρῆσθαι. Καὶ τοίνυν ἀποστρέψας Ἀλέξανδρος τῆς κατὰ Σκυθῶν μόνης ἐπιχειρήσεως μηδὲν μήποτ' ὀνάμενος, μηδ' ἄξιόν τι λόγου, καὶ τοῦ [23]) κατ' Ἀλέξανδρον δράσας φρονήματος, ὅτι μὴ μόνον πλείστην ἀστιβῆ καὶ ἀπόρευτον γῆν πονήρως ἀνύσας. Ἔπειτ' αὖθις εἶχεν ὅ τι χρῷτο κατὰ τῶν λοιπῶν τῆς Ἀσίας ὀλβίων καὶ εὐδαιμόνων ἐθνῶν, καὶ πόλεις οἰκούντων καὶ χώρας ἀροσίμους, καὶ μάχαις μάλιστα χρωμένων καὶ ἀντι-

21) δρωμ., C. Mon. ἐρωμένους.

22) δεῖνον, οὐκ, Cdd. Aug. et Mon. δεινὸν, οὐδ'.

23) τοῦ, C. Mon. τῶν.

γαττομένων καὶ ἀντεπιχειρούντων τοῖς ἐπιοῦσι· καὶ εἶχεν ἐν τούτοις τὸ μεγαλουργὸν δείκνυσθαι, καὶ τὸ περὶ τὰς μάχας καὶ τἄλλ' ἅπαντα δόκιμον καὶ φιλότιμον τυγχάνον ὕλης ἀποχρώσης εὖ μάλα τῷ φρονήματι. Σκύθας δ' οὐκ ἦν ἐκείνῳ οὐδ' ἔστιν ὁτῳοῦν λυμαίνεσθαι οὐδὲ δουλοῦσθαι τὸ ἐξ ἀρχῆς ἐς ἡμᾶς νῦν, βίον παντάπασιν ἀλλότριον ἢ κατὰ τὴν ἄλλην ἀνθρώπων ἀγωγὴν μόνους βιοῦντας, καὶ ζωὴν ἀνεπιχείρητον καὶ ἀδύνατον ὑπ' ἀλλοτρίου γένους κακῶς τε καὶ ἀήθως πρᾶξαι, καὶ πολίτευμα πάσης πραγματειώδους χρήσεως ἀλλότριον, καὶ βίον ἀκατάσκευον καὶ ἁπλοϊκὸν, καὶ ζωώδη σχεδὸν κατὰ τἄλλα τῶν ἀλόγων ζώων πάσης ἐκτὸς περινοίας καὶ ἐπιτεχνήσεως τῇ τοῦ ζῆν χρήσει καὶ τῶν κατὰ τἀνθρώπινα νόμιμα συστημάτων καὶ συνθημάτων παραπλησίων μὲν τὸ καθόλου, καὶ τὰ μέρη δ' ἄλλων παρ' ἄλλοις, ὥσπερ ἐν παγκοσμίῳ δράματι τῶν μὲν τὰ, τῶν δὲ τὰ διαλαμβανόντων καὶ νομιζόντων καὶ ὑποκρινομένων τοῦ βίου σχήματα καὶ πράγματα. Σκύθαις δὲ τὸν ἀεὶ χρόνον ἁπλοῦς τε καὶ ἀποίητος ἐπιλογισμῶν τινῶν καὶ ἀμεταποίητος 24) ὡσαύτως ὁ βίος, καὶ ἀτεχνῶς ζωώδης, ἧπερ ἔφην, κοινωνικὸς μὲν διὰ τὸ κατὰ φύσιν, ὡς Ἀριστοτέλης καὶ ἡ τῆς ἀληθείας εὕρεσις φησὶν, ἐπ' ἀνθρώπων ἀγελαῖον καὶ συμβιωτικὸν τῇ χρήσει, ὥσπερ τοῦτο δὴ καὶ ἐπὶ τῶν πλείστων

24) ἐπιλογισμῶν — ἀμεταποίητος, absunt a C. Aug.

ἄλλων ζώων ὁρᾶται κατὰ φύσιν ἐχόντων κοινωνικὸν καὶ ἐπίμικτον, καὶ τὸ πλεῖστον συνόδοις ἀπραγματεύτως μὲν καὶ ἀνασκήτως μετ' ἀλλήλων δ' ὅμως χρωμένων τῇ ζωῇ· τὰ ὀλίγα δὴ πάνυ τοι κατὰ φύσιν τὰς μοναυλίας καὶ ἀμιξίας πρὸς ἄλλα καθάπαξ βιοῖ, καὶ οὐδὲν ἔχει πρὸς οὐδὲν κοινόν. Καὶ Σκύθαις τοίνυν κατὰ φύσιν, ὥσπερ δὴ καὶ πᾶσιν ἀνθρώποις, κοινωνική μέν ἐστι βίου χρῆσις, ζωὴ δ' ἔοικεν, ὡς ἔφην, καὶ ἀνάσκητος πάσης ἀνθρωπίνης ἐπιποιήσεως καὶ δραματουργίας, οὐ γὰρ πόλεις οἰκοῦσιν, ὥσπερ δὴ καὶ ἄλλοι σχεδὸν πάντες ἄνθρωποι, οὔθ' ὅλως πολιχνίων [25] ὁτινωνοῦν περιτειχισμοῖς ἀσφαλίζονται τὴν ζωήν· οὐδέ γε μὴν οὐδὲ συνοικίαις χωρητικαῖς χρῶνται, οὐ τεχνῶν ἐπιμέλειαν ἴσασιν [26]), οὐκ ἐμπορίας, οὐ περὶ τέχνας πονοῦσιν ἀρόσεως καὶ φυτημίας, οὐκ ἄλλ' οὐδὲν σφίσιν ἔθιμον τῶν κατ' ἀνθρώπους ἑδραίων πολιτευμάτων, οὔτε τὸ κατὰ χρείαν τοῦ εἶναι, ὅτι μὴ πᾶσα ἀνάγκη, οὔτε τῶν κατ' ἐπιτήδευσιν τοῦ εὖ [27]) εἶναι καὶ ξὺν κόσμῳ καὶ ἁβρῶς ἄγεσθαι, ἀλλ' ὡς ἐπι- καὶ σχεδίως, καὶ μὴ ἐκ πολλῆς διοικήσεως καὶ παρασκευῆς τῇ ζωῇ χρῶνται. Καὶ φέρονται συνεχῶς ἀεὶ [28]) πλανῆται οὐ μόνον θέρους ἄλλη καὶ χειμῶνος ἄλλη, ἀλλὰ καὶ θέρους τοῦ αὐ-

25) πολιχ., Cdd. Aug. et Mon. πολυχνίων.

26) ἴσασιν, omissum in C. Mon.

27) εὖ, Cdd. Aug. et Mon. non habent.

28) ἀεὶ, C. Mon. αἰεί.

ῦ καὶ χειμῶνος τοῦ αὐτοῦ συνεχῶς ἀεὶ φέρον-
ι, καὶ ἀστατοῦσι πρὸς ὕδωρ καὶ πόαν μόνον
ῶντες, καὶ ἄλλους μετ' ἄλλους τοὺς τόπους
ιείβοντες, τὸ μὲν πλεῖστον ὕπαιθροι διατρί-
οντες καὶ ἀέρι καὶ γῇ μόνοις ἀρκούμενοι.
εῆσαν δὲ καὶ τινὸς βοηθείας πρὸς ἀλέξημα
ῶν χειμώνων, τοῖςδε καὶ τοῦτο ῥᾴδιον, καὶ
ὺν ὀλίγῳ πόνῳ καὶ φροντίσιν ἤσκηται, καὶ
ιλίδια [29]) τῆς γῆς ἀνιστάντες καὶ ὁρίζοντες κατὰ
ικρὰ ξύλων ἁρμονίαις καὶ γόμφοις κύκλῳ τὲ
αὶ πρὸς ὕψος ἄνω βραχὺ κατ' ὀροφήν. Τοῖς
οιούτοις ἱκανοῦσι τὴν χρείαν εἴσω κλειόμενοι,
ιαὶ φορητούς γε οἴκους ταῦτ' ἔχοντες ὀχήμασι
ιαὶ ἁμάξαις αἰεὶ, καθὼς ἔφην, πρὸς τὸ καίριον
ιατὰ τόπους τῆς χρείας ἀμείβουσι σχεδίως χρώ-
μενοι. Καὶ πρὸς τροφῶν δ' [30]) ἐπιτεχνήσεις
καὶ μαγγανείας οὐ πάνυ τοι πλεῖστον χρήσιμον
αὐτοῖς τὸ πῦρ ὥςπερ καὶ ἄλλοις ἀνθρώποις,
οὐδὲ πολλὴν αὐτοῦ δὴ τοῦ πυρὸς ἐν τούτοις
δαπάνην ποιοῦνται, οὐδὲ κάμνουσι πλεῖστα καὶ
ἀπέραντα [31]) τῇ κοιλίᾳ καὶ περὶ τὰς τῆς τρο-
φῆς ἐργασίας, ἀλλὰ σάρκες ὀλίγαι, καὶ κρέα
ζώων ἡμέρων τὲ καὶ συνεπομένων, καὶ θηρίων
καὶ πετεινῶν ἐκ κυνηγεσίων καὶ τόξων κατὰ
πυρὸς ἀφροντίστως πάνυ τοι καὶ, ὡς ἔτυχεν,
ὀπτώμενα πάσης ἔξω κατασκευῆς καὶ προνοίας

---

29) πιλίδ., C. Mon. πολίδια, rectius.

30) τροφῶν δ', Cdd. Aug. et Mon. τροφῶν δή.

31) ἀπέρ., C. Aug. ἀπέρατα.

ἐπιτηδευτῆς. Τὸ πᾶν ἀποδιδόασιν ὄφλημ φύσει, καὶ τοὺς ἀπαραιτήτους δασμοὺς τ σώματος χρήσει καὶ διαρκείᾳ. Καὶ μασ ζώων αὖ καὶ πηγαὶ γάλακτος ἀνεπλήρωσαν στοτε τὴν χρείαν ἐκ μονοειδοῦς τρόπου, μὲν βρώσεως, τοῦτο δὲ πόσεως. Οὕτω δὴ τάπασιν ἀβαρῆ, καὶ κοῦφον, καὶ ἄπονον, ἀπραγμάτευτον Σκύθαι τῶν ἄλλων ἀνθρ τὸ ἐξ ἀρχῆς εἰθίσθησαν βίον, καὶ πολυσ φοις λογισμοῖς, καὶ ῥᾳδιουργίαις, καὶ δικ καὶ παλαίσμασι λόγων, καὶ πλοκαῖς, καὶ σ ηγορίαις, καὶ συκοφαντίαις, καὶ πᾶσι γοητ μασιν ἀνθρωπίνοις ἐπὶ τῇ σχεδίῳ ζωῇ καὶ πα φύσιν ἀπείπαντο. Καὶ οὐ δικαστὴς ἐξ ἀρχαιρ σιῶν ἐφέτης ἐκεῖ, καὶ ῥήτωρ, πάρεδρος νόμων καὶ δογμάτων ἐξηγητὴς, καὶ διαστροφεὺς, κα συνηγοριῶν καὶ κατηγοριῶν λογοδιδάσκαλος κα λογοστρόφος, καὶ δίαυλοι γλωσσαλγίας, κ πὺξ ἀπὸ στόματος, ἐπιπλήξεις καὶ πάντες ἀγ νες κατὰ τῆς ἀνθρωπίνης ἀποιήτου βιώσε οἷοι παρ' Ἕλλησιν, οἷοι παρ' ἄλλοις βαρβάρο Ἀλλ' ἄρα Σκύθαι τῇ τῆς ζωῆς ἁπλότητι κ τῷ πολλῆς ἀπηλλάχθαι πραγμάτων ὕλης, κ δικαιότερον ἢ κατὰ πολλοὺς ἄλλους [32]) τῶν ἀν θρώπων ἔδοξαν τὸ ἐξ ἀρχῆς ἄγεσθαι. Ὅμηρ μέν γε τὸν ποιητὴν παλαιότατον [33]) οἱ νῦν ἡμῖ ἄνθρωποι τῶν ἀπὸ τοῦ παντὸς αἰῶνος ἐν βιβλ

32) ἄλλους, omissum in C. Mon.

33) παλ., Cdd. Aug. et Mon. παλαιότατον τόν.

ἡμῖν ὁμιλούντων ἔχομεν, καὶ τάδ' ἐκείνου
ὰ μνήμην Σκυθῶν τὰ ῥήματα ἀνδρῶν ἀρηΐ-
ων Σκυθῶν, νομάδων, ἀβίων 34), γαλακτο-
γων, δικαιοτάτων ἀνδρῶν, οἳ βορείην οἰκεῦν-
: 35). Καὶ τάδε λέγων περὶ Σκυθῶν 36) ἐκεῖ-
; παλαιά τε καὶ πρῶτα τῶν κατὰ πᾶσαν
ορίαν, τάς τε τοῦ ἔθνους ἐξ ἀρχῆς οἰκήσεις,
οίῳ μέρει τῆς οἰκουμένης, καὶ τὸν ἄτεχνον
ον καὶ ἀκατάσκευον, καὶ τὴν ἁπλοϊκὴν καὶ
α πολλῶν πραγμάτων κατὰ φύσιν τῆς ζωῆς
ωγήν, ἐκεῖθεν εἰς ἡμᾶς τὴν αὐτὴν ἰοῦσαν ἐκ
κροῦ δείκνυσι πιστούμενος εὖ μάλα, ὅτι δῆτ'
α τὰ κατὰ φύσιν καὶ ἁπλοϊκὰ οὐ μόνον
λὺ τὸ διαρκὲς καὶ μόνιμον, καὶ ἀμεταποί-
ον ἔχει, τὰ γὰρ τῶν ἐπιτεχνήσεων καὶ ἐπιποι-
ων 37) εὑρήματα τῇ φύσει καὶ φθορὰν καὶ
ταβολὰς ἀκολούθως ἔχει· ἀλλ' ὅτι δὴ καὶ
ῦτ' αὐτὸ τὸ κατὰ φύσιν τῆς ζωῆς τῇ τῆς
καιοσύνης ἀνεπηρεάστῳ ἕξει, ἅμα 38) δὲ καὶ
περὶ τὰς μάχας ἠσκημένον τῶν ἀνδρῶν καὶ
ὰ πολέμια ἔργα ἐκεῖθεν ὁ ποιητὴς ἀρχαιότατον
αρτύρεται. Καὶ τί χρὴ λέγειν Ἡροδότους καὶ
ιοδώρους ἑξῆς καὶ Πολυβίους καὶ Διονυσίους

34) ἀβίων, Hom. Il. ν, 6. cf. Heyne.

35) οἰκεῦνται, in ora οἰκοῦνται, sic etiam Cdd. Aug. et Mon.

36) Σκυθῶν, sed Hom. l. l. habet ἱππημολγούς, qui fuere Scythae. cf. Heyne in Obseruatt. ad h. l.

37) ἐπιποιήτ., C. Aug. ἀποίητον.

38) ἕξει, ἅμα, Cdd. Aug. et Mon. ἕξει συγκεκλήρωται καὶ συγκεκραμένον ἐστί, ἅμα.

καὶ Αἰλιανοὺς ταὐτὰ καὶ παραπλήσια τῆς ἀρεϊκῆς ἕξεως καὶ μαχίμου τοῦ εὐ- ἱστοροῦντας τοῖς μετ' ἐκείνους ἡμῖν. Θου- δίδης δ' εὖ γε δῆλον ὡς ἄρα τὸ πρὸ βραχ- ἡμῖν λεγόμενον παῤῥησίᾳ περὶ Σκυθῶν ἀπο- νεται, ὡς ἀδέσποτον τὸ ἐξ ἀρχῆς τὸ ἐθν- κὰν 39) εἴπερ οἷόν τ' ἦν ἐκ συμφώνου τό ὑπὸ μιᾶς ἡγεμονίας ἄγεσθαι, ἓν οὐδὲν ἂν ἄλλό ποτ' ἔθνος τὰ μάχιμα Σκύθας παραβ- λειν πολυανθρωπίᾳ πάντας πάντως ὑπερβα- λούσῃ καὶ τῇ περὶ τὰ πολέμια τὸν ἀεὶ βίον ἐ- χρόνον συνασκήσει καθ' ἕξιν, ὡς εἰπεῖν, τ- φύσεως καὶ ἀκόρεστον καὶ ἀκάματον χρῆσ- οἵαν οὐκ ἔστι κατ' ἄλλους παραβάλλειν, π- πόλλ' ἕτερα τῶν κατ' ἀνθρώπους πρὸς τοῖς πο- λεμίοις σπουδάζοντας.

ΚΕΦ. ριά.

Ὅτι χρήσιμον τοῖς περὶ λόγους σπουδάζουσιν ἡ περὶ τ- ἱστορικὸν ἐπιμέλεια.

Τὸ περὶ τὰς ἱστορίας φιλόπονον τῶν παλαι- πράξεών τε καὶ λόγων, καὶ ὅλως τῆς τοῦ βίο- καὶ τῶν ἀνθρωπίνων πραγμάτων τὸ ἐξ ἀρχῆς 1) ἀγωγῆς προὔργου ἂν εἴη πάνυ τοι τῷ σοφῷ, κα- πλεῖστον μὲν δὴ ἀναγκαῖον, πλεῖστον δὲ χρή- σιμον καὶ λυσιτελοῦν περὶ τὰ ξυμπίπτοντα ἑκ-

39) κἂν, Cdd. Aug. et Mon. καί. cf. Thucyd. II, 96 et 97.

1) τὸ ἐξ ἀρχῆς, Cdd. Mon. et Aug. τεξαρχῆς.

ποτε τῆς χρείας. Οὐ γάρ ἐστιν, οὐκ ἔστιν ὅλως ἀνύσαι τι μέγα περὶ τὰ τῆς σοφίας πράγματα, ὅτι μὴ τοῖς πάλαι πρότερον ἐκείνοις ἄνδρασι συνεξεταζόμενον, καὶ τῇ τῶν ἀρχαίων πραγμάτων πείρᾳ μεστὸν ἐνευθηνοῦντα καὶ ἐνακμάζοντα τὸν νοῦν εἰς ἅπαντ' ἐστὶ γόνιμον ἀπαντᾷν, καὶ κάλλιστ' ἐνεργὸν κατὰ πρόθεσιν. Οὐδὲ δύναιτ' ἂν μόνος τὶς ἑαυτῷ χρῆσθαι, καὶ τῆς οἴκοθεν εὐγενείας αὐτοῦ, κἂν εἰ ἄκρος τὴν φύσιν, πάντ' ἀγχίνους [2]), πάντα ταχὺς ἐπιβάλλειν, οἷς ἂν αἱροῖτο· δεῖ γὰρ καὶ τῆς ἐκ τῶν παλαιῶν ἀρδείας εἰς ξυμμαχίαν καὶ ὅλως κράτος τοῦ εἶναι τοῖς ἀπὸ φύσεως εὐγενοῦς βλαστήμασι, καὶ ὥςπερ γῇ πίονι καὶ ἀναδιδόναι καὶ φύειν εὖ ἐχούσῃ, δεῖ καὶ τῶν ἄνωθεν ἐπομβρήσεων εἰς τὴν εὐτοκίαν, καὶ τὸ ἀρτιόχρειον τῆς φορᾶς, καὶ γυμναστῇ δὲ παντὶ δεῖ παιδοτρίβου καὶ συνασκήσεως μετ' ἄλλων, εἰ μέλλει βέλτιστ' ἔχειν ἐν τοῖς ἄθλοις καὶ κρατεῖν, ἀλλ' οὐκ αὐτόθεν ῥώμῃ μόνον θαῤῥεῖν. Καὶ μέγας δὴ παιδοτρίβης ὄντως τοῖς περὶ τὴν σοφίαν ἐσπουδακόσιν ὁ χρόνος ἐξ ἀρχῆς τὰ καὶ τὰ [3]) καθηγούμενος, πάντα γυμνάζων, καὶ ὑποδεικνύων τοῖς παλαιοῖς τύποις καὶ ὑποδείγμασιν ἐκ μακροῦ τὰ τῆς ἑκάστοτε χρήσεως, καὶ τῇ ἀσκήσει πίστιν ἐντεῦθεν διδοὺς, καὶ πᾶν τὸ ἀσφαλὲς καὶ τὴν ἀκρίβειαν τῆς ἕξεως. Καὶ

2) πάντ' ἀγχ., desiderantur in C. Mon.

3) καὶ τὰ, C. Aug. κατά.

χορηγεῖν ἀμέλει πῶς ἂν [4]) ἐλευθερίως ἔχοι τι ἢ μᾶλλον πῶς ἂν ἱκανῶς, ὅτε μὴ ἐκ παρασκευῆς καὶ τῶν οἴκοι πάλαι κειμένων τοῖς τοῦ νοῦ ταμιείοις, πλήθουσι παντοίων ἐράνων καὶ παντοίας συντελείας καὶ συλλογῆς; Καὶ γεννᾷν μὲν πέφυκεν ἡ φύσις, καὶ οὐ πᾶσι μὲν οὖν, ἀλλ' ὅσοις πέφυκε καὶ εἰδοποιεῖν. Δεῖ δὲ καὶ ὕλης τῷ δημιουργικῷ αἰτίῳ, δεῖ δὲ καὶ τροφῆς τοῖς τοκτοῖς, εἰ μέλλοι χωρεῖν εὖ, ἢ πᾶσα ἀνάγκη μένειν εὖ καὶ ἵστασθαι. Οὐ γὰρ πᾶν αὐτόθεν ἔδωκεν ὁ Θεὸς τῇ φύσει πρὸς τὸ ἀνενδεὲς τοῦ σκοποῦ, ἀλλὰ καὶ ταῖς ἔξωθεν βοηθείαις συγκληρώθη τὸ εὐδιοίκητον τῆς οὐσίας καὶ χρήσεως. Καὶ τοίνυν ὅτῳ δὴ μέλλει καλῶς τὰ τῆς παιδείας ἕξειν πρὸς τῷ γονίμῳ κατὰ φύσιν, εἴτ' ᾧ ἔδωκεν ὁ Θεὸς φύσεως εὖ ἔχειν καὶ διαρκῶς πρὸς τὰ τῆς σοφίας [5]) πράγματα, συνασκητέον ἑαυτὸν ταῖς τῶν παλαιῶν μνήμαις, καὶ γυμναστέον ἐκεῖθεν τὴν εὐξίαν [6]) αὐτῷ δημιουργοῦντα, καὶ προςληπτέον ἐκεῖθεν τῆς εὐτοκίας καὶ εὐτροφίας ἀφορμάς, ἔχει γὰρ τὰ ἐκ τῆς παλαιᾶς μνήμης καὶ τῶν ἱστοριῶν τοῖς ἐλλογίμοις, ὥςπερ ταῖς μελέταις τὰ ἄνθη πανταχόθεν δρεπομέναις. Καὶ οὐκ ἔστιν ἄλλως ἀνύτειν ὅτι μὴ ταῖς ἐκεῖθεν ἀνθοφορίαις ταῖς ἐρασταῖς καὶ [7]) δημιουργοῖς τῆς σοφίας, οὐδ' ἔστι θεα-

4) ἂν, omittunt Cdd. Aug. et Mon.

5) πρὸς τὰ τ. σοφ., C. Mon. πρὸς τὰς σοφίας.

6) εὐξίαν, leg. εὐεξίαν.

7) καὶ, neglectum in C. Mon.

τρον κόσμων παντοίων καὶ πάσης ὥρας καὶ φιλοκαλίας, οὐδὲ νεὼν ἱερὸν τῇ παιδείᾳ τὸν νοῦν καθιστάνειν, ὅτι μὴ διὰ πάσης ἐπιμελείας καὶ προπαρασκευῆς κάλλιστ᾽ ἀγαλματοφοροῦντα, καὶ κειμηλίων καὶ θησαυρῶν τιμίων πλήρη, ἐξ ὧν ἐστι δείκνυσθαι λαμπρὸν λαμπρῶς καὶ ἀπαντᾷν ὄψει πάσῃ περιαστράπτοντα. Οὕτω πολὺ δὴ μάλιστ᾽ ἀναγκαῖον, ὡς ἔφην, ὅςτις ἀμέλει περὶ τοὺς λόγους κραταιὸς ἐσεῖται [8]), καὶ διαρκὴς ἑαυτῷ τε χρῆσθαι [9]), καὶ [10]) τοῖς ἄλλοις παρέχειν [11]) ἑαυτῷ χρῆσθαι τὸ τῆς πολυμαθίας καὶ πείρας, εἰ οἷόν τ᾽ ἐστὶ, πάντων τῶν παλαιῶν· πρὸς γὰρ ἑκάστην χρείαν ἐκεῖθεν πορισμοὺς λήψεται καὶ βοήθειαν, σπουδάζων εἴτε δὴ περὶ τὴν τῶν ὄντων θεωρίαν γνώμας ἀπλανεῖς, εἰ καὶ μὴ πάσας, πολλὰς μὲν οὖν, εἰ δὲ μὴ, ὥςπερ ἐξ ἀγορᾶς πληθούσης πάντων ὧν ἂν εἴη πόθος καὶ πρόθεσις, ἔστιν ἀνευρίσκειν τὰ βελτίω καὶ πρὸς ἑαυτοῦ ποιεῖσθαι, καὶ διὰ πάντων κατασυλλογίζεσθαι τἄμεινον, καὶ γίγνεσθαι τῆς τῶν καιρίων χρήσεως. Εἴτε δὴ περὶ τὴν τῆς φωνῆς ἐπιμέλειαν ἔγκειταί τις οὐ μεῖον, ἢ τοῖς περὶ τὴν θεωρίαν τῶν ὄντων προσέχουσι τὸν νοῦν, ἔσται τῆς ἱστορικῆς ταύτης πολυμαθίας τῶν παλαιῶν ὄφελος, ἐφ᾽ ᾧ περὶ πᾶσαν

---

8) ἐσεῖται, nonne ἔσειται l. ἔσται; nam Dorismus vix locum hic habere potest. C. Aug. ἐπεῖται.

9) τε χρῆσθαι, C. Mon. τεχνῆσθαι,

10) καὶ, C. Aug. non habet.

11) παρέχ., C. Mon. παρέχων.

χρείαν ἐκεῖθεν ἀφορμὰς, ὥςτε κατεπειχεις ἀνυσίμως ἔχειν, καὶ ἅμα τῆς κατὰ τὴν γλῶτταν ἀσκήσεως εὖ ἔχειν. Παρασκευὴ γὰρ ἐκ τῶν ὑποδειγμάτων καὶ ἅμιλλα κινεῖται, καὶ τὸ φλέγον ζήλου καὶ χαρακτῆρες εὐστομίας ἀποτυποῦνται καὶ προδείκνυνται, καὶ διὰ μνήμης ἐνευθηνεῖσθαι τῇ χρήσει παρέχονται, καὶ οὐχ ἥκιστ' ἐν τῶν παλαιῶν ἐκείνων ἐργασίας πορισμοὶ γίγνονται, καὶ παμφορία [12]) πρὸς τὰ ξυμπίπτονθ' ἑκάστοτε, καὶ πίστεις μὲν οὖν κατὰ καιρὸν ταῖς προθέσεσι καὶ δυναμοποιοὶ συμμαχίαι κάλλιστα τελεςφόροι τῷ λέγοντι. Καὶ που τὶ παλαιὸν ἀφήγημα πράξεως ἡςτινος ἄρα. ἢ λόγου καὶ ἀποφθέγματος κατευστοχήσατο, ἐν τοῖς πράγμασιν ἐπελθὸν [12a]) ἀθρόον τῷ σπουδάζοντι τῶν τῆς μνήμης ταμείων ὤνησεν ἐν τῷ παραχρῆμα, καὶ συνήρατο πρὸς τὸ πείθειν καὶ περιγίνεσθαι κατὰ σκοπὸν, καὶ τοῖς ἀκροωμένοις εὖ μάλ' ἔδοξεν ἐπαγωγὸν ξυμμαρτυροῦν εἰς τὰ προκείμενα καὶ προτρέπον, ἢ ἀποτρέπον [13]) ἐν τοῖς πρακτέοις. Καὶ πολλά γε τοιαῦθ' ὁρᾷν ἐστιν οὐ μόνον αὐτόθεν ἑπόμενα τοῖς χρωμένοις, ἀλλὰ καὶ τοῖς εὐδοκίμοις τῶν παλαιῶν περὶ τὸ λέγειν διοικούμενα πρὸς τὸ χρήσιμον ἑκάστοτε, καὶ ὅλως τοῖς γε τοιούτοις μάλιστ' ἐπονήθη τὰ τῆς ἱστορίας τῶν πρὸ αὐτῶν, καὶ

12) παμφορία, an παμφόρημα?

12a) ἐπελθὸν, abest a Cdd. Aug. et Mon.

13) ἀποτρέπ., non agnoscunt Cdd. Aug. et Mon.

ἱςτ᾽ εἰδέναι πάντα σχεδὸν καθ᾽ ὅσον οἷόν τέ στιν, ὅσα ἐξ ἀρχῆς τοῦ βίου κατ᾽ ἀνθρώπους ἴρηται τὲ καὶ πέπρακται ἐς αὐτοὺς χθὲς, ὡς ἰπεῖν, καὶ τρίτην ἡμέραν. Καὶ πάντας τούς γε οιούτους ἐπισκεπτόμενος ἄν τις καὶ φυλοκρι- ῶντας [14]) οὐσίας, ἃς συνελέξαντο τῆς μαθή- ιεως, ἐξ ὧν ἄρ᾽ ἡμῖν καταλελοίπασι συνταγμά- των, συλλογίσαιτ᾽ ἂν, οἶμαι, ὡς ἐπιμελὲς αὐ- τοῖς [15]) γέγονε πόῤῥω τῶν χρόνων ἀνάγεσθαι καὶ πολυπραγμονεῖν τὸν βίον καὶ τὰ τοῦ βίου καὶ τῶν ἀνθρώπων πράγματα, καὶ πάντα κατα- γράφειν εἴσω τοῖς φανταστικοῖς τῆς μνήμης τίναξιν, οὐ μόνον δι᾽ αὐτὴν τὴν [16]) τῆς γνώ- σεως καὶ μαθήσεως ἔφεσιν· πᾶσι γὰρ σπουδαίοις πολυέραστόν τι κατὰ φύσιν χρῆμα πᾶσα πάν- των μάθησις· καὶ σημεῖον τούτου γε ποιεῖται καὶ ὁ θαυμάσιος Ἀριστοτέλης, ὅτι πάντες κατὰ φύσιν ὀρέγονται τοῦ εἰδέναι τὴν τῶν αἰσθήσεων ἀγάπησιν, ὧν ἔργον ἀντιλήψεις γνωστικαὶ [17]) εἰσαγγελίαι τῶν ἔξω τῷ νῷ. Οὐ διὰ τοῦτο τοί- νυν μόνον, ὡς ἔφην, κομιδῇ πολυπόθητον τοῖς ἐλλογίμοις ἀνδράσι τὸ πολυμαθὲς, ἀλλ᾽ ὅτι δὴ καὶ σφόδρα κατὰ καιρὸν ἔχει πρὸς τὴν χρῆσιν αὐτοῖς, καὶ πολλὰς εὐφορίας ἀφορμὰς παρέχε- ται καὶ ὁρᾷν ἐστι καὶ συλλογίζεσθαι ῥᾷστ᾽

14) φιλοκρ., nonne φιλοκρινῶν τάς?

15) αὐτοῖς, Cdd. Aug. et Mon. αὐτῆς.

16) τὴν, in Cdd. Aug. et Mon. deest.

17) ἀντιλ. γνωστικαὶ, sine dubio excidit καὶ, et leg. ἀντιλ. γνωστικαὶ, καὶ.

αὐτόθεν ἐκ τῶν βιβλίων, καὶ ὧν προὔθ
καὶ [18]) συνετάξαντο πονημάτων τῶν [19])
γλώττης. Καὶ πάντες μὲν οὕτω τῶν πρὸ ἡμ
ὡς ἔφην, εὐδοκιμησάντων ἀνδρῶν, καὶ οἱ
ὅςτις οὖ, καὶ ῥᾴδιόν ἐστιν, ὅςτις προςέχει
νοῦν, ξυνορᾷν, ὡς ἕκαστος αὐτῶν κάλλι
πλήρης ἐστὶ καὶ θύλακον πεποίηται πολυ
θίας πάντων τῶν πρὸ αὐτοῦ τὸν ἑαυτοῦ το
καὶ διεβίωσε θησαυροῖς τῶν τοιούτων ὑπερπλ
τῶν καὶ καταβαρρούμενος, ἢ μᾶλλον ἐφ
ὥςπερ ἐξ ὑπερτέρων καὶ ἀπροςκόπτου [20]) τιν
καὶ ἐῤῥαστωνευμένης ἐποπτείας εὖ μάλα ἀν
θρῶν τὸ ξύμπαν ἐξ ἀρχῆς τοῦ βίου καὶ
τῶν ἀνθρωπίνων πραγμάτων ἀγωγῆς θέατρο
καὶ δολιχεύων καὶ περιϊὼν [21]) ἀπόνως κά
τη τοῖς τῆς διανοίας ὀφθαλμοῖς, καὶ μὴ
πρόχειρα μόνον ζῶν, μηδ' ὅσον τὰ πρὸ ποδῶν
ὥς φασιν, ὁρῶν, ἀλλ' ἅμα πάνυ τοι πόῤῥωτά
πρόσω καὶ ὀπίσω, καὶ μηδὲν ἧττον ἐπιδεξιὰ
ἐπιθάτερα [22])· καὶ πάντες μέν, ὡς ἔφην, οἱ
πολυαρκέστατοι. Ἀτὰρ δὴ περὶ Πλουτάρχ
τοῦ Χαιρωνέως, ἀνδρὸς πάντ' ἀρίστου καὶ κ
ριττοῦ τὴν σοφίαν, τί ἂν λέγοιμι, ἢ ὅ τι παν
γε δῆλον, ὅτῳ γέγονε ξυντυχεῖν τοῖς ἐκείνου
πόνοις, θαυμάσαιμι δ' ἄν, εἴ τῳ μὴ γέγον

18) καί, deest in C. Aug.

19) τῶν, Cdd. Aug. et Mon. ignorant.

20) ἀπροςκ., sic hic Cdd. nostri; alias ἀπροςκόπου.

21) περιϊὼν, C. Aug. περιών.

22) ἐπιδ. καὶ ἐπιθ., fors. leg. ἐπὶ δεξιὰ καὶ ἐπὶ θάτερα, κ. μή

υντυχεῖν τῶν περὶ λόγους ὅλως σπουδαζόντων, ῆλόν γε μὴν, ὡς ἀνηρ οὗτος πλεῖστον ὅσον πόνησε καὶ συνελέξατο πᾶσαν ἱστορίαν τῶν πρὸ ὑτοῦ, καὶ εἰ δή τῳ ἄλλῳ [23]) ἄλλό τι τῶν σπουαίων ἐπιμελὲς ἐγένετο, καὶ Πλουτάρχῳ πᾶσαν ιάθησιν ἐναποθέσθαι τῷ νῷ, καὶ θησαυρίσαι οῖς τῆς μνήμης ταμείοις, καὶ κάλλιστ' ἐντεῦθεν ἔχειν πρὸς τὸ ξυμπίπτον ἑκάστοτε τῆς χρείας, ὥςπερ ἐκ παρασκευῆς τινὸς πολυαρκεστάτης, ἢ ιακρῶν οὐσιῶν ἐλευθερίως ἐπιδιδοὺς καὶ δαπανῶν ἀφειδῶς ξὺν τῷ καιρίῳ περὶ πᾶν τὸ προκείμενον ἀνύτειν. Καὶ τοίνυν κομιδῇ πᾶς ὁ λόγος αὐτῷ ποικίλλεται, καὶ μάλιστ' ἐνεργός ἐστι, καὶ πίστιν ἐμποιεῖ διαφερόντως, ἐξ ὧν ἀμέλει μεμέστωται παλαιῶν τῆς μνήμης πράξεων, εὐγενῶν ἀνδρῶν φθασάντων, καὶ μὴ τοιούτων, καὶ ἠθῶν αὐτῶν καὶ γνωμῶν καὶ λόγων καὶ ἀποφθεγμάτων καὶ πάσης χρήσεως, ἧς ἐν καιρῷ γέγονε τοῖς συντάττουσι μεμνῆσθαι· καὶ οὐδὲν ὅ τι διαπέφευγε σχεδὸν τῶν ἀπὸ τοῦ παντὸς αἰῶνος ἐς αὐτὸν, οὐδ' ὠλιγωρήθη τἀνδρὶ παντάπασιν, οὐ μέγα, φασὶν [24]), οὐ μικρὸν, οὐ λόγου πολλοῦ καὶ μὴ πολλοῦ τινὸς ἄξιον. Ἀλλ' ὥςπερ τοῖς ἐντελῶς διοικοῦσι τὰ κατ' οἶκον πάντ' εὖ παρεσκεύασται καὶ κατ' οἶκον ἐστὶ, καὶ ὅσα μεγάλαι χρήσεις εἰςπράττονται, καὶ ὅσα δῆτ' ἐν δευτέρῳ καὶ τῶν εὐτελῶν δοκεῖ καὶ

23) ἄλλῳ, neglectum in C. Mon.

24) φασὶν, scl. ὡς.

εὐπεριφρονήτων, πάντα δ' οὖν ἐπίχρεια π
καιρὸν ἔχει τῷ οἰκονομικῷ· τὸν αὐτὸν ἂ
τρόπον καὶ τῷ σοφῷ τῷδ' ἀνδρὶ πάντ' ἐ
παρασκευῆς κατ' οἶκον τῷ νῷ καὶ τῇ μνή-
μένει, καὶ ὅσα πολλοῦ λόγου, καὶ ὅσα ..
τοιαῦτα, καθὼς ἔφην, καὶ τῆς χρήσεως ἑκά-
στοτε καλούσης ῥᾷστ' ἐστὶ καὶ μάλιστ' ἐκ τοῦ
προχείρου λαμβάνειν ὁτιοῦν, καὶ περαίνειν ε..
τὴν πρόθεσιν, καὶ ὧν μὴ ὄναιτ' ἄν τις ἴσω;
ἐπιμελούμενος καὶ πράττων ὅ τί ποτ' ἄρα τοῖς
λόγοις, μάλα τοι Πλούταρχος ὄνασθαι δύναιτ'
ἄν, καὶ χρήσιμα ταῦτα τῷ σκοπῷ δεικνύτω
περὶ ὁτουοῦν ἐπιχειρῶν καὶ δημιουργῶν τοῖς
ἀκροωμένοις, καὶ περὶ οὓς ἂν ἑκάστοτε σπου-
δάζοι, καὶ περὶ ὧν κἀκ τῶν ἀνονήτων, ὥς γε
δόξαι τις ἄν, καὶ [25]) παρεῤῥιμμένων δι' ὀλιγό-
τητα τινὰ καὶ εὐτέλειαν γεννικά τινα καὶ ἀξιό-
λογα τέλη καὶ συμπεράσματα πραγμάτων κατ'
ἤθους ἢ γνώμης τινὸς καὶ θεωρίας βελτίωσιν [26]).
Ον ἄρα δὴ τρόπον καὶ τοῖς τεχνικοῖς τῶν οἰκο-
δομικῶν οὐ μόνον ἀμέλει πολυτάλαντοι λίθοι,
καὶ οὐ ῥᾳδίως εὔσειστοι [27]), καὶ εὐφόρητοι πρὸς
τὰς οἰκοδομίας παραλαμβάνονται, ἀλλά γε δὴ
καὶ λιθίδια παρεωραμένα τέως καὶ παρεῤῥιμ-
μένα [28]) συμπαραλαμβάνεται, καὶ καιρὸν ἔχει
τῇ χρείᾳ καὶ συμπληροῖ τοὔργον· οὕτω δὴ πολὺ

---

25) καί, omissum in C. Mon.

26) βελτ., C. Aug. βελτίοσιν.

27) εὔσειστοι, C. Aug. ἄσειστοι.

28) παρεῤῥ., C. Aug. male παραῤῥιπ[illegible]μένα.

κέρδος ἐστὶ τῆς ἱστορικῆς πολυμαθίας τοῖς τῆς παιδείας πράγμασι, καὶ ὅςτις κατ' αὐτὴν εἵλετο θεοῦν κάλλιστ' ἐνευδοκιμῶν, ἐπιμέλειαν ἀνάγκην ἔχει πλείστην δὴ πάνυ τοι περὶ τούτου ποιεῖσθαι. Ἔοικε δὲ καὶ Δίων ὁ Προυσαεὺς, ὃν ἐπ' εὐφωνίᾳ τοσοῦτον ἐθαύμασαν, ὥςτε καὶ χρυσοῦν τὴν γλῶτταν καλεῖν, Ἕλληνες, τοῦτ' αὐτὸ ξυνεωρακὼς, ὃ νῦν φαμὲν, καὶ οἴκοθεν οἶμαι πεπειραμένος τῶν ἐπιτηδείων τινὶ περὶ λόγου συμβουλεύων ἀσκήσεως, τοῖς ἄλλοις δὴ λυσιτελῶς προςτιθέναι, ὡς ἐπιμελητέον ἂν εἴη τῷ περὶ λόγους σπουδάζοντι καὶ περὶ τὰ τῶν ἱστορικῶν συντάγματα, ὡς μάλιστ' ἀναγκαιοτάτην οὖσαν τὴν τούτων φιληκοΐαν καὶ πολὺ τὸ χρήσιμον ἔχουσαν εἰς τὴν τῆς σοφίας καθόλου χρῆσιν. Εὐρύνει γὰρ τὰ [29]) τῆς ἱστορίας εὖ μάλα τὸν νοῦν, καὶ διαίρει τοὺς τῆς διανοίας ὀφθαλμοὺς πρὸς τὴν κατανόησιν καὶ ἀντίληψιν τῶν ὄντων, καὶ τῶν κατὰ τὸν βίον πραγμάτων τὴν ἐπιστήμην. Καὶ γὰρ δὴ καὶ πολλοὶ τῶν σοφῶν τὸ πολύπραγμον κατὰ φύσιν ἀρχὴν ποιοῦνται φιλοσοφίας· καὶ ὁ πολὺς Συνέσιος τὴν ἐν παισὶ φιλόμυθον φύσιν ὑπόσχεσιν φιλοσόφου τέλους ἀποφαίνεται, καὶ οὐδὲν ἂν μέγα τελεςφορήσειεν ὄντως. Ὀλιγαρκὴς ἄρα φύσις καὶ μὴ πολλῶν ἐπιδεομένη, μηδὲ τρεφομένη πολλοῖς, ἀλλ' ὥςπερ τοῖς ἐπινόσοις τῶν ἀνθρώπων ἰατρῶν παῖδες ὀλιγοσιτίαν νομίζουσιν, οὕτως ἄρα καὶ

29) τὰ, deest in C. Mon.

τοῖς [30]) μὴ τὸν νοῦν ἐῤῥωμένοις καὶ εὐεκτοῦσι ὀλίγα προςίεσθαι καὶ πονεῖν ἐστι, καὶ ὀλίγα μὲν οὖν δύνασθαι, καὶ μὴ κραταιῶς ἔχειν μηδ' ἐπιδεικτικῶς [31]) μεγάλων ἔργων. Χωρὶς δὲ τούτων ἔτ' ἔχομεν λέγειν καὶ τὸ πιστὸν ἡ πεῖρα παρέξεται, ὅτι κἂν ταῖς τοῦ βίου ξυντυχίαις, καὶ οἷς ἂν ἑκάστοτε ξυμπίπτωμεν πράγμασιν, εὖτε καὶ ὡς ἑτέρως ἔχουσι, βέλτιστ' ἂν ἡμῖν ἔχοι [32]) τὰ ἐκ τῆς ἱστορίας καὶ μάλ' ὀνήσιμα. Τοῦτο μὲν δυςχέρειαν ἐνεγκεῖν τύχης παράλληλα τιθεμένους παραπλήσια ἅττα τῶν πρότερον [33]) ἐκείνων, καὶ βοηθουμένους ἐξ ὑποδειγμάτων ὡς ἐχρήσαντ' ἴσως ἐκεῖνοι, καὶ οἷς ἐχρήσαντο λόγοις ἢ ἔργοις, οὐκ ἀνέλπιστα χρωμένους καὶ διοικοῦντας τἄμεινον, καὶ τοῦ ξυμπεσόντος κλύδωνος τὴν ἀποφυγὴν ὅπως ἄρα· τοῦτο δὲ [34]) καὶ πρὸς τἀναντίον [35]) αὖ ἐπὶ λαμπραῖς καὶ περιφανέσι τύχαις, καί τινι κατὰ θεῖον ῥαστώνῃ τοῦ βίου νομοθετουμένους πάλιν ἐκεῖθεν ὡς δέοι ἂν εὖ μάλα χρήσασθαι καὶ τἀγαθὸν ἀσφαλίσασθαι [36]), καὶ ἐξ οὐρίου βιώσεως φορὰν κυβερνῆσαι πρὸς τἄδηλα τοῦ μέλλοντος ἑξῆς, καὶ νῦν μὲν φεύγειν ἀηδίαν καὶ

30) τοῖς, non habet C. Mon.

31) ἐπιδεικτ., C. Mon. ἐπιδεικτικῶς, nec habet ἔργων.

32) ἔχοι, C. Mon. ἔχει.

33) πρότ., C. Mon. προτέρων.

34) δὲ, C. Mon. δή.

35) τἀναντ., C. Mon. τοὐναντίον.

36) ἀσφαλ., C. Mon. εἰςφαλίζεσθαι.

ὕβριν, νῦν δὲ μὴ καταπίπτειν καὶ βαπτίζεσθαι ταῖς ἀντιπνοίαις τῆς τύχης, καὶ ὡς εἰπεῖν πᾶν ἐργῶδες ἑκατέρωθεν ἑπόμενον καὶ δύςχρηστον εὖ τίθεσθαι. Ἀλλὰ καὶ ὅλως πρὸς πᾶσαν πρᾶξιν καὶ χρῆσιν ἅπασαν τῆς ζωῆς ἔστιν ἐκεῖθεν μάλιστα τῶν παλαιῶν λαμβάνειν παραδείγματα καὶ στρατηγοῦντα καὶ στρατεύοντα, καὶ ἄρχοντα καὶ ἀρχόμενον, καὶ δεσπόταις συνόντα καὶ κοινοῖς πράγμασι συνεξεταζόμενον, καὶ πρεσβεύοντα πόῤῥω τε καὶ ἔγγιστα, καὶ περὶ εἰρήνης καὶ περὶ πολέμου καὶ περὶ πάντων καὶ φίλοις καὶ ἐχθροῖς χρώμενον, καὶ παίδων ἐρημίᾳ συζῶντα καὶ πολυτεκνίᾳ κατ' ἀμφότερα, νῦν μὲν ὡς ἡδέως ἐντεῦθεν ἔχειν, νῦν δ' ὡς ἑτέρως, καὶ μάλιστ' ἀλγεινότατα, καὶ, ὡς ἔπος εἰπεῖν, πᾶσαν ὥςπερ ἐκ παρασκευῆς ἑτοίμην εἰς πάνθ' ἕκαστ' εὐχρηστίαν καὶ χορηγίαν πρὸς τὴν χρείαν· καὶ συμμαχίαν ἔστι πορίζεσθαι, καὶ δεῆσαν μεταβάλλειν ἐν μεταβάλλουσιν ἀεὶ τοῖς πράγμασι, καὶ πάντα στρέφεσθαι μετὰ τῶν τρεπομένων καὶ ῥεόντων ἀεὶ, χειραγωγίαν ἐκεῖθεν λαμβάνειν ἐστὶν ἐν πάσαις ἄρα πεττείαις καὶ μετακλίσεσι νευρούμενον [37]) εὐγενῶς ἵστασθαι, ἢ πρὸ ὁδοῦ κατὰ καιρὸν ἀνύτειν ἰόντα. Καὶ ταῦθ', ἧπερ ἔφην, τῇ πείρᾳ πιστοῦσθαι ῥᾴδιον, καὶ ἔγωγε πολλάκις μὲν οὖν οἶδα καὶ μέμνημαι χρησάμενος, εἰ δή τις καὶ αὐτὸς ἐν

---

37) μετακλ. νευρούμ., Cdd. Aug. et Mon. μετακλίσεσιν εὑρούμενον.

πολλοῖς γενόμενος πράγμασιν, ἡ μὲν χερείοσιν, ἡ δὲ καὶ ἐσθλοῖς, καὶ οὐ πάμπαν ἀταλαιπώρως καὶ ἀφροντίστως ἐρημίᾳ βιώσας τύχης καὶ πολλῶν ἔργων, οὐδ' ὀλίγον τοῖς ξυμπίπτουσιν ἑκάστοτε πραττόμενος νοῦν, οὐδ' ἐν ἀκύμονι καὶ ἀκινδύνῳ, καὶ αὖ ἀκλεεῖ καὶ ἀδήλῳ διαπνεύσας ἐπ' ὀλίγου τοῦ σκάφους ζωῇ· ἀλλὰ καὶ οὔρια δραμὼν ἐῤῥωμένως φορᾷ πλείστῃ τῆς τύχης ἵλεω, καὶ πρύμναν πιστευθεὶς ἐν κλύδωνι φορταγωγοῦ μεγίστῳ [38]) μεγίστης, καὶ ὅλως πολλαῖς συνεξεταζόμενος πολλῶν ἐτῶν ἤδη ταῖς χρείαις, Θεὸς δ' εὐμενὴς εἴη τοῦ μέλλοντος εἵνεκεν, εἰς ὅσον ἂν ἡμῖν εἴη τὸ λειφθὲν τῆς ζωῆς. Ἀλλ' ὅπερ ἔλεγον, πολλῶν φῶς εἰς ἐποπτείαν τῆς βιωτικῆς χρήσεως καὶ περιπλανήσεως ἐκ τῶν παλαιῶν ἱστοριῶν ἥκει καὶ τῆς μνήμης τῶν προτέρων λόγων καὶ πράξεων, καὶ χειραγωγία τοῖς ἑκάστοτε χρωμένοις πρὸς τὸ καλῶς ἄγεσθαι. Καὶ μὴν ἔτ' ἐρεῖν, εἰ ξυμβούλων ἀνδρῶν ἐν πᾶσι πράγμασι καὶ μάλιστα τοῖς ἀναγκαιοτάτοις χρεία ἐστὶ συνετῶν τε καὶ εὔνων, καὶ πάσης ὑποψίας καὶ τρόπων καὶ δόλων, καὶ εἰρωνείας καὶ ὑποκρίσεως ἀλλοτρίων, καὶ ὡς οὐκ οἶδ' εἴ τί γ' ἄλλο τῶν ἁπάντων χρειωδέστατον τοῦτο καὶ πολυωφελέστατον. Περὶ τίνος ἂν οὐχ εὑρήσει [39]) τὶς βουλὰς ἀρίστας, καὶ ξυμβούλους ἱκανούς τε καὶ ἐντελοχρείους κατὰ

38) μεγίστῳ, omittit C. Mon.

39) εὑρήσει, Cdd. Aug. et Mon. εὑρήσεις.

πᾶν τὸ γιγνόμενον ἐκ τῶν παλαιῶν συνταγμάτων, καὶ οἷς ἀπόνως, καὶ ὅτε τὶς βούλεται, καὶ ὡς βούλεται, ῥᾷστ' ἔξεστι συνεῖναι καὶ χρῆσθαι πρὸς τὸ παρεμπῖπτον ἀεὶ τῶν πραγμάτων; καὶ οὐκ ἂν μήποτε περὶ παντὸς ὁτουοῦν δεῆσαν ἀτευκτεῖν εἴη κοινωνίας τοιαύτης, καὶ συμβουλῆς καὶ συμπράξεως ἐκ τῶν ἱστορικῶν θησαυρῶν, καὶ τῆς προεγκειμένης ταῖς [40]) βίβλοις παμπλήρους ἐπιλογῆς καὶ κτήσεως ἐπὶ πάσῃ χρείᾳ καὶ βουλευμάτων, καὶ βουλευτῶν. Καὶ ὁ μὲν Σωκράτης εἰς Πειραιᾶ κατιὼν καὶ πρεσβύτῃ τῷ Κεφάλῳ συγγινόμενος ἔλεγεν ἰέναι χρῆναι τοὺς νέους παρὰ τοὺς γέροντας, ὡς ἂν αὐτῶν διδάσκοιντο περὶ τῆς ὁδοῦ τοῦ βίου, ἥντινα δὴ πορευτέον, αὐτοὺς γὰρ καὶ καλῶς εἰδέναι, ἥντινα δεῖ καὶ μὴ, ἅτε προωδευκότας καὶ πεῖραν λαβόντας, καὶ πάντων ἂν δυναμένους περὶ τῆς ἀμείνονος ἐρεῖν. Ὅτε δὲ τοῦθ' οὕτως ἔχει, καὶ καλῶς Σωκράτης περὶ τούτου, εἰ δὲ βούλεταί τις, Πλάτων διὰ Σωκράτους εἰρηκὼς φαίνεται, πολλοῦ γε ἂν ἄξιον εἴη τὸ τῶν ἱστοριῶν χρῆμα, ἐξ ὧν οὐ τοῖς οὑτωσί πως ἁπλῶς πρεσβυτέροις καὶ προωδευκόσι καὶ πεῖραν ἔχουσιν, ἀλλ' ἄρα δὴ πολὺ μάλιστα τοῖς μετὰ πολλῆς ἀστειότητος καὶ συνέσεως καὶ πάντ' ἐπιτυχοῦς ἐμπειρίας ἔξεστι συνεῖναί τε καὶ ἀναμανθάνειν ἀσφαλῶς ἅπανθ' ἕκαστα, καὶ ὡς δεῖ χρῆσθαι τῷ βίῳ καὶ λέγοντας καὶ πράττοντας

40) τῆς πρ. ταῖς, C. Mon. τοῖς προεγκειμένοις ἐς.

τὰ βέλτιστα. Περὶ πάντων γὰρ οὕτως ῥᾷσ εὐπορίστως ἐστὶ λαμβάνειν ὑποθήκας ἐκεῖθεν καὶ περὶ πάντ' ἀνθρώπων τυγχάνειν συγγινώ τῶν μὲν τὰ, τῶν δὲ τὰ, καὶ ἄλλων περὶ ἀλλα καὶ κάλλιστ' ἐχόντων ἰσχυρίζεσθαι, περὶ ὧν ἐ καὶ αὐτοὶ πεπείρανται, καὶ κατ' οὐδὲν μήποτ ἐπιλείψει τῷ ποθοῦντι τῶν ἐν χρείᾳ· ἀλλὰ πάντα φέρων ὁ χρόνος προήνεγκε καὶ προεσκευάσατο, καὶ πάντα φέρων ὡς ἐν ἀσύλοις ταμείοις τῇ μνήμῃ διὰ τῶν βιβλίων ἐνέθετο ἑτοίμην καὶ ἄπονον κτῆσιν, οἷς ἔδει, καὶ ὧν ἂν δεῖ μάλιστ' ἐκ προχείρου χρῆσθαι. Καὶ τοίνυν ὅστις νοῦν ἔχοι, οὐκ ἀφεκτέον ἂν εἴη τῆς χρήσεως τῆσδε καὶ τῶν θησαυρῶν τῶνδε, ἀλλὰ, καθ' ὅσον οἷόν τέ ἐστιν, ἐπιμελητέον ἐνταῦθα καὶ σπουδαστέον βαθεῖ πλούτῳ τῶν ἐκ τῆς ἱστορίας κερδῶν συνεῖναι τὲ καὶ συμβιοῦν ἴσως ἂν καὶ ἄλλοις μεταδιδόντες ἐντεῦθεν, οὐχ ἡμεῖς αὐτοὶ μόνοι χρώμενοι τῶν ἑκάστοτε χρησίμων εὖ μάλ' ἂν χρῴμεθα καὶ φιλάνθρωποί τινες εἴημεν, καὶ οὐ μόνον θαυμάζειν ἄξιοι τῆς πολλῆς κτήσεως καὶ τῶν μακρῶν οὐσιῶν, καὶ ὄνσως ἀμείνους ἂν εἶεν οἱ ξυνιέντες καὶ θαυμάζειν ἀξιοῦντες τῶν ἄλλως 41) ἐχόντων, καὶ πλεῖστη βιούντων ἀμαθίᾳ τὲ καὶ ἀπραγμοσύνῃ καὶ νωθρείᾳ πάσης συνέσεως. Καὶ μὴν εἰ ἄρα δὴ κέρδος ἐστὶ, καὶ γὰρ εὐκταῖον ὄντως τὸ μακρότερον, ἢ κατὰ πολλοὺς βιῶσαι καὶ χρήσασθαι

---

41) ἄλλως, Cdd. Aug. et Mon. ἄλλων.

ζωῇ, καὶ πολλῶν ἀνθρώπων καὶ πολλῶν πραγμάτων καὶ παντοίων πεῖραν λαβεῖν καὶ κατοπτεῦσαι, καὶ δύνασθαι νεωτέροις περὶ πολλῶν ἀφηγεῖσθαι. Καί τινες ἤδη γε μακάριοί τινες ἔδοξαν ἢ δι' ἐμπορείας χρείαν, ἢ διὰ πρεσβείας, ἢ διὰ ἱστορίας ἔρωτα, ἢ ὅπως δῆτ' ἄλλως ἄρα ἀποδημήσαντες τῶν οἴκοι καὶ συνήθων πόῤῥω, καὶ ξυντυχόντες πλείστοις ἀνθρώποις καὶ πλείστοις πράγμασι, καὶ τἀκείνων ἐπανιόντες ἀγγέλλοντες· ὅσον δῆτ' ἄρα τὸ παρὰ τῆς ἱστορικῆς συλλογῆς καὶ πείρας πολυμαθὲς ἡγήσασθαι χρὴ, καὶ τὴν ἐποπτείαν τῶν ἀπ' αἰῶνος πραγμάτων, καὶ ὅσ' ἐγγὺς καὶ ὅσα πόῤῥω κατ' ἀμφότερα καὶ τόπον καὶ χρόνον, καὶ τὸ πάνθ' ἕκαστα τρανῶς ἔχειν ἐκδιηγεῖσθαι, καὶ ὑπ' ὄψει τίθεσθαι, οἷς ἂν βούλοιτο, καὶ ὅσα, καὶ οἷα, καὶ ὅτε βούλοιτ' ἄν, καὶ ὡς ἂν [42]) ἤδη νῦν ἐκεῖθεν ἐπιδεδημηκὼς ἀμέλει. Καὶ πῶς οὐκ ἄν τις τόν γε τοιοῦτον μακροβιώτατον ἀνθρώπων τὸν τρόπον τοῦτον λέγων εὐστόχως τὲ καὶ [43]) κατὰ καιρὸν εἴη λέγων; οὐδὲν γὰρ ἄλλ' ἢ παρ' ἑκάστοις ὅ γε τοιοῦτος, ὥσπερ ἐπιξενωθεὶς δόξαι [44]) ἂν καὶ συγγεγονὼς, καὶ κοινωνήσας τοῖς μὲν βουλευμάτων καὶ πολιτευμάτων, τοῖς δὲ πολεμίων ἔργων, τοῖς δὲ σοφίας, καὶ περὶ τὴν σοφίαν σπουδῆς, τοῖς δὲ τρυφῆς ἁπάσης, καὶ ῥαστώνης,

---

42) καὶ ὡς ἂν, C. Aug. non habet.

43) καὶ, omittit C. Aug.

44) δόξαι, C. Aug. δόξαν.

καὶ βίων ὑγρῶν καὶ πάσης ἀπολύτων φροντίδος, τοῖς δ' ἄλλοις ἄλλων ὡντινωνοῦν, καὶ πάντ' οἷός τ' ὢν ἀφηγεῖσθαι τοῖς μὴ κατιδοῦσιν, ἡδὺς ὢν εὖ μάλα τοῖς χρωμένοις, καὶ ποθεινὸς ἐντυχεῖν, ἡδὺς δ' ἑαυτῷ μάλιστα, καὶ οἶδεν ὅςτις ἀμέλει πεπείραται, καὶ οὐκ ἂν μήποτ' ἥδιον ὡς ἀληθῶς εἴη τῆς ἕξεως ταύτης ἀνδρὶ νοῦν ἔχοντι, καὶ δυναμένῳ ξυνιέναι, τί κάλλισθ' ἡδὺ, καὶ τί ποτ' ἂν εἴη τῆς ζωῆς ὄφελος; ὃς δ' ἂν μὴ εἰδείη, ὄνος κάθηται κατὰ τὴν παροιμίαν, ἀποτυχὼν, καὶ βουκολεῖ βόας αὖ, καὶ τοῦτο μετὰ τῆς παροιμίας, μηδὲν ἐπιστρεφόμενος τῶν βελτίστων, μηδὲ ξυνορῶν, ὅ τί ποτ' ἂν εὖ εἶναι δύναιτο, καὶ ὄντως ἐνεργὸς τῇ ζωῇ, ἀλλ' ὡς φόρτος ἄλλος ἐπικείμενος τῇ γῇ, λίθος, ξύλον, ἢ ἄλλό τι τῶν ἀψύχων ἀχθος αὐτῇ, καὶ λῆρος ἂν ἴσως εἴη, καὶ πονεῖν τἄλλως τοῖς γε τοιούτοις ἐπαντλεῖν, περὶ ὧν νῦν ὁ λόγος, καὶ προδιδάσκειν περὶ ὧν ἐπαΐειν οὐ δύνανται, ἢ οὐχ αἱροῦνται βασκαίνοντες ἴσως, καὶ δὴ κατὰ τὸν λόγον αὖθις θύρας αὐτοῖς ἐπιθέσθαι βεβήλοις οὖσιν ἐπειπόντες καὶ ἀποκλείσαντες 45) σφίσι τὰ πολλῶν ἄρα τοῖς ξυνιεῖσι τιμώμενα τοῦ λοιποῦ παυσαίμεθα περὶ τούτου.

---

45) ἀποκλείσ., C. Mon. ὑποκλείσαντες.

ΚΕΦ. ριβ'.

Περὶ τοῦ ἀνιδρύτου καὶ μὴ διαρκοῦς εἰς τέλος τῶν ἀνθρωπίνων πραγμάτων ἐξ ὑποδειγμάτων.

Ἔννοιά μοι πολλάκις ἐπῆλθε καὶ λογισμὸς οὑτοσὶ, ὅτι δὴ, καθάπερ ἐπ' ἀνδρὸς ἑκάστου, μᾶλλον δὲ καὶ ζώου τινὸς ὅλως ἑκάστου κατὰ φύσιν ἑπόμενον ὁρᾷν ἐστιν, ὅτι δὴ γίγνεται τὴν ἀρχὴν ὥςπερ ἐπὶ ῥητοῖς, καὶ πρόεισιν εἰς ὅσον δέδοται, κἄπειτα πρὸς τοῖς ὅροις γενόμενος τελευτᾷ τὸν βίον καὶ μεταλλάττει καὶ θνήσκει, τὸν αὐτὸν ἀμέλει τρόπον καὶ ἐπὶ τῶν ἐθνῶν καὶ τῶν πόλεων τὸ ἐξ ἀρχῆς ὁρῶμεν ξυμβαῖνον. Πλεῖστα γὰρ ἔθνη καὶ πόλεις πάνυ τοι πλεῖσται ζωῇ καὶ βίῳ μέχρι πολλοῦ χρησάμενα καὶ διαρκέσαντα περιφανῶς τὴν προθεσμίαν ἔοικε τῆς τελευτῆς οὐ παρέδραμεν, ἀλλ' ἐν ἀκμῇ τέως πομπεύοντα τῷ βίῳ, καὶ μετὰ μεγάλης τῆς φήμης καὶ τοῦ κλέους ἐπὶ πάσης, ὡς [1]) εἰπεῖν, βοώμενα τῆς γῆς, καὶ μυρίας τυχόντα δόξης, ὡς ἧκεν ἡ κυρία καὶ τὸ πέρας ἐμοὶ δοκεῖν ἀπήντησε τῶν ὅρων, εἶτ' ἀπήλλαξεν αὐτόθεν εἴξαντα ἡ φθορᾷ, καὶ τοῖς ὁρῶσιν, ἐν οἷς ἦσαν, καὶ πλεῖστον ἦσαν ἰσχύοντα, ἀπιστεῖται σχεδὸν, εἰ ἄρα καὶ ἦσαν· οὕτω κάκιστα τελευτῶντα παντάπασιν ἀπήλλαξε, καὶ πρὸς τὰς περὶ αὐτῶν συγγραφὰς, οἷς νῦν ὁρῶμεν, χώραν ἔχομεν οὐκ ἀναμφηρίστως πείθεσθαι,

---

1) ὡς, deest in C. Aug.

ἀλλ' ἐνίοτε πρὸς ἄνδρας ἐλλογίμους, καὶ ἐμμέλειν περὶ τῆς ἀληθείας ἐν τοῖς συντάγμασι πάνυ τοι πεπείσμεθα, ἀμφιγνοεῖν προαγόμενοι καὶ πρὸς τὸν δρόμον τῆς ἱστορίας ἀντιτείνειν ὅσα καὶ ἐκ τῶν φαινομένων οὐκ εὖ μάλ' ἀξιοῦντες ἕπεσθαι. Ἀλλ' ἔστι γε μὴν τοῦτ' ἄρ', ὡς ἔφην, ἐπιλογίζεσθαι, ὅτι τὸ θανάσιμον μορίδιον ἑκάστοις ἔπεισι τῇ φορᾷ τοῦ χρόνου, μᾶλλον δ' ὥςπερ ὄφλημα ἀπαραίτητον ἀποδίδοται τῷ χρόνῳ, καὶ τοῖς ἄνωθεν τῇ προνοίᾳ ψηφισθεῖσιν ὅροις καὶ δόγμασι. Καὶ οὐκ ἔστιν ἐνταῦθα λοιπὸν ἐκλογισμός τις καὶ ἀποφυγή, ἀλλ' ὥσπερ ἄτρεπτός τις ἐπίτροπος τῶν γραμμάτων, καὶ τῶν μέτρων τῆς προνοίας καὶ τοῦ κοσμικοῦ τοῦδε [2]) θεάτρου νομεὺς, καὶ τῶν πομπευόντων θεωρῶν καὶ τῶν ἀγωνιστῶν ἑλλανοδίκης, ὥςπερ ἐν Ἤλιδι κατὰ τὰ [3]) Ὀλύμπια τὸ παλαιὸν εἶχε, καὶ ἐν Ἰσθμῷ τῆς Πελοποννήσου καὶ ἄλλοις οἱςτισινοῦν, ὁ χρόνος πᾶσιν ἐπιστατῶν παρεπόμενος διανέμει τοὐπιβάλλον ἑκάστοις. Καὶ οὐκ ἔστιν ὑπεραρθῆναι τὸ μέτρον ἢ ἀρχομένους ἢ περαίνοντας, οὐδ' ὑπερβάθμια φέρεσθαι, οὐδὲ πλεῖν ἢ τὰ ἐσκαμμένα καὶ οἱ ὅροι ξυγχωροῦσιν ἅλλεσθαι, οὐδ' εἰ βουλομένοις εἴη, οἷόν τ' ἄν ποτ' εἴη, οὐδ' ἂν πάντα πράγματα γίγνοιτο. Ἀλλὰ νῦν μὲν οἵδε δή τινες ἀπολαύσαντες τοῦ βιωτικοῦ θεάτρου τὸ

2) τοῦδε, C. Mon. τοῦ.

3) τὰ, ignorant Cdd. Aug. et Mon.

ϑεδομένον καταπαύουσιν αὐτίκα μηδὲν ἀντιτείνοντες πρὸς τὸν ἐπιστάτην περὶ τῶν δικαίων, νῦν δὲ οἵδε δή τινες ἄλλοι ὥςπερ ἐκ προῤῥήσεως ἀνίστανται, νῦν δὲ οἵδε δή τινες ἄλλοι πρὸς τῇ ἀκμῇ 4) τῆς χρήσεως καὶ τῆς θεατρονομίας εἰσί· καὶ οἱ μὲν ἐπὶ τάδε τοῦ κόσμου καὶ τοῦ θεάτρου τῆς οἰκουμένης, οἱ δ' ἐπὶ τάδε, καὶ ἄλλοι ἐπ' ἄλλα, καὶ πάνθ', ὡς ἔφην, ἔοικεν ὡρίσθαι καὶ λαμβάνειν ἀρχὴν, καὶ πέρας λαμβάνειν ἀπαραλόγιστον. Καὶ τῆς βιοτῆς οἱ δρόμοι, καὶ τὰ τέλη ταῖς καταγραφαῖς τῶν διακόνων τοῦ χρόνου καὶ γραμματέων τῆς ἐπιτροπῆς καὶ ἐπιστασίας αὐτοῦ διὰ τῶν βιβλίων, ὧν εἰς αὐτὸν ἄρα τὸν 5) ἐπιστάτην χρόνον ταμιεύουσι, καὶ παριόντων ἀμέλει τῶν ἀγωνιστῶν ἐκείνων καὶ θεωρῶν ἑξῆς δηλοῦνται, καὶ τοῖς μὴ κατιδοῦσιν ἔστιν ἐντεῦθεν ἐπιλογίζεσθαι καὶ καταριθμεῖσθαι τὰ φθάσαντα, ἀλλ' οὐκ ἐξ ὧν ὁρῶσιν αὐτοὶ πιστοῦσθαι· οὕτω δὴ πολὺ τὸ ἀνίδρυτον καὶ ὀλιγαρκὲς καὶ κατεστενωμένον μηδὲ μόνιμον, μηδὲ μακρόβιον τῶν ἀνθρωπίνων. Καὶ πολλὰ διὰ τῶν ἱστοριῶν τῇ μνήμῃ παραλαμβάνοντες πείθειν μὲν ἑαυτοὺς ἔχομεν, καὶ προςέχειν τὸν νοῦν ὡς ἀληθέσι, καὶ ἀνιᾶσθαί γε μὴν ἴσως ἂν ἔχοιμεν, καὶ πάσχειν ἀμηγέπη ξυνδιατιθέμενοι πρὸς οἶκτον τῇ παραδρομῇ, καὶ ἀφανείᾳ, καὶ ταῖς συμφοραῖς τῶν οἰκο-

4) ἄλλοι — ἀκμῇ, C. Aug. ἄλλοι ὥςπερ ἐκ προῤῥήσεως τῇ ἀκμῇ.
5) ἄρα τὸν, C. Aug. non exhibet.

μένων, ὅσα γε εἰκὸς ἀνθρώπους ἐπ' ἀνθρω
πονηραῖς τύχαις καὶ φθορᾶς πέρατι κατὰ
ἀλγεῖν ἐστι, καὶ πλήττεσθαι τὰς καρδίας.
γὰρ νῦν εἰσὶν Ἑλλήνων ἐκεῖνα τὰ πάλαι
καὶ μεγάλης φήμης καὶ μνήμης ἐν συγγρα
καὶ ποιήμασιν; ἐκεῖθεν γὰρ ἀρκτέον ἐκ
οἰκείων κατὰ φύσιν ὑμῖν· ποῦ νῦν Μυκῆναι
ποῦ Μεγάλη πόλις; ποῦ Σικυών; ποῦ τὸ
κλέος οὐ Πελοποννησίων μᾶλλον, ἢ καθόλ
γε τῶν Ἑλλήνων Σπάρτη, καὶ Λακεδαιμονι
ἀξίωμα καὶ στρατηγήματα; ποῦ Κνωσσὸς
Κρήτῃ; ποῦ παρὰ Σικελοῖς Συράκουσαι;
Θετταλικὴ Λάρισσα; ποῦ παρὰ Βοιωτοῖς Ἀλια
τος καὶ Χαιρώνεια; ποῦ νῦν ἡ περιμάχητος Ἕλ
λησι καὶ Μακεδόσιν Ἀμφίπολις; ποῦ Μακεδόνων
Πέλλαι, καὶ Κλεωναί, καὶ Ἀπολλωνία, καὶ Αὔ
δηρα 7), καὶ ἄλλαι πλεῖσται; καὶ οὐκ ἔχομεν
ἀνάγκην καταλέγειν ὀνόματα, ἴσως γε μὴ
οὐδ' ὀνόματα τῶν πλειόνων ἐν μνήμῃ
ἀλλ' ἐρημία πᾶσα καὶ λήθη καὶ φθορὰ
πανώλεια μὴ τῶν πραγμάτων μόνων, ὧν ἤσαν
πάλαι, ἀλλ' ἄρα δὴ καὶ τῶν ὀνομάτων αὐτῶν.
Ποῦ δ' αἱ περιφανεῖς τῆς Ἰωνίας πόλεις, καὶ
τὰ μυρίας δόξης περὶ αὐτῶν ἀκούσματα, Ἔφε
σος ἐκείνη, καὶ Κολοφών, καὶ Ἐλαία, καὶ
Σμύρνα, καὶ Πριήνη, καὶ Ἴος, καὶ Κλαζομεναί;
ποῦ δ' Ἁλικαρνασός; ποῦ δ' Ἀφροδισιάς; καὶ

6) Μυκῆναι, C. Mon. Μηκῦναι, mendose.

7) Αὔδηρα, h. e. Abdera, nam υ et β saepe permutantur.

Κνίδος; ποῦ τὰ κατὰ πάσης τῆς οἰκουμένης ᾄδῃ μυρίᾳ πομπεύοντα, Σάρδεις ἐκεῖναι, καὶ Λύστρα, καὶ Ἀμμόριον [8]), καὶ Γάβαλα, καὶ Σόλοι, καὶ Σαλαμὶς ἐν Κύπρῳ, καὶ Κίττιον, καὶ Φοινίκης αἱ μέγισται πόλεις ἐκεῖναι, καὶ Παλαιστίνης [9]), καὶ Αἰγύπτου Μέμφις καὶ Θῆβαι καὶ Ἡλιούπολις; ποῦ τῶν πόλεων ἡ περιδοξοτάτη καὶ περιφανὴς Ἀντιόχεια; ποῦ Τύρος, ἣ τῇ μεγάλῃ τύχῃ, καὶ ῥώμῃ, καὶ φήμῃ, καὶ τῷ δρόμῳ τῆς στρατηγίας Ἀλεξάνδρου πλεῖστα παρέσχε πράγματα; ποῦ τὸ παρὰ βαρβάροις ἑλληνικώτατον ἄστυ Κυρήνη καὶ Πεντάπολις τὸν ἀεὶ χρόνον ἐν τοῖς ἀλογωτάτοις ἔθνεσι μέσον ἑλληνικῆς ἀκρότου [10]) γλώττης καὶ χρήσεως, ὥςπερ ὁ μῦθος ἱστορεῖ διὰ μέσης θαλάττης καὶ πλείστης ἁλμυρᾶς διαστάσεως ποταμὸν ῥέοντα καὶ διιόντα ποτίμου νάματος; ποῦ Καρχηδὼν, ἡ τῆς Ἀφρικῆς μητρόπολις, καὶ οὐ τῆς Ἀφρικῆς μᾶλλον ἢ καὶ πάσης Λιβύης, ἡ μεγάλη καὶ μεγαλώνυμος κατὰ τῆς οἰκουμένης ἁπάσης καὶ πλείστοις ἔθνεσι καὶ μεγίστοις, οὐ βαρβαρικοῖς

---

8) Ἀμμόριον, fortasse legendum Ἀνεμούριον cum Strab. XIV. p. 669. et aliis. Peutinger tamen Tab. 9. F. Ammurium, quod Tzschucke ad Pomp. Mel. II, 13. p. 424. vitiose scriptum putat.

9) Παλαιστίνης, quum Theodorus antea cuique terrae addiderit vrbes, verisimile videtur, Hierosolyma h. l. excidisse vel Antiochiam intellexisse postea commemoratam. cf. Cellar. Geogr. III. c. 4. p. 187.

10) ἀκρότου, sic Cdd. Mon. Aug. et Paris. Germ. sed C. Paris. Reg. ἀκράτου.

μόνον, ἀλλὰ καὶ ἑλληνικοῖς πόλλ' ἑξῆς ἔτη, τῇ μεγάλῃ τύχῃ καὶ τῷ κράτει Ῥωμαίων ἁ μιλλος συναεθλεύσασα, καὶ τοὺς περὶ τῆς ἀ πάντων σχεδὸν ἀνθρώπων ἀγῶνας ἀποδυσαμ οὐδ' εἴ ποτ' ἦν, οὐδ' ὅποι ποτ' ἦν [11]), πολλοῖς ἔγνωσται, καὶ οὐ τοῖς πολλοῖς τῶν ἀ θρώπων φημὶ, ἀλλ' ἔγωγε οἶμαι καὶ τῶν ἐλ γίμων πολλοῖς καὶ τῇ περὶ σοφίαν προςεσχη των σπουδῇ. Καὶ τί με δεῖ πλείω περὶ τοιο ἔτι τρίβειν καὶ καταριθμεῖσθαι καὶ περιε μάτην ἴσως, καὶ οἷς ἂν πλείστοις ἡ μνήμη σ ροι, ἐκ γὰρ τῶν εἰρημένων οἶμαι τοῦ λό νῦν ὁ σκοπὸς δῆλος καὶ ἀποχρώντως ἔχει, κ πλεῖν ἴσως, ἃ καὶ εἴρηται. Καὶ σαφὲς εὖ γε δὴ μάλα, ὅτι καθάπερ ἐπὶ τῶν ἀνθρώπων καὶ ἐπὶ πάντων ζώων ὁρῶμεν, ὡς τὰ μὲν θνήσκει, τὰ δ' ἀνίσταται καὶ πρόεισι καὶ βιοῖ, τὸν αὐτὸν, ὡς ἔφημεν, ἔχει τρόπον, καὶ περὶ τῶν ἐξ ἀρχῆς κατ' ἀνθρώπους γενῶν τε καὶ ἐθνῶν, καὶ πό λεων καὶ ἀρχῶν ἄλλα μετ' ἄλλα θνήσκει κα φύεται· καὶ ἔοικεν, ὥςπερ ἐπὶ τῶν ἀειθαλῶν φυτῶν, ὡς ἀεὶ μὲν φυλλοῤῥοεῖ, ἀεὶ δὲ καὶ φύει καὶ τηρεῖ καὶ ἐπιφέρεται φύλλα χλοάζοντα. παραπλησίως ἔχειν καὶ ἐπὶ τῶν κατὰ τὸν βίον πραγμάτων, τὰ μὲν παρέρχεσθαι τῶν ἀνθρω πίνων, τὰ δὲ μένειν, τὰ δὲ φθίνειν, τὰ δ' ἐκ φύεσθαι, καὶ τὸν ἀεὶ χρόνον οὕτω κύκλῳ καὶ κατὰ διαδοχὰς χορεύοντα, τὸ καθόλου μένειν

11) οὐδ'—ἦν, desunt in C. Mon.

ιως, μᾶλλον δὲ [12]), ὥςπερ οἱ φυσικοὶ φασὶ,
ὶς κατὰ μέρος γενέσεις καὶ φθορὰς ἐπὶ τοῦ
ντὸς ὁρᾶσθαι, καὶ τῶνδέ τινων φθασάντων
σα τῷ εἶναι τὴν φθορὰν ἄλλων ἀμέλει [13]) κατὰ
έρος αὖθις παρέχεσθαι γένεσιν, καὶ ἀεὶ φθορᾷ
υλεύειν τὰ κατὰ φύσιν καὶ ἀεὶ γίνεσθαι το
έρος, καὶ ἀεὶ καθόλου μένειν τῷ παντί· τὸν
ὐτὸν ἄρα τρόπον καὶ ἐπὶ τῶν τοῦ κόσμου καὶ
ῶν ἀνθρωπίνων πραγμάτων ἔξεστιν ὁρᾶν ἐκ
αδοχῆς, τὰ μὲν ὄλλυσθαι καὶ παραῤῥεῖν ἔθνη,
αὶ πόλεις, καὶ ἀρχὰς τέως ἀνθήσαντα, καὶ
άλλιστ᾽ ἐνακμάσαντα, καὶ διαρκέστατα, τὰ
ἐπ᾽ ἐκείνοις γίγνεσθαι καὶ τῇ αὐτῶν οὐσιοῦ-
θαι φθορᾷ, καὶ μεταλαμβάνειν τὴν εἰς τὸν
ίον πρόοδον καὶ μονὴν καὶ χώραν μέχρι τῶν
ρισμένων αὖ μέτρων, καὶ μετ᾽ ἐκεῖνα λοιπὸν
ὖ ἕτερα, καὶ τοῦτ᾽ ἀεί.

ΚΕΦ. ριγ΄.

Περὶ Ἑλλήνων, καὶ ὅτι οὐκ ὄγκῳ πράξεων ἢ τύχης περιφανεῖς ἦσαν τὸ ἐξ ἀρχῆς, ἀλλ᾽ ἀστειότητι φύσεως, καὶ ἤθους καὶ γνώμης εὐγενείᾳ.

Τὰ τῶν Ἑλλήνων μοι δοκοῦσι πράγματα
εὐγενείᾳ μὲν ἤθους καὶ φύσεως ἀστειότητι τὸ

---

12) μᾶλλον δὲ, in C. Mon. post μᾶλλον spatii aliquid relictum: deinde comma positum, quod iterum aliquid spatii sequitur. In Cdd. Paris. nulla apparet lacuna.

13) ἀμέλει, C. Mon. καὶ ἀμέλει.

μόνον, ἀλλὰ καὶ ἑλληνικοῖς πόλλ' ἐξῆς ἔτη, ι
τῇ μεγάλῃ τύχῃ καὶ τῷ κράτει Ῥωμαίων ἁ
μιλλος συναεθλεύσασα, καὶ τοὺς περὶ τῆς ἀ
πάντων σχεδὸν ἀνθρώπων ἀγῶνας ἀποδυσαμ
οὐδ' εἴ ποτ' ἦν, οὐδ' ὅποι ποτ' ἦν 11), ι
πολλοῖς ἔγνωσται, καὶ οὐ τοῖς πολλοῖς τῶν ἀ
θρώπων φημὶ, ἀλλ' ἔγωγε οἶμαι καὶ τῶν ἐλ
γίμων πολλοῖς καὶ τῇ περὶ σοφίαν προςεσχη
των σπουδῇ. Καὶ τί με δεῖ πλείω περὶ τούτ
ἔτι τρίβειν καὶ καταριθμεῖσθαι καὶ περιστ
μάτην ἴσως, καὶ οἷς ἂν πλείστοις ἡ μνήμη
ροι, ἐκ γὰρ τῶν εἰρημένων οἶμαι τοῦ λόγ
νῦν ὁ σκοπὸς δῆλος καὶ ἀποχρώντως ἔχει, κ
πλεῖν ἴσως, ἃ καὶ εἴρηται. Καὶ σαφὲς εὖ γε δ
μάλα, ὅτι καθάπερ ἐπὶ τῶν ἀνθρώπων καὶ ἐπὶ
πάντων ζώων ὁρῶμεν, ὡς τὰ μὲν θνήσκει, τὰ
δ' ἀνίσταται καὶ πρόεισι καὶ βιοῖ, τὸν αὐτὸν
ὡς ἔφημεν, ἔχει τρόπον, καὶ περὶ τῶν ἐξ ἀρ
κατ' ἀνθρώπους γενῶν τε καὶ ἐθνῶν, καὶ π
λεων καὶ ἀρχῶν ἄλλα μετ' ἄλλα θνήσκει τὰ
φύεται· καὶ ἔοικεν, ὥςπερ ἐπὶ τῶν ἀειθαλῶν
φυτῶν, ὡς ἀεὶ μὲν φυλλοῤῥοεῖ, ἀεὶ δὲ καὶ φύ
καὶ τηρεῖ καὶ ἐπιφέρεται φύλλα χλοάζοντα
παραπλησίως ἔχειν καὶ ἐπὶ τῶν κατὰ τὸν βίο
πραγμάτων, τὰ μὲν παρέρχεσθαι τῶν ἀνθρω
πίνων, τὰ δὲ μένειν, τὰ δὲ φθίνειν, τὰ δ' ἐπι
φύεσθαι, καὶ τὸν ἀεὶ χρόνον οὕτω κύκλῳ κα
κατὰ διαδοχὰς χορεύοντα, τὸ καθόλου μένει

---

11) οὐδ' — ἦν, desunt in C. Mon.

ως, μᾶλλον δὲ [12]), ὥςπερ οἱ φυσικοὶ φασὶ, ; κατὰ μέρος γενέσεις καὶ φθορὰς ἐπὶ τοῦ ντὸς ὁρᾶσθαι, καὶ τῶνδέ τινων φθασάντων α τῷ εἶναι τὴν φθορὰν ἄλλων ἀμέλει [13]) κατὰ ρος αὖθις παρέχεσθαι γένεσιν, καὶ ἀεὶ φθορᾷ υλεύειν τὰ κατὰ φύσιν καὶ ἀεὶ γίνεσθαι το ρος, καὶ ἀεὶ καθόλου μένειν τῷ παντί· τὸν ιτὸν ἄρα τρόπον καὶ ἐπὶ τῶν τοῦ κόσμου καὶ ῶν ἀνθρωπίνων πραγμάτων ἔξεστιν ὁρᾶν ἐκ αδοχῆς, τὰ μὲν ὄλλυσθαι καὶ παραῤῥέειν ἔθνη, κὶ πόλεις, καὶ ἀρχὰς τέως ἀνθήσαντα, καὶ ἱλλιστ᾽ ἐνακμάσαντα, καὶ διαρκέστατα, τὰ ἐπ᾽ ἐκείνοις γίγνεσθαι καὶ τῇ αὐτῶν οὐσιοῦ-θαι φθορᾷ, καὶ μεταλαμβάνειν τὴν εἰς τὸν ίον πρόοδον καὶ μονὴν καὶ χώραν μέχρι τῶν ρισμένων αὖ μέτρων, καὶ μετ᾽ ἐκεῖνα λοιπὸν ὖ ἕτερα, καὶ τοῦτ᾽ ἀεί.

ΚΕΦ. ριγ΄.

Ιερὶ Ἑλλήνων, καὶ ὅτι οὐκ ὄγκῳ πράξεων ἢ τύχης περιφανεῖς ἦσαν τὸ ἐξ ἀρχῆς, ἀλλ᾽ ἀστειότητι φύσεως, καὶ ἤθους καὶ γνώμης εὐγενείᾳ.

Τὰ τῶν Ἑλλήνων μοι δοκοῦσι πράγματα εὐγενείᾳ μὲν ἤθους καὶ φύσεως ἀστειότητι τὸ

---

12) μᾶλλον δὲ, in C. Mon. post μᾶλλον spatii aliquid relictum: deinde comma positum, quod iterum aliquid spatii sequitur. In Cdd. Paris. nulla apparet lacuna.

13) ἀμέλει, C. Mon. καὶ ἀμέλει.

ἐξ ἀρχῆς ἄρισθ', ὡς εἰπεῖν, οὐσιοῦσθαι¹),
τούτοις δὴ κάλλιστ' ἀκούειν ἐπὶ πάντων ἀν-
πων καὶ πάσης τῆς γῆς, καὶ λαμπροὶ λαμ-
τῇ φήμῃ πάντῃ χωρεῖν, μεγάλοις δ' ἔργοις
δυναστείας τινὸς κράτει μὴ πολλῶν ἄλλων εἰ-
πολὺ διενεγκεῖν, ἄλλων ἄλλα τῆς οἰκου-
νης ἐχόντων, ὧν οὐδεὶς ἢ βραχὺς ὁ λόγος
μνήμης τινὸς τὰ κατ' αὐτοὺς οὐκ ἠξιωμ-
Καὶ τοῦ²) μέν γε τῆς εὐγενείας φημὶ καὶ
κατὰ φύσιν δεξιότητος αἴτιον ἂν ἴσως εἴη,
γε ἄλλοις δῆτα, καὶ ὅτι τὰ μέσα τῆς οἰκου-
νης ὡς ἀληθῶς καὶ πρὸς ἕω καὶ πρὸς δυσμ-
καὶ πρὸς βοῤῥᾶν καὶ πρὸς νότον, ἣν οἰκοῦ-
Ἕλληνες, ἔχει γῆ, καὶ οὐκ ἂν ἔξω πάντως λόγου
εἴη βελτίονος τυγχάνειν κράσεως, καὶ οὐσίας
καὶ τοῦ καιρίου πρὸς τὸ εὖ εἶναι τοὺς αὐτ-
οἰκοῦντας, τὰς ὑπερβολὰς πάντοθεν ἐκφεύγ-
τας, αἷς ἀνάγκη τοὺς συνόντας παθαίνεσθ-
καὶ συνδιατίθεσθαι τῇ τῶν τοπικῶν ἕξεων ἐκ-
στων ἀκρότητι, καὶ ἀκμῇ πρὸς τὸ εὖ ὁπηοῦ-
καὶ ὡς ἑτέρως καὶ μὴ ξυμμέτρως ἔχειν. Τ-
γὰρ ἐναντίων τὰ ἐναντία πᾶσα ἀνάγκη κ-
φύσις ἡμᾶς καὶ πεῖρα διδάσκει, καὶ ὃς ἄρα πα-
τῆςδε τινὸς τῆς αἰτίας εὖ γε δὴ μάλιστα τῆ-
ἕξεως ἔχει, πρὸς τὴν ἐναντίαν ἀπομεμήκιστα

1) οὐσιοῦσθαι, Cdd. Aug. et Mon. οὐσιῶσθαι. sic etiam
Cap. super. ad extrem.

2) τοῦ μέν, C. Mon. rectius τοῦτο μέν.

3) τῆς, omittunt Cdd. Mon. et Aug.

ιὶ οὐχ οἷόν τ' ἔστι καὶ τῆς ἐκεῖθεν εὐγενείας
ιὶ χάριτος, εἰ ἄρα τις κἀκεῖθεν ἐστὶν, αὐτῷ
τεῖναι, ἀλλ' ἐξ ἀνάγκης ἕπεται καταβαρού-
νον καὶ πλεονάζοντα καθ' ἓν ὁτιοῦν ἐναν-
ου πρὸς λόγον ἐλλείπειν καὶ φέρεσθαι κατ'
σίαν τοὔλαττον, ὡς τὶ μὲν πλεονεκτεῖν ἐν-
ῦθα, τὶ δὲ μειονεκτεῖν ἐπὶ θάτερα, καὶ ἀνί-
ος καὶ ἀναρμόστως μάλιστα, καὶ παντὸς ἔξω
υθμοῦ καὶ λόγου κίρνασθαι. Τοῖς δ' Ἕλλη-
ν, ὡς ἔφην, τὸ ἀπὸ τῶν τόπων ἐπὶ τῆς οἰκου-
ένης καίριον καὶ μέσον ἀπὸ πασῶν τῶν ὑπερ-
ολῶν τὰς πάσης τῆς εὐγενείας συντελείας ἐν
αυτῷ φέρει, ὥστε καὶ μηδὲν ἄγαν κατὰ τὸν
αλαιὸν λόγον ἐπ' αὐτοῖς ὁρᾶσθαι, κἂν εἴ γε
ι κέρδος ὁπηοῦν καὶ πλέον κατὰ φύσιν, ὅθεν
ἦτ' ἄρα τοῖς γε ἄλλοις ἅπασι λυμαινόμενον,
τε μη κατὰ λόγον πλεονάζον. Ταῦτ' ἄρα καὶ
ῶν μὲν Ἕλληνες εἰσὶν ἀνδρικώτεροι καὶ λήμ-
ιατος καὶ τόνου πλείονος, τῶν δὲ τούτοις λεί-
ονται, καὶ τῶν μὲν ἀποχωροῦντες τοῦ χαύνου
αὶ θηλυπρεποῦς, τῶν δὲ τοῦ θηριώδους καὶ
ιτρέπτου πρὸς πᾶν εὔεικτον καὶ ἀγωγὴν τῷ
είῳ, καὶ τῶν μὲν εἰσὶ σοφώτεροι καὶ περι-
οίαις ὀξύτεροι, καὶ μάλιστ' ἢ κατ' ἐκείνους
πολύστροφοι ταῖς ἐπιβολαῖς, τῶν δ' ἐν τούτοις
τὰ δεύτερα φέρονται, καὶ νηπιάζειν ὥσπερ ἐοί-
κασι καὶ παιδευτῶν δεῖσθαι πρὸς τὸ τέλειον,
ὡς ἐντεῦθεν ἄρ' ἔμοιγε δοκεῖ καὶ τὸν παλαιὸν
περὶ αὐτῶν Αἰγυπτίων εἰρῆσθαι λόγον· αἰεὶ παῖ-
δες Ἕλληνες, Αἰγυπτίοις αὐτοῖς οἶμαι, ἢ οὐκ

οἶδ' οἷστισιν ἄλλοις παραβαλλόμενοι, καὶ μὲν αὖθις ἐρεῖν ἐνστατικώτερον καὶ μᾶλλον καὶ ἐλευθέριον καὶ ἀταπείνωτον νοῦντες, τῶν δὲ καὶ μετριώτερον, καὶ, ὡς εἰπεῖν, πάσης ἕξεως καὶ πάντων τῆς φύσεως πων κατὰ πάντα τῆς ψυχῆς μέρη, τό τε καὶ τὴν τοῦ ἀλόγου κατ' εἴδη δυάδα τὴν θυμίαν καὶ τὸν θυμόν. Καὶ μὴν καὶ τῶν ματικῶν πρὸς τούτοις πασῶν διαθέσεων ἔσχον Ἕλληνες, ὡς μὴ πάμπαν, ἥπερ ἀκράτως ἡρμόσθαι. Καὶ οὕτω μὲν τοῦθ', ἔφην, ἔχει, καὶ δι' ἥντινα γ' ἐμοὶ δοκεῖν αἰτίαν εἴρηται· τοῦ δέ γε δευτέρου τῶν ρημένων, ὅπως οὐδέν τι μέγα καὶ περιφανὲς αὐτῶν ἔργον, καὶ ῥώμης τινὸς καὶ ἀρχῆς κράτος ξυντετύχηκε τῷ κόσμῳ τὸ ἐξ ἀρχῆς, καὶ κατὰ τὸν ἀνθρώπινον βίον ἐχώρησε πομπῇ τινὶ καὶ περιφανείᾳ, καὶ περιουσίᾳ δόξης οὐδὲν αἴτιον οἶμαι, ἢ ὅτι κατὰ μέρη τῶν προτέρων ἐκείνων χρόνων καὶ ἰδιάζοντες ἕκαστοι διατετμημένως ταῖς πολιτείαις καὶ τοῖς ἤθεσιν ἐβιώσαν Ἕλληνες, καὶ συνέχεια τὶς κατ' αὐτοὺς ἀκμῆς καὶ κράτους, οὐχ ὅπως ἄρα ξυμβέβηκεν ὀττέ [4]). Ταῦτ' ἄρα καὶ ταπεινῶς ἔπραττον τῇ τύχῃ τὰ οἰκεῖα μόνον εὐνομούμενοι, καὶ μηδὲν περαιτέρω προϊόντες τῷ φρονήματι καὶ παρεκτεινόμενοι· μᾶλλον μὲν οὖν καὶ τοῦθ' ἔργον ἔχοντες καλῶς ἀπαλλάττειν, καὶ μὴ δυς-

4) ὀττέ, C. Mon. ὀτέ.

ζερῶς, μηδ' ἐπικινδύνως τῶν ἑκάστοτε κρατούντων ἐπὶ τῆς οἰκουμένης ἐθνῶν, καὶ τὸ ἀδέσποτον περισώζειν ἑαυτοῖς, καὶ τὸν ἐκ μακροῦ τῆς ἐλευθερίας κλῆρον σπεύδοντες. Καὶ τοίνυν γε παράλιοι πάντες σχεδὸν αὐτοί γε ᾤκουν τὸ ἑλληνικὸν, φεύγοντες ἔοικε καὶ ἀποχωροῦντες τὰ ἐκ τῶν ἀεὶ κραταιῶν ὕποπτα, καὶ πιστεύειν ἠξίουν μᾶλλον, ἢ τῇ γῇ, τῇ θαλάττῃ· οὐ γὰρ ἐπέβαινον θαλάττης τὸ ἀρχαῖον ἐκ τοῦ προχείρου, καὶ ῥᾷστα οἱ κατ' ἐκείνους τοὺς χρόνους ἐπὶ τῆς γῆς μάλιστ' ἰσχύοντες τῶν ἐθνῶν, οὔθ' ὅλως σχεδὸν τῶν κατὰ θάλατταν ἥπτοντο πραγμάτων, καὶ καθόλου γε τῶν χρόνων ὀψὲ τῆς θαλαττουργικῆς χρήσεως ἄνθρωποι ἐπιμέλειαν πεποίηνται πλείστην καὶ τῶν κατὰ τὴν θάλατταν πολεμίων ἔργων καὶ ναυμαχιῶν. Ταῦτ' ἄρ', ὡς ἔφην, τῆς εἰρημένης ἕνεκεν αἰτίας Ἕλληνες τῇ θαλάττῃ προσεῖχον, καὶ τοῦτο μὲν ᾤκουν παράκτιοι βραχύ τι πρὸς μεσόγαιον καὶ τῶν ἀπ' αὐτῆς τῆς θαλάττης ἔξω χωροῦντες δούπων, καὶ τῆς ἀπὸ τῶν κυμάτων ἀσχολίας καὶ τῶν ὄχλων μηδὲν ἐπαΐοντες, μηδὲ προςορῶντες ὅλως ναύσταθμα, μηδ' ἔχοντες ὁπηοῦν θαλάττῃ χρῆσθαι, κἂν εἰ παλαιστῇ καὶ δακτύλοις, ἤδ' [5]) οὖν καὶ σταδίων ὀλίγων ἀριθμῷ ἄλλοι ἄλλως ἀμηγέπῃ τῆς θαλάττης διΐσταντο, πάντες γε μὴν ὡς ἔγγιστα, καὶ πάντως οὐ πάνυ τοι πόῤῥω, καὶ τοῦτο μὲν αὐτῆς ἠπείρου τὰ

5) ἤδ'. οὖν, Cdd. Mon. et Aug. εἶδ' οὖν.

παρὰ θαλάττης, ὡς ἔφην, κλυζόμενα σχεδὸν ᾤκουν, τοῦτο δὲ [6]) τὰ κατὰ θάλατταν τεμάχια, καὶ ὥςπερ σπάσματα τῆς γῆς ἀνθείλοντο, καὶ οἰκήσιμον ἀνθρώποις ἐποιοῦντο τὴν θάλατταν, τὰς ἐν αὐτῇ νήσους ἡμερώσαντες ἐξ ἐρημίας τὸ πρῶτον, καὶ διαβάντες ἀνθρώποις δείξαντες χρησίμους· καὶ αὐτοί γε σχεδὸν ἁπάσας Ἕλληνες ᾤκησαν καὶ πρὸς ἀνθρωπίνην ὑποδοχὴν εἰργάσαντο καὶ κατεκόσμησαν, καὶ κατεπολιτεύσαντο. Καὶ οὐ μόνον ἄρα Κρήτη καὶ Λέσβος καὶ Εὔβοια καὶ Ῥόδος καὶ Σάμος καὶ Χίος [7]), καὶ ἄλλαι πᾶσαι νῆσοι περὶ τοὺς ἑλληνικοὺς τόπους καὶ τὸν Αἰγαῖον, καὶ μείζους [8]) καὶ μείους, ἀλλὰ καὶ τούτων αἱ πόῤῥωτέρω, καὶ τῶν ἄλλων πασῶν μείζους, Σικελία δὴ καὶ Κύπρος Ἑλλήνων ἦσαν χῶραι, καὶ πόλεις Ἑλλήνων πλείστας [9]) ἀνεῖχον, καὶ κατὰ τῶν Ἑλλήνων ᾠκοῦντο νόμιμα πᾶσιν ἄλλοις ἔθνεσι, καὶ πᾶσι βαρβάροις ἀνεπίβατοι τὸ ἀρχαῖον, πλὴν εἴ τινες ὕστερον κραταιοί τε καὶ τυραννικώτεροι γενόμενοι δεσποτικῶς αὐτῶν ἥψαντο καὶ συνῳκίσθησαν ἐπ' ἐνίων Ἕλλησι. Πᾶσαι δὲ τὸ πρῶτον οὐκ ἄλλους ἀνθρώπους ἢ Ἕλληνας ἔβοσκον, καὶ κτήμαθ' Ἑλλήνων ἦσαν· καὶ δοκοῦσιν, εἰ δή τί ποτ' ἄρ' Ἕλληνες ἐν [10]) ἀνθρώ-

---

6) τοῦτο δὲ, C. Mon. τοῦτο δή.

7) καὶ Εὔβοια — Χίος, desiderantur in C. Aug.

8) μείζους, C. Mon. τοὺς μείζους.

9) πλείστας, Cdd. Aug. et Mon. πλείας.

10) ἐν, deest in C. Mon.

τοις ἴσχυσαν, τοῦτ᾽ εἶναι, ὅτι γ᾽ ἐπὶ τῶν ἀρχαίων χρόνων πρὸς ἑαυτῶν πεποίηνται πᾶσαν τὴν θάλατταν, καὶ αὐτοὶ μάλιστα κατ᾽ αὐτὴν ἔπραττον, καὶ ὀλίγοι ταύτης ἐπέβαινον ἄλλοι, κατ᾽ ἐμπορίαν μόνον χρώμενοι, τὰ δὲ πάντα κατ᾽ αὐτὴν εἶχον Ἕλληνες. Καὶ ὥςπερ χώρα τὶς ἄλλη ἄλλοις ἂν ἔθνεσιν, οὕτω δὴ πᾶσα θάλαττα τῶν χρόνων ἐκείνων ὑφήπλωτο τῷ ἑλληνικῷ, καὶ κατ᾽ αὐτῆς Ἕλληνες εἶχον μόνοι πλεῖν ἢ κατὰ πάντας ἀνθρώπους τὸ ἐνεργὸν, καὶ παντὶ τῷ γιγνομένῳ κατ᾽ ἐξουσίαν Ἕλληνες ἐπ᾽ αὐτῆς ἔπραττον, καὶ πάντα ἐν αὐτῇ καὶ τὰ πάντων ὀλιγομήκη, μάλιστα νησίδια οἰκήσεις εἶχον, καὶ πόλεις ἑλληνικὰς, καὶ πολλάς γε οὕτως ἀλλήλων ἔγγιστα καὶ προςοίκους, ὡς ἄρα καὶ κατὰ τὴν ἤπειρον αἱ ἀγροτικαὶ πρὸς ἀλλήλας ἔχουσι συνοικίαν. Καὶ μεγίστας γε μὴν πόλεις, ἀλλ᾽ οὐ πλείστας μόνον εἶχον αἱ νῆσοι πᾶσαι, διὰ τὸ ἐξ ἀρχῆς εἰς τοῦτο τῶν Ἑλλήνων ἔθιμον· εἰωθότες γὰρ καὶ τὰ μέρη τηνικαῦτα ζῆν, καὶ νόμοις ἰδίοις ἕκαστοι τὰ κατὰ τὸν βίον ἀνύτειν, καὶ συχνοῖς ἀεὶ πολίσμασι μάλιστ᾽ ἢ κατὰ πᾶν ἔθνος ἄλλο ἐνόμιζον χρῆσθαι. Καὶ ὅσα γαρ ἔθνη καὶ μέρη τῆς γῆς πάλαι τε καὶ νῦν κοινοπολιτείαις εἵλοντο συζῆν, ἀλλ᾽ οὐ δεσποτικῶς ἄγεσθαι, πάντων μάλιστα τῶν ἄλλων πυκνότερον ταῖς πόλεσιν οἰκούμενα συλλογίζεσθαι καὶ καθορᾶν ἐστι. Καὶ διὰ ταύτην ἄρ᾽, ὡς ἔφην, τὴν αἰτίαν ὑφ᾽ Ἑλλήνων οἰκουμένης πάλαι πάσης τῆς θαλάττης, καὶ ἐν αὐτῇ παν-

τάπασιν ὀλίγα καὶ οὐκ ἀξιόλογα νησίδια μεγίστας οὐ πρὸς λόγον αὐτοῖς πόλεις εἶχον, καὶ τὰ [11]) πρὸς ἄλληλα ἔγγιστα, καὶ, ὡς εἰπεῖν, συνεχῆ. Καὶ τῶν χρόνων ἐκείνων τῶν Ἑλλήνων ἦν, ἧπερ ἔφην, τὸ τῆς θαλάττης κράτος, καὶ αὐτοὶ πρῶτοι καὶ μάλιστα τὰς θαλαττουργικὰς ἤσκησαν χρήσεις, καὶ τὰ ἐν ναυσὶ πολέμια μετεχείρισαν καὶ κατεστήσαντο, καὶ κατεσοφίσαντο, καὶ ἐνόμισαν ὁπηοῦν ἁπλοϊκώτερον μὲν καὶ ἀφελέστερον, καὶ ἀπραγμονέστερον τὴν ἀρχὴν, ὡς καὶ αὐτὸς Θουκυδίδης φησὶν, ἢ κατὰ τὴν ἐπικρατήσασαν χρόνοις ὕστερον ἐν τούτοις περίνοιαν καὶ τελειοτάτην ἕξιν, καὶ ταύτην γε ὑφ' Ἑλλήνων ὁδῷ προϊόντων ἀπὸ τῶν ἀτελεστέρων εἰς τἄμεινον καὶ τελειότερον, ὥσπερ δὴ φύσις ἐπὶ τῶν γεγονότων καὶ ἀεὶ γιγνομένων. Αὐτοὶ δ' οὖν ὅμως Ἕλληνες τῶν κατὰ θάλατταν ἐν ταῖς ναυσὶ πραγμάτων καὶ τῆς δι' αὐτῶν ἐργασίας τὴν χρείαν ἐν ἐπιμελείᾳ καὶ διὰ σπουδῆς πεποίηνται. Κρῆτές γε μὴν πρῶτοι τῶν ἄλλων Ἑλλήνων ἱστοροῦνται πλέον τῶν κατὰ θάλατταν ἰσχυροὶ, καὶ πλέον τῶν κατ' αὐτὴν ἀντιποιησάμενοι, ὡς ἐντεῦθεν ἄρ' οἶμαι καὶ τῇ παροιμίᾳ τὴν ἀφορμὴν δοῦναι· ὁ Κρὴς τὸν πόντον, ἐπὶ τῶν μὴ προσποιουμένων, ἀλλὰ κατειρωνευομένων ἁπάντων μάλιστ' ἔχουσιν οἰκεῖα καὶ ἰδιοπραγοῦσι. Καὶ Μίνως [12]) ἐκεῖνος τοῖς

11) καὶ τὰ, C. Mon. κατά.

12) Μίνως, C. Mon. Μίνωνος, hic et postea.

οιήμασιν ᾄδεται καὶ ταῖς ἄλλαις μετ' ἀλη-
θείας συγγραφαῖς ἀρχαιότερος τῶν ἄλλων Ἑλ-
λήνων νόμους πολιτικοὺς εὐγενῶς ἐν Κρήτῃ
καταστησάμενος πρῶτος αὐτὸς ἢ πάντες Ἕλλη-
νες, καίτοι μοναρχικῶς ἄγων τὰ τῆς νήσου,
καὶ πλεῖστον ἐπὶ θαλάττης ἰσχύσας, ἐξ οὗ δὴ
καὶ κατὰ διαδοχὴν ἐπὶ πλεῖστον ἀμέλει Κρῆτες
ἐθαλασσοκράτουν, καὶ τὰς κατὰ τὴν Ἑλλάδα
νήσους πρὸς ἑαυτῶν πεποίηντο σχεδὸν ἁπάσας
κράτιστοι τῶν ἄλλων καὶ τεχνικοὶ μᾶλλον ταῖς
κατὰ θάλατταν μάχαις γενόμενοι ἀνδρῶν ὁπλι-
τῶν καὶ νηῶν πλήθει, ὧν δὴ μάλιστ' αἴτιον ἡ
κατ' αὐτοὺς πολιτικὴ χρῆσις καὶ ἀγωγὴ καὶ τὰ
νόμιμα Μίνωος, τά τε ἄλλα κοσμίως τὲ καὶ
μετρίως ἔχοντα, καὶ ὡς ἂν αὐξῆσαι καὶ συν-
τάξαι κάλλιστα καὶ κρατύναι χώρας καὶ ἔθνους
πράγματα, καὶ δὴ καὶ περὶ τὰ πολέμια τοὺς
κατ' ἐκεῖνα πολιτευομένους ὁπλίζοντα κομιδῇ,
καὶ πολλὴν περὶ τὸ μάχιμον ἐπιμέλειαν ποιού-
μενα, ὥσπερ δὴ καὶ κατὰ ζῆλον ἐκείνων χρόνοις
ὕστερον Λυκοῦργος καὶ Λάκωνες παραπλησίως
ἐχρῶντο. Καὶ ὅλως ἅπασιν Ἕλλησιν ἀρχὰς καὶ
ὑποδείγματα πολιτικῆς εὐαγώγου, καὶ κέντρα [13])
φρονήματος, καὶ ὥστε τῶν πραγμάτων ἐῤῥωμε-
νέστερον ἀντιλαμβάνεσθαι Κρῆτες δοκοῦσι τὸ
ἐξ ἀρχῆς μάλιστα δοῦναι, καὶ πολὺ τῶν ἄλλων
Ἑλλήνων ἐπὶ τῆς θαλάττης αὐτοὶ πρῶτοι, κα-
θὼς ἔφην, ἰσχῦσαι· καὶ μετ' αὐτοὺς Ῥόδιοι

13) κέντρα, C. Aug. κέντρον.

δεύτεροι τοῖς ὑστέροις καὶ αὐτοὶ χρόνοις περὶ αὐτοὺς νήσους ἁπάσας ὑποποιησάμε καὶ πλούτῳ χρημάτων καὶ νηῶν καὶ νεωρίω κόσμῳ, καὶ ἄλλῳ παντὶ κόσμῳ τῆς σφετε πόλεως ἐπιφανεῖς καὶ γενόμενοι καὶ ἀκοιο πάντων Ἑλλήνων. Τὰ τελευταῖα δὲ μάλι τούτων ὕστεροι καὶ πάνυ τοι πλεῖν ἢ κατ' ἐ νους ἴσχυσαν ἐπὶ τῆς θαλάττης Ἀθηναῖοι μ τὰ Μηδικὰ καὶ τὴν ἐν Σαλαμῖνι ναυμαχί καὶ λαβόντες ἐκεῖθεν ἀφορμὰς εὐπραγίας ι μεγάλου λήμματος, εἰς ὅσον οἷόν τ' ἦν πλεῖστ ἑλληνικη μία πόλις, τὰ κατὰ θάλατταν ηὐξ θησαν, καὶ μεγάλοις ἀποστόλοις καὶ τῶν οἴκ πορρωτάτω λαμπροὶ λαμπρῶς ἱκνοῦντο, κα Αἴγυπτος, καὶ Φοινίκη, καὶ Κύπρος, καὶ Παμ- φυλία, καὶ Εὐρυμέδων νικητὰς αὐτοὺς ἑώρων περιϊόντας, καὶ παραπλέοντας, καὶ καταστρέ- φοντας τὴν Περσικὴν ὕβριν, καὶ τὸ κατὰ τῆς θαλάττης κράτος. Ἀλλ', ὅπερ πρὸ βραχέ ἐλέγετο, τὸ ἐξ ἀρχῆς περὶ τὴν θάλατταν ἔπραι- τον, εἶχον Ἕλληνες ἀεὶ καὶ τῶν κατ' ἤπειρον οὐ πάνυ τοι πλεῖστον, οὐδ' ὡς πορρωτάτω θα- λάσσης ἐπειρῶντο. Πάντα δὲ [15]) ὅμως τὰ τῶν Ἑλλήνων πράγματα ἐν ὀλίγῃ τινὶ τύχῃ καὶ εὐο- ρίστῳ συνεξητάζετο καὶ κατελογίζετο, καὶ μέγα οὐδὲν αὐτῶν ἐπόμπευε κατὰ τῆς οἰκουμένης, ὅτι μὴ φύσεως ἀστειότης καὶ γνώμης καὶ ἤθους

---

14) νεωρ., C. Mon. male ὡρίων.

15) πάντα δὲ, C. Mon. πάντα δή.

ὑγίεια, τὰ δ' ἄλλα ταπεινῶς ἔπραττον, ὅτι ἡ κατὰ μέρη καὶ ὡς ἔλαχον ἕκαστοι χώρας καὶ ἀγωγῆς ἐβίουν, μὴ συνεχείᾳ διοικήσεως κραταιούμενοι. Τὰ πρῶτα μέν γε καὶ μοναρχίαις ἑκάστη πόλις καὶ τυραννίσιν οὐκ ἀγριωποῖς, οἷαι μεθ' ὕστερον ἐγένοντο, καὶ αὐτά γ' ἕκαστα νησίδια καὶ τὰ ἐν [16]) αὐτοῖς πολίσματα πλεῖστον χρόνον ἐχρῶντο [17]), τὶ μὲν καὶ ἐκ διαδοχῆς κλήρων, τὶ δὲ καὶ ὡς ἂν ἐκ τοῦ παρήκοντος τῷ χρόνῳ ξυμβαίνοι. Τελευτῶντές γε μὴν μεθ' ὕστερον Ἕλληνες ἅπαντες μετέβαλον τὰ [18]) πολιτεύματα, καὶ κοινοπολιτείαις ἅπαντες ἤγοντο, ἄλλοι ἄλλως, ὀλιγαρχικῶς ἢ δημοκρατικῶς, πλὴν εἰ μή που τινὲς νοσοῦντες ἐν μέσῳ τῶν γε τοιούτων χρόνων καὶ στασιαστικῶς ἐπ' ἀλλήλους ἔχοντες ἐντεῦθεν τυραννικαῖς ἀκράτοις μοναρχίαις ἐνέπιπτον, καὶ κακῶς πράττοντες, καὶ μὴ δυνάμενοι φέρειν τρόπῳ γέ τινι, καὶ γεννικῶν ἀνδρῶν φρονήμασι καὶ τόλμαις ἀνώρθουν αὖθις τὰς πολιτείας, καὶ τὰς τυραννικὰς ἀπεωθοῦντο βίας, ὁμονοοῦντες αὖθις κατὰ χρείαν ἐλευθερίας ἔρωτι. Μάλιστα δ' ἱστόρηνται τῶν ἄλλων ἁπασῶν ἑλληνίδων πόλεων Ἀθῆναι τὲ καὶ Κόρινθος ἄσπονδον ἀνηρῆσθαι πόλεμον κατὰ πάσης τυραννικῆς δυναστείας τῶν ἑλληνικῶν πόλεων καὶ μάλ' ἐῤῥωμέ-

---

16) τὰ ἐν, omittunt Cdd. Aug. et Mon.

17) ἐχρῶντο, deest in C. Mon.

18) τὰ, C. Mon. non habet.

νως· οὕτω δη τῶν ἄλλων ἁπάντων Ἀθηναῖο καὶ Κορίνθιοι συνέπραττον ἐπιμελείᾳ πάσῃ χειρὶ πάσῃ ταῖς κακῶς ὑπὸ τυράννων πραττι σαις πόλεσι τῶν ἑλληνίδων, καὶ διέσωζον ταῖς τὴν ἐλευθερίαν τοὺς ἐν αὐταῖς τυράννι καταστρέφοντες. Καὶ ἔμοιγε δοκοῦσιν οι μάλιστα μὲν καὶ ἤθους χρηστότητι, καὶ τῇ τὸ συγγενὲς εὐνοίᾳ [19]) πλεῖστον οὕτω δὴ ποι τὸν ἀεὶ χρόνον περὶ τῶν ὁμοφύλων ἀδέσποτ Οὐ μὴν ἀλλὰ καὶ ὡς μάλιστ' αὐτοί γε πει μένοι [20]) τῆς τῶν [21]) τυραννουμένων ἀθλιότη καὶ κακοπραγίας, Ἀθηναῖοι μὲν ὑπὸ τῆς τι Πεισιστρατιδῶν τυραννίδος, Κορίνθιοι δ' ὑ τῆς τῶν Κυψελιδῶν, αἳ δὴ μάλιστα τῶν ἄλλω τυραννίδων πλεῖστον ἐκ διαδοχῆς παρετάθησαν ἑτοιμότεροι πρὸς οἶκτον εἶναι τῶν παραπλήσι δυστυχούντων, καὶ ἄπαυστον ἄμυναν τὸν ἀεὶ χρόνον τρέφει [22]) κατὰ πάσης τυραννικῆς μο-ναρχίας.

---

19) εὐνοίᾳ, C. Mon. εὐγενείᾳ.

20) πειραμένοι, sic Cdd. nostri; nonne πεπειραμένοι l. πειρ-μενοι?

21) τῶν, abest a C. Mon.

22) τρέφει, vt C. Paris. Germ., C. Aug. τρέχει. C. Paris. Reg. τρέφειν.

ΚΕΦ. ριδ'.

Ὅπως κατὰ καιρὸν Ἐπαμεινώνδας καὶ Πελοπίδας ἀρίστω ἄνδρε καὶ [1]) στρατηγὼ κατὰ ταυτὸν γεγόνατον τῇ πατρίδι.

Ἐπαμεινώνδας καὶ Πελοπίδας ἀρίστω ἤστην στρατηγὼ, γενομένω δὲ καὶ τοῦ αὐτοῦ χρόνου, καὶ συνόντε διὰ παντὸς, καὶ ἁμιλλωμένω περὶ ἀρετῆς καὶ δόξης τῆς πατρίδος, τί ἄν τις ἐρεῖ, ὅση τις ὄνησις ἤστην ἑκάτερος θατέρῳ τῇ κοινωνίᾳ ταύτῃ καὶ τῷ πρὸς τὸ καλὸν ἐφαμίλλῳ, καὶ ὅση γε ἀμφοτέρω τῆς πατρίδος ὄνησις εἰς δόξαν καὶ κράτος ἐν Ἕλλησιν ἐγενέσθην; ἰδίᾳ μὲν ἑκάτερος θαυμαστὸς ὢν καὶ πάνυ τοι χρήσιμος αὐτῇ, καὶ μόνος ἂν γενόμενος, συνελθόντε δ' ὅμως κατὰ θεῖον καὶ ἀλλήλοιν εὖ μάλα χρωμένω τὴν ἐκ τῆς κοινῆς συντελείας ὠφέλειαν ἀπαράμιλλον ἢ πρότερον καὶ μεθ' ὕστερον παρ' ἄλλων ἀποδείξαντε τῇ πατρίδι· οὔτε γὰρ πρότερον ἄλλοι δή τινες κατ' Ἐπαμεινώνδαν καὶ Πελοπίδαν ἢ ὅτι ἔγγιστα ἐν Θήβαις ὤφθησαν, οὔτ' αὖ μετ' αὐτοὺς ἑξῆς. Καὶ Ἀθήνησι μὲν πολλοί τινες παραπλήσιοι [2]) γεγόνασι στρατηγοὶ καὶ περιφανεῖς ἐν Ἕλλησι καὶ βαρβάροις, καὶ θαυμαστὰ καὶ κάλλιστα διαπραξάμενοι ἔργα, οἷον δὴ Θεμιστοκλῆς ἐκεῖνος, ἀλλὰ καὶ πρὸ αὐτοῦ Μιλτιάδης, καὶ σὺν αὐτῷ καὶ μετ' αὐτὸν Κίμων καὶ Περικλῆς ἐκεῖνος,

---

1) καὶ, deest in C. Mon.

2) παραπλ., C. Mon. παραπλήσια.

καὶ πρὸ αὐτοῦ μάλιστα μὲν τρεῖς οἶδ' ἄνδ καὶ ἄλλοι δὲ σὺν αὐτοῖς, καὶ αὖ σὺν αὐτ καὶ μετ' αὐτὸν Νικίας, καὶ Δημοσθένης, Κόνων, καὶ Ἰφικράτης, καὶ Τιμόθεος, Χαβρίας, καὶ ἄλλοί τινες, καὶ οὐκ ἀνε καταριθμεῖσθαι πάντων ὀνόματα. Ὡσαύτως καὶ ἐν Λακεδαιμονίοις ἄνδρες πλεῖστοι δόκι. γεγονότες ἱστόρηνται, καὶ ἀλλήλοις ἐφάμι τὰς στρατηγικὰς πράξεις, ἢ καὶ μικρὸν ἀλ λων ἐλαττούμενοι καὶ προέχοντες, Ἀγησίλ καὶ Βρασίδαι, καὶ Παυσανίαι, καὶ Καλλικ τίδαι, καὶ Λύσανδροι, καὶ ἄλλοι σὺν αὐτ πρότερόν τε καὶ ὕστερον τῶν εἰρημένων ἐκ στοτε οὐκ ὀλίγοι. Ἐν Θήβαις δὲ καὶ πρῶτ καὶ μόνοι φασὶν Ἐπαμεινώνδας τὲ καὶ Πελοπι δας ἀρίστω γεγόνατον ἄνδρε τὴν γνώμην, τ ἦθος, τὴν ῥώμην, τὰς στρατηγικὰς πράξει καὶ τὴν ὑπὲρ τῆς πατρίδος ἐπιμέλειαν καὶ σπ δήν. Ἐγένοντό τε ἡ πόλις αἱ Θῆβαι περιφαν στάτη πάνυ τοι πλεῖστον ἢ πρότερον ἀεὶ π μεθ' ὕστερον κατ' αὐτοὺς, καὶ τοῖν ἀνδ βοιωταρχούντοιν τοῖνδε καὶ στρατηγούντοιν μεγάλων κατορθωμάτων, καὶ νικῶν, καὶ τρ παίων καὶ δόξης ἔργα Θηβαιοις ἐγένοντο· κ Λακεδαιμονίους τηνικαῦτα κομιδῇ πλεῖστον, οὔποτ' ἄλλοτ' 3) ἐν Ἕλλησι ἰσχύοντας καὶ πρ τεύοντας ἐπισήμους ἐπὶ τῇ κατατροφῇ 4) τῶ

3) ἄλλοτ', C. Mon. non habet.

4) κατατροφῇ, sic Cdd. etiam Aug. et Mon. haud dubie κα στροφῇ, vt exhibent Cdd. Pariss. Germ. et Reg.

Ἀθηνῶν, καὶ τῇ μεγάλῃ δόξῃ τῆς Ἀγησιλάου στρατηγίας καὶ κατὰ γῆν καὶ κατὰ θάλατταν ἄρχοντας τῶν ἑλληνικῶν Ἐπαμεινώνδας καὶ Πελοπίδας Θηβαίων στρατηγοῦντε καὶ βοιωταρχοῦντε, νικήσαντε ἐν Λεύκτροις περιφανῶς, καὶ πολλοὺς Λακεδαιμονίων, μᾶλλον δὲ τὸ πλεῖστον καὶ κράτιστον αὐτῶν σχεδὸν τῇ μάχῃ φθείραντε τοσοῦτο δὴ κατεδουλώσαντο τὸ τῆς Σπάρτης, καὶ τὸ τῶν Λακεδαιμονίων κράτος μέγιστον τηνικαῦτα, ὥςτε καὶ πάντας μὲν ἀπέστησαν [5]) τοὺς ὑπηκόους καὶ συμμάχους αὐτῶν· Μεσσήνην [6]) δ' αὐτονομουμένην μετὰ πλείστους χρόνους δουλεύουσαν οἰκεῖσθαι διεπράξαντο, ἐληΐσαντο δὲ θράσει πολλῷ καὶ ἐνέπρησαν πᾶσαν [7]) τὴν Λακωνικὴν, καὶ διαβάντες τὸν Εὐρώταν, ὃ μὴ πώποτε πρότερον γέγονε παρ' ἄλλων στρατευμάτων Λακεδαιμονίοις πολεμίων, μικροῦ ἐδέησαν τὸ μέγα Σπάρτης ὄνομα καταστρέψασθαι, καὶ κατὰ κράτος ἑλεῖν τὴν πόλιν, εἰ μὴ παρῆν ἔτ' ἐν τῇ πόλει Ἀγησίλαος, καὶ ἡ τοῦ ἀνδρὸς δόξα καὶ στρατηγικὴ ἐμπειρία. Τὸ φρόνημα μέν γε ὡς ἀληθῶς αὐτοῦ τε καὶ τῆς Σπάρτης ἐν Ἕλλησι καὶ πᾶσιν ἀνθρώποις κατεστρέψαντο, καὶ ταπεινῶς ἠνάγκασαν πράττειν, καὶ μισθοῦ χάριν παρ' Αἰγυπτίοις στρατηγεῖν απόδημον τὸν πολὺν Ἀγησίλαον ὑπὲρ τῇ πατρί-

5) ἀπέστ., C. Mon. ἀπεστήσαντο.

6) Μεσσ., Cdd. Aug. et Mon. Μεσήνην.

7) πᾶσαν, in Cdd. Aug. et Mon. non legitur.

δι 9), ἀργυρίσασθαι 10) ὁτιποτοῦν ἀλέξημα κινδύνων αὐτῇ, καὶ τῆς δυςπραγίας ἠνάγκα Καὶ μεγίστων τοιούτων πραγμάτων αἰτίω Ἕλλησι γεγόνατον, οὕτω δὴ καὶ τῇ πατρίδι ριφανῶν ἔργων, καὶ μεγάλου κράτους, καὶ ξης Ἐπαμεινώνδας τὲ καὶ Πελοπίδας, ὦ στρατηγικωτάτω, καὶ σωφρονεστάτω, καὶ π μάλιστα προφέροντε πάντων, ὡς ἔφην, στρα γῶν πρότερόν τε καὶ ὕστερον ἐν Θήβαις, κ τὸ δὴ κάλλιστον. Καὶ μάλιστ᾽ εὖ γε δῆλον κα θεῖον ἔοικε κατὰ τὸν αὐτὸν χρόνον γεγονέ τὼ ἄνδρε τώδε, καὶ συμφρονοῦντε πάντα τρ πον ὑπὲρ τοῦ καλοῦ καὶ τῆς ἀρετῆς καὶ τ πατρίδος. Καὶ ἔγωγε πολλάκις ἔδοξα, καὶ ἔ νοιά μοι τὶς ἐπῆλθεν αὕτη, ὡς ἄρ᾽ ὁπότε γ Λακεδαιμονίους ἔδει πρᾶξαι κακῶς, καὶ δόγμ ἄνωθεν ἤδη περὶ αὐτῶν τῇ πάντα τἀνθρώπι ἀγούσῃ προνοίᾳ καὶ ψήφισμα κεκύρωτο με τὰς περιφανεῖς ἐκείνας αὐτῶν νίκας, μετὰ τὸ δρόμον τῆς εὐπραγίας καὶ τῆς ὑψώσεως, με τὴν κατὰ πάντων Ἑλλήνων ἀσφαλῶς, ὥς γ᾽ ἐδ κει, καὶ ἀτρέπτως καὶ ἀσείστως ἤδη λοιπ κρατοῦσαν ἐν γῇ καὶ θαλάττῃ Λακεδαιμονίω ἀρχὴν, μετὰ τὰς δεκαρχίας πασῶν τῶν πόλεω καὶ τοὺς ἐκ Σπάρτης αὐτῶν ἁρμοστὰς, με Ἀγησίλαον εὐδοκιμήσαντα ταῖς στρατηγίαις, κα περιφανέστατον, εἰ δή τις ἄλλος, ἐν Ἕλλησι κα

---

9) ὑπὲρ τῇ πατρ., C. Mon. ὑπὲρ τοῦ τῇ πατρ. Aug. ὑπὲρ τοῦ πατρίδι.

10) ἀργυρίσ., cf. Plut. Agesil. c. 36.

ερβάροις γενόμενον στρατηγὸν νικητὴν ἀεὶ,
εὶ μηδὲν ἄλλ', ἢ πάντα κρατοῦντα ταῖς μά-
ιες, ὧν ἂν πειρῷτο, καὶ πόῤῥωτάτω τῶν οἴκοι
κὶ τῆς πατρίδος ἀπόδημον κλεϊζόμενον ἐπ'
σίας κατὰ τοῦ βασιλέως Περσῶν καὶ τῶν αὐτοῦ
ρατευμάτων καὶ τῶν αὐτοῦ χωρῶν τε καὶ
όλεων, καὶ μέγα αἰρόμενον ἤδη λαμπρῶς ἀν-
περιστήσαντα τῇ Περσικῇ δυναστείᾳ, τὰ δυς-
ρῆ μετὰ τὴν ἐντεῦθεν λοιπὸν Λακεδαιμονίων
ρῦν κατὰ πάντων ἀνθρώπων καὶ ὕβριν ἐπὶ
ῇ τῆς τύχης ἀκμῇ, ὥςπερ ἐν ὀστράκου περι-
ροπῇ μεταλαβεῖν αὐτοὺς ἀδόκητον παντάπασιν
νγώδη τύχην καὶ χαλεπὰ πράγματα; καὶ κα-
ῶς ἔπειτ' ἀπαλλάξαι τῆς τοσαύτης εὐδαιμονίας
αὶ τῶν θριάμβων τῆς ἀγαθῆς τύχης, καὶ ταῦθ'
φ' ὧν οὔτ' ἂν αὐτοί ποτε, οὔτ' ἄλλός τις
ήθη Θηβαίων· τοῦτο μὲν τῶν ἐν δευτέροις
ὐτῶν ἀεὶ ταττομένων καὶ πολὺ λειπομένων οὐ
ῆς τότε κρατούσης τύχης αὐτῶν, ἀλλ' ἄρα καὶ
ῆς τὸν ἀεὶ χρόνον Λακεδαιμονίων ἰσχύος, τοῦτο
δὲ τῶν αὐτοῖς δὴ μάλιστα προθύμως κοινωνη-
σάντων χρόνοις μακροῖς πολλῶν ἀγώνων καὶ
πολλῶν πράξεων, καὶ τοῦ κατὰ τῶν Ἀθηναίων
φθόνου, καὶ τῆς παμμήκους καὶ πολυετοῦς
κατ' αὐτῶν συμπνοίας καὶ τῶν πικρῶν καὶ
πυκνῶν καὶ ἀπαύστων ἐπιχειρήσεων. Ἐπεὶ ταῦτ'
ἔδει καὶ πάντ' ἐλεγχθῆναι [11]) τἀνθρώπινα, ὡς

11) ἐλεγχθ., vt Paris. Reg. sed Cdd. Aug. et Mon. et Paris. Germ. ἐλεγχθῆναι.

οὐδὲν μήποτε πιστὸν ἐν αὐτοῖς, οὐδ' ἑστὼς ἄσειστον, καὶ το πάντων μάλιστα καὶ χ καὶ παντὶ τρόπῳ κραταιωθὲν, οὐδ' ἀδόκ μεταβαλεῖν τοῖς γε νοῦν ἔχουσιν, οὔτ' εὐπρ πᾶσα, οὔτε φιλία κρατήσασα χρόνιος, ἔχθρα καὶ ἄσπονδος καὶ ἀκατάλλακτος ἄτρεπτος πάντοθεν ἐφορωμένῳ δοκοῦσα, ἀ πάντ' ἄνω καὶ κάτω πορεύεται, καὶ τὰ πράγματα ἐξ ἀλλήλων γίγνεται, καὶ πονή ἔχοντα μετ' εὐπραγίαν ἄκρατον, καὶ μετ' δοξίαν ἀθλιότης, καὶ αἰσχύνη, καὶ κινδυν μέχρι τῶν ἐσχάτων, καὶ αὖ τὰ τούτων ἐναντ μετὰ τοὺς ἐσχάτους κινδύνους, καὶ τὸν ψυχῆς, ὡς εἰπεῖν, δρόμον οἰστισινοῦν ἀνθρώ ποις εὐπραγίας ὑπερβαλλούσης ῥοπὴ, καὶ πάσα πάντων πραγμάτων εὐχρηστία καὶ κλέος ὕψος αἶρον καὶ πομπεῦον κατὰ πάντων ἀνθρώ πων καὶ πάσης τῆς οἰκουμένης. Ἐπειδὴ τα οὕτω καὶ ἔδει γε λοιπὸν, ὡς εἴρηται, τὴν τοιαύτην σκηνὴν καὶ τὰ δράματα τοῦ χρόν καὶ περὶ Λακεδαιμονίους τηνικαῦθ' ὁραθῆ καὶ θεάτρου τυχεῖν ἐν τῷ βίῳ. Τηνικαῦτα λοιπὸν καὶ Ἐπαμεινώνδας ἐν Θήβαις καὶ Πε πίδας, οἷοι μήποτε πρότερον μήθ' ὕστε ἄλλοι γεγόνασι, διάγοναι [12]) τῇ βουλῇ τῇ πρ νοίας ἀναδείκνυσθον [13]), καὶ πάνθ' ὁμοίω π ἀρετὴν καὶ τὸ δραστικόν τε καὶ συνετὸν,

---

12) διάγονοι, Cdd. Paris. Reg. et Germ. διάκονοι.

13) ἀναδείκν., C. Aug. ἀναδείκνυσθαι.

ντ' ἀλλήλοιν συμφωνοῦντε, καὶ περὶ πάσας
βολὰς [14]) ἀκαμάτω. Ἵν' εὖ γε μάλ' ὁ δρόμος
ς προνοίας ἀνύτειν ἔχοι, καὶ τὰ κατὰ Λακε-
ιμονίων ψηφίσματα, καὶ ἡ καινότης τῶν
ραγμάτων ἐν Ἕλλησι καὶ τῆς χρείας ἐκείνης
ργανα, πόλις Θηβαίων ἔοικε τώδε τὼ ἄνδρε
ηνικαῦτα παρασχεῖν, ὅτε καιρὸς ἐδόκει, καὶ
χρῆν ἡ κυρία· ὥσπερ καὶ περὶ ἄλλων ἄλλοτε
ραγμάτων καὶ ἀνθρώπων οὐ δυσχερὲς τῷ προσ-
έχειν βουλομένῳ παραπλήσια κατασκέπτεσθαι
αὶ συλλογίζεσθαι πρότερόν τε καὶ ὕστερον
στὶ, καὶ ἡμῖν γε [15]) βουλομένοις ῥᾶστ' ἔχει
αὶ εὐπορίστως καὶ δι' ἄλλων ὑποδειγμάτων
αὶ μνήμης οὐκ ὀλίγων πιστοῦσθαι τὰ λεγόμενα.

ΚΕΦ. ριέ.

Ἔλεγχος εἰς τὸ ἀνίδρυτον καὶ εὐμετάβλητον τῶν ἀνθρωπίνων, καὶ ὅτι, εἰ δή τι ἄλλο, καὶ τὰ κατὰ τὸν Ἀλκιβιάδου βίοτον τοῦτο παρίστησιν, ὡσαύτως καὶ τὰ κατὰ τὸν Πολιορκητὴν ἐπικληθέντα Δημήτριον, ἔτι δὲ καὶ τὸν Εὐμενῆ.

Πολλάκις εἴρηται πρότερον ἤδη καὶ πολλάκις εἰρήσεται, καὶ ἀεὶ ταυτό γε τοῦτο, ὡς ἄρα πάνυ τοι καθορᾶν ἐστι καὶ θαυμάζειν ἄξιον τὸ παντάπασιν ἀνίδρυτον τῶν ἀνθρωπίνων, καὶ ἀεὶ μεταβάλλον εἰς πάντα καὶ τἀναντία, καὶ

14) ἐπιβολ., C. Mon. ἐπιβουλάς.
15) γε, omittit C. Mon.

οὐδὲν μήποτ' ἔχον ἑστὼς μηδὲ βέβαιον ὁποι
ἀλλ' ἀτεκμάρτοις στροφαῖς καὶ ἀλογίστῳ πλ
κατελεγχομένων ἐν αἱρέσεσι [1]) γνώμης, ἐν τῇ
βιοτῆς, ἐν πᾶσι πράγμασι, νῦν μὲν ἐπαινου-
νων παρά τινων καὶ στεργομένων ἐκτόπως τῶ
δέ τινων πάσῃ κρίσει καὶ πάσαις ψήφοις κ
γνώμης ὅλῃ ῥοπῇ, νῦν δὲ διαβαλλομένων τ
αὐτῶν τοῖς αὐτοῖς καὶ περιφρονουμένων αὖθ
καὶ μισουμένων ὅλῃ ψυχῆς αὖθις ῥοπῇ, κ
μεταλαμβανομένων ἄλλων καὶ τῶν ἐναντι
ῥᾷστα πολλάκις ἐκ τοῦ προχείρου ξυμπεσ
καὶ νῦν μὲν τοῖςδε [2]) τοῖς ἔργοις, νῦν δ' α
ἄλλοις καὶ τοῖς ἐναντιωτάτοις συνεξεταζομένω
τῶν ἀνθρώπων καὶ κομιδῇ πονούντων λόγω
ἀσκήσει, ἢ πολεμίων πραγμάτων ἀσχολίᾳ, ἢ
κατασκευῶν τινῶν [3]) καὶ οἰκοδομημάτων φρον-
τίδι, ἢ ἄλλων ὡντινωνοῦν, οἷς ἄνθρωποι πα-
βάλλονται· καὶ νῦν μὲν εὐημερίᾳ [4]) παρὰ δόξ-
σιν πᾶσαν ξυντυγχανόντων, καὶ ὑβριζόντων,
καὶ καλῶς ἴσως χρωμένων, νῦν δ' αὖθις πά
ὡσαύτως ἐκτὸς ἐλπίδος καταπαυόντων τῆς μεγά-
λης τύχης καὶ ἀφορμῆς εἰς ὕβριν ἢ χρῆσ
ἐπαινετὴν καὶ θαυμάζειν ἀξίαν, καὶ παλαιόν-
των τοῖς ἐναντιωτάτοις καὶ δυςπραγίαις ἀκρα-
τοις, ὡς ἄρα δὴ μήποτ' ἐξεῖναι σχεδὸν παῤῥησ

1) αἱρέσ., C. Mon. αἱρέσει, in marg. γρ. αἱρέσεσι.
2) τοῖςδε, deest in Cdd. Aug. et Mon.
3) τινῶν — ὡντινωνοῦν, οἷς, C. Mon. τινωνοῦν, οἷς, ex quo p-
tet, librarium a τινῶν aberrasse ad ὡντινωνοῦν.
4) εὐημ., C. Mon. ἐν ἡμερίᾳ, male.

καὶ ἀσειστως παντάπασι λέγειν καὶ ἀποφαίνεσθαι, καὶ αὐτόν τινι περὶ ἑαυτοῦ καὶ ἄλλον περὶ αὐτοῦ, ὅτι τόδε τί ποτ᾿ ἐστὶ καὶ ἔσται τῆς αὐτῆς τύχης, καὶ τόδε τί ποτ᾿ ἐστὶ καὶ ἔσται τῆς αὐτῆς αἱρέσεώς τε καὶ γνώμης, καὶ τόδε τί ποτε φιλεῖ καὶ ἐνεργός ἐστι, καὶ ἀεὶ ταυτὸ πονήσει τὲ καὶ φιλήσει, καὶ τόδε τι μισεῖ καὶ προβεβλήσεται [5]). Ἀλλ᾿ ὁρῶμεν, ὡς ἃ χθὲς τις καὶ πρὸ τρίτης ἔπραττεν εὖ, καὶ τύχης αὔρ᾿ ἐξουρίου [6]) καὶ πλησίστιος ἐφέρετο, νῦν γε δὴ πάσαις ἀντιπνοίαις χειμάζεται, καὶ κλύδωνι χαλεπῷ δυςχερῶς καὶ πονήρως ἔχει, ἢ καὶ καταδύεται παντάπασιν ὑποβρύχιος αὐτῷ σκάφει καὶ φόρτῳ τῆς εὐπραγίας, αὐτῷ πλούτῳ καὶ μεγαλοδοξίᾳ, αὐτοῖς πᾶσι δώροις τοῦ βίου καὶ πᾶσι πράγμασι, καὶ οἷς φθάσας τέως ἐπιμελὴς ἦν καὶ προςεῖχεν εὖ μάλα τοι τὸν νοῦν ἢ ἀνθρώποις ἢ πράγμασι πρύμναν αὐτόθεν ἐκρούσατο, καὶ ἄλλοις, καὶ τοῖς ἐναντιωτάτοις ἐνίοτε, καὶ, οἷς ἀπήχθετο [7]), καθάπαξ φέρων ἔδωκεν ἑαυτόν. Καὶ ὁ χθὲς ἀμέλει καὶ τρίτην ἡμέραν πομπεύων τῇ τύχῃ καὶ θέατρον ἑαυτῷ ὑπανοίγων πάσῃ θεωρίᾳ καὶ πᾶσι λόγοις μακαρισμοῦ καὶ θαύματος καὶ φθόνου γε πάντως ἐπὶ τούτοις, ἐν Καρὸς νῦν ἔσῃ [8]) καὶ κατωλιγώρηται πᾶσι, καὶ

---

5) μισεῖ καὶ προβεβ., Cdd. Aug. et Mon. μισεῖ καὶ προβέβληται, καὶ ἀεὶ ταυτὸ μισήσει καὶ προβεβλήσεται.

6) ἐξουρίου, leg. ἐξ οὐρίου.

7) ἀπήχθ., C. Aug. ἀπήχθη τό: Aug. ἀπήλθη τό.

8) ἐν — ἔσῃ, leg. ἐν Καρὸς αἴσῃ, vt C. 58. Hom. Il. IX, 370.

ὡς ἀνόνητόν τι σκεῦος τῷ χρόνῳ παρέῤῥιπτ
καὶ πᾶσαν ἀχρειότητα καταδικάζεται, καὶ ἰ
γου τινὸς ὀλίγου καὶ οἴκτου μᾶλλον καὶ τ
πρὶν βασκαίνουσιν ἄξιος, καὶ ὁ αὐτὸς ὢν ἀπ
στεῖται τοῖς αὐτοῖς, οἷς τέως ἄλλως ἐδόκει,
καὶ ὁ αὐτὸς ὢν μεταλαμβάνει γνώμην ἄλλ
καὶ παρεισδύεται βιοτῆς ἕτερον δρᾶμα καὶ
σκηνὴν, καὶ περιτίθεται[10]) προσωπεῖον ἄλλο κ
ὑπόκρισιν. Καὶ ὥσπερ ὅπλόν τι τῆς τύχης
ὄργανον ὁτιοῦν, νῦν μὲν ὑπ' αὐτῆς ἐνεργ
ἐστιν ἐπὶ τάδε, νῦν δ'[11]) ἐπὶ τάδ' ἄλλα, κ
ἃ πρότερον συνεδημιούργει μετ' αὐτῆς, κατα
στρέφεται νῦν καὶ καθυπουργεῖ περὶ πάντα,
μᾶλλον δὲ τἀληθὲς ἐρεῖν πλανᾶται περὶ πάντ
ἄνω καὶ κάτω στρεφόμενος ὑπ' αὐτῆς, καὶ ὥς-
περ τὰ κατὰ πεδίων κοῦφα πᾶσιν αὐτοῖς πνεύ-
μασι πρὸς πάντα φερόμενος, καὶ ἀπὸ πάντω
εἰς τἀναντία καὶ κατὰ διάμετρον ἀντιφερό-
μενος παίγνιον ὥσπερ τῷ βίῳ καὶ τοῖς ἀνθρώ-
ποις, εἴ τις ἂν οἷός τ' εἴη προσορᾷν, εὖ μάλα
γεννικῶς, καὶ μὴ τηνάλλως καὶ αὐτὸς ἠρτῆσθαι
καὶ προσέχειν ἑκάστοτε ταῖς εὐτρόποις τῶν παι-
ζομένων περιφοραῖς, ὡς ἀτρέπτοις πράγμασιν,
ὃ σπάνιον ἐν ἀνθρώποις. Καὶ πόσοι δή τινες
οὐκ ἔχω λέγειν, οἳ κατ' ἀνθρώπους τοιοῦτοι; οἱ
πλείους γὰρ μηδὲν ἧττον ἢ κατ' ἐκείνους τοῖς

9) τὴν addit C. Mon.

10) καὶ περιτίθ., C. Aug. omittit καί: Mon. habet περι-
θεσθαι.

11) ἐπὶ τάδε, νῦν δ' sunt neglecta in C. Mon.

ἐριφερομένους πλανῶνται ταῖς δόξαις καὶ συμπαραφέρονται καὶ συμπεριφέρονται [12]), οἱ μὲν μακαρίζοντες καὶ θαυμάζοντες· τί δὲ ταῖς ἐναντίαις αὐτῶν ἕξεσιν εἰς τἀναντία συμμεταβάλλοντες καὶ αὐτοὶ τοῖς λογισμοῖς, καὶ ὥςπερ χοροῦ κορυφαίοις συμπεριϊόντες καὶ τρεπόμενοι; καὶ μὴν εἴ τινες ἄρα καὶ ὁρᾷν εὖ περὶ τούτων ἔχομεν, ἐπ' ἄλλων μὲν κρίνομεν [13]) ἴσως βέλτιστα, νοσοῦντες δ' ὅμως καὶ αὐτοὶ παραπλήσια πολλάκις ἀγνοοῦμεν, καὶ ὅλως [14]) πάντ' ἐλέγχων ἄξια καὶ καταδρομῆς πᾶσι σχεδὸν ἀνθρώποις τῆς ἀλογίστου ταύτης καὶ πολυπλάνου καὶ [15]) μηδὲν ὑγιὲς ἀσχολίας. Ἀλλ' εἰ δή τιν' ἄλλον καὶ Ἑλλήνων οἶμαι καὶ βαρβάρων, καὶ Ἀλκιβιάδην [16]) ἔστιν ὁρᾷν πολύτροπον δρᾶμα καὶ πολύστροφον τὸν ἑαυτοῦ βίοτον κατ' ἦθος τε καὶ τύχην εἰς τὴν κοσμικὴν τήνδε τοῦ βίου σκηνὴν εἰςενέγκαντα καὶ ἐπιδειξάμενον, ὅν γε Ἀθήνησι γενόμενον καὶ πολιτευσάμενον τὴν ἀρχὴν μυρίᾳ περιόδῳ χρήσασθαι καὶ στροφῇ, ἄλλοτ' ἄλλοις ἀνθρώποις συμβιοῦντα, καὶ τοῖς ἀλλή-

---

12) καὶ συμπερ., C. Mon. non exhibet.

13) ἐπ' ἄλλων — κρίν., Cdd. Aug. et Mon. ἐπ' ἄλλων μὲν ὁρῶμεν (Mon. ὁρῶμεν non dat) ἐφ' ἡμῶν δ' οὔ· καὶ περὶ ἄλλων μὲν κρίνομεν.

14) ὅλως, deest in C. Mon.

15) καί, in C. Mon. non occurrit. Deinde post ὑγιὲς Cdd. Mon. et Aug. inserunt μηδὲ τέλειον, μηδ' ἑστὼς κατὰ καιρὸν ἐχούσης.

16) Ἀλκιβ., cf. Plut. Alcibiad. c. 23. sqq.

λων [17]) ἀλλοτριωτάτοις καὶ ἐναντιωτάτοις. Ἄργει μὲν δραπέτην τῆς πατρίδος, ἐν Σπά[ρτῃ] δ' ἔπειτα μάλιστα σπουδασθέντα πολέμιον ἄκ[ρο]τον κατὰ τῆς πατρίδος, καὶ πλεῖστον κα[τὰ] καιρὸν χρήσιμον τηνικαῦτα Λακεδαιμονίο[ις·] εἶτ' αὖθις Τισαφέρνῃ καὶ Πέρσαις, οἰκεῖον μ[άλι]λα τοι καὶ συμπεφυκότα κάλλιστα βοηθὸν Λα[κε]κεδαιμονίοις ἐπὶ τὴν πατρίδα καὶ τοὺς αὐτ[οὺς] τῶν Ἀθηναίων στρατηγοὺς καὶ ναυάρχους κ[αὶ] τὴν αὐτῶν ἀρχὴν διατέμνοντα, καὶ ἀφιστῶντ[α] τὰς αὐτῶν ὑπηκόους χώρας καὶ πόλεις, καὶ ἐπ' αὐτοὺς κινοῦντα Ἑλλήσποντον, Λέσβον, Χίον, πάντας ἀνθρώπους· εἶτ' αὖθις πιστὸν Τισαφέρνει καὶ Πέρσαις ἐπὶ καταστροφῇ Λακεδαιμονίων τὲ καὶ Ἀθηναίων, καὶ ὥςτε ταπεινῶς πράττειν ἀμφοτέρους καὶ ἐν ἑαυτοῖς φθείρεσθαι, καὶ μὴ παρασχεῖν ὁποτέρους κρείττους γενομένους Πέρσαις πράγματα σοφιζόμενον καὶ τὸν Πέρσην προδιδάσκοντα· εἶτ' αὖθις σοφιζόμενον [18]) Ἀθηναίους ἀνορθοῦν τῶν μεγάλων ἐκείνων τηνικαῦτα δυςπραγημάτων, καὶ πειρώμενον αἴρειν εἰς τὴν ἀρχὴν καὶ τὸ πρότερον φρόνημα· καὶ μὴν ἔπειθ' αὖθις ὕποπτον μὲν Τισαφέρνει καὶ δεσμώτην ἐκ μεγίστου φίλου, καὶ δραπέτην ἑξῆς Τισαφέρνους καὶ τῶν δεσμῶν, καὶ ποθεινότατον στρατηγὸν καὶ πρόμαχον Ἀθηναίοις εὐνοίᾳ τῇ πρὸς αὐτοὺς πάντας τοὺς ἀπ'

17) ἄλλοις ἀνθρώποις — ἀλλήλων, e C. Mon. exciderunt.

18) καὶ τὸν Πέρσην — σοφιζόμενον, C. Aug. omittit.

τῶν στρατηγοὺς ὑπερβάλλοντα, ἐνίους δ' ἀπε-
ἔγχοντα καὶ προδότας, καὶ ταῖς προςηκούσαις
εὐθύναις παραδιδόντα τῷ θερμῷ πόθῳ, καὶ
ῇ μεγίστῃ σπουδῇ περὶ τῶν Ἀθηναίοις συνοισόν-
των, καὶ νικῶντα λοιπὸν ἔπειθ' ἑξῆς, καὶ
ἔνθ' ὥςπερ καθ' αἵρεσιν γυμναζόμενον καὶ
μελέτας, ὡς εἰπεῖν, ἐφ' ἑαυτοῦ ποιούμενον κα-
ταστρέφοντα τὰ Περσῶν καὶ Λακεδαιμονίων
πράγματα, καὶ τὰς ἐκ τῆς Σπάρτης καὶ πάσης
σχεδὸν τῆς Ἑλλάδος, καὶ Φοινίσσας [19]) τοῦ βα-
σιλέως ναῦς ὁμοῦ καὶ ἐκ Κιλικίας τόσας καὶ
τόσας κατὰ κράτος φθείροντα. Καὶ Κύζικος
εἶδε τότ' ἔργα θαυμαστὰ, καὶ Φαρνάβαζος
κακῶς ἔπραττε, καὶ Ἑλλήσποντος τῆς Ἀλκιβιά-
δου καὶ Ἀθηναίων πομπῆς καὶ τύχης καὶ τοῦ
κλέους ἦν τε καὶ ἤκουε πᾶσι σχεδὸν ἀνθρώποις
θέατρον καὶ δόξης μεγίστης χορηγός· εἶτ' αὖθις
μεγάλοις ναυστόλοις καὶ περιλάμπροις [20]) ἐκ
τῶν πολεμίων λαφύρων τε καὶ ὅπλων καὶ ἀσπί-
δων Ἀθήνησι κατιόντα μετὰ τὴν φυγὴν τότε
ποθεινότατον πάντων ἀνθρώπων τῇ πατρίδι,
τὸν τέως πάνυ τοι μισητὸν καὶ ἐπαρατότατον
προέπεμπε ἡ τύχη· καὶ αὖθις ταχὺν ἐξῆγεν
Ἀθηνῶν διὰ τυραννίδος ὑποψίαν ἐπὶ τῷ πολλῷ
κράτει καὶ τῇ τοῦ δήμου εὐνοίᾳ στρατηγὸν αὐ-
τοκράτορα κατὰ Περσῶν τε καὶ Λακεδαιμο-
νίων. Βραχὺς ὁ χρόνος καὶ αὖθις ὁρᾷν ἐστι

---

19) Φοινίσσ., C. Mon. Φοινήσας, vitiose.
20) περιλ., Cdd. Aug. et Mon. περιλάμπρους.

παιζόμενον Ἀλκιβιάδην τῇ τύχῃ, καὶ μὴ κ
κατὰ βούλησιν τῷ τῶν Ἀθηναίων δημωνικ
ἐκεῖνος, ὥςπερ ἂν ἐφ' ἑαυτῷ [22]) ὃν πάντων
ἂν πειρῷτο, κρατεῖν εὖ μάλα, καὶ χορηγῶν
Ἀθήνησι φθονοῦσι δημαγωγοῖς καὶ πρωτεύ
ἐντεῦθεν ὑποψίας καὶ διαβολῆς ἀφορμὰς
ἀσχολίαν καὶ διατριβὴν λόγων τοῖς πολ
ἐκκλησιάζουσιν ἐπὶ τῷ τρυφᾷν καὶ κατασο
εσθαι τῶν πραγμάτων, νοσεῖν αὖθις καὶ κα
ἀκούειν παροισία [23]) τοῖς μάλιστα πρὸ ὀλ
ποθοῦσιν Ἀθηναίοις ἤρξατο, καὶ μήτ' αὐ
ἐκείνοις, μήτ' αὐτῷ γε ἐκεῖνοι θαῤῥεῖν. Ἠ
μεταστάντα τῆς ἀρχῆς εἶχεν οἰκιστὴν ἡ Θρᾴ
καὶ ἰδίᾳ πολιστὴν, καὶ στρατευμάτων οἰκεῖο
μισθοῖς καὶ δαπάναις ἡγούμενον καὶ λῃζόμε
νον καὶ καρπούμενον τἀγαθὰ τῶν προςοικε
βαρβάρων, καὶ τοῖς ἐκείνῃ βοηθοῦντα πα
νῶς πράττουσιν Ἕλλησι. Ξυμβάντος δὲ τοῦ με
γάλου πτώματος Ἀθηναίων ἐν Αἰγὸς ποταμοῖ
καὶ Λυσάνδρου κατὰ κράτος ἑλόντος τὴν πό
καὶ κατασκάψαντος τὰ τείχη καὶ τοὺς τριά
κοντα καταστησαμένου τυραννεῖν ἐπὶ τὸν κα
φθέντα δῆμον, ἐν κλύδωνι καὶ φροντίσιν αὐτ
λογισμῶν ληφθεὶς ἦν Ἀλκιβιάδης μισούμενος μ

---

21) δημωνικῶν, vt Paris. Reg. sed Cdd. Aug. Mon. et Pal.
Germ. δημονικῶν.

22) ἐφ' ἑαυτῷ, C. Mon. ἐφ' ἑαυτῶν.

23) παροισία, vt Cod. Paris. Germ. sine dubio παροινία: inde
dic. τρυφαῖς καὶ πότοις ἐνδεδομένος, et in Plut. c. 16. εἰς
πότους ὑβρίσματα commemorantur, cf. Corn. Nep. c. 11. C.
Mon. cum Paris. Reg. tamen legit: παῤῥησία.

Λακεδαιμονίοις ἐκτόπως[24]), μισούμενος δὲ Τισαφέρνει. Ἀνίδρυτος δὲ ὢν αὐτὸς ὁτῳοῦν θάῤῥει καὶ πίστει τοῦ μὴ πρᾶξαι κακῶς, καὶ κακοπράγμων γε ὢν, καὶ δοκῶν μάλιστα Λακεδαιμονίοις καὶ τοῖς ἄλλοις Ἕλλησιν, ὧν οἱ πλείους μετ᾽ αὐτῶν ἦσαν σύμφρονες, καὶ μεγάλοις ἐπιβάλλων πράγμασιν ἀεὶ ταχὺς καὶ μέχρι τότε καὶ πάντ᾽ εὐτυχής. Ἐπίδοξος ἦν αὐτοῖς ἔτι περιϊὼν ἐλεύθερος ἔξω τῆς Ἑλλάδος οὐ σχήσων ἠρεμίαν, ἀλλ᾽ ἐπ᾽ αὐτοὺς κινήσων πράγματα, καὶ περὶ πλείονος τὸν θάνατον ἐποιοῦντο τἀνδρὸς, καὶ ὅπως ἀπαλλάξαι τοῦ βίου ταχύς· Ὑπώπτευέ τε καὶ Ἀλκιβιάδης ταῦτα περὶ αὐτῶν τε καὶ περὶ ἑαυτοῦ, καὶ μάλα τοι προςέχων ἐδεδίει περὶ τῇ ζωῇ. Καὶ τοίνυν εἰς τὸν βασιλέα Περσῶν ὁρῶν, ὡς εἰς τελευταίαν φασὶν ἄγκυραν, καὶ μετ᾽ ἐλπίδων μειζόνων ξὺν παντὶ τῷ δικαίῳ, ὥς γ᾽ ᾤετο, ἢ Θεμιστοκλῆς ἐκεῖνος ἥκειν ἐς αὐτοῦ προθέμενος, καὶ ἀρξάμενος[25]) αὐτίκα ταχὺς Τισαφέρνει[26]) μὲν ἀνδρὶ μισοῦντι καὶ κακοήθει τοὺς τρόπους οὐκ ἐπίστευεν ἑαυτὸν, ἀλλ᾽ ἐπὶ Φρυγίας γενόμενος καὶ ἐς Φαρναβάζου χρηστοτέρου δοκοῦντος ἀνδρὸς, καὶ κατὰ νοῦν ἔχων ἐς βασιλέα τρέχειν φρονήματι καὶ μεγάλαις ἐλπίσιν, ὅδ᾽ αὐτόθι καταπαύει τὸν πάντα δρόμον τοῦ βίου, καὶ κακῶς ἀπαλλάττει

24) ἐκτόπως, μισούμενος usque ad καὶ δοκῶν μάλιστα Λακεδαιμονίοις omissa omnia in C. Mon.

25) ἀρξάμ., C. Mon. τὸ ἀρξάμενος.

26) Τισαφ., Cdd. Aug. et Mon. Τισαφέρνῃ.

τῆς πάσης προςδοκίας καὶ τῶν τοσούτων πό
καὶ τῆς τοσαύτης δόξης καὶ πικρᾶς τύχης
μὴ παντάπασιν ἀδοκήτως καὶ λογισμοῦ πα
ἔξω οὐκ αὐτοῦ μόνον, ἀλλὰ καὶ πάντων,
εἰπεῖν, ἀνθρώπων. Πλήν γε ὅτι Φαρνάβα
οὐκ ἦν ὁ κτείνας αὐτὸν, ἀλλ' ὡς ἐπιστε
καὶ ἐδόκει χρηστὸς, καὶ χρηστός γε ἦν
ἀληθείαις Ἀλκιβιάδῃ. Ἀγνοεῖται δὲ σχεδὸν,
ὢν ὅμως κτείνεται. Καὶ τίνες ἄρ' ἦσαν [27],
ὄντι, ῥᾷστ' οὐκ ἔστιν ἰσχυρίσασθαι, οἱ
ἄνδρα διαχειρισάμενοι καὶ καταλύσαντες
ἀνηνύτους ἐλπίδας αὐτῷ, καὶ συνεχεῖς καὶ ἀο
στους πόνους, ὅτι μὴ τοῦτο μόνον λέγειν ἔχ
μεν, ὡς ἄνδρες ἀμέλει φαῦλοί τινες καὶ τριῶ
ὀβολῶν οὐκ ἄξιοι καὶ λωποδύται καὶ τυμβω-
ρύχοι τὸν πολὺν Ἀλκιβιάδην καὶ πολλῶν θεα
μάτων τὸν βίον πληρώσαντα, καὶ πολλῶν πρα-
μάτων Ἕλλησι καὶ βαρβάροις καὶ πᾶσι σχε
ἀνθρώποις αἴτιον, καὶ πολλῶν ἀνθρώπων γλ
σαις διατριβὴν τὰ κατ' αὐτὸν ἐμπαρασχόντ
ἐξ ἐνέδρας ἔκτειναν τῆς κλίνης ἀναθορόντα κ
ἀγκαλῶν ἑταιρικῶν, αἷς κἂν τοῖς ἐσχάτοις αν
ἐπόμπευε τῷ βίῳ, καὶ γεννικῶς μέχρι πολλ
τοῖς φονευταῖς ἀπαντῶντα, καὶ ὡς ἔτυχε δια
πληκτιζόμενον. Τελευτᾷ γε μὴν τὸ τοῦ βί
κατ' αὐτὸν παμποίκιλον δρᾶμα σχεδίως Ἀλκι
βιάδης οὕτω λογισμοῦ παντὸς ἔξω ἀνήρ, ὡ
ἔφην, εἰ δή τις ἄλλος, θέαμα παρέχων τῇ

27) καὶ τίνες ἄρ' ἦσαν, cf. Plut. Alcib. c. vii.

ὐτοῦ βιοτὴν τοῖς καλῶς ἐφορωμένοις πάσης νωμαλίας μεστὸν κατ᾽ ἀμφότερα καὶ τύχην αὶ ἦθος ἐξέτι παιδὸς εἰς τὸ τέλος αὐτῷ τοῦ ίου· ἐξ ἀρχῆς μὲν συζῶν ἀσωτίᾳ πάσῃ, καὶ δελυρίᾳ [28]), καὶ ὕβρει, φιλοσόφων δὲ ἡττώμεος λόγων καὶ τῆς ἐν ἀρετῇ φιλοτιμίας, κἀνεῦθεν τῶν Σωκράτους λόγων καὶ τῆς παιδείας, αὶ τῆς αὐτοῦ πενίας, καὶ εὐτελείας, καὶ ἀωρίας πὲρ πάντας [29]) πλουτοῦντας ἐραστὰς, καὶ πλεῖτον ἐν τῇ πατρίδι δυναμένους· καὶ φιλοπονώατος μὲν, εἰ δή τις ἄλλος, καὶ δραστικώτατος, αὶ πολυπραγμονέστατος, βλὰξ δὲ καὶ [30]) πόραις καὶ τρυφαῖς καὶ πότοις, εἰ δή τις ἄλλος, σαύτως ἐνδεδομένος [31])· καὶ Ἀθήνησι μὲν παίτης καὶ χαίρων εὐτραπελίᾳ, Σπάρτῃ δὲ τρίωνι χρώμενος εὖ μάλα ῥᾷστα, ὡς εἴ τις ἐξ ρχῆς εἰθισμένος καὶ γυμναζόμενος, καὶ ψυχρολουτῶν, καὶ τοῦ λάκωνος καὶ ἐγχωρίου μέλανος μεταλαμβάνων ἥδιστα ζωμοῦ· ἐν Λυδοῖς δὲ καὶ Φρυξὶ καὶ Τισαφέρνει χλανιδοφορῶν συρικὰ [32]) καὶ κατάπαστα χρυσῷ καὶ [33]) περιπόρφυρα, καὶ διαπλέκων τὰς ξανθὰς κόμας, καὶ περὶ ἐλευθεριότητος καὶ πολυδαπάνου χρήσεως ἀντιφιλοτιμούμενος, καὶ στρατηγικώτατος μὲν

28) βδελ., C. Mon. constanter βδελλυρίᾳ.

29) πάντας, C. Mon. παντάπασι.

30) καὶ, Cdd. Aug. et Mon. omittunt.

31) ἐνδεδ., Cdd. Mon. et Aug. ἐνδεδημένος.

32) σηρ., C. Mon. συρικά.

33) χρυσῷ καὶ, C. Aug. χρυσοῖ.

καὶ πάντων ἀνθρώπων ταῖς μάχαις εὐτυχ
τος, καὶ πᾶσιν, οἷς ἂν ἀνθρώποις προςτε
οἰκεῖος μάλιστα καὶ χρήσιμος, καὶ πάνυ
κατὰ καιρὸν ἑκάστοτε· δυςτυχέστατος δὲ
των ἀποπίπτων ἀνόνητος, καὶ μηδένων τ
τυγχάνων χρηστοῦ· καὶ πιστὸς μὲν καὶ
πρόθυμος καὶ ἐργατικώτατος, οἷς ἂν ἑκά
ξυνείη, ἀπιστούμενος δὲ παρὰ πάντων,
αὐτὸς ἀπιστῶν πᾶσι, καὶ ὕποπτος ἀποδρ
τεύων, καὶ, ὡς ἔπος εἰπεῖν, πάντα περὶ α
καὶ τὸν αὐτοῦ βίον καὶ χρηστὰ καὶ φα
Καὶ τί ἂν τις ἔτι μηκύναι τρίβων ἴσως ἀ
ρως τοῖς περὶ αὐτοῦ λόγοις; Παραπλήσια δὲ
κατὰ τὸν βίον ἀνωμαλίας πρὸς πολλοῖς ἀλλ
ὑποδείγματα λαβεῖν ἐστι καὶ Δημητρίου τ
βασιλέως τῶν διαδόχων Ἀλεξάνδρου. Πολιορκ
τὴς οὗτος ἐκλήθη, καὶ ἡμῖν ταῖς ἱστορίαις
ραπέμπεται. Νῦν μὲν εἰς ὕψος ἀνὴρ ἐκεῖ
ἤρετο τῇ τύχῃ, καὶ περιεφρόνει καὶ παρ
τοὺς ἄλλους τῶν διαδόχων, καὶ ἀπηξίου
αὐτῷ βασιλεῖς καλεῖσθαι ἡδέως ἀκούων,
πρὸς ὕβριν ὑποκοριζόμενος Σέλευκον μὲν
φαντάρχην, Πτολεμαῖον δὲ ναύαρχον, Λυσίμ
χον δὲ γαζοφύλακα, Ἀγαθοκλῆν δὲ νησιάρχ
νῦν δὲ ξυμπίπτων ἀντιπραττούσῃ τύχῃ δρα
της ἐπλανᾶτο, καὶ νῦν μὲν πᾶσιν ὁμοῦ τ
διαδόχοις ἀντιταττόμενος περιεγίγνετο, καὶ φ
γόντων κατὰ κράτος τὰ αὐτῶν παρῃρεῖτο, ν
δὲ Πύῤῥος αὐτὸν τῶν Μακεδονικῶν καὶ
Ἀλεξάνδρου διαδοχῆς ἀλλότριος ἄνθρωπος ἐξ

ει Μακεδονίας, προλιπόντων αὐτὸν Μακεδό-
ν, ἅτε μὴ φερόντων τὴν ὕβριν καὶ ἀσωτίαν
νδρὸς, ᾧ πολλάκις ἐν ταῖς ἐπικινδυνοτάταις
ιίαις συνεπόνησαν μέγιστα τοῖς κατ᾽ αὐτὸν
μήτριον Μακεδονικοῖς βασιλεῦσιν ἐκ τῆς
.εξάνδρου διαδοχῆς ἀντιτατττόμενοι. Καὶ νῦν
ν Ἀθήνας ἠλευθέρου καὶ τὴν Ἑλλάδα, καὶ
ὶς πατρίους ἀπεδίδου πολιτείας, καὶ μεγάλοις
ρύγμασι, καὶ μεγάλοις ψηφίσμασιν ἰσόθεός
ς ἀνηγορεύετο· νῦν δὲ παρ᾽ αὐτῶν ἠγνωμο-
ῖτο καὶ ἠπιστοῦτο [34]) σφίσι καὶ ἠπίστει, καὶ
ρουραῖς ἑαυτῷ τὰς πόλεις ἠσφαλίζετο, τὰς δὲ
αὶ κατεπολιόρκει καὶ κατεστρέφετο· καὶ νῦν
ὲν ἀποχωρῶν καὶ ἐπεκτεινόμενος τῆς Ἑλλάδος
αὶ Μακεδονικῆς ἀρχῆς καὶ Ἀσιανῆς ὡς πόῤ-
ωτάτω, καὶ καταλείπων τὰν θαλάττῃ καὶ νηῶν
λήθη καὶ τέχνας ἐπὶ ναυσὶ, καὶ [35]) καινότητας
πεÍρμεγέθεις, καὶ οἵας οὔπω πρότερον ὑπὲρ
ὸν Καύκασον ἑώρα, καὶ Ἀλβανῶν καὶ Ὑρκα-
ῶν καὶ Ἀρμενίων καὶ Μήδων καὶ Βάκτρων
κατεπιχειρεῖν [36]) ἐπειρᾶτο ὑπερόριος καὶ μετα-
νάστης βασιλεὺς καὶ στρατηγὸς, καὶ δραπέτης
τῶν οἴκοι καὶ ἐθίμων· νῦν δὲ περικλειόμενος
ὑπ᾽ ἀνάγκης ἔστεργε Πελοποννήσῳ καὶ Κύπρῳ
καὶ Τύρῳ, καὶ ὀλίγοις Φοινίκης [37]) ἄστεσι. Καὶ

---

34) ἠπιστ., C. Mon. πιστεῖτο.

35) καὶ, abest a Cdd. Aug. et Mon.

36) κατεπιχ., C. Mon. ἐπιχειρεῖν.

37) Φοινίκ., C. Mon. Φοινίκοις.

νῦν μὲν πολυολβιώτατος ἦν, καὶ πόρναις
ταπροπίνων καὶ ἀσωτίαις πολυτίμητα κειμ
καὶ χρημάτων θησαυρούς, νῦν δ' ὑπὸ
ἐσχάτης ἐνδείας καὶ ἀπορίας τῆς ἀναγκ
χρείας περιεδίδου τοῖς ἐχθροῖς καὶ Σελευκ
σῶμα καὶ τοὺς φίλους, καὶ ἐτελεύτα καθει
μενος ὑπ' ἀνδρὸς κηδεστοῦ. Καὶ ἔοικεν ὥ
ἐν ταῖς γυμναστικαῖς παιδιαῖς ἀνὴρ οὗτος
θάπερ σφαῖρά τις ἐμπέζεσθαι [38]) τῇ τύχῃ
περιφέρεσθαι, νῦν μὲν ἔνθεν ὠθούμενος
ῥιπτούμενος, καὶ τρέχων ταχὺς καὶ ἄτροπ
πος, νῦν δὲ ἔνθεν καὶ πάντοθεν καὶ πρὸς τα
τῇ τυλίᾳ τῆς τύχης σαγηνευόμενος καὶ κλ
όμενος, καὶ κατὰ τοῦ πεδίου ἀφιέμενος
ἄλλοτ' ἄλλῃ, ὡς ἄρα μηδέποτε ἐν ταυτῷ μένει
μήδ' ἠρεμίας τινὸς τυγχάνειν, καὶ καθεστη
κυίας βιωτικῆς ἕξεως. Παραπλήσια δὲ καὶ τὸ
Εὐμενοῦς [40]) ἔχειν Θρᾳκικὴν Χεῤῥόνησον Φίλι
πος λαβὼν ἁμαξεύοντος πατρὸς, ὡς ἔνιοι φα
υἱὸν, καὶ παντάπασιν εὐτελοῦς γένους,
θρέψας καὶ οἰκειωσάμενος καταλείπει γραμμα
τέων ἡγούμενον [41]) Ἀλεξάνδρῳ τῷ υἱεῖ. Με
στης δὲ τυχὼν ἐμφανείας Εὐμενὴς ἐν τῇ μ

---

38) ἐμπαίζ, sic etiam Cdd. Mon. et Aug. Legendum ἐμ
ζεσθαι.

39) καὶ κλειόμενος — ἀφιέμενος, desunt in C. Mon.

40) Εὐμενοῦς. cf. Plut. Eumen. c. 1. Post ἔχειν ex Cdd. A
et Mon. sunt inserenda: λέγομεν, ὃν ἐν Καρδίας πόλει
κατὰ τὴν.

41) γραμ. ἡγούμ. Plut. l. l. nominat eum ἀρχιγραμματέα.

τῃ κατὰ τῆς οἰκουμένης Ἀλεξάνδρου δόξῃ καὶ ρχῇ μεγίστῃ, καὶ τιμίων γάμων ἀξιωθεὶς Περικῶν ὑπ᾽ αὐτοῦ, ἡνίκα κοινούμενος Μακεδόσι ὰ Περσικὰ, καὶ ἑνοποιῶν [42]) τὴν οἰκείαν ἀρχὴν αὶ βαρβάροις, Ἕλλησι τοῖς φίλοις ἐδίδου τὰς κ τῶν Περσικῶν οἰκιῶν εὐγενεστέρας συζύγους. Καὶ οὐχ ἥκιστα πρὸς τὰ στρατηγικὰ χρήσιμος ενόμενος, καὶ σατραπεύειν ἠξίωται ζῶντος ἔτ᾽ λεξάνδρου πλείστων ἐθνῶν πρὸς ἕω καὶ κατ᾽ νδοὺς, καὶ τοῖς παρ᾽ Ἀλεξάνδρῳ δοκίμοις τε αὶ πρωτεύουσιν ὀλίγοις ἐκείνοις συνετάχθη, στε καὶ τελευτήσαντος Ἀλεξάνδρου καὶ αὐτὸς ν τῷ καταλόγῳ συντάττεται τῶν αὐτοῦ διαόχων, καὶ ἐπαρχίας Ἀσιανὰς διοικεῖν κληροῦαι Κιλικίαν, καὶ Καππαδοκίαν, καὶ Παφλαγόας ἐς Πόντον μέχρι καὶ ἐς Τραπεζοῦντα καὶ Κολχίδα, κἀν ταῖς πρὸς ἀλλήλους στάσεσι τῶν διαδόχων τοῖς πρώτοις ἀντιταττόμενος, καὶ μηδενὶ τῶν ἁπάντων ὑπείκειν ἀξιῶν καὶ ὡς αὐτοῦ δοκεῖν ὑπόχειρα· νῦν μὲν ἐκράτει καὶ εἰς ὕψος ἤρετο Μακεδόνας εὐγενεῖς ἄνδρας, Μακεδόνων αὐτὸς ἡγούμενος, ἀλλότριος τοῦ γένους, καὶ Θρᾷξ καὶ Χεῤῥονησίτης ἄνθρωπος καταπολεμῶν καὶ κτείνων, ἐν οἷς καὶ Κρατερὸς ἦν περιφανὴς ἀνὴρ καὶ φίλτατος Μακεδόσι, καὶ ζῶντος ἔτ᾽ Ἀλεξάνδρου τοῖς ἐκείνου πρώτοις κομιδῇ σὺν ὀλίγοις ἐνταττόμενος, καὶ Ἡφαιστίωνι φρονῶν ἐφάμιλλα, καὶ μὴ δευτερεύ-

42) ἑνοποιῶν, C. Mon. ἑνοποιόν.

ειν 43) ἐκείνου βουλόμενος, τοῦτον Εὐ
κτείνας σὺν πολλοῖς ἄλλοις μετα Μακεδ
ὧν ἡγεῖτο, νικητὴς ἐθαυμάσθη μάλιστα,
ἅμα ἐμισήθη τοῖς Ἀλεξάνδρου στρατεύμασι
διαδόχοις, κάλλιστον δὴ τοῦτον καὶ περι
στατον ἄνδρα τῶν μετ᾽ Ἀλέξανδρον νενικ
καὶ τῆς ζωῆς καὶ τῆς ἡγεμονίας ἀφελό
καὶ νῦν μὲν οὕτως, ὡς ἔφην, εἰς ὕψος
τῇ τύχῃ, νῦν δ᾽ ἐξ ἀπίστου καὶ πολυτρόπου
πολυστρόφου καὶ εὐμεταβόλου χρήσεως
ταπεινῶς ἔπραττε, καὶ ἐδραπέτευεν ἄλλοτ᾽
καὶ πλανώμενος εὖ μάλ᾽ ἑπομένων τῶν
αὐτῷ Μακεδόνων στρατιωτῶν ἐφορεῖτο καὶ
ριήει, ξυμπίπτων ὁτὲ μὲν Λυσιμάχῳ, ὁτὲ
Ἀντιπάτρῳ, ὁτὲ δ᾽ Ἀντιγόνῳ, ὁτὲ δ᾽ ἄλλοις οἱ
τισινοῦν, καὶ ἡττώμενος καὶ περιγινόμενος
καταπαιζόμενος οὕτως ταῖς τῆς τύχης τροπ
καὶ πλεῖστα μὲν ἔτη τὰ Μακεδονικὰ ξὺν α
στρατεύματα πειθήνι᾽ ἔχων μάλ᾽ ἥδιστα, θα
μάσιόν τε πρᾶγμα ξένος ἄνθρωπος καὶ μη
προςήκων 44) αὐτοῖς κατὰ τῶν οἰκείων καὶ κα
τοι προςηκόντων αὐτοῖς στρατηγῶν τε καὶ στρα
τευμάτων. Τελευτῶν δὲ τοὺς ἐν τοῖς χαλεπ
καιροῖς ἑκάστοτε ξυμπονήσαντας αὐτῷ πάνυ
προθύμως καὶ ταλαιπωρηθέντας ταῖς κακοπρα
γίαις αὐτοῦ εὖ μάλ᾽ εὔνους καὶ πιστοὺς τῷ
δρὶ ἐν ἀκμῇ μάλιστα τῆς εὐτυχίας, καὶ ὅτε

---

43) δευτερ., C. Mon. male δευτέρειν.

44) προςήκων, C. Mon. προςῆκον.

ιλιὺ τῶν ἐχθρῶν περιεγένετο, καὶ μείζονος 'χης ἐπίδοξος ἦν αὐτός τε καὶ οἱ σὺν αὐτῷ ιντήσαντες· μεταβαλόντας κατιδὼν ἐξ αὐτου κντάπασιν ἀδοκήτως, καὶ δι' οὐδεμίαν [45]) νάγκην καταπροδιδόντας αὐτὸν, καὶ δεσμοῦν-ας ἀναιδῶς καὶ τῆς τοσαύτης χρονίας συνη-είας ἔξω λόγου παντάπασι καὶ τοῖς ἐχθροῖς 'χειρίζοντας, πρᾶγμα παρὰ δόξαν ἀπαντῆσαν ᾶσαν ἀτέκμαρτον ἐπιδειξαμένους ἐν τῷ βίῳ, αὶ ὃ μήτ' αὐτὸς, μήτ' ἄλλοι περὶ αὐτοῦ ποτ' ν ἔδοξαν. Ὃν γὰρ ἔστεργον δι' οὐδεμίαν νάγκην, δι' οὐδὲν δίκαιον, καὶ προεκινδύνευον πὲρ αὐτοῦ πρὸς τοὺς οἰκειοτάτους, καὶ πλεί-τας πλάνας ἐνίοτε καὶ πολιορκίας καὶ δυςχε-είας ἄλλας καὶ ἀπορίας σὺν αὐτῷ κακῶς ράττοντι διακαρτερεῖν εὖ μάλα δεῖν ἡγοῦντο ιαὶ παραμένειν πιστοὶ, τοῦτον ἀμέλει μετα ὸν χρόνιον συνεθισμὸν καὶ τὴν ἄῤῥηκτον ἐκεί-ην κοινωνίαν ἀθρόον τραπόμενοι προὐδίδουν οῖς ἐχθροῖς, δεσμώτην εἰς θάνατον καὶ παρά-ιειγμα τῷ βίῳ παρέπεμπον τοῦ κατὰ τὴν τύχην ἰβεβαίου καὶ τῆς τῶν πραγμάτων ἀνωμαλίας καὶ ἀστασίας μετὰ πολλῶν ἄλλων πρὸ αὐτοῦ τε καὶ μετ' αὐτόν. Καὶ οὐκ οἶδ' εἰ καὶ τινας κὖ ἑτέρους ἀνάγκη προςτιθέναι τὴν ἐξ ἀρχῆς τοῦ λόγου πρόθεσιν πιστούμενον, μᾶλλον μὲν οὖν καὶ καταπαυστέον ἂν εἴη τοῦ λοιποῦ τοῖς

---

45) δι' οὐδεμίαν, Cdd. Aug. et Mon. sic: δι' οὐδεμίαν αἰτίαν πρὸς λόγον ἐξεταζομένῳ δι' οὐδεμίαν.

εἰρημένοις ἀποχρησάμενον. Καὶ οὐκ ἀγνοι
ἔγωγε, ὡς καὶ πλεῖστ' ἄλλα τοιαῦτα κα
θρώποις γέγονε, καὶ ἀεὶ γίνεται παραπλ
ἀπὸ τοῦ παντὸς αἰῶνος εἰς ἡμᾶς νῦν καὶ
Ἕλλησι καὶ Ῥωμαίοις καὶ βαρβάροις
γένεσι, καὶ οὐ λήξει [46]) γιγνόμενα, ἔςτ' ἂν
θρώπους γῆ τρέφῃ [47]), ἃ μηδ' ἔστι πάντ' εἰδ
μηδ' ἔστι καταριθμεῖσθαι μνήμῃ τηρούμενα
δεήσαν δὲ ὅμως ἐνίων δὴ κατὰ χρείαν μνη
ναι πρὸς τὸν λόγον ὑποδειγμάτων, ὡς ἐπ
ἐμνήσθημεν. Καὶ ἴσως γε δικαιότερον τ
τῆς αὐτῆς ἡμῖν γλώττης ἱστορίᾳ παρακειμέ
νων εἰς ἡμᾶς [49]) καὶ ταὐτοῦ γένους, οὐκ ἀλλ
τρίου, καὶ μηδὲν ἡμῖν προςήκοντος, καὶ ἀρχα
οτέρων ἢ καθ' ἡμᾶς ἔγγιστα, ἐπειδὴ καὶ φύσ
ἀνθρώποις καὶ ἥδιον τοῦτο περὶ τἀρχαῖα δια
τρίβειν μᾶλλον, καὶ ὧν ἐκ μακροῦ μὴ π
φατος ἡ χρῆσις.

ΚΕΦ. ρις'.*)

Εἰς τὸ ἄστατον τῆς τύχης ἐξ ὑποδείγματος.

Θεόπομπος ὁ ἱστορικὸς ἀποσκώπτων εἰς το
Λακεδαιμονίους εἴκαζεν αὐτοὺς ταῖς φαύλ

---

46) λήξει, Cdd. Aug. et Mon. λήγει.

47) τρέφῃ. C. Mon. τρέφει.

48) ἔστι πάντ' — τηρούμενα, in C. Aug. exciderunt.

49) εἰς ἡμᾶς, Cdd. Aug. et Mon. εἰ ἡμᾶς.

*) Hoc Cap. cujus particulam priorem Muretus in var. Lec
VII, 17. latine interpretatus est, integrum iam typis e

επηλίσιν, αἳ τοῖς χρωμένοις ἐγχέουσαι τὴν
ιχὴν οἶνον ἡδύν τε καὶ εὔχρηστον σοφιστικῶς
ὶ τῇ λήψει τἀργυρίου, μεθύστερον φαῦλόν
να καὶ ἐκτροπίαν καὶ ὀξίνην καταχιρνῶσι
αὶ παρέχονται· καὶ τοὺς Λακεδαιμονίους τοί-
νν ἔλεγε τὸν αὐτὸν ἐκείναις τρόπον ἐν τῷ
ατὰ τῶν Ἀθηναίων πολέμῳ τὴν ἀρχὴν ἡδίστῳ
ύματι τῆς ἀπ' Ἀθηναίων ἐλευθερίας καὶ προ-
ράμματι καὶ κηρύγματι τοὺς Ἕλληνας δελεά-
αντας, ὕστερον πικρότατα σφίσιν ἐγχέαι καὶ
ηδέστατα κράματα βιοτῆς ἐπωδύνου καὶ χρή-
εως πραγμάτων ἀλγεινῶν, πάνυ τοι κατατυ-
αννοῦντας τὰς πόλεις δεκαρχίαις καὶ ἁρμο-
ταῖς βαρυτάτοις, καὶ πραττομένους, ἃ δυςχερὲς
ἶναι σφόδρα καὶ ἀνύποιστον φέρειν καὶ ἀπο-
ιννύναι. Ἀλλ' ὅπερ ἄρα Θεόπομπος περὶ Λα-
κεδαιμονίων εἰκάζων, ὡς ἔφην, ἀπέσκωπτε, τοῦτ'
ἐμοὶ δοκεῖ προςηκόντως μᾶλλον ἂν εἴη λέγειν
περὶ τῆς τύχης τῶν ἀνθρωπίνων πραγμάτων,
ὅπως ἑκάστοτε γλυκυτάταις εὐφορίαις ἀπαντῶσα
τοῖς πολλοῖς τὴν ἀρχὴν ἡδίστη καὶ ἀπατῶσα
τοὺς αὐτῇ χρωμένους, καὶ πομάτων γεύουσα
καὶ πραγμάτων προςηνῶν καὶ πολλῶν ἐλπίδων
περὶ τοῦ μέλλοντος πληροῦσα, καὶ καθάπαξ
αἰωρήσασα κουφότητι [1]) τοὺς ἐς αὐτὴν [2]) κεχη-

---

dendum curauimus in Notitia et Recensione Codicum Mss. qui in Bibliotheca Episcopatus Numburgo-Cizensis asseruantur, Part. quinta.

1) κουφ., C. Mon. κουφότατα: Aug. κουφότητα.

2) ἐς αὐτήν, C. Mon. ἑαυτήν.

νότας[3]), ἔπειτα βαρύτατ' ἀδοκήτως σφίσι φέρει, καὶ παντάπασιν ἐργώδη, καὶ οἱ[4]) ἀνύτατα φέρειν πράγματα. Ἐνίοτε δὲ καὶ κ ἀπαλλάττει τάχιστα προλείπουσα τοὺς ο ὕπτως ἐπ' αὐτῇ μέγα φρονήσαντας, ὥσπερ βουλός τις καὶ δολιόφρων συνοδοιπόρος καιροῖς ἄρα καὶ τόποις, οἷς μάλιστα δεῖ ι μαχίας καὶ κοινωνίας καὶ ῥώμης καὶ συνασμοῦ πλείονος, ἔρημον ἀπολείπων καὶ ἀποπετεύων ταχὺς κρύφα, καὶ πάντων λογισ- ἔξω τὸν ἐπ' αὐτῷ τεθαῤῥηκότα, καὶ τῇ αὐ κοινωνίᾳ πρὸς τὴν ἑκάστοτε προτεθειμένην ὁ τοῦ βίου καὶ χρῆσιν. Οὕτω δὴ παντάπασι ἀπίστου τῶν ἀνθρώπων οἱ πλείους πειρῶνται τῆς τύχης καὶ καταθαῤῥήσαντες καὶ πεφυσιωμένοι τὴν πρώτην ὑπὸ τῶν ἐξ αὐτῆς εὐφόρων πραμάτων καὶ χρηστὰ προςδοκήσαντες διὰ πάντ εἰς τέλος πράγματα, ὅσα γε ἐκ τῆς ἀρχῆς, κα ὧν ἐγεύσαντο, καὶ οἷς φθάσαντες ἐχρήσαντο, δεινοῖς ἔπειτα ξυμπίπτουσι πράγμασι καὶ συνέχονται· καὶ τὸ ζῆν οὕτως ἀπευκταῖον κρίνουσι, καὶ ποθοῦντες πάντα τρόπον, ὃν ἂν οἷόν τ' εἴη, τὰ κατ' αὐτοὺς ἄμεινον θέσθαι, πάντ ἀποτυγχάνοντες ἀλγεινότατα διακαρτεροῦσι τῷ βίῳ καὶ τῇ τῶν κακῶν τυραννίδι, μὴ ἔχοντες ὅπως ἄρα δρασμούς τινας εὑρεῖν καὶ λαβέσθαι τινὸς ἐλευθερίας καὶ χρήσεως εὐαγώγου, καὶ

3) κεχην., C. Aug. κεχηνώτας, Mon. κεχυνότας: vterque vitios

4) οἱ, sic Cdd. nostri, verum leg. οἷα l. οἷα l. οἵ.

ν τύχην ἱλεώσασθαι, ἢ πόρνης τρόπον ἀναι-
ῆς καὶ μηδὲν ὅλως ἐπιστρεφομένη προτέρας
τινοσοῦν συνηθείας ἀπ' ἄλλων εἰς ἄλλους
εταβάλλει καὶ μεταβαίνει τάχιστα, κατελέγ-
ουσα φαύλους ὄντως καὶ παντάπασιν ἀφρονε-
στάτους ἀνθρώπους τοὺς αὐτῇ προσέχοντας ἑκά-
στοτε, καὶ μὴ συνορῶντας, μηδὲ συλλογιζο-
μένους ἐφ' ἑαυτῶν, ἃ περὶ ἄλλων κατεῖδον, καὶ
ὴν αὐτῆς ἀστοργίαν καὶ ἀπιστίαν, καὶ τοὺς
ὑρίπους, ὡς εἰπεῖν, τρόπους καὶ πλάνας καὶ
ἀπατηλὰ γοητεύματα, καὶ ἀναρμόστους ὥσπερ
ἐν ὀργάνῳ πολυχόρδῳ τινὶ τῷ ἀνθρωπίνῳ βίῳ
καὶ συστήματι κατὰ μουσικοὺς ἐρεῖν μεταβο-
λάς, ἀπὸ Λυδίου, φασίν, ἐπὶ Δώριον [5]), καὶ
ἀνάπαλιν αὖ ἐπὶ θάτερα, καὶ ὡς νῦν μὲν ἔστιν
ἐντείνουσα τὰς χορδάς, νῦν δ' ἀνιεῖσα, καὶ
γλυκυθυμίας [6]) τινὰς ἀφορμὰς καὶ ῥᾳστώνης
ἐνδιδοῦσα. Καὶ ὡς ἀληθῶς ὃς ἂν τὰ παρὰ τῆς
τύχης τοιαῦτα πολύσπαστα καὶ εὐμετάβολα
κρούματα καὶ μέλη παντοῖα ξυνορῶν παρατρέχει
τὰ οἴκοι ποθῶν, καὶ τὴν ὡς ἀληθῶς ἄνω πα-
τρίδα καὶ πολιτείαν ἑστῶσαν καὶ ἀστασίαστον,
πολὺ μάλιστα σώφρων ἄνθρωπος οὗτος ἂν εἴη,
καὶ πολὺς τὴν προμήθειαν καὶ τὴν σοφίαν κατὰ
τὸν ἐν ποιήμασιν Ὀδυσσέα τὰς τῶν Σειρήνων
παρόδους εὖ μάλα διοικῶν καὶ τεχναζόμενος
καὶ καταφράττων τὰς ἔξωθεν ἐμμελεῖς δοκού-

---

5) Δώριον, cf. Suid. ad Δώριος.

6) γλυκυθυμ., C. Mon. male γλυκυμυθίας.

σας καὶ ἐπαγωγοὺς ἐμπιπτούσας θυροκοπια
αἰσθήσεσιν, ὑφ' ὧν ἐστιν ὥςπερ ἀπαραι
ἡμῖν συνοδοιπόρων καὶ κοινωνῶν τῇ ζωῇ
σύμπλων τοῦ βίου, εἰ μή τις τὰ κατ' α
ἀσφαλίσαιτο προςσχόντα κακῶς καὶ ἀτιμοι
τοῖς τῇδε μαγγανεύμασι πονηροῦ καὶ κα
τέλους λαχεῖν. Ἀλλ' εἰ καὶ τοῦθ' οὕτω;
καὶ ὀρθῶς λέγομεν, πολλή γε ὅμως ἡ δεῖ
γεννικῶς ἐνταῦθα χρῆσθαι, καὶ σπάνιον ὑπ
τὰ παρὰ τῆς τύχης ἀπατηλὰ γλυκάζοντα
καὶ νάματα, εἴτ' ἐξ ἀρχῆς εὐθὺς, εἴτ
μεσοῦντα παρῆλθεν ἀνεπίστροφος εἰς τέλος
θάπαξ ὡς ἄρα Στυγὸς αἰπὰ δεινῆς ῥέεθρα
μήποτε ἐστὶν εὐανάδοτα καὶ χρήσιμα
φύσιν εὐγενέσιν ἔξεστι [8]) μήθ' ὅλως ἐστὶ τὰ
μονὴν ἔχοντα. Καὶ μακάριος ὄντως καὶ π
θαυμάζειν ἄξιος, ὅςτις αὐτὸς ἀμέλει παρέδ
κατὰ τὸν σοφῶς εἰρηκότα τὰ παρατρέχοντα.

ΚΕΦ. ριζ'. *)

Θεωρία ἐξ ὑποδειγμάτων, ὅπως τινὲς ἀπὸ μεγά
πράξεων καὶ μεγάλης τύχης ἀλλάττουσιν εἰς ἀπραξ
ἢ τὸ πράττειν ταπεινῶς.

Πολλάκις ἐπ' ἐνίων ὁρᾷν ἐστι ξυμβὰν, κα
τὸν ἀεὶ χρόνον ὡσαύτως ὁρᾷν ἐστι παραπλ

7) ὅςτις, deest in C. Mon.

8) ἔξεστι, C. Paris. Reg. ἔξεσι.

*) Reinesius huic Cap. praemisit in ora Ms. haec: Optime
hoc themate potuit disserere, qui ipse a summa felicitate

ὥςπερ καὶ ἐπὶ τῆς θαλάττης πολλάκις
ιεν, εἰς ὕψος αἴρεται κιναυμένη [1]) πνεύμασι
παφλάζει καὶ ταραχῆς καὶ πραγμάτων [2])
μεστὴ, καὶ θέαμα γίγνεται φοβερὸν, καὶ
ὁρώντων τὸν νοῦν κατασεῖον, καὶ πολλοῦ
ιβους καὶ ἀμηχανίας πληροῦν τῇ πρὸς αὐτὴν
ττείᾳ βρασματώδει τινὶ τοῦ καθεστῶτος ἔξω
συνήθους, καὶ τῆς ὁμαλοῦς καὶ ἀπράγμο-
ἀγωγῆς μέχρι τινὸς ἐξοιστρῶσα καὶ ὑβρί-
'σα, καὶ μηδὲν ἄρα μέτριον πράττουσα, μηδ'
ε τοὺς ἀνθρώπους ἐῶσα μένειν ἐφ' ἑαυτῶν
ι ἔχειν ἠρέμα, ἀλλ' ἐκπλήττουσα τῇ καινό-
ι τῶν ὁρωμένων μάλιστα προςέχειν αὐτῇ καὶ
υμάζειν, ἔπειτ' αὐτόθεν ἀθρόον καταπαύει
ῦ χόλου καὶ τῆς ταραχώδους ἐκείνης ἀκμῆς,
ὶ ἀπραγμονέστερον χρῆται, κατ' οὐδὲν ἐοι-
ῖα αὐτὴ πρὸς ἑαυτὴν, πρὸς οἵαν πρότερον,
α ὕστερον, ἀτρεμοῦσα χειροήθης [3]), ὡς εἰπεῖν,
μεταβολῆς, καὶ πᾶν τοὐναντίον τῶν [4]) προ-
ρων ὄχλων ἀψοφητὶ τὸν χρόνον ἑξῆς ἀνύτουσα,
αὶ ἀθορύβως τοῖς προςορῶσιν ἐκκειμένη πάν-
ων πραγμάτων ἐκτός. Οὐκοῦν καὶ ἐπὶ πολλῶν,

---

extremam egestatem deciderat, immo supra C. 28., quo demonstrat, non posse reperiri cuiusquam βίον ἄλυπον, semetipsum adfert pro exemplo.

1) αἴρεται κινουμένη, quid? sine dubio ναῦς l. βιοτή.

2) πραγμάτων, Reines. e coniectura βρασμάτων, quam firmant Cdd. Aug. et Mon.

3) χειροήθης, C. Mon. χειροήθους.

4) τῶν, C. Mon. omittit.

ὡς ἔφην, ἀνθρώπων παραπλησίως ὁρᾷν
μεγίστοις γὰρ τέως ἐνασχοληθέντες τινὲς
μασι, καὶ ὥςπερ ἐξ ἐνθουσιασμοῦ τινὸς
βακχεύσαντες τῷ βίῳ, καὶ πλεῖστ' ἄνω
κάτω διαεθλεύσαντες [5]) καὶ πομπεύσαντες
πάντας, ὡς εἰπεῖν, ἀνθρωπίνους λογισμοὺ
πᾶσαν γλῶσσαν εἰς ἑαυτοὺς ἀπὸ πάντων
στρέψαντες, καὶ τῇ καινότητι τῶν κατ' αὐ
πράξεων ἀφορμὰς δόντες ἐμμελῶς διατρι
μεγαλουργότατοι γενόμενοί τινες καὶ δρα
κώτατοι καὶ πολυαρχέστατοι καὶ τελε
πραγμάτων ἀδοκήτων, καὶ κομιδῇ πόῤῥω
ἐθίμων τοῖς λογισμοῖς, καὶ θαυμάζειν ὑπ
βαλλόντως κινούντων τεράστια τηνικαῦτα
βίου δράματα, λοιπὸν αὐτόθεν ἔπειθ'
καταπαύοντες αὐτοὶ πάντα πράγμαθ' ὁρῶντα
καὶ καταπαύειν ἐμποιοῦντες τοὺς περὶ αὐτ
λογισμοὺς τῶν τέως ἐφορωμένων τὰ κατ' αὐτ
ἐν θαύματι, καὶ [6]) συνανακοινούμενοι τ
ἄλλοις, καὶ πλεονάζοντες οὐδὲν ἢ καὶ εἰ τα
τῶν συμβιούντων ἀπραγμονέστερον, καὶ με
πάσης ἀκινήσεως καὶ ἠρεμίας ἀεὶ τῇ ζωῇ πα
όντες χρῶνται· ὡς ἄρα δὴ καὶ χώραν ἐμποι
τάχα τοῖς λογισμοῖς, μήποτ' ὄναρ ἦν τὰ πρό
τερον ἔργα καὶ θαύματα πλείω τῶν ἐθίμων
οἷα δὴ τῇ φαντασίᾳ μέγιστα δραματουργηθέ
πράγματα, καὶ τῶν κατὰ φύσιν γιγνομένων

5) τῷ βίῳ — διαεθλεύσαντες, male omissa in C. Mon.
6) καί, C. Mon. non habet.

ίοτε παντάπασιν ἔξω ῥᾶστα, καὶ ἀπροςκόπως δενὸς ἀντιπράττοντος [7]). Οὕτω δὴ καθάπαξ .λότριον θέαμα προςορᾶν ἐστι πολλάκις ἐπ' ίων, ὡς ἔφην, τὸν δεύτερον κατ' αὐτοὺς βίον ͻ φθάσαντι καὶ ἀσύμβατον, καὶ ὡς ἔπος πεῖν, μὴ συνεχῆ ζωὴν αὐτὴν ἑαυτῇ, τὴν αὐ- ὸν ζωὴν τῇ τῆς [8]) χρήσεως ἑτερότητι, καὶ ὥςπερ λλην ἄλλως, καὶ οὐ τὸν αὐτὸν τρόπον, καὶ ίλιν ταὐτὸ φημὶ τὴν μὲν ὄναρ, τὴν δὲ ἴσως ταρ, ὡς μηδὲν ὅμοιον ἔχουσαν μηδὲ συγγενές. ːαὶ ἐνίοτε μὲν τοῦτ' ἂν γίγνοιτο τῷ ὄντι καὶ αρὰ τὴν ἀνωμαλίαν τῶν ἀνθρωπίνων ἠθῶν, αὶ τὸ ῥᾷστ' εὐμετάβλητον, καὶ ἀστατοῦν, καὶ ͻλύτροπον ἀπὸ πάντων εἰς πάντα. Μάλιστά ε μὴν γίγνοιτ' ἂν τοῦτο παρὰ τὴν ὑποκειμέ- ην ὕλην ταῖς τῶν ἀνθρωπίνων πράξεσι, καὶ ς ὁ χρόνος ἀφορμὰς ἔργων χορηγεῖ, νῦν μὲν ξάπτων καὶ ἀναζωπυρῶν ὥςπερ ὕλης ἐπιβολαῖς ὸ κατὰ φύσιν ἐπί τινων δραστικὸν τοῖς ξυμ- ίπτουσι κατὰ πρόσωπον λεόντων κατὰ τὴν ταροιμίαν προτιθεὶς βορὰν, καὶ ἵπποις δρομι- ιοῖς ὑφαπλῶν πεδία [9])· νῦν δὲ πάσης ἐρημίαν ρήσεως ἐμποιῶν, ὥςτ' ἐξ ἀνάγκης ἔχειν ἠρέμα ιαὶ ἀλλοτρίως ἑαυτῶν βιοῦν, καὶ τῆς αὐτῶν ρύσεως καὶ δυνάμεως τοὺς γεννικοὺς ἄνδρας, καὶ τοῦ πράττειν ἀξίους καὶ ἀεὶ μεγάλοις πα-

---

7) ἀντιπρ., C. Aug. modo ἀντιπράττον.

8) τῆς, deest in C. Mon.

9) πεδία, C. Aug. παιδία.

ραβάλλεσθαι. Τί γὰρ ἂν οἱ τοιοῦτοι καὶ ἔχοιεν ἐν στενῷ τῆς τύχης τῶν πραγμάτω πάσης ἀνδρείας ἀφορίᾳ χρήσεως ἀποκεκλ νοι; Ὁ κατανοεῖ μὲν ἴσως ὁ θεατὴς κ ἀνάγκης οὕτω δὴ ξυμβαῖνον, κατανοεῖν δ' δίκαιός ἐστιν ἐπὶ τούτοις καὶ συλλογίζε κἀντεῦθεν τὰ πάντα κατ' ἀνθρώπους ἔχοντα, καὶ ἀνόμοια πρὸς ἑαυτά, καὶ ἀνωμαλίας πλήρη, καὶ οὐδὲν διὰ πάντων σι τε καὶ συγγενὲς ἐῤῥωμένον ἑαυτῷ, ἀλλ' ἄ ἄλλως ἔχον καὶ τῆς ἑνοειδοῦς ἕξεως ἀλλοτρί ὅτι δὴ καὶ καθόλου τὰ τῇδε καὶ ὅσα γίγνε οὐκ ἔστι κατὰ φύσιν ἐν ταυτότητι. Θεμι κλῆς, μέγιστος ἀνὴρ καὶ στρατηγικώτατος πολὺς τὴν σοφίαν καὶ τὴν ἐν τῷ πράττειν μεγ λοφυίαν καὶ δραστικὴν ἑτοιμότητα οὐκ Ἀ ναίων μόνον, ἀλλὰ καὶ πάντων σχεδὸν Ἑλλή ἐπρώτευσε [11]) τῶν κατ' αὐτὸν καὶ πάντων χρ μάτων, καὶ πάσης ἐργασίας τοῖς Ἕλλησιν ἡγεμὼν καὶ διδάσκαλος, ἡνίκα Ξέρξῃ καὶ Π σαις ἐν ἐσχάτοις κινδύνοις ἡ Ἑλλὰς γέγ Καὶ μόνος δὴ Θεμιστοκλῆς τηνικαῦτα γέγ σωτὴρ πάντων κακῶν ἀλεξίκακος Ἕλλησι, πρὸς τὸν τοσοῦτον ἀντέσχε κλύδωνα, καὶ βάρος τῆς ἐπιπεσούσης τοσαύτης ἐπηρείας συμφορᾶς ἀπεκρούσατο, καὶ τῆς ἐκείνου στρ τηγίας καὶ τόλμης καὶ δεινότητος καὶ παντοί

10) ἀλλοτρ., Cdd. Aug. et Mon. ἀλλοτρίαν.

11) ἐπρώτ., C. Mon. ἡ πρωτεύσασα.

μελείας ἡττᾶτο Ξέρξης, καὶ τὸ ξὺν αὐτῷ ρβαρον ἐφθείρετο, καὶ ἃ μὴ διαριθμεῖσθαι διον ἦν στρατεύματα. Καὶ οὐκ ἦν ἄλλος Θεμιστοκλῆς ἐκεῖνος ἐν ταῖς τῶν ἀνθρώπων τε γλώσσαις, οὐ τῶν ξυντετυχηκότων μόνον ῖς μάχαις ἐκείναις καὶ τοῖς πράγμασιν ἐκεί-ις Ἑλλήνων τὲ καὶ βαρβάρων, ἀλλὰ καὶ πάν-ν τῶν κατὰ τὴν οἰκουμένην σχεδὸν ἀνθρώ-ιν, ὅτι δὴ καὶ μέγιστ' ἐκεῖνα τηνικαῦτα άγματα πάντα τὸν βίον καὶ πᾶσαν τὴν οἰκου-ένην ἐπέσχε καὶ περιεθρυλλεῖτο, καὶ πάντας ὶ λογισμοὺς καὶ λόγους ἐκίνει, καὶ μέτριον ιδὲν ἦν οὔτ' ἐννοεῖν· περὶ ἐκείνων τῶν πραγ-άτων, οὔτε λέγειν κατ' ἀνθρώπους. Ἀλλ' ὥς-ερ δή τις τῆς οἰκουμένης ὅλης ἀτεχνῶς σεισμὸς αὶ σύμπτωμα ἐξαίσιον, καὶ πάλαι τῶν χρόνων ηθες, πάντας ἀνθρώπους ἀπὸ πάντων πραγ-άτων ἐπέστρεψεν εἰς αὐτὰ, καὶ διατριβὴν αρέσχε τοῖς ἁπάντων ἐννοήμασι καὶ λόγοις, αὶ οὐδὲν ἄλλο σχεδὸν ἦν ἐν ταῖς πάντων ἀκοαῖς αὶ γλώτταις ἢ Ξέρξης ἐκεῖνος, καὶ τὰ κατὰ ῆς Ἑλλάδος μυρία στρατεύματα καὶ κατὰ γῆν ιαὶ κατ ἀθάλατταν, καὶ Θεμιστοκλῆς πρὸς πάντ' ἀντιτάξας ἑαυτὸν, καὶ διὰ πάντων περιγενόμε-νος, καὶ Σαλαμὶς ἐκείνη καὶ ναυμαχίαι, καὶ μέγιστα τῶν Ἑλλήνων τρόπαια. Οὐ πολὺς ἑξῆς χρόνος καὶ Θεμιστοκλῆς μετὰ τὰς περιβοήτους ἐκείνας νίκας καὶ τὸν μέγιστον ἐπ' αὐταῖς τῆς δόξης θρίαμβον Ἀθήνησι ταπεινὰ καὶ κατὰ πολλοὺς ἄλλους ἔπραττε, μᾶλλον δ' ἀπραξίᾳ

κατεσιγάζετο, καὶ τῶν πολιτικῶν, ὅσα κα... ναῖοι πάντες, ἥπτετο, παραβαλλόμενος καὶ δημοτικοῖς ἀνθρώποις παμπληθοὺς... κεραμεῦσι καὶ σκυτεῦσι καὶ γεωργοῖς κα... λαττουργοῖς ἀνθρώποις, καὶ πᾶσι βαν... καὶ τεχνῶν ἐργατικοῖς, ὧν πόλεσι δεῖ· ... μὲν οὖν καὶ Λύκων [12]) καὶ συκοφάντα... δημαγωγοῖς, οὓς ἡ πόλις ἔτρεφε πλεῖστο... ἀεὶ χρόνον Ἀθῆναι, ὑφ᾽ ὧν καὶ ὠστρα... καὶ ἔφευγε Θεμιστοκλῆς τὴν πατρίδα καὶ ... όριος ἐτελεύτα τὸν βίον. Λύσανδρος ὁ... Σπαρτιάτης πάντας ὑπερεβάλετο τῷ με... καὶ τῇ τύχῃ τῶν πράξεων, ὅσοι πρότερόν τε... μεθύστερον αὐτοῦ τῆς αὐτῆς πόλεως ... καὶ στρατηγοὶ, ἴσως δὲ καὶ πάσης ἄλλης Ἑλ... νικῆς πόλεως, καὶ οὐ τῆς Σπάρτης μόνον, ... τὸ μέγα κλέος τῆς Ἀθηναίων πόλεως ... στρατηγῶν καὶ ναυαρχῶν Λακεδαιμονίων ... στρεψάμενος· καὶ ἀφελόμενος μὲν τὰς ... ναῦς ἁπάσας, πλήθη δὲ μυρία κτείνας ... ναίων καὶ τῶν συμμάχων, καὶ τὴν ... μέχρι τότε καὶ περιβόητον πόλιν τῶν Ἀθη... καταπολιορκήσας καὶ δουλωσάμενος, καὶ ... σκάψας αὐτῆς τὰ τείχη καὶ τὸν Πειραιᾶ ... τὰ θαυμαστὰ νεώρια, καὶ τὴν πατρίδα ... Λακεδαιμονίους καὶ γῆς καὶ θαλάττης ... Ἑλληνικῶν καταστησάμενος ἄρχοντας, καὶ ...

---

12) Λύκων, consentiunt in hac lect. Cdd. Aug. Mon. et P... Germ. sed Paris. Reg. Λύκων.

ς τὲ πάσας φρουραῖς καὶ ἁρμοσταῖς τοῖς τῆς
άρτης ἐπιτάγμασιν ἄγεσθαι καὶ πᾶσαν τὴν
λοπόννησον καὶ τὰ τῶν Ἑλλήνων ἔθνη. Καὶ
ὲ πάντων τούτων [13]) περικλέϊστος καὶ γενό-
νος καὶ ἀκούων, καὶ θαυμαστὸς καὶ μεγα-
υργὸς ἄνθρωπος ἐν Ἕλλησι καὶ βαρβάροις,
ὶ Κύρῳ [14]) καὶ Ἀρταξέρξῃ καὶ Πέρσαις, μετ'
ίγον ἔπειτα καταπαύσας τῶν μεγάλων ἐκείνων
νων καὶ τῆς παμμεγέθους δόξης, καὶ τοῖς
λοις τῶν Σπαρτιατῶν ἐπολιτεύετο ταπεινῇ
χῃ καὶ κατὰ τοὺς πολλοὺς ἐθίμῳ, καὶ ἄλλοις
ιοσεῖχε γενομένοις ἐπὶ τῶν πραγμάτων, ὅσα
ὶ ἄλλος ὁςτιςοῦν, καὶ Ἀγησιλάῳ ξὺν πολλοῖς
ετο κατὰ τὴν Ἀσίαν καθυπουργῶν ἐν πόλε-
ν ἐκείναις, αἷς οὐ πολλῶν πρότερον τῶν χρό-
ον μέγας ἦν Λύσανδρος καὶ πολλοῦ λόγου καὶ
ολλῆς τιμῆς ἀξιούμενος. Καὶ τοσοῦτον ἐπαί-
ετο τῇ τύχῃ καὶ τῇ φορᾷ τοῦ βίου καὶ τῶν
ραγμάτων εὐτελῶς [15]) εἶχεν, ὥςτε καὶ ὕβριζεν
ἰς αὐτὸν Ἀγησίλαος, ἀνὴρ φιλότιμος, φθόνῳ [16])
ῆς δόξης βαλλόμενος, καὶ ταπεινῶν τὰ Λυ-
άνδρου πράγματα, καὶ κρεωδαίτης [17]) ἦν κατ'
πιταγὴν Ἀγησιλάου Λύσανδρος τῶν σὺν Ἀγη-
ιλάῳ στρατευμάτων· καὶ ἀντὶ τῆς μεγάλης
κείνης καὶ τύχης καὶ φήμης καὶ τῶν περιφα-

---

13) τούτων, C. Mon. omittit.

14) Κύρῳ, cf. Plut. Lysandr. c. 4.

15) εὐτελ., Cdd. Aug. et Mon. ἐντελῶς.

16) φθόνῳ, C. Mon. φόνῳ, inepte.

17) κρεώδαίτης, cf. Plut. Lysandr. c. 23.

νῶν ἔργων καὶ τοῦ κρότου τῶν πράξεων τα
μετελάμβανε χρόνοις οὐ πολλοῖς ὕστερον.
τούτοις ἑωρᾶτο μηδὲν ὁτιποτοῦν πλέον ἢ
των ἢ τιμώμενος, καὶ λόγου τυγχάνων, ἢ
ὁςτιςοῦν τῶν τοῦ αὐτοῦ γένους καὶ τῆς
δος πολιτῶν. Μάριος δ' ἐξ ἀφανοῦς τοῦ
καὶ ταπεινῶν τῇ τύχῃ τῶν φυσάντων γε
τοσοῦτο μέγας ἤρθη καὶ διέλαμψεν ἐν τῇ
κλήτῳ, καὶ τοῖς ἡγεμόσι καὶ τοῖς στρατ
τῆς Ῥώμης, ὥστε καὶ ὃ μὴ πώποτε πρότερο
ἄλλου του τῶν εὐδοκιμησάντων καὶ μ
κατωρθωκότων ἐν στρατηγίαις καὶ ἄλλαις
τισι πράξεσιν ἐπ' αὐτοῦ συμβῆναι· ἑπτάκις
ὑπατεῦσαι λέγεται, καὶ τὸ δὴ θαυμαστὸν
συνεχῶς ἔπειθ' ἑξῆς καὶ μὴ διαλείπων τὸ χρ
Καὶ τοῦτο μόνῳ δὴ πάντων ἀνθρώπων Μα
γινόμενον μνημονεύεται, καὶ οὐκ ἄλλῳ
αὐτοῦ πρότερον ἢ μεθύστερον. Οὕτω δὴ μ
καὶ πολλοῦ τινὸς ἄξιον λόγου [καὶ καινοτ
τιμῶν ἄξιον καὶ θαυμαστῶν, καὶ πλεῖν ἢ
ἔθος ᾤοντο Ῥωμαῖοι Μάριον, καὶ αἱ Κιμβρ
χρεῖαι καὶ τὰ κατ' αὐτῶν στρατηγήματα
τρόπαια τοῦ ἀνδρὸς ἠνάγκαζον τὴν σύγκλ
τὰ πάλαι καθεστῶτα κινεῖν καὶ μεταποιεῖν
Μάριον, ὡς τοῦτ' ἄμεινον ὂν σφίσι καὶ
καιροῦ βιάζοντος τὰ κρατοῦντα νόμιμα,
μεγαλοδοξίαις γεραίρειν πλεῖν ἢ τέως ἔθος
καὶ τῶν ἐθίμων μέτρων πλεῖν Μάριον. Ὁ
αὐτὸς οὗτος ὁ πολὺς τὴν δόξαν καὶ πάν
ὑπερελάσας ἐν τοῖς ὑπὲρ τῆς πατρίδος ἀγῶσι

εις, καὶ τῇ παρὰ τῆς πατρίδος μεγαλοδοξίᾳ, νοις οὐ πολλοῖς ἔπειθ᾽ ὕστερον ἐν βραχεῖ ῳ τοῖς πολίταις ἦν καὶ τῇ πατρίδι, καὶ τα-ὸς τὰ κατὰ εἰρήνην πολιτικὰ διῆγεν, ὅσα ὁστισοῦν ἄλλος τῶν ἐκ τῆς συγκλήτου τῇ ιῃ διατρίβων, καὶ παρορώμενος ἔοικεν ἔξω χρείας· ὥσπερ ἄρα καὶ τῶν πολεμικῶν οῦν ὄργανον [18]) κατ᾽ οἰκίαν ἀργὸν ἐν εἰρήνῃ ον, καὶ μὴ τῇ χρήσει κινούμενον, καὶ πε-φρόνει Σύλλας αὐτὸν καὶ περιεφρόνει Λαβι-ὸς, καὶ ἄλλοι τῶν τέως εὐπεριφρονήτων τῷ, καὶ πολὺ σπουδαζόντων καὶ πολλοῦ ιωμένων ἐν τοῖς οἰκείοις αὐτοῦ τετάχθαι, ὶ λόγου τινὸς καὶ τιμῆς ἀξιοῦσθαι Μαρίῳ, τ᾽ ἐντεῦθεν καὶ κατολιγωραύμενος οὕτω, καὶ θόνῳ μάλιστα πληττόμενος κατὰ τῆς δόξης ὶν πρὶν ὀλίγου λόγου δοκούντων ἀξίων παρ᾽ ὐτοῦ τε καὶ τῶν αὐτοῦ πολιτῶν φιλότιμος νθρωπος, καὶ πικρὸς πρὸς τούτῳ τὸ ἦθος καὶ αρύμηνις καὶ ἀνάγωγος εὐκολίᾳ καὶ γαληνῇ ρήσει μεγάλων κακῶν αἴτιος καὶ στάσεων καὶ θορᾶς τοῖς Ῥωμαίων πράγμασιν γενέσθαι, καὶ ελευτῶν αὐτὸς ἑαυτῷ. Καὶ πολλούς γ᾽ ἂν λλους καὶ Ῥωμαίων καὶ Ἑλλήνων ἔχοιμεν ἐν-αῦθα προφέρειν καὶ προστιθέναι τοῖς εἰρημέ-οις, οἳ μεγαλοδοξότατοι τῶν καθ᾽ αὐτοὺς ενόμενοι, καὶ πλεῖστον ὅσον πομπεύσαντες τῷ λέει κατὰ πάντων ἀνθρώπων καὶ περιφανέσι

---

18) ὄργανον, C. Mon. ἐργάνων.

τισὶν ἔργοις καὶ τύχαις ἔπειτ' ἐκ διαδοχῆς τόθεν ταπεινῶς ἔπραττον, καὶ παρεορῶντο[19] τῶν φθασάντων ἀναξίως, καὶ ἴσα[20]) τοῖς ἄλλοις καὶ ὢν ὀλίγος[21]) ὁ λόγος τοῦ βίου λειπόμενον ἀνύτοντες. Καὶ μάλιστά γε τα ξυμβαίνειν εἴωθεν ἐν ταῖς κοινοπολιτείαις, πλεὶν ἢ ἐν τῇ μοναρχικῇ διοικήσει, κἂν εἰ πανταχοῦ[22]) βίου κατ' ἀνθρώπους συμπτώματα καὶ τὸ μηδὲν ἐν αὐτοῖς βέβαιον εἶναι ἄλυτον μηδ' ἑστὼς, ἀλλὰ πάντ' ἐκ πάντων γίνεσθαι καὶ μεταβάλλειν ῥᾷστα, καὶ τῶν ἐπιφανεστάτων εἰς τἀναντιώτατα ἐξ ἀφανείας περιφάνειαν, καὶ ἀδοξίας εἰς εὐδοξίαν, καὶ ταπεινῆς τύχης εἰς πρώτην εὐδαιμονίαν, καὶ ἀνάπαλιν αὖ ἐκ τῶν καλλίστων αὐτῶν καὶ κτ-κταιοτάτων εἰς πάντα δυςχερῆ, καὶ ἀπευκτόστατα, καὶ ἃ μήποτ' ἂν ἔδοξέ τις τῶν πολ- καὶ καθάπαξ ἐχομένων, οἷς ἂν ξυλλάχωσιν, τοῖς γ' ἐλλογίμοις, μᾶλλον δὲ καὶ τοῖς μὴ παντάπασιν ἀσυνέτως βιοῦσιν, οὐδὲν ἀδόκητον ἀνθρώποις, οὐ τῶν μεγίστων, οὐ τῶν εὐτελεστάτων, οὐ τῶν χρηστῶν ἴσως καὶ ὑπερβαλλόντως, οὐ τῶν φαύλων, καὶ ἴσως ἀλγεινοτάτων.

---

19) παρερ., C. Mon. παρ' ἐῤῥῶντο. Leg. παρεωρῶντο.

20) ἴσα, C. Mon. Ἶσα.

21) ὀλίγος, Cdd. Aug. et Mon. ὀλίγους.

22) κἂν εἰ πανταχοῦ, desunt in C. Mon. sed ante βίου Cdd. Aug. et Mon. inserta habent: κἂν ταύτῃ γε ὅμως τῇ μοναγωγῇ κοινὰ τὰ τοῦ βίου.

ΚΕΦ. ριή.

τῶν ἐπιμελῶς κτηθέντων ἡ [1]) ἀποβολὴ οὐκ ἀταλαίτωρος οὐδ' ἐῤῥαστωνευμένη.

Ἀ [2]) μὴ πόνων πολλῶν κτήσαιτ' ἄν τις, οὐδὲ λὴν ποιεῖται τὴν ἐπιμέλειαν περὶ τὴν αὐτῶν ησιν, καὶ ῥᾷσθ' ὁρῶμέν γε πολλάκις ταῦτ' ὑμενα τῷ κτησαμένῳ, καὶ ἐκπίπτοντα κατο- ωρούμενα, καὶ οὐδ' ἀλγεινὴ πάνυ τοι τοῖς ερῶς καὶ κτησαμένοις καὶ ἀποβαλοῦσιν [3]) ται λοιπὸν ἔπειτα περὶ τούτων ἡ μεταβολὴ ὶ ζημία. Ἃ δ' ἂν ἐπιμόνῳ φροντίδι καὶ διὰ λλῆς ἐργασίας καὶ καματηρῶς ὁρῶμεν κτώ- να καὶ πολλοῦ πόνου τοῖς κτησαμένοις ἀξι- ται, ὥςτε καὶ ἀσφαλέστατα πολυωρεῖσθαι, ἡ που λάθῃ παραῤῥεύσαντα καὶ φθάσῃ πρὶν καὶ γνωσθῆναι τούτων ἡ ζημία τοῖς κτησα- ένοις, κόρος τέ γε δὴ τούτων μακρὰν ἐλήλα- κι, καὶ ἀεὶ καθάπαξ ὥςπερ νεαροί τινες ἐρα- ταὶ περισπούδαστ' ἀντέχονται [4]) τῶν τοιούτων ἱ τυχόντες, καὶ πάντα φέρειν ὑπὲρ αὐτῶν τοιμοι καὶ ἄτρεπτοι καὶ λόγους καὶ φροντίδας αὶ πόνους καὶ πράγματ' ἀνιαρὰ, ὡς ἂν μὴ ῶν φιλτάτων ἀφαιρήσοιντο, καὶ πᾶσαν ἐπὶ ούτοις ἀσχολίαν ἄγουσι, καὶ παρορῶσι πάντα

---

1) ἡ, deest in C. Mon. vti etiam ap. Fabric. in Bibl. Gr.

2) ἃ, Cdd. Aug. et Mon. ὅ.

3) ἀποβ., C. Mon. ἀποβαλλοῦσιν.

4) ἀντέχ., C. Mon. ἂν κατέχονται: Aug. ἂν τέχονται.

τῆς περὶ ταῦτα σπουδῆς ἕνεκεν, καὶ γλυκ
μίαν ἅπασαν καὶ τερπνότητα, καὶ ἐλέγχο
καὶ ὀνείδη, καὶ τῶν πολλῶν οὐκ ἐπιστρέφο
ὅπως ἂν δοκῶσι περὶ αὐτῶν εἴτ' ἐπαινο
εἴτε καταμωκώμενοι. Νομίζουσί τε και
ἑαυτοῖς μᾶλλον περὶ ταῦτα σπουδάζουσι,
μάλα δὴ χρησίμως ἑαυτοῖς σπουδάζοιεν
πᾶσιν ἄλλοις ἔξωθεν ἐφορωμένοις καὶ χρ
Τὸ δ' αἴτιον ἴσως κἀνταῦθα φιλαυτία·
γὰρ ἐκείνων εἰσὶ τῶν οὕτω δὴ καθάπαξ
στων, κἀκείνοις [5]), ὡς εἰπεῖν, οὐσίωνται καὶ
καὶ ὡς ἕν τί ποτε συμπεφύκασι· καὶ τὸ
ἑαυτὸν ἀμέλει καὶ τὰ καίρια καὶ
ἑαυτῷ, καὶ οἷς συνουσίωται, πάντων
καὶ ἀνεπίστροφον τῶν ἔξω, καὶ κόρον
ἑαυτοῦ λαμβάνει καὶ τῶν αὐτοῦ, καὶ
φύσιν οἰκείων, ὅπως ποτ' ἄρ' ἔχει· οὐδ'
ἀφιστᾷν αὐτὸν ἑαυτοῦ καὶ μεταποιεῖν οὐχ
τας ἀνθρώπους, οὐχ ἅπαντα πράγματα.
πολὺ τοῦτ' ἐργωδέστατον καὶ ἀλγεινότατ
ὅςτις ἂν ἄλλως πειρῷτο, καὶ τέμνει τὰ
φύσιν ὥςπερ συνεζευγμένα, μᾶλλον δ'
πᾶσα. Καὶ μάτην ἂν εἴη τοῦτο πονεῖν,
ὥςπέρ τινα φύσεως ἕξιν ἢ νόσημ' ἀπαραίτη
ἀλλάττειν πειρᾶσθαι, καὶ τἀλλότρια καὶ
πεφυκότα φιλεργεῖν, καὶ λίθους ἕψειν,
ἀνδριάσι διαλέχεσθαι [6]), καὶ πάσαις ἀμαθ

---

5) ἐπερ. κἀκείνοις, C. Mon. ἀπεράστων, κἀκεῖνοι.
6) διαλέχ., leg. διαλέγεσθαι.

'χεσθαι [7]), καὶ μηδ' ὑπὸ τῶν θείων λογίων ιάσκεσθαι, εἰ ἀλλάξεται Αἰθίοψ τὸ δέρμα τοῦ, καὶ πάρδαλις τὰ ποικίλματα αὐτῆς, ὡς ιτο παντὸς μᾶλλον ἀδύνατον ὂν καὶ πολλὴν οιαν κατελέγχον τοῦ τοιοῦτον τὶ [8]) δημιουρ- ν οἰομένου καὶ μεταποιεῖν, ἃ μὴ [9]) πέφυκεν, γὰρ κατὰ σύμβαμα τὶ σχέδιον ἐπιγίγνεται, ὶ αὐτόθεν, ὡς ἔφημεν, εὐμετάβλητα. Καὶ πάνυ τοι κατηρὸν [10]) ἡ τούτων ἄρα τροπὴ, ιδ' οὕτως ἀνιαρὸν, ὡς ἀνύποιστον ἡ τούτων ιμία· ἃ δ' ἐπιμόνου [11]) τινὸς εἰσὶν ἐργασίας αὶ οἰκειότητος μετείληφεν ἐπιεικῶς καὶ γνώμης λοσχεροῦς εἴτουν φυσικῆς ῥοπῆς, εἰσὶ διοικήσεις αὶ κατασκευάσματα, κἀντεῦθεν ἀπαραλογί- τως συνέστη καὶ ἔχεται παντάπασιν, ὡς εἴρη- αι, μεταβάλλειν ἐργώδη, καὶ τοὺς δεσμοὺς τῆς γνώμης ἐνταῦθα, καὶ τὰς συμπεφυκυίας σχέσεις καὶ τοὺς ἔρωτας διαλύεσθαι μὴ οὐ ξὺν πολλοῖς καὶ φθοροποιοῖς, ὡς εἰπεῖν, ἀλγήμασι, πρᾶγμ' οὐδὲν σχεδὸν ἂν ἱκανὸν εἴη. Καὶ τοῦτο ῥᾳδίως ἐστὶ ξυνορᾷν ἐπὶ πάντων πραγμάτων, ὅσα τὰ κατὰ κόσμον τοὺς ἀνθρώπους ἔχει, καὶ περὶ

7) ἐλέγχ., in ora: ἐνέχεσθαι, quod etiam Cdd. Aug. et Mon. praebent.

8) τὶ, omissum in C. Mon.

9) μὴ, deest in C. Mon.

10) κατηρὸν, ;sic Cdd. quoque Aug. Mon. et Paris. Germ. Legerim χαματηρὸν cum Paris. Reg.

11) ἐπιμόνου, C. Mon. ἐπιμόνον. Caeterum omnia, quae inter ἃ δ' et ἐπιεικῶς habentur, omissa sunt in C. Aug.

τὰ τῇδε καὶ [12]) φαινόμενα, τὰ μὲν ἀνεμέσητ[α]
τὰ δὲ καὶ φαῦλα σχολάζειν ἑκάστοτε γί[γνε]-
ται [13]), καὶ ὅσα τῆς ὑψηλοτέρας καὶ περὶ [τὰ]
θειότερα χρήσεως εἰσὶ, καὶ ἀκράτου τῶν [ἐν]-
ταῦθα καὶ ἀμίκτου, καὶ μόνης κατὰ νοῦν [ἐν]-
θέου καὶ ἀνεπάφου τῆς ὕλης καὶ ὑπερφυ[οῦς]
ἐργασίας καὶ κατοχῆς μάλιστα. Καὶ τὸ ἥδιστ[ον]
γὰρ μάλα δὴ τῷ συνειθισμένῳ [14]) γίγνεται [ξὺν]
ξὺν πολλῷ πόνῳ καὶ πόθῳ κτηθέντι, καὶ κα[τὰ]
φύσιν λοιπὸν οἰκειοῦται καθάπαξ ἄτμη[τον].
Τὸ ἡδὺ μέν γε περόνην εἶναι δεσμοῦ πρὸς τ[ὸ]
ἄρα πρᾶγμα, ᾧ συνεισέρχεται [15]), συνάπτουσ[α]
ἄλυτα, τοῦ θαυμαστοῦ Πλάτωνος ἐστὶ λόγο[ς]
ἃ δ' ἂν ἐκ τοῦ σχεδίου καὶ μηδὲν ἀμέλει κ[ατα]-
πραγμονήσασιν ἐπισυμβαίνοι, οὐ συνέχει κρα-
ταιῶς νοῦς ἐνδελεχὴς καὶ ἡδονῆς ἄρρηκτα δε-
σμά [16]). Καὶ τοίνυν οὓς οἱ περὶ τὰ θειότερ[α]
συνάπτουσιν ἔρωτες καὶ μεθ' ἡδονῆς δεσμοὶ
πάντων τῶν ἄλλων μάλιστα κατασχόντες καὶ
πεδήσαντες ἄφυκτα. Κόρος οὐ τρέπει τὶς οὐδ[ὲ]
μεταβάλλει σφίσι τὴν πολυολβοτάτην ταύτη[ν]
κτῆσιν, οὐδ' εὐπεριφρόνητον ποιεῖται. Καὶ πάν-

12) καὶ, abest a C. Mon.

13) γίγνεται, C. Mon. non exhibet.

14) συνειθισμ., in marg. γρ. τῇ συνηθείᾳ, quam lect. Codd. Aug. et Mon. quoque dant. fors. legendum συνηθισμῷ, nam συνήθισις Lexica, etsi συνηθίζω praebeant, ignorant. Analogia tamen non respuit voc. συνήθισις.

15) συνεισέρχ., C. Mon. συνείρχεται, sed in ora γρ. συνεισέρχεται.

16) δεσμά, leg. δέσματα, nisi Theodor. habuerit δεσμόν, δεσμοί.

, ἔστιν ὁρᾷν τούς γε τοιούτους ἀποιήτους
ι ἀηττήτους καὶ μεγαλόφρονας, ὅσα δύναται
τ' ἀνθρώπους ἐναλλάττειν, ἢ μεθ' ἡδονῆς
'ὸς, ἢ μετὰ λύπης ἰσχύοντα, ἀλλὰ πάντων
μάλ' ἂν ἐπιστρόφως ὀλιγωροῦσιν ἀπρὶξ ἐχό-
νοι τῶν πρὸς τὰ καλὰ συνθημάτων καὶ τῆς
ιολογίας τῶν θείων ἐρώτων, ἧς φθάσαντες
'ένοντο, καὶ καταλύειν οὐκ ἔχουσι τὰ δόξαντα,
ὐδὲ φέρουσι ζημιοῦσθαι τὰ καλῶς καὶ πόνοις
ιαινετοῖς κτηθέντα φίλτατα. Καὶ τοῦτο μὲν
ε οὕτω, καὶ μάλιστ' εὖ ἔχει, καὶ ἀσφαλῶς
ἴρηται περὶ ταῦτα, ὅσα τῆς σεβασμιωτέρας καὶ
ιειοτέρας ἕξεώς τε καὶ χρήσεως. Ἀτὰρ δὴ καὶ [17])
ιερὶ πάνθ', ὡς ἔφην, τἄλλα παραπλησίως ἔχει,
ὅσα δεύτερα, καὶ πολὺ τούτων λείπεται, οἷον
λόγων καὶ σοφίας κτῆσιν, ὄλβους μακρῶν οὐ-
σιῶν, οἰκοδομιῶν κατασκευὰς, τεχνῶν παντοίων
ἔργα, καὶ πάνθ' ἕτερ' ὅσα κατὰ τὸν βίον.
Πάντα γὰρ τῷ χρονίῳ τῶν ἐθισμῶν καὶ τῇ
ἐπιπόνῳ περὶ αὐτὰ τῶν σπουδασάντων ῥοπῇ
μάλιστ' ἔχει, καὶ οὐκ ἔστι ῥᾷστα πεφυκότα
μεταβάλλειν, ἢ μεταβάλλοντα πλεῖστον ἀνιᾷ
τοὺς περὶ αὐτὰ πλεῖστον σχολάσαντας, καὶ πο-
νήρως φέρουσι τὴν ἀφαίρεσιν πρὸς οὐδὲν φει-
δόμενοι, τῶν δ' αὐτὰ δυσχερῶν οὐδ' ἀποτρε-
πόμενοι πείρᾳ πάσῃ καὶ προσβολαῖς πάσαις [18])·
ἃ δ' ἂν αὐτόματος χαρίζηται [19]) φορὰ, καὶ

17) καὶ, C. Mon. omittit.
18) πάσαις, deest in C. Mon.
19) χαρίζ., C. Aug. χαρίζεται.

μηδὲν πλεῖστον πονήσασιν ἐξ ἀδοκήτων ἐπιῤῥέουσι, καὶ παραῤῥέοντα ταῦτα καὶ παριόντα ξυμβὰν ὅπως ἄρα πολύ γ᾽ ἧττον ἀνιᾷ, ἢ κατ᾽ ἐκεῖνα, καὶ μονίμως οὐ στρέφει τοὺς λογισμούς. Καὶ ὁ μὲν Ζήνων ἔλεγεν, ἦλθε, παρῆλθεν, οἶμαι πρὸς ἐμὲ καθόλου, περὶ τῶν ἐνταῦθα πραγμάτων καὶ τοῦ βίου φιλοσοφῶν. Τὸ δ᾽ αὐτοῦθ᾽ ὃ καλῶς ἐκεῖνος ἔκρινε καθόλου καθορᾶν ἐστὶ, περὶ ὧν ἐν μέρει νῦν ἦν ὁ λόγος, τὸ οὐδὲν μάλ᾽ ἔχει τοὺς λογισμοὺς, οὐδ᾽ ἐμπικρατεῖ κραταιῶς, ἃ ταχέως καὶ μὴ ἐκ μελέτης καὶ σχολῆς καὶ καμάτων ἥκοντα, φεύγοντ᾽ αὖθις οἴχεται καὶ παρήκει τὸν αὐτὸν τρόπον ἀδοκήτως. Ἀνιᾷ μὲν γὰρ ἢ πῶς γὰρ οὔ; εἰς πέραν ὅλως γενόμενα, οὐ παρὰ τοσοῦτό γε μὴν ἄρα, παρ᾽ ὅσον, ἃ [20]) σπουδὴ καὶ πόνοι πολλοὶ συνεστήσαντο, καὶ ἔθιμος ἐκ μακροῦ καὶ συνεχὴς ἡδονὴ συνέδησε τοῖς λογισμοῖς· τῶν μὲν γὰρ γνησία τις, καὶ, ὡς εἰπεῖν, σύμφυτος ἐκράτησεν ἡ ἕξις, καὶ ζημία τὶς φυσικὴ καὶ τὸ μὴ φυσικὴ δοκεῖ πως, ἣν ἀφαιροῖντο. Καὶ πάντων μάλιστα τοῦτ᾽ ἀλγεινότατον, αὐτόν τινα ἑαυτοῦ μερίζεσθαι [21]) κατατεμμαχίζεσθαι βίᾳ τινὶ κατὰ τῆς συνεχείας καὶ τῶν συνδέσμων τῆς φύσεως· ἡ δ᾽ ἐπιπόλαια καὶ οὐκ ἀσφαλέσιν οὐδ᾽ ἀῤῥήκτοις δεσμοῖς ἐνέβαλε καὶ προσῆψεν ἡ τύχη, καὶ ἀνεκτῶς ἴσως, καὶ ῥᾷον ἐκπλύνεται τυχηρῶ

20) ἃ, omissum in C. Aug.

21) μερίζ. κατατ., nonne μερίζεσθαι καὶ κατατεμ.?

ενὶ πάλιν ἐπιφορᾷ καὶ βιωτικαῖς ἐπικλύσεσι τῇ συνεχῇ γενόμενα, μηδ' οὐσιωθέντα καὶ εισδύντα καθάπερ ἄνθη τινὰ καὶ βάμματα ἐυσοποιὰ τῷ δεξαμένῳ καὶ κτησαμένῳ, ἃ δὴ ιτὴ πέφυκεν ἄλλως ἀπαλλάττειν, ὅτι μὴ φθείροντα καὶ παντάπασιν ζημιοῦντα τὸ ὑποκείμενον τῇ αὐτῶν ἕξει συνδιατεθὲν 22) εἰς ἑνοειδῆ κοινωνίαν, καὶ ἧς οὐκ ἔστιν ἔπειθ' ἑξῆς ὅλως μερίζεσθαί τε καὶ λύεσθαι.

ΚΕΦ. ριθ'.

Ὅτι οὐκ ἔστιν ἐν ἀνθρώποις ἐξ ἀρχῆς εἰς τέλος τοῦ βίου ἄκρατος ἀνιαροῦ τινος εὐδαιμονία, καὶ ὅτι δεῖ τὰς τῶν μεγάλων εὐτυχιῶν ὑποβλέπεσθαι μεταβολάς.

Πλεῖστα μὲν δὴ καὶ πλείστοις ἄλλοις, ἀλλὰ καὶ ἡμῖν οἶμαι εἰς τὸ τῆς εὐπραγίας ἄπιστον καὶ ἀνθρώποις ἀβέβαιον εἴρηται, ἀλλὰ καὶ αὖθις οὐχ ἥκιστα νῦν μέτρι' εἰρήσεται περὶ τούτου, καὶ ὅπως οὐκ ἔστιν οὐδενὶ τῶν ἀπὸ τοῦ παντὸς αἰῶνος ἐνιδεῖν ἄκρατον εὐτυχίαν, καὶ ἀμιγῆ παντὸς ὁπηοῦν λυποῦντος καὶ συμπαραμείνασαν εἰς τέλος. Ἀλλ' ἄρα καὶ τὰς μεγίστας κατ' ἀνθρώπους εὐδαιμονίας τοῦτο μὲν ὁρᾶν ἔστι διατεμνομένας ἐν μεταβολῇ, καὶ οὐ μέχρι παντὸς οὐδ' εἰς μήκιστον ἱκνουμένας ἀπαθεῖς καὶ ἀσύλους, τοῦτο δὲ καὶ συμφυρο-

22) συνδιατ., C. Mon. συνδιατιθέν.

μένας ἀλγεινοῖς οὐκ ὀλίγοις ἢ σωματικαῖς παθείαις πονήρως ἐχόντων τῶν ἐν πράγμα- εὐετηρίᾳ χρωμένων ἀνθρώπων, ἢ φαύλαις γίαις οἴκοι μάλιστα πιεζομένων, ἢ φιλτ ἐρημίᾳ, ἢ φιλτάτων ἀποβολῇ, ἢ φιλτάτων στίᾳ καὶ φαυλότητι, ἢ ἐπαναστάσεσιν καὶ ἐναντιόφροσι λογισμοῖς, ἢ πάσαις δή τισι τύχης ἀντιπνοίαις καὶ [1]) ἀντιπρ μὴ συγχωρούσαις τῷ δρόμῳ τῶν ἀγαθῶν, ἐξ οὐρίου φέρεσθαι τῇ εὐπραγίᾳ. Καὶ ῥᾷστα δὴ πᾶσι καὶ περὶ πάντας οὕτω γε ρῶν ἐστι, καὶ ὅστις ἂν βούλοιτο πολυπρα- νεῖν καὶ ἐπισκέπτεσθαι, καὶ τοὺς ἄκρᾳ τας εὐδαιμονίᾳ συνεῖναι καὶ μακαριζ ὑπὸ τῶν πολλῶν ταῖς μεγάλαις τῆς τύχης σιν, εὖ μάλ' ὄψεται συνόντας καὶ αὐτοὺς πολλοῖς τισιν ἀηδίᾳ καὶ δυςχερείαις κάμνοντας καὶ οὐκ ἂν ἀτυχήσαι τὰ κατ' αὐτοὺς βασα- ζων καὶ ἐρευνώμενος μὴ ξυνειδεῖν ἄττα δὴ όντα λυποῦντα, καὶ τοῖς κατ' εὐχὴν τίως ἔχοντα, ἢ καὶ ταῖς ἀληθείαις οὕτω, αὐτοῖς γε ὅμως οὕτω δοκοῦντα, καὶ μηδὲν ἀνιῶντα, ἢ εἰ καὶ τῷ ὄντι κατὰ φύσιν ἔχει· οὕτω δὴ καθόλου παρ' ἀνθρώποις ἄκρατόν ἀγαθὸν, οὐδ' ἀμεγὲς [2]) εὐφρ Ταῦτ' ἄρα καί τινες οὐκ ἀλόγως ἐν μεγάλαις εὐτυχίαις σχεδίως εὐδρομούσαις ὑφορῶνται καὶ

1) ἀντιπν. καὶ, desunt in C. Mon.

2) ἀμεγὲς, leg. ἀμιγές. C. Mon. habet ἀμιγεθές.

ϛοπτεύουσιν, εἰ μὴ κατακλῶνταί τισιν ἀμηπη δυςχερείαις καὶ ἀλγεινοῖς, ἐν μέσῳ μεγάκς ἔπειτα μεταβολὰς καὶ βαρείας τύχας ἑξῆς, κὶ τέλη πραγμάτων ἀνιαρώτατα. Καὶ πολλοὶ ὲν οὕτω τῶν συνετῶν καὶ νοῦν ἐχόντων ὑφοῶνται περὶ ἄλλων εὖ πάνυ τοι φερομένων τοῖς ράγμασιν, ἔνιοι δὲ καὶ αὐτοὶ περὶ ἑαυτῶν ὕτω σωφρονέστερον ἴσως ἢ κατὰ πολλοὺς συλογιζόμενοι, καὶ δεδιότες περὶ σφίσιν αὐτοῖς ὸ κατ' ἀνθρώπους ἀδύνατον, καὶ ὃ μὴ πέφυεν εἶναι, μήτε ποτὲ γέγονέ τῳ τῶν ἐκ τοῦ αντὸς αἰῶνος ἀνθρώπων, μήτ' ἔστι, μήτε γεήσεται. Καὶ κατεύχονταί τινες ἐνίοτε καθ' αυτῶν καί τινος πικρᾶς τύχης καὶ ἀνιαρᾶς ἐφορμὰς ἐν πολλοῖς, οἷς ἄρα σύνεισι χρηστοῖς, καὶ ἴσως γε μετριώτερον ἐχούσας, ὡς ἂν δὴ μήποτ' ἐν ἀμιγεῖ τῶν κακῶν εὐκληρίᾳ χρόνιοι βιοῦντες κακῶς ἔπειτ' ἀπαλλάξαιεν τελευτῶντες, ὡς ἀδύνατον ὂν καθάπαξ διὰ πάσης τῆς ζωῆς εὐετηρίᾳ πάσῃ χρήσασθαι, καὶ ἀζημίως ἀνύσαι πάντων ἀγαθῶν. Καὶ σοφὸν ἥγηνται πρὸς πολλοῖς ἴσως ἄλλοις, ὅσοι καὶ ἴσασιν ἅττα δὴ, καὶ τὸ τοῦ Αἰγυπτίου Ἀμάσιδος περὶ τοῦ Σαμίου Πολυκράτους [3]), ὃς ἄρα δὴ προὐδίδασκε μὲν τὴν ἀρχὴν ὑφορᾶσθαι Πολυκράτη τὴν ἄνοσον παντάπασιν εὐπραγίαν, καὶ τὸν ἀπρόςκοπον δρόμον τῆς ἀγαθῆς αὐτοῦ τύχης, καὶ οἰκονομῆσαι τρόπῳ γέ τινι λύπης ἀφορμὴν ἑαυτῷ,

---

3) *Πολυκρ.*, Herodot. III, 39. sqq.

καί τιν' ἐγκοπὴν τῆς βιοτικῆς εὐπλοίας κα
ἀγαθῆς τύχης ἐπήρειαν [4]). Ἐπεὶ δ' ἔγνω κ
πεισθέντα μὲν Πολυκράτην [5]) ταῖς ἀ
ὑπομνήσεσι καὶ βουλαῖς, καὶ τὸν πολυτί
δακτύλιον ἐν πελάγει κατὰ βυθοῦ ῥίψα
καὶ ζημίαν ἑαυτῷ καὶ ἀνίαν χειροποίητον
στην, ὅσην αὐτῷ μάλιστα τῷ περὶ τὸν δα
λιον πόθῳ μηχανησάμενον, τὴν τύχην δ
ῥάστια κἀνταῦθα καὶ οἷα κατ' αὐτὴν ἀδ
δραματουργοῦσαν, καὶ εἰς χεῖρας ἀποδιδοῦ
Πολυκράτει τὸν δακτύλιον αὖθις ἐν ἰχθ
κοιλίᾳ ταμιευθέντα, προπεμφθέντος [6]) ὑπὸ
τύχης τῇ βασιλικῇ τραπέζῃ τοῦ Πολυκράτο
ὁ δ' αὐτόθεν ἀπείπατο διὰ πρεσβείας Ἀμα
τὴν φιλίαν τῷ Πολυκράτει, ὡς ἂν μὴ ὀφειλε
τινὸς καὶ βοηθείας ὑπόχρεως εἴη τἀνδρὶ δεησο
ἐν μεγίστοις κινδύνοις, πάντως δὲ δεήσειν Π
λυκράτει καὶ μὴ ἐξεῖναι διαφυγεῖν αὐτὸν
κοινὰ κατ' ἀνθρώπους καὶ τὸν βίον τῆς τύ
ἔθη καὶ νόμιμα, καὶ πάντως περιπεσεῖσθ
πράγμασιν ἀπευκταίοις καὶ τῆς πρὶν εὐφορ
ἐναντιωτάτοις. Ἀτὰρ δὴ καὶ οὐ μακρὰν ἐδείχ
ὡς ἀσφαλὴς ἡ κρίσις, καὶ οἱ περὶ τῆς ἀπιστία
τῆς τύχης Ἀμάσιδος λογισμοί, καὶ κακῶς ἐτε
λεύτα τὸν βίον καὶ τὴν προτέραν ἄκρατο
εὐκληρίαν Πολυκράτης καὶ τὰ χρηστὰ προγ

---

4) ἐπήρειαν, abest a C. Mon.

5) Πολυκρ., C. Aug. Πολυκράτης.

6) προπεμφθ., C. Mon. προπεμφθέντα.

α. Ἀλλὰ καὶ Φίλιππον τὸν Μακεδόνα βα-
ιε φασὶν ἐπὶ πολλοῖς ἀγαθοῖς ἀγγελθεῖσιν
ῷ τῆς αὐτῆς ἡμέρας, ἐκ τοιούτων ἔοικε δή
ον λογισμῶν σωφρονικῶς ὡρμημένον ἀναδρα-
ν αὐτόθεν εἰς τὸν αὐτοῦ Δία καὶ ἀναφθέγ-
θαι· Ὦ Ζεῦ, μῖξον τὶ τοῖς ἀγαθοῖς καὶ
τύχημα, εὖ μάλα δὴ ξυνορῶντα, μᾶλλον δὲ
ιρώμενον καὶ δεδιότα τὸ πολύδωρον τῆς τύχης,
τὴν ἀφθονίαν καὶ ἑτοιμότητα τῶν παρ'
ῆς 7) χαρίτων, ὡς ἄρα δὴ μὴ ἐξὸν ὅλως
θρωπον ἀκράτως διὰ πάντων εὖ πράττειν,
μὴ μεταλαμβάνειν καὶ τῶν ἐκ τῆς ἐναντίας
ἀηδοῦς ἕξεως, καὶ τὴν τύχην καὶ τὴν φορὰν
πραγμάτων, μὴ τὸ πιστὸν ἔχουσαν ἀεὶ,
δὲ τὴν αὐτὴν ἐπὶ πλεῖστον καὶ ἑνοειδῆ μέ-
ισαν καὶ τηροῦσαν τὴν εὐγενῆ καὶ ἐλευθέριον
σιν καὶ τῶν ἀγαθῶν πολυδότειραν, ἀλλ'
κατὰ τὸν βίον ἄνω καὶ κάτω χωροῦσαν,
ὶ τὶ μὲν κλίνουσαν καὶ συνέλκουσαν ἐπὶ τὰ
ιά, τὶ δ' ἐπὶ θάτερα. Καὶ ἀγαπητὸν ἂν εἴη
ὶ κατ' εὐχὴν ὄντως, ὅτῳ μὴ ξυνέλαχεν ἐν
ῖς ἐχθίστοις καὶ χαλεποῖς τοῦ βίου πλεῖστον
ραβάλλεσθαι, καὶ πλεῖον 8) ἢ ἐν τοῖς χρη-
οῖς, ἐπεὶ καὶ τοῦτο μάλιστ' ἐστὶ τῷ ὄντι
νηθέστερον ἐν ἀνθρώποις νικᾶν μᾶλλον τὰ
ρείονα καὶ πλεονεκτεῖν, ἢ κατὰ τὴν 9) τῶν

7) παρ' αὐτῆς, C. Mon. παρ' αὐτοῖς.
8) πλεῖον, C. Mon. πλεῖν.
9) τὴν, omissum in C. Mon.

ἀγαθῶν μετουσίαν, καὶ κοινωνίαν. Καὶ μι
τινῶν γλυκασμάτων ἡ τύχη πολλάκις γλ
πλεῖστ' ἔπειτ' αὖθις ἐπιφέρει, καὶ μεταλα
νειν δίδωσι τῆς ἀηδοῦς καὶ βαρείας μα
πὰρ δ' ἐνὶ ἐσθλῷ δύο, φησὶν Ὅμηρος [10]),
ματα, καὶ οὐ δύο μόνον, ἀλλὰ καὶ πλεί
πολλάκις, καὶ οὔτ' ἀριθμῷ νικῶντα μόνον
πλεονάζοντα, ἀλλὰ καὶ ταῖς ὑπερβολαῖς
δυνάμεων [11]) ἕκαστον ἀνίσως ἐνίοτε καὶ
ξυμμέτρως ἔχει πρὸς τὴν τῶν ἀγαθῶν φ
σαν μετουσίαν. Καὶ τοῦτ' ἄρα πάλιν αὐ
τὸν Ὅμηρον [12]) ὑπομιμνήσκειν καὶ ἀναδιδάσ
πειρώμενον, καὶ δῆλον μάλιστ' ἀνθρώποις
ούμενον, ὡς ἂν δὴ καὶ σωφρονεῖν αὐτοὺς
μετρίως ἀνύτειν τὸν βίον· δύο μὲν ὑποτιθέμενα
τοὺς Διὸς πίθους, τὸν μὲν ἀμιγῆ, κακῶν μόνων
πλήρη, τὸν δ' ἐξ ἀμφοτέρας τῆς ἕξεως,
τῶν φαύλων καὶ τῶν χρηστῶν πλήρη, καὶ
μὲν λαμβάνοντα [13]) τοῦ ἑνὸς τῶν πίθων
Δία παρέχειν ἀνθρώποις ἀφθονίαν κακῶν
διὰ πάντων μετουσίαν ἀηδίας καὶ χαλεπ
πραγμάτων, νῦν δὲ πρὸς τὸ εὖ ποιεῖν, ὡς
ἔνεστιν ὡρμημένον οἷς ἂν ψηφίζοιτο, λαμ
νοντα θατέρου τῶν πίθων παρέχειν ἀνα

---

10) Ὅμηρος, cf. c. 58. 7. notata, vbi eadem occurrunt.

11) δυνάμ., C. Mon. δυναμένων; in ora tamen δυνάμεων.

12) Ὅμηρον, Il. ὠ, 527.

13) λαμβάνοντα, C. Mon. λαμβάνειν τά.

 εϑά τε καὶ ἀνιαρὰ, ὡς τοῦτ' ὂν ἀμέλει κατ' ϑρώπους τὸ γιγνόμενον τῆς εὐπραγίας, καὶ πάνυ τοι μακάριον, ἣν ἄρα δὴ πλεονάζῃ ναϑὰ τισὶν ἐνίοτε τῇ νομῇ. Ἄκρατόν γε μὴν ὶ ἀμιγῆ παντὸς ἀνιαροῦ χορηγίαν οὐχ οἷόν ἐφ' ὁτῳοῦν τῶν πάντων ἀνϑρώπων ὀφϑῆναι, εὶ καὶ τρίτον πίϑον ἐς τοῦ Διὸς Ὅμηρος οὐκ ναι φησὶν, ὥςπερ δὴ τῶν φαύλων μόνων, οὕτω καὶ τῶν ἀγαϑῶν μόνων πλήρη, ὡς ἂν κἀν- ῦϑεν ἀμιγὴς εἴη καὶ μονοειδὴς τοῖς ἀνϑρώ- οις χορηγία παρὰ τοῦ νέμοντος τὸ ξυλλαγχά- ον ἑκάστοις. Καὶ Ὅμηρος μὲν οὕτω καὶ σο- ῶς [14]) εἰκάζοι [15]) τὰ κατ' ἀνϑρώπους, οἷα δὴ ὰ παρ' ἐκείνου πάντα ϑαυμάζειν ἄξια τῷ αιρίῳ τῶν ἐπιβολῶν. Ὅςτις ἂν ξυνορᾷν οἷός ' εἴη πανσόφως τὸν ἄνδρα, καὶ ξυνγέναι [16]) οιπὸν ῥᾴδιον, ὡς οὐκ ἔστι μήποϑ' εὑρεῖν παρ' ὐδενὶ κατὰ τὸ λόγιον ἄλυπον βίον, οὐδ' εὐ- δαιμονίαν ἀσάλευτον, καὶ μὴ μεταβάλλουσαν ὁπηοῦν, μηδὲ νοσοῦσαν τὸ μέρος, ἀλλ' ἐξ ἀρχῆς εἰς τέλος περιγινομένην, καὶ ὥςπερ ἀγωνιστὴν ἀριστέα δραμοῦ [17]) ἀπ' αὐτῆς τῆς τῶν πραγ-

---

14) σοφῶς, Cdd. Mon. et Aug. σοφός.

15) εἰκάζοι, sic etiam C. Mon. fors. leg. εἰκάζει. C. Aug. omittit hoc voc.

16) ξυνγέναι, ita Cdd. Aug. et Mon. quoque: haud dubie legendum ξυνιέναι.

17) δραμοῦ, syllaba vltima est omissa, vt interdum fit. Legendum cum Cdd. Aug. et Mon. δραμοῦσαν.

μάτων πρώτης ὁρμῆς ὁτῳοῦν καὶ κινήσει τὸ πέρας τοῦ βίου διὰ πάντων ἀπρόσκ καὶ μὴ τραπεῖσαν ὁτὲ, μηδὲ ξυμπεσοῦσαν λοις ἐν μέσῳ τισὶ, μηδέ γε μὴν ὀκλάσασ ὁτιοῦν τοῦ τόνου καὶ τοῦ δρόμου καὶ τῆ ἀγαθῶν εὐφορίας.

ΚΕΦ. ρκ'.

Ὅπως πολλοὶ τῶν ἀνθρώπων ἐνεπιστήμονες [1]) ἀν ἀληθῶς τῆς [2]) τοῦ βίου χρήσεως ἐξ ὑποδειγμ

Οἱ πολλοὶ τῶν ἀνθρώπων ἐν τοῖς κατὰ τὸν βίον πράγμασιν, ὅταν μὲν εὖ φέροιντο ... ἔχοντες καὶ ἥδιστα, καὶ πρώως βιοῦντες ... χρώμενοι ἐπιμελῶς, ὅταν δέ τισι δυσχερ... καὶ ἀνιαραῖς τῆς τύχης ῥοπαῖς ξυλλάχωσι ἀηδῶς πάνυ τοι φέροντες καὶ ταῖς γν... νοσοῦντες, καὶ, ὥςπερ ἀποτρεπόμενοι τὸ ... καὶ φευκτέον [3]), εἰ οἷόν τ' ἦν, κρίνοντες ... κασιν ὥςπερ ἀτελεῖς τινες ἐπιστήμονες ... καὶ τεχνῖται τοῦ ζῆν, καὶ ὑπ' ἀμαθίας ...

---

18) ὀκλ., C. Mon. ἐκλάσασαν.

1) ἐνεπιστ., C. Aug. ἀνεπιστήμονες, rectius. Infra dic. ἀνεπιστήμονος ἀνδρός.

2) τῆς, desideratur in C. Mon.

3) φευκτέον, C. Mon. φευκταίαν, Aug. φευκτέαν.

ται καλῶς αὐτῷ χρῆσθαι παρεσκευάσθαι, πρὸς πᾶσαν ἐντυχίαν, ὥπερ ἂν εἴ τινες νης ἡςτινοςαῦν ἐργάται, πρὸς μὲν τόδέ τι ος αὐτῆς ἱκανῶς ἔχωσι καὶ ἀρτιόχρειοι καρῶνται, πρὸς δὲ τόδ' ἄλλό τι τῶν κατ' αὐτὴν οπεφυκότες καὶ ἀπαράσκευοι καὶ ἀμαθεῖς ῆσθαι. Καὶ γέλωτα ἴσως τοῖς ἔξωθεν ὁρῶσιν λοντες τῇ δυςχρηστίᾳ καὶ ἀτελείᾳ τῆς ἕξεως, ον εἴ τις δὴ μουσικὸς πρὸς μὲν τὸ τὸν Δώον τρόπον χρῆσθαι, καλῶς ἀνύτων ὁρῷτο, ι χρώμενος ὡς βέλτιστα, πρὸς δὲ τὸ τὸν ύδιον τρόπον χρῆσθαι καὶ τὸν Φρύγιον, ἢ λον ὁντιναοῦν τῶν κατ' αὐτὴν καὶ ἁπλῶν ι ξυμμίκτων ἀπαράσκευος εἴη καὶ χρώμενος, ως ὁρῷτο φαύλως χρώμενος καὶ ἀνικάνως, ηδ' ἁρμόττων ἐπιεικῶς καὶ μεταβάλλων τοῖς ὄνοις, καὶ ταῖς χορδαῖς κατὰ πᾶν τὸ γιγνόενον πρὸς πάνθ' ἕκαστα τῶν τῆς μουσικῆς· σαύτως δὴ καὶ ὅςτις ἂν ἐπὶ πάσης ἄρα τέχνης ὐκ ἐντελῶς ἤσκηται, ἀλλὰ τοῖς μὲν ἔχει χρῆθαι, τοῖς δ' οὐκέτι, καὶ τῷ ὄντι κατ' αὐτοὺς σὶν, ὡς εἴρηται, καὶ ὅσοι τῷ ζῆν οἴδασι καὶ εφύκασι χρῆσθαι, τῷδέ τινι τρόπῳ καὶ τῷ έρει τῆς χρήσεως, τῷ ἱλαρῷ καὶ ἐῤῥαστωνευένῳ, καὶ γλυκαίνοντι, τῷδε δ' οὔ, ἐπὶ θάτερα έροντι ξυλλαχόντες. Ὥςπερ ἂν εἰ καὶ θαλατουργός τις ἄνθρωπος ἐν εὐδίᾳ μὲν καὶ γαλήνῃ, καὶ οὐρίοις καὶ κούφοις καὶ εὐενδότοις 4) πνεύ-

4) εὐενδ., Cdd. Aug. et Mon. ἐνενδότοις.

μασιν ἀναπετῶν εὖ μάλα τὴν ὀθόνην, οἷς
ἂν εἴη χρῆσθαι τῷ σκάφει καὶ κινεῖν πρὸς
πλοῦν, ἂν δ' ἄλλως τὰ κατὰ θάλατταν ἔ
καὶ τὰ πνεύματα κυμαίνοι, καὶ ῥαγδαιότ
ἐμπίπτοι, ἀπαράσκευος παντάπασιν ὁρῷτο,
ἀμαθὴς ὁπηοῦν καὶ ἀνίκανος χρῆσθαι πρὸς
ξυμπίπτον ἑκάστοτε τῶν πνευμάτων καὶ
φορᾶς, εὐδιοικήτως τρεπόμενος ἄλλοτ' ἀλ
καὶ πᾶσι τρόποις καὶ τοῖς ἐναντιωτάτοις,
δέοι ἂν καὶ τῶν καιρῶν ἐπείγοι χρεία. Ὃς
ἂν ἐν τούτοις αὐτόθεν ἀποτρέποιτο καὶ φε
τοὺς οἴακας ἐξιστάμενος τοῖς ἀβουλήτοις πν
μασι δημιουργεῖν αὐτῷ τε καὶ τῷ σκάφει κι
δύνους καὶ ναυάγια, καταγέλαστος ὅπως ἄν
θρωπος κατὰ τὴν παροιμίαν ὄντως ἀθαλάττωτος
ἀσαλαμίνιος, μήθ' ἑαυτῷ μήτε 5) τῇ τ
χρώμενος εὖ, καὶ ὡς νόμιμον, καὶ ὡς ἐπι
ἐν παντὶ τῷ ξυντυχόντι, καὶ μεταλαμβάν
ἄλλους μετ' ἄλλους τρόπους τῆς χρήσεως κ
τὰς τῆς αὐτῆς τέχνης, ἣν 6) ἄρ', ὥς γε δο
καθάπαξ ἤσκηται, ἐργασίας καὶ τὰ δράματ
καὶ πάντας κατὰ χρείαν. Εἴρηται καὶ ἅμα
νοῦν ἧκέ μοι, ὅτι δὴ πολλάκις ἔδοξ' ἐμ
κομιδῇ κατὰ καιρὸν ἔχειν, ὅςτις ἂν εἰκάζοι
κατὰ τὸν βίον σκηνῇ τινὶ καὶ δράματι πρὸς
μὴ ἐπαληθεῦον τῶν πραγμάτων ὁρῶν, ἀλ

---

5) μήτε, C. Mon. καὶ μήτε.

6) ἣν, C. Aug. ἦν.

:σματῶδες, οἷον καὶ ἀβέβαιον, μηδ' ἑστὼς μονῇ τινὶ κατ' οὐσίαν, ἀλλ' ἀνύπαρκτον, ὥςπερ ἐμπρόςθεσμον 7) ἐπὶ ῥητοῖς βιῶσι- ν, καὶ ὡς δέοι ἂν, τὸν μὲν ἐπὶ κρείττονος ὸς καὶ τιμιωτέρου τοῦ σχήματος ὑποκρινό- νον τῇ ζωῇ, χρόνον τινὰ τακτὸν καὶ μέτροις ισμένον, ἔπειτα καταπαῦσαι τὴν τοῦ βίου τ' αὐτὸν ὑπόκρισιν, καὶ τὸ δρᾶμα μηδὲν λυπραγμονοῦντα, μηδὲ δυνάμενον ὁτιποτοῦν οςθεῖναι τῷ μήκει τῆς χρήσεως καὶ τῆς δεδο- νης ὡς ἐν ὑποκρίσει βιοτῆς, τόνδ' ἐπί τινος ·θις εὐτελεστέρου καὶ ταπεινοτέρου τοῦ σχή- ετος, ᾧ ξυνέλαχεν, ἀποπλῆσαι τὴν ἐργασίαν ς βιωτικῆς ὑποκρίσεως, καὶ τὸν μὲν οὑτωσὶ ήσασθαι τῇ κατὰ τὸ βιωτικὸν δρᾶμα ὑπο- ίσει, τὸν δ' ἄλλως ἢ ὡς ἐκεῖνος, τὸν δ' ἄλλως ὡς ἀμφότεροι, καὶ ἄλλον ἄλλου ἐν πλείονι όνῳ καὶ ἐλάττονι, πάντας δ' ὅμως, ὅσοι πλη- οῦσι καὶ συσκευάζουσι τὸ δρᾶμα κατὰ πάντας ὑτοῦ τρόπους οὐδὲν ἀντιπράττοντας, πρὸς ὃ ν ταχθῶσι μέρος αὐτοῦ, καὶ σχῆμα τῆς ὑπο- ρίσεως καὶ τῶν προσώπων, ἀλλ' ὡς ἂν ὁ δρα- ιατοποιὸς καὶ οἰκονόμος καὶ χορηγὸς τῆς ὅλης ιαθέσεως καὶ τῆς σκηνῆς καὶ τοῦ πλάσματος ὑποτάξαι πάνθ' ἕκαστον τῶν ὑποκριτῶν ἑπό- ιενον τάξαι 8) καὶ πειθόμενον εὖ μάλα, καὶ

7) ἐμπρόςθεσ., consentiunt in hac lect. Cdd. Aug. et Mon. Lege: ἐμπρόθεσμον.

8) τάξαι, notatum est in C. Ciz. punctis, ita, vt delendum videatur.

πρὸς τὸ λαχὸν 9) ἑαυτὸν ἀναπλάττοντα. πάνθ' ἕτοιμον ἑαυτὸν διδόντα, καὶ πάσης κρίσεως ἐνεργὸν καὶ ὑπηρέτην καὶ ὡσα ἐπιστήμονα. Ταῦτ' ἄρα καὶ εἰ τούτοις ἐγῶμαι καὶ πᾶς ἂν τις δόξαι, καλῶς τὰ κ τὸν βίον εἰκάζεται, καλῶς ἂν ἔχοι τοὺς ἐν βίου τοῦδε σκηνῇ καὶ τῷ δράματι συνελθ παραπλησίως πρὸς πάντ' ἐπιστημόνως παρεσ άσθαι χρῆσθαι. Ἄτοπον μὲν τ' ἂν εἴη, ὡς ἀληθῶς μικρογνώμονος τινὸς ἀνδρὸς ὀλίγου τὴν φύσιν καὶ ἀτελοῦς καὶ ἀνεπιστ νος τῆς, ὥςπερ ἐν ὑποκρίσει, ταύτης ὅςτις δεσπότου μὲν καὶ τυράννου τινὸς καὶ ἄρχοντος οἷός τέ ἐστι προσωπεῖον ἐνδῦναι καὶ ὑποκρίνασθαι, ὑπηρέτου δὲ ἢ ἀγγέλου, ἢ κήρυκος, ἢ ἀγρότου, ἢ ἄλλου τινὸς τῶν ἐν τῷ δράματι μηκέθ' οἷός τ' ἂν εἴη προσωπείου χρῆσιν ὑποκρίνασθαι, ἀλλ' ἀμαθὴς καὶ ἄτεχν τἄλλα πάντα ταῦθ' ὁρῷτο, ἢ δυςχεραίνοι τῷ διατιθεμένῳ καὶ διανέμοντι πάνθ' ἕκαστα, καὶ διαλοιδορεῖται, ὡς μὴ τῶν προςηκόντων καὶ οἰκείων τυγχάνων, ἀλλ' ἀναξίων τῆς ἑαυτοῦ 10) φύσεως καὶ τέχνης καὶ τύχης. Μαίνοιτο μὲν τ' ἂν, ὅςτις οὕτω χρῷτο, καὶ ληρῶν ἐλέγχοιτο, ἢ ἀγνοῶν, ἃ μὴ χρῆν, ἢ περὶ τῆς ἐν Δελφοῖς

9) τὸ λαχ., C. Mon. τὸν λαχόν.

10) ἑαυτοῦ, Cdd. Aug. et Mon. αὐτοῦ.

εᾶς [11]) κατὰ τὴν παροιμίαν καὶ πραγμάτων ὑποστάτων πράγματ' ἔχων ἀκαιρίᾳ μεγίστῃ. Οὕτω δὴ παντάπασιν ἀλλοτριώτατόν ἐστι παντὶ, ὡς ἔφην, ἐπιστήμονι τοῦ ζῆν, πρὸς μὲν τάδε παρεσκευάσθαι καλῶς τῶν κατὰ τὸν βίον ξυμπεπτόντων, πρὸς δὲ τάδ' αὐτῶν μηκέτι, ἀλλ' ἀμαθῶς ἔχειν καὶ δυςχεραίνειν, εἰ γένοιτ' αὐτὸν σφίσι ξυλλαγχάνειν, καὶ παραβάλλεσθαι, καὶ τάδε μὲν εὖ μάλα προςίεσθαι, καὶ πρὸς αυτοῦ ποιεῖσθαι, καὶ πρόθυμον ἑαυτὸν τούτοις παρέχειν· πρὸς ταῦτα δ' ἄλλα μὴ ἔχειν εὖ χρῆσθαι, ἀλλ' ἀποτρέπεσθαι καὶ φεύγειν, ὧν μὴ ἔξεστιν. Ἀλλ' ἀνάγκη πᾶσα καὶ ταῦτ', ἐπειδὴ ξυνέπεσε, διοικεῖν εἰς τἄμεινον, καὶ κατὰ πᾶν τὸ γιγνόμενον εὖ, εἰ δὲ μὴ, φευξεῖσθαι μὲν αὐτῶν οὐκ ἂν οἷός τ' εἴη, κἂν [12]) ἀηδῶς, κἂν ὅπως ποτ' ἔχοι. Γέλωτα δ' ὀφλήσει καὶ μέγιστον ἀμαθίας ἔλεγχον, ὡς ἄνευ προνοίας καὶ τῆς ὀφειλομένης πάσης παρασκευῆς καὶ τῶν λογισμῶν προλήψεως τῶν βιωτικῶν δραμάτων πειρώμενος. Ἀλλ' ὡς μὲν ταῦτ' ἀληθῆ καὶ κατὰ πᾶν τὸ εἰκὸς, ἃ φαμὲν, εἴρηται, δῆλον οἶμαι παντὶ νοῦν ἔχοντι. Καὶ οὕτω δὴ παρασκευαστέον ἐξ ἀνάγκης παντὶ,

---

11) περὶ—σκιᾶς, in margine: περὶ ὄνου σκιᾶς, quam lectionem Cdd. Aug. et Mon. quoque exhibent. Erasm. Adag. p. 325. addit, vt C. Ciz., ἐν Δελφοῖς, praeeunte Demosth. 63. vlt. ed. Reisk.

12) οἷός τ' εἴη, κἂν, omittit C. Mon.

καὶ μετὰ τοιαύτης τῶν λογισμῶν προθυ-
δοτέον ἑαυτὸν τῷ βίῳ καὶ τοῖς πράγμασιν,
δ' ὅμως ἔν τισιν ἄρα παρὰ γνώμην καὶ βο-
λησιν ἀπαντῶσιν, ἀλγεῖν αὖθις ἔστιν ἀνα-
τοῖς ἐν σώματι καὶ κατ' ἀνθρωπίνην
φύσιν, κἂν εἰ μάλιστα δύναιντο γεννικῶς
σωφρόνως κρίνειν, καὶ ἴσως χρῆσθαι. Καὶ τοῦ-
δὴ πᾶς ἂν ἀληθεύων οἶμαι φήσαι καὶ
τἀλλότρια καὶ πόῤῥω τῆς φύσεως καὶ τὰ
ὄντα προςποιούμενος.

I.

INDEX
VOCABULORUM MEMORABILIUM.

Nota. *Numeri* vocabulis adjecti paginam, *litterae* i. m. f. numeris appositae initium, medium, finem paginae indicant. Voces hoc signo † notatae in Lexicis non leguntur.

II.

INDEX AUCTORUM A THEODORO LAUDATORUM

Signum † numeris praefixum indicat, nomen ipsius … cujus verba laudantur, non esse allatum.



